Ἡ ΚΑΙΝῊ

ΔΙΑΘΉΚΗ

ΤΟΥ͂ ΚΥΡΊΟΥ ΚΑῚ ΣΩΤΗ͂ΡΟΣ ἩΜΩ͂Ν

ἸΗΣΟΥ͂ ΧΡΙΣΤΟΥ͂

ΔΊΓΛΩΤΤΟΣ,

Τοῦτ᾽ ἔςι,

ΤῸ ΘΕΙ͂ΟΝ ἈΡΧΈΤΥΠΟΝ

καὶ ἡ αὐτοῦ

ΜΕΤΆΦΡΑΣΙΣ

ΕἸΣ ΚΟΙΝῊΝ ΔΙΆΛΕΚΤΟΝ·



Μετὰ πολλῆς ἐπιμελείας διορθωθέντα, καὶ νεωστὶ
μετατυπωθέντα.

Ἐν

ΛΟΝΔΊΝΩ

Ἐξετυπώθη παρὰ Τιλλίγγου καὶ Οὔγου,
τῆς Χελσέας.

Ἔτει ἀπὸ τῆς τοῦ Ἰησοῦ Χριςοῦ Ἐνσαρκώσεως
͵α ω ι θ΄, 1819.

Ἡ τάξις τῶν τῆς Καινῆς Διαθήκης Βιβλίων.

σελ.

Τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον 1
Τὸ κατὰ Μάρκον Εὐαγγέλιον 140
Τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον 227
Τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον 379
Πράξεις τῶν ἁγίων Ἀποστόλων 492
Παύλου τοῦ Ἀποστόλου ἡ πρὸς Ῥωμαίους Ἐπιστολή 647
Παύλου τοῦ Ἀποστόλου ἡ πρὸς Κορινθίους Ἐπιστολὴ Πρώτη 708
Παύλου τοῦ Ἀποστόλου ἡ πρὸς Κορινθίους Ἐπιστολὴ Δευτέρα 766
Παύλου τοῦ Ἀποστόλου ἡ πρὸς Γαλάτας Ἐπιστολή .. 805
Παύλου τοῦ Ἀποστόλου ἡ πρὸς Ἐφεσίους Ἐπιστολὴ 824
Παύλου τοῦ Ἀποστόλου ἡ πρὸς Φιλιππησίους Ἐπιστολή 843
Παύλου τοῦ Ἀποστόλου ἡ πρὸς Κολοσσαεῖς Ἐπιστολή 858
Παύλου τοῦ Ἀποστόλου ἡ πρὸς Θεσσαλονικεῖς Ἐπιστολὴ Πρώτη 871
Παύλου τοῦ Ἀποστόλου ἡ πρὸς Θεσσαλονικεῖς Ἐπιστολὴ Δευτέρα 884
Παύλου τοῦ Ἀποστόλου ἡ πρὸς Τιμόθεον Ἐπιστολὴ Πρώτη 891
Παύλου τοῦ Ἀποστόλου ἡ πρὸς Τιμόθεον Ἐπιστολὴ Δευτέρα 907
Παύλου τοῦ Ἀποστόλου ἡ πρὸς Τίτον Ἐπιστολή .. 918
Παύλου τοῦ Ἀποστόλου ἡ πρὸς Φιλήμονα Ἐπιστολή .. 924
Ἡ πρὸς Ἑβραίους Ἐπιστολή 928
Ἰακώβου τοῦ Ἀποστόλου Ἐπιστολὴ Καθολική 972
Πέτρου τοῦ Ἀποστόλου Ἐπιστολὴ Καθολικὴ Πρώτη .. 988
Πέτρου τοῦ Ἀποστόλου Ἐπιστολὴ Καθολικὴ Δευτέρα 1004
Ἰωάννου τοῦ Ἀποστόλου Ἐπιστολὴ Καθολικὴ Πρώτη 1013
Ἰωάννου τοῦ Ἀποστόλου Ἐπιστολὴ Καθολικὴ Δευτέρα 1028
Ἰωάννου τοῦ Ἀποστόλου Ἐπιστολὴ Καθολικὴ Τρίτη .. 1030
Ἰούδα τοῦ Ἀποστόλου Ἐπιστολὴ Καθολική 1032
Ἀποκάλυψις Ἰωάννου τοῦ Θεολόγου 1037

ΤῸ ΚΑΤᾺ ΜΑΤΘΑῖΟΝ

ΕΥ̓ΑΓΓΕ΄ΛΙΟΝ.

Κεφ. ά. 1.

ΒΙ΄ΒΛΟΣ γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ.

2 Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ· Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ· Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ.

3 Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ· Φαρὲς δὲ ἐγέννησε τὸν Ἐσρώμ· Ἐσρὼμ δὲ ἐγέννησε τὸν Ἀράμ.

4 Ἀρὰμ δὲ ἐγέννησε τὸν Ἀμιναδάβ· Ἀμιναδὰβ δὲ ἐγέννησε τὸν Ναασσών· Ναασσὼν δὲ ἐγέννησε τὸν Σαλμών.

5 Σαλμὼν δὲ ἐγέννησε τὸν Βοὸζ ἐκ τῆς Ῥαχάβ· Βοὺζ δὲ ἐγέννησε τὸν Ὠβὴδ ἐκ τῆς Ῥούθ· Ὠβὴδ δὲ ἐγέννησε τὸν Ἰεσσαί.

6 Ἰεσσαὶ δὲ ἐγέννησε τὸν Δάβιδ τὸν βασιλέα· Δαβὶδ δὲ ὁ βασιλεὺς ἐγέννησε τὸν Σολομῶντα ἐκ τῆς τοῦ Οὐρίου.

7 Σολομὼν δὲ ἐγέννησε τὸν Ῥοβοάμ· Ῥοβοὰμ δὲ ἐγέννησε τὸν Ἀβιά· Ἀβιὰ δὲ ἐγέννησε τὸν Ἀσά.

8 Ἀσὰ δὲ ἐγέννησε τὸν Ἰωσαφάτ· Ἰωσαφὰτ δὲ ἐγέννησε τὸν

ΒΙΒΛΙ΄ΟΝ τῆς γενέσεως τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ υἱοῦ τοῦ Δαβὶδ, τοῦ υἱοῦ τοῦ Ἀβραάμ.

2 Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ· καὶ ὁ Ἰσαὰκ ἐγέννησε τὸν Ἰακώβ· καὶ ὁ Ἰακὼβ ἐγέννησε τὸν Ἰούδαν, καὶ τοὺς ἀδελφούς του.

3 Καὶ Ἰούδας ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρὰ ἀπὸ τὴν Θάμαρ· καὶ Φαρὲς ἐγέννησε τὸν Ἐσρώμ· καὶ ὁ Ἐσρὼμ ἐγέννησε τὸν Ἀράμ.

4 Καὶ Ἀρὰμ ἐγέννησε τὸν Ἀμιναδάβ· καὶ Ἀμιναδὰβ ἐγέννησε τὸν Ναασσών· καὶ Ναασσὼν ἐγέννησε τὸν Σαλμών.

5 Καὶ Σαλμὼν ἐγέννησε τὸν Βοὸζ ἀπὸ τὴν Ῥαχάβ· καὶ Βοὸζ ἐγέννησε τὸν Ὠβὴδ ἀπὸ τὴν Ῥούθ· καὶ Ὠβὴδ ἐγέννησε τὸν Ἰεσσαί.

6 Καὶ Ἰεσσαὶ ἐγέννησε Δαβὶδ τὸν βασιλέα· καὶ Δαβὶδ ὁ βασιλεὺς ἐγέννησε τὸν Σολομῶντα ἀπὸ τὴν γυναῖκα τοῦ Οὐρίου.

7 Καὶ ὁ Σολομὼν ἐγέννησε τὸν Ῥοβοάμ· καὶ Ῥοβοὰμ ἐγέννησε τὸν Ἀβιά· καὶ Ἀβιὰ ἐγέννησε τὸν Ἀσά.

8 Καὶ Ἀσὰ ἐγέννησε τὸν Ἰωσαφάτ. καὶ Ἰωσαφὰτ ἐγέννη-

Ἰωράμ· Ἰωρὰμ δὲ ἐγέννησε τὸν
Ὀζίαν.
9 Ὀζίας δὲ ἐγέννησε τὸν
Ἰωάθαμ· Ἰωάθαμ δὲ ἐγέννησε
τὸν Ἄχαζ· Ἄχαζ δὲ ἐγέννησε
τὸν Ἐζεκίαν.
10 Ἐζεκίας δὲ ἐγέννησε τὸν
Μανασσῆ· Μανασσῆς δὲ ἐγέν-
νησε τὸν Ἀμών· Ἀμὼν δὲ ἐγέν-
νησε τὸν Ἰωσίαν.
11 Ἰωσίας δὲ ἐγέννησε τὸν
Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς
αὐτοῦ, ἐπὶ τῆς μετοικεσίας
Βαβυλῶνος.
12 Μετὰ δὲ τὴν μετοικεσί-
αν Βαβυλῶνος, Ἰεχονίας ἐγέν-
νησε τὸν Σαλαθιήλ· Σαλαθιὴλ
δὲ ἐγέννησε τὸν Ζοροβάβελ.
13 Ζοροβάβελ δὲ ἐγέννησε
τὸν Ἀβιούδ· Ἀβιοὺδ δὲ ἐγέν-
νησε τὸν Ἐλιακείμ· Ἐλιακεὶμ
δὲ ἐγέννησε τὸν Ἀζώρ.
14 Ἀζὼρ δὲ ἐγέννησε τὸν
Σαδώκ. Σαδὼκ δὲ ἐγέννησε τὸν
Ἀχείμ· Ἀχεὶμ δὲ ἐγέννησε
τὸν Ἐλιούδ.
15 Ἐλιοὺδ δὲ ἐγέννησε τὸν
Ἐλεάζαρ· Ἐλεάζαρ δὲ ἐγέν-
νησε τὸν Ματθάν· Ματθὰν δὲ
ἐγέννησε τὸν Ἰακώβ.
16 Ἰακὼβ δὲ ἐγέννησε τὸν
Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ
ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος
Χριστός.
17 Πᾶσαι οὖν αἱ γενεαὶ
ἀπὸ Ἀβραὰμ ἕως Δαβίδ,

σε τὸν Ἰωράμ· καὶ Ἰωρὰμ
ἐγέννησε τὸν Ὀζίαν.
9 Καὶ Ὀζίας ἐγέννησε τὸν
Ἰωάθαμ· καὶ Ἰωάθαμ ἐγέν-
νησε τὸν Ἄχαζ· καὶ Ἄχαζ
ἐγέννησε τὸν Ἐζεκίαν.
10 Καὶ Ἐζεκίας ἐγέννησε
τὸν Μανασσῆν· καὶ Μανασσῆς
ἐγέννησε τὸν Ἀμών· καὶ Ἀ-
μὼν ἐγέννησε τὸν Ἰωσίαν.
11 Καὶ Ἰωσίας ἐγέννησε
τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς
του, εἰς τὸν μετατοπισμὸν τῆς
Βαβυλῶνος.
12 Καὶ ὕστερα ἀπὸ τὴν
μετατόπισιν τῆς Βαβυλῶνος,
ὁ Ἰεχονίας ἐγέννησε τὸν Σαλα-
θιήλ· καὶ Σαλαθιὴλ ἐγέννησε
τὸν Ζοροβάβελ.
13 Καὶ Ζοροβάβελ ἐγέν-
νησε τὸν Ἀβιούδ· καὶ Ἀβιοὺδ
ἐγέννησε τὸν Ἐλιακείμ· καὶ
Ἐλιακεὶμ ἐγέννησε τὸν Ἀζώρ.
14 Καὶ Ἀζὼρ ἐγέννησε τὸν
Σαδώκ· καὶ Σαδὼκ ἐγέννησε
τὸν Ἀχείμ· καὶ Ἀχεὶμ ἐγέν-
νησε τὸν Ἐλιούδ.
15 Καὶ Ἐλιοὺδ ἐγέννησε
τὸν Ἐλεάζαρ· καὶ Ἐλεάζαρ
ἐγέννησε τὸν Ματθάν· καὶ
Ματθὰν ἐγέννησε τὸν Ἰακώβ.
16 Καὶ Ἰακὼβ ἐγέννησε
τὸν Ἰωσὴφ τὸν ἄνδρα τῆς Μα-
ρίας, ἀπὸ τὴν ὁποῖαν ἐγεννήθη
Ἰησοῦς ὁ λεγόμενος Χριστός.
17 Ὅλαις λοιπὸν ἡ γενεαῖς ἀπὸ
τοῦ Ἀβραὰμ ἕως τοῦ Δαβίδ,

γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ
Δαβὶδ ἕως τῆς μετοικεσίας
Βαβυλῶνος, γενεαὶ δεκατέσ-
σαρες· καὶ ἀπὸ τῆς μετοικεσίας
Βαβυλῶνος ἕως τοῦ Χριστοῦ
γενεαὶ δεκατέσσαρες.

18 Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ
γέννησις οὕτως ἦν. Μνηστευθείσης
γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας
τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν
αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα
ἐκ πνεύματος ἁγίου.

19 Ἰωσὴφ δὲ ἀνὴρ αὐτῆς,
δίκαιος ὢν, καὶ μὴ θέλων αὐ-
τὴν παραδειγματίσαι, ἐβουλή-
θη λάθρα ἀπολῦσαι αὐτήν.
20 Ταῦτα δὲ αὐτοῦ ἐνθυ-
μηθέντος, ἰδοὺ, ἄγγελος Κυ-
ρίου κατ᾽ ὄναρ ἐφάνη αὐτῷ,
λέγων· Ἰωσὴφ υἱὸς Δαβὶδ, μὴ
φοβηθῇς παραλαβεῖν Μαρι-
ὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν
αὐτῇ γεννηθὲν ἐκ πνεύματός
ἐστιν ἁγίου.

21 Τέξεται δὲ υἱὸν, καὶ
καλέσεις τὸ ὄνομα αὐτοῦ ΙΗ-
ΣΟΥ͂Ν· αὐτὸς γὰρ σώσει τὸν
λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρ-
τιῶν αὐτῶν.
22 (Τοῦτο δὲ ὅλον γέγονεν,
ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ
Κυρίου διὰ τοῦ προφήτου, λέ-
γοντος·
23 Ἰδοὺ, ἡ παρθένος ἐν
γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν,
καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ

εἶναι δεκατέσσαρες γενεαῖς·
καὶ ἀπὸ τοῦ Δαβὶδ ἕως τοῦ με-
τατοπισμοῦ τῆς Βαβυλῶνος,
εἶναι δεκατέσσαρες γενεαῖς·
καὶ ἀπὸ τοῦ μετατοπισμοῦ τῆς
Βαβυλῶνος ἕως τοῦ Χριστοῦ,
εἶναι δεκατέσσαρες γενεαῖς.
18 Καὶ ἡ γέννησις τοῦ Ἰησοῦ
Χριστοῦ τέτοιας λογῆς ἐγίνηκεν.
ἐπειδὴ ἡ μητέρα του ἡ Μαρία
ἀῤῥαβωνιάσθη τὸν Ἰωσὴφ, πρὸ
τοῦ νὰ ἔλθουν μαζὺ, εὑρέθη ἐγ-
γαστρωμένη ἀπὸ πνεῦμα ἅ-
γιον.
19 Καὶ ὁ Ἰωσὴφ ὁ ἄνδρας
της, μὲ τὸ νὰ εἶναι δίκαιος, μὴ
θέλωντας νὰ τὴν φανερώσῃ,
ἠθέλησε κρυφὰ νὰ τὴν ἀφήσῃ.
20 Καὶ ἐτοῦτα αὐτὸς ἔχων-
τας εἰς τὸν νοῦν του, παρευθὺς
ἄγγελος κυρίου τοῦ ἐφάνη εἰς τὸ
ὄνειρόν του, καὶ λέγει του· Ἰωσὴφ
υἱὲ τοῦ Δαβὶδ, μὴ φοβηθῇς νὰ
πάρῃς τὴν Μαριὰμ τὴν γυναῖ-
κά σου· διατὶ ἐκεῖνο, ὁποῦ
ἐσυλλήφθη εἰς αὐτὴν, εἶναι
ἀπὸ τὸ πνεῦμα τὸ ἅγιον.
21 Καὶ θέλει γεννήσει υἱὸν,
καὶ θέλεις τὸν ὀνομάσει Ἰησοῦν·
διατὶ αὐτὸς θέλει σώσει τὸν
λαόν του ἀπὸ τὰς ἁμαρτίας
του.
22 Καὶ τοῦτο ὅλον ἔγινε,
διὰ νὰ τελειωθῇ ἐκεῖνο ὁποῦ
ἐλαλήθη ὑπὸ τοῦ κυρίου διὰ
μέσου τοῦ προφήτου, λέγοντας·
23 Ὅτι, νὰ, ἡ παρθένος θέ-
λει ἐγγαστρωθῇ, καὶ θέλει γεννή-
σει υἱὸν, καὶ θέλουσι καλέσει τὸ

ʼΕΜΜΑΝΟΥΗΛ· ὅ ἐςι μεθερμηνευόμενον, μεθʼ ἡμῶν ὁ Θεός.)
24 Διεγερθεὶς δὲ ὁ ʼΙωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίȣ, καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ.
25 Καὶ οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ʼΙΗΣΟΥΝ.

ὄνομά τȣ ʼΕμμανȣὴλ· τὸ ὁποῖον ἑρμηνεύεται, μετʼ ἐμᾶς ὁ Θεός.
24 Καὶ ὁ ʼΙωσὴφ σηκωνόμενος ἀπὸ τὸν ὕπνον, ἔκαμε καθὼς τὸν ἐπρόςαξεν ὁ ἄγγελος κυρίȣ, καὶ ἐπῆρε τὴν γυναῖκά τȣ.
25 Καὶ δὲν τὴν ἐγνώριζεν ἕως ὁπȣ̃ ἐγέννησε τὸν υἱόν της τὸν πρωτότοκον, καὶ ἐκάλεσε τὸ ὄνομά τȣ ʼΙησοῦν.

Κεφ. β΄. 2.

ΤΟΥ̃ δὲ ʼΙησȣ̃ γεννηθέντος ἐν Βηθλεὲμ τῆς ʼΙȣδαίας, ἐν ἡμέραις Ἡρώδȣ τȣ̃ βασιλέως, ἰδȣ̀, μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα, λέγοντες·
2 Πȣ̃ ἐςιν ὁ τεχθεὶς βασιλεὺς τῶν ʼΙȣδαίων; εἴδομεν γὰρ αὐτȣ̃ τὸν ἀςέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ.
3 ʼΑκȣ́σας δὲ Ἡρώδης ὁ βασιλεὺς ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα μετʼ αὐτȣ̃.
4 Καὶ συναγαγὼν πάντας τȣ̀ς ʼΑρχιερεῖς καὶ Γραμματεῖς τȣ̃ λαȣ̃, ἐπυνθάνετο παρʼ αὐτῶν, ποῦ ὁ Χριςὸς γεννᾶται.
5 Οἱ δὲ εἶπον αὐτῷ· ʼΕν Βηθλεὲμ τῆς ʼΙȣδαίας· ȣ̈τω γὰρ γέγραπται διὰ τȣ̃ προφήτȣ·

ΚΑΙ΄ ὡσὰν ἐγεννήθη ὁ ʼΙησοῦς εἰς τὴν Βηθλεὲμ τῆς ʼΙȣδαίας εἰς ταῖς ἡμέραις Ἡρώδȣ τοῦ βασιλέως, νὰ, καὶ ἦλθαν μάγοι ἀπὸ τὴν ἀνατολὴν εἰς τὰ Ἱεροσόλυμα, λέγοντες·
2 Πȣ̃ εἶναι ὁ βασιλεὺς τῶν ʼΙȣδαίων, ὁπȣ̃ ἐγεννήθη; διατὶ ἐμεῖς εἴδαμεν τὸν ἀςέρα τȣ εἰς τὴν ἀνατολὴν, καὶ ἤλθαμεν νὰ τὸν προσκυνήσωμεν.
3 Καὶ ὁ βασιλεὺς Ἡρώδης, ὡσὰν τὸ ἄκȣσεν, ἐσυγχίσθη, καὶ ὅλα τὰ Ἱεροσόλυμα μαζὺ μεταυτόν.
4 Καὶ μαζώνωντας ὅλȣς τȣ̀ς ἀρχιερεῖς καὶ τȣ̀ς γραμματεῖς τȣ̃ λαȣ̃, τȣ̀ς ἐρώτα, πȣ̃ γεννᾶται ὁ Χριςός.
5 Καὶ ἐκεῖνοι τοῦ εἶπαν· εἰς τὴν Βηθλεὲμ τῆς ʼΙȣδαίας· διατὶ ἔτζι ἐγράφη διὰ μέσȣ τȣ̃ προφήτȣ·

6 Καὶ σὺ Βηθλεὲμ, γῆ Ἰȣ́δα, ȣ̓δαμῶς ἐλαχίϛη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰȣ́δα· ἐκ σȣ̃ γὰρ ἐξελεύσεται ἡγȣ́μενος, ὅςτις ποιμανεῖ τὸν λαόν μȣ τὸν Ἰσραήλ.

7 Τότε Ἡρώδης λάθρα καλέσας τȣ̀ς μάγους, ἠκρίβωσε παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένȣ ἀϛέρος.

8 Καὶ πέμψας αὐτȣ̀ς εἰς Βηθλεὲμ, εἶπε· Πορευθέντες ἀκριβῶς ἐξετάσατε περὶ τȣ̃ παιδίȣ· ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ.

9 Οἱ δὲ ἀκȣ́σαντες τȣ̃ βασιλέως, ἐπορεύθησαν· καὶ ἰδȣ̀, ὁ ἀϛὴρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτȣ̀ς, ἕως ἐλθὼν ἔϛη ἐπάνω ȣ̃ ἦν τὸ παιδίον.

10 Ἰδόντες δὲ τὸν ἀϛέρα, ἐχάρησαν χαρὰν μεγάλην σφόδρα.

11 Καὶ ἐλθόντες εἰς τὴν οἰκίαν, εὗρον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτȣ̃· καὶ πεσόντες προσεκύνησαν αὐτῷ· καὶ ἀνοίξαντες τȣ̀ς θεσαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν.

6 Καὶ σὺ Βηθλεὲμ γῆ τȣ̃ Ἰȣ́δα, καθόλȣ δὲν εἶσαι μικρότατη ἀνάμεσον εἰς τȣ̀ς ἡγεμόνας τȣ̃ Ἰȣ́δα· Διατί ἀπὸ σένα θέλει εὔγει ἡγȣ́μενος, ὁ ὁποῖος θέλει ποιμάνει τὸν λαόν μȣ τὸν Ἰσραήλ.

7 Τότε ὁ Ἡρώδης κράζωντας κρυφᾶ τȣ̀ς μάγȣς, ἐξέταξεν ἀκριβᾶ ἀπ' αὐτȣ̀ς τὸν καιρὸν τȣ̃ ἀϛέρος ἐκείνȣ, ὁπȣ̃ ἐχάνη.

8 Καὶ πέμπωντάς τȣς εἰς τὴν Βηθλεὲμ, τȣ̀ς εἶπε· σύρτε καὶ ἐξετάξετε καταλεπτῶς διὰ τὸ παιδίον· καὶ ὡσὰν τὸ εὕρῆτε, δότε μȣ εἴδησιν, διὰ νὰ ὑπάγω καὶ ἐγὼ, νὰ τὸ προσκυνήσω.

9 Καὶ ἐκεῖνοι, ὡσὰν ἤκȣσαν τὰ λόγια τοῦ βασιλέως, ἐδιέβησαν. καὶ νὰ, πάλιν ὁ ἀϛέρας, ὁπȣ̃ εἶδαν εἰς τὴν ἀνατολὴν, καὶ ἐπήγενεν ὀμπροϛᾶ των, ἕως ὁπȣ̃ ἦλθε, καὶ ἐϛάθη ἐκεῖ, ὁπȣ̃ ἦτον τὸ παιδίον.

10 Καὶ ὡσὰν εἶδαν οἱ μάγοι τὸν ἀϛέρα, ἐχάρησαν χαρὰν μεγάλην καλὰ πολλᾶ.

11 Καὶ ἔϛοντας νὰ ἔλθȣ̃σιν εἰς τὸ σπῆτι, εὕρῆκαν τὸ παιδίον μαζὺ μὲ τὴν Μαρίαν τὴν μάνα τȣ· καὶ ἔπεσαν καὶ τὸ ἐπροσκύνησαν· καὶ ἀνοίξαντες τȣ̀ς θησαυρȣ̀ς των, τοῦ ἔφεραν χαρίσματα, χρυσάφι, καὶ λίβανον, καὶ σμύρναν.

12 Καὶ χρηματισθέντες κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.

13 Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδȣ̀, ἄγγελος Κυρίȣ φαίνεται κατ' ὄναρ τῷ Ἰωσὴφ, λέγων· Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτȣ̃, καὶ φεῦγε εἰς Αἴγυπτον· καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι· μέλλει γὰρ Ἡρώδης ζητεῖν τὸ παιδίον, τȣ̃ ἀπολέσαι αὐτό.

14 Ὁ δὲ ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτȣ̃ νυκτὸς, καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον·

15 Καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρώδȣ· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τȣ̃ Κυρίου διὰ τοῦ προφήτȣ, λέγοντος· Ἐξ Αἰγύπτȣ ἐκάλεσα τὸν υἱόν μȣ.

16 Τότε Ἡρώδης ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν· καὶ ἀποστείλας ἀνεῖλε πάντας τȣ̀ς παῖδας τοὺς ἐν Βηθλεὲμ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετȣ̃ς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων.

17 Τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ Ἱερεμίȣ τοῦ προφήτȣ, λέγοντος·

12 Καὶ ἔστοντας νὰ τȣ̀ς ἀποκαλυφθῇ εἰς τὸ ὄνειρόν τȣς νὰ μὴν μεταγυρίσȣν εἰς τὸν Ἡρώδην, ἀπὸ ἄλλην στράταν ἀνεχώρησαν εἰς τὸν τόπον τȣς.

13 Καὶ ὡσὰν ἀνεχώρησαν αὐτοὶ, παρευθὺς ἄγγελος Κυρίȣ ἐφάνη τοῦ Ἰωσὴφ εἰς τὸ ὄνειρόν τȣ, καὶ λέγει τȣ· σηκώσȣ, καὶ ἔπαρε τὸ παιδίον καὶ τὴν μάνα τȣ, καὶ φεῦγε εἰς τὴν Αἴγυπτον· καὶ ἂς εἶσαι ἐκεῖ, ἕως ὁπȣ̃ νὰ σȣ̃ εἰπῶ· Διατὶ μέλλει ὁ Ἡρώδης νὰ ζητήσῃ τὸ παιδίον, νὰ τὸ χαλάσῃ.

14 Καὶ ὁ Ἰωσὴφ ἐσηκώθηκεν καὶ ἐπῆρε τὸ παιδίον καὶ τήν μάνα τȣ τὴν νύκτα, καὶ ἀνεχώρησεν εἰς τὴν Αἴγυπτον.

15 Καὶ ἦτον ἐκεῖ ἕως εἰς τὸν θάνατον τοῦ Ἡρώδȣ· Διὰ νὰ πληρωθῇ ἐκεῖνο ὁπȣ̃ ἐλαλήθη ἀπὸ τὸν Κύριον διὰ μέσȣ τȣ̃ προφήτȣ, ὁπȣ̃ λέγει. ἀπὸ τὴν Αἴγυπτον ἐκάλεσα τὸν υἱόν μȣ.

16 Τότε βλέποντας ὁ Ἡρώδης, πῶς ἐπεριγελάσθη ἀπὸ τȣ̀ς μάγȣς, ἐθυμώθη κατὰ πολλά· καὶ ἔστειλεν ἀνθρώπȣς, καὶ ἐφόνευσεν ὅλα τὰ παιδία, ὁπȣ̃ ἦταν εἰς τὴν Βηθλεὲμ, καὶ εἰς ὅλα της τὰ σύνορα ἀπὸ δύο χρονῶν καὶ κάτω, κατὰ τὸν καιρὸν ὁπȣ̃ ἐβεβαιώθηκεν καταλεπτῶς ἀπο τοὺς μάγȣς.

17 Τότε ἐτελειώθη ἐκεῖνο, ὁπȣ̃ ἐλαλήθη ἀπὸ τὸν Ἱερεμίαν τον προφήτην, ὁπȣ̃ λέγει·

18 Φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολύς, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς· καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί.

19 Τελευτήσαντος δὲ τοῦ Ἡρώδου, ἰδοὺ ἄγγελος Κυρίου κατ᾿ ὄναρ φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ,

20 Λέγων· Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ· τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου.

21 Ὁ δὲ ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ ἦλθεν εἰς γῆν Ἰσραήλ.

22 Ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει ἐπὶ τῆς Ἰουδαίας ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν· χρηματισθεὶς δὲ κατ᾿ ὄναρ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας.

23 Καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρέτ· ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν, ὅτι Ναζωραῖος κληθήσεται.

18 Φωνὴ ἀκούσθη εἰς τὴν Ῥαμᾶ, πολὺς θρῆνος καὶ πολλὰ κλάμματα, καὶ πολλοὶ ἀναστεναγμοὶ, ὁποῦ ἔκλαιεν ἡ Ραχὴλ τὰ παιδιά της· καὶ δὲν ἤθελε νὰ παρηγορηθῇ, διατὶ δὲν εἶναι πλέον.

19 Καὶ ὡσὰν ἀπέθανεν ὁ Ἡρώδης, παρευθὺς ἄγγελος Κυρίου ἐφάνη τοῦ Ἰωσὴφ εἰς τὸ ὄνειρόν του εἰς τὴν Αἴγυπτον,

20 Λέγοντας· σηκώσου καὶ ἔπαρε τὸ παιδίον καὶ τὴν μάνα του, καὶ ὕπαγε εἰς τὴν γῆν τοῦ Ἰσραήλ· διατὶ ἐκεῖνοι, ὁποῦ ἐγύρευαν νὰ πάρουν τὴν ζωὴν τοῦ παιδίου, ἀπέθαναν.

21 Καὶ ὁ Ἰωσὴφ ἐσηκώθηκε, καὶ ἐπῆρε τὸ παιδίον καὶ τὴν μάνα του, καὶ ἐπῆγεν εἰς τὴν γῆν τοῦ Ἰσραήλ.

22 Ἀμὴ ὡσὰν ἔμαθεν, ὅτι Ἀρχέλαος βασιλεύει εἰς τὴν Ἰουδαίαν, ἀντὶς διὰ τὸν Ἡρώδην τὸν πατέρα του, ἐφοβήθη νὰ ὑπάγῃ ἐκεῖ· καὶ ἔστοντας νὰ τοῦ ἀποκαλυφθῇ εἰς τὸ ὄνειρόν του, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας.

23 Καὶ πηγαίνοντας ἐκατοίκησεν εἰς τὴν πόλιν, ὁποῦ λέγεται Ναζαρέτ· διὰ νὰ τελειωθῇ ἐκεῖνο, ὁποῦ εἶπαν οἱ προφῆται, ὅτι θέλει καλεσθῇ Ναζωραῖος.

Κεφ. γ'. 3.

ἘΝ δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτιςὴς, κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας,

2 Καὶ λέγων Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

3 Οὗτος γάρ ἐςιν ὁ ῥηθεὶς ὑπὸ Ἡσαΐου τοῦ προφήτου, λέγοντος· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.

4 Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφῦν αὐτοῦ· ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες καὶ μέλι ἄγριον.

5 Τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα, καὶ πᾶσα ἡ Ἰουδαία, καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου·

6 Καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

7 Ἰδὼν δὲ πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς· Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;

8 Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας.

ΚΑΙ εἰς ἐκείναις ταῖς ἡμέραις ἔρχεται ὁ Ἰωάννης ὁ βαπτιςὴς, κηρύττωντας εἰς τὴν ἔρημον τῆς Ἰουδαίας,

2 Καὶ λέγωντας· μετανοεῖτε· ὅτι ἐσήμωσεν ἡ βασιλεία τῶν οὐρανῶν.

3 Ἐτοῦτος εἶναι ἐκεῖνος, ὁποῦ ἐλαλήθη ἀπὸ τὸν Ἡσαΐαν τὸν προφήτην, λέγωντα· φωνὴ ἐκείνου, ὁποῦ βοᾷ μέσα εἰς τὴν ἔρημον· ἑτοιμάσετε τὴν ςράτα τοῦ κυρίου, κάμετε ἴσους τοὺς δρόμους του.

4 Καὶ ἐτοῦτος ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμά του ἀπὸ μαλλὶ τῆς καμήλας, καὶ μὲ ζωνάρι δερματένιον ἦταν ζωσμένος· καὶ τὸ φαγί του ἦταν ἀκρίδες καὶ μέλι ἄγριον.

5 Τότε ἐπήγενεν ἔξω ἡ Ἱερουσαλὴμ εἰς αὐτὸν, καὶ ὅλη ἡ Ἰουδαία, καὶ ὅλα τὰ περίχωρα τοῦ Ἰορδάνου.

6 Καὶ ἐβαπτίζουνταν εἰς τὸν Ἰορδάνην ἀπ' αὐτὸν, ἐξομολογούμενοι ταῖς ἁμαρτίαις τους.

7 Καὶ ὡσὰν εἶδε πολλοὺς ἀπὸ τοὺς Φαρισαίους καὶ ἀπὸ τοὺς Σαδδουκαίους, ὁποῦ ἔρχουνταν εἰς τὸ βάπτισμά του, τοὺς ἔλεγε· γεννήματα τῶν ὀχένδρων, τίς σᾶς ἐδίδαξε, νὰ φύγετε ἀπὸ τὴν ὀργὴν, ὁποῦ μέλλει νὰ ἔλθῃ;

8 Κάμετε λοιπὸν καρποὺς ἀξίους τῆς μετανοίας.

9 Καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς· Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.

10 Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.

11 Ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι. αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί.

12 Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ.

13 Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ᾽ αὐτοῦ.

14 Ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν, λέγων· Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;

15 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· Ἄφες ἄρτι·

9 Καὶ μὴν σᾶς φαίνεται νὰ λέγετε μέσα σας· ἐμεῖς ἔχομεν πατέρα τὸν Ἀβραάμ· διατὶ σᾶς λέγω, ὅτι ὁ Θεὸς δύνεται καὶ ἀπὸ ταῖς πέτραις ἐτούταις νὰ σηκώσῃ παιδία εἰς τὸν Ἀβραάμ.

10 Καὶ νὰ, καὶ τὸ πελέκι εἰς τὴν ῥίζαν τοῦ δένδρου κεῖται· κάθε δένδρον λοιπὸν, ὁποῦ δὲν κάμνει καλὸν καρπὸν, κόπτεται καὶ βάλλεται εἰς τὴν φωτίαν.

11 Ἐγὼ σᾶς βαπτίζω μὲ τὸ νερὸ εἰς μετάνοιαν· ἀμὴ ἐκεῖνος, ὁποῦ ἔρχεται καταπόδι μου, εἶναι δυνατώτερός μου, τοῦ ὁποίου ἐγὼ δὲν εἶμαι ἄξιος νὰ σηκώσω τὰ ὑποδήματά του· αὐτὸς θέλει σᾶς βαπτίσει μὲ πνεῦμα ἅγιον καὶ μὲ φωτίαν.

12 Εἰς τοῦ ὁποίου τὸ χέρι εἶναι τὸ φτυάρι, καὶ θέλει καθαρίσει τὸ ἁλώνι του, καὶ θέλει μαζώξει τὸ σιτάρι του εἰς τὸ ἀμπάρι του, ἀμὴ τὸ ἄχυρον θέλει τὸ κατακαύσει μὲ φωτίαν, ὁποῦ δὲν σβεῖ ποτέ.

13 Τότε ἔρχεται ὁ Ἰησοῦς ἀπὸ τὴν Γαλιλαίαν εἰς τὸν Ἰορδάνην εἰς τὸν Ἰωάννην, νὰ βαπτισθῇ ἀπ᾽ αὐτόν.

14 Ἀμὴ ὁ Ἰωάννης τὸν ἐμπόδιζε λέγωντας· ἐγὼ ἔχω χρείαν νὰ βαπτισθῶ ἀπὸ σένα, καὶ σὺ ἔρχεσαι εἰς ἐμένα;

15 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ λέγει του· τώρα ἄφησε· διατὶ

οὕτω γὰρ πρέπον ἐςὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. Τότε ἀφίησιν αὐτόν.

16 Καὶ βαπτισθεὶς ὁ Ἰησοῦς ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ, ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοὶ, καὶ εἶδε τὸ πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡσεὶ περιςερὰν, καὶ ἐρχόμενον ἐπ᾽ αὐτόν.

17 Καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν, λέγουσα. Οὗτός ἐςιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα.

ἔτζι πρέπει ἐμᾶς, νὰ τελειώσωμεν κάθε λογῆς δικαιοσύνην. τότε τὸν ἄφησεν.

16 Καὶ ἀφόντις ἐβαπτίσθη ὁ Ἰησοῦς, εὐθὺς ἀνέβη ἀπὸ τὸ νερό· καὶ νὰ, καὶ τοῦ ἀνοίχθησαν οἱ οὐρανοὶ, καὶ εἶδε τὸ πνεῦμα τοῦ Θεοῦ, ὁποῦ ἐκατέβαινεν ὡσὰν περιςέρι, καὶ ἤρχετον ἀπάνω του.

17 Καὶ εὐθὺς φωνὴ ἀκούσθη ἀπὸ τοὺς οὐρανοὺς, ὁποῦ ἔλεγεν· ἐτοῦτος εἶναι ὁ υἱός μου ὁ ἠγαπημένος, εἰς τὸν ὁποῖον ἀναπαύθηκα.

Κεφ. δ'. 4.

ΤΟ'τε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου.

2 Καὶ νηςεύσας ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα, ὕςερον ἐπείνασε.

3 Καὶ προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.

4 Ὁ δὲ ἀποκριθεὶς, εἶπε· γέγραπται. Οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ ςόματος Θεοῦ.

5 Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν, καὶ ἵςησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ.

ΤΟ'τε ὁ Ἰησοῦς ἐφέρθη ὑπὸ τοῦ πνεύματος εἰς τὴν ἔρημον, διὰ νὰ πειραχθῇ ἀπὸ τὸν διάβολον.

2 Καὶ ἔςοντας νὰ νηςεύσῃ Ϛαράντα ἡμέραις καὶ σαράντα νύκταις, ὕςερον ἐπείνασε.

3 Καὶ πηγένοντας σιμά του ὁ πειράζων, τοῦ λέγει· ἂν εἶσαι υἱὸς τοῦ Θεοῦ, εἰπὲ διὰ νὰ γένουν ἐτούταις ἡ πέτραις ψωμία.

4 Καὶ ὁ Ἰησοῦς τοῦ ἀπεκρίθη· εἶναι γεγραμμένον· ὄχι μόνον μὲ ψωμὶ νὰ ζῇ ὁ ἄνθρωπος, ἀλλὰ μὲ κάθε λόγον, ὁποῦ εὐγένει ἀπὸ τὸ ςόμα τοῦ Θεοῦ.

5 Τότε τὸν ἐπῆρεν ὁ διάβολος, καὶ ἐπῆγέν τον εἰς τὴν ἁγίαν πόλιν, καὶ τὸν ἔςησεν εἰς τὴν ἄκρην τοῦ ἱεροῦ.

6 Καὶ λέγει αὐτῷ· Εἰ
υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυ-
τὸν κάτω· γέγραπται γάρ·
Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐν-
τελεῖται περὶ σοῦ, καὶ ἐπὶ
χειρῶν ἀροῦσί σε, μήποτε
προσκόψῃς πρός λίθον τὸν
πόδα σου.
7 Ἔφη αὐτῷ ὁ Ἰησοῦς·
πάλιν γέγραπται· Οὐκ
ἐκπειράσεις Κύριον τὸν Θεόν
σου.
8 Πάλιν παραλαμβάνει
αὐτὸν ὁ διάβολος εἰς ὄρος
ὑψηλὸν, λίαν, καὶ δείκνυσιν
αὐτῷ πάσας τὰς βασιλείας
τοῦ κόσμου καὶ τὴν δόξαν αὐτῶν.
9 Καὶ λέγει αὐτῷ· Ταῦτα
πάντα σοι δώσω, ἐὰν πεσὼν
προσκυνήσῃς μοι.
10 Τότε λέγει αὐτῷ ὁ Ἰη-
σοῦς· Ὕπαγε σατανᾶ· γέγραπ-
ται γάρ· Κύριον τὸν Θεόν σου
προσκυνήσεις, καὶ αὐτῷ μόνῳ
λατρεύσεις.

11 Τότε ἀφίησιν αὐτὸν ὁ
διάβολος· καὶ ἰδοὺ, ἄγγελοι
προσῆλθον, καὶ διηκόνουν αὐτῷ.
12 Ἀκούσας δὲ ὁ Ἰησοῦς,
ὅτι Ἰωάννης παρεδόθη, ἀνε-
χώρησεν εἰς τὴν Γαλιλαίαν.
13 Καὶ καταλιπὼν τὴν Να-
ζαρὲτ, ἐλθὼν κατῴκησεν εἰς
Καπερναοὺμ τὴν παραθαλασ-
σίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ
Νεφθαλείμ·

6 Καὶ λέγει του· ἂν εἶσαι
υἱὸς τοῦ Θεοῦ, ῥίξε τοῦ λόγου σου
κάτω· διατὶ εἶναι γραμμένον·
ὅτι θέλει προστάξει τοὺς ἀγγέ-
λους του διὰ λόγου σου, καὶ θέλουν
σὲ σηκώσει ἀπάνω εἰς τὰ χέ-
ρια τους, νὰ μὴν σκοντάψῃς
ποτὲ εἰς πέτραν τὸ ποδάρι σου.
7 Λέγει του ὁ Ἰησοῦς· πάλιν
γραμμένον εἶναι καὶ ἐτοῦτο·
ὅτι τὸν Αὐθέντην τὸν Θεόν σου
νὰ μὴν δοκιμάσῃς.
8 Πάλιν πέρνει τον ὁ διά-
βολος, καὶ ἀναβάζει τον εἰς ἕνα
ὄρος πολλὰ ὑψηλὸν, καὶ δείχ-
νει του ὅλαις βασιλείαις τοῦ
κόσμου καὶ τὴν δόξαν τους.
9 Καὶ λέγει του· ἐτοῦτα ὅλα
θέλω σοῦ τὰ δώσει, ἂν πέσῃς
νὰ μὲ προσκυνήσῃς.
10 Τότε τοῦ λέγει ὁ Ἰησοῦς·
ὕπαγε ὀπίσω μου Σατανᾶ· δια-
τὶ εἶναι γραμμένον· ὅτι τὸν
Αὐθέντην τὸν Θεόν σου θέλεις
προσκυνήσει, καὶ αὐτὸν μόνον
θέλεις λατρεύσει.
11 Τότε τὸν ἄφησεν ὁ διά-
βολος· καὶ παρευθὺς ἦλθασιν
ἄγγελοι καὶ τὸν ὑπηρετοῦσαν.
12 Καὶ ὡσὰν ἤκουσεν ὁ Ἰη-
σοῦς, ὅτι ὁ Ἰωάννης ἐπαρεδόθη,
ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν.
13 Καὶ ἀφίνωντας τὴν Να-
ζαρὲτ, ἦλθε καὶ ἐκατοίκησεν εἰς
τὴν Καπερναοὺμ τὴν παραθα-
λασσίαν, εἰς τὰ σύνορα τῆς
Ζαβουλὼν καὶ τῆς Νεφθαλείμ.

14 Ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος·

15 Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλεὶμ, ὁδὸν θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν·

16 Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, εἶδε φῶς μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς.

17 Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν, καὶ λέγειν· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

18 Περιπατῶν δὲ ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφοὺς Σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· (ἦσαν γὰρ ἁλιεῖς·)

19 Καὶ λέγει αὐτοῖς· Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων.

20 Οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ.

21 Καὶ προβὰς ἐκεῖθεν, εἶδεν ἄλλους δύο ἀδελφοὺς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν, καταρτί-

14 Διὰ νὰ πληρωθῇ ἐκεῖνο, ὁποῦ εἶπεν ὁ Θεὸς διὰ μέσου τοῦ προφήτου Ἡσαΐου, ὁποῦ λέγει·

15 Γῆ τοῦ Ζαβουλὼν καὶ γῆ τοῦ Νεφθαλείμ, στράτα τῆς θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν.

16 Ὁ λαὸς, ὁποῦ ἐκάθουνταν εἰς τὸ σκότος, εἶδε φῶς μέγα, καὶ ἐκεῖνοι, ὁποῦ ἐκάθουνταν εἰς τὸν τόπον καὶ εἰς τὴν σκιὰν τοῦ θανάτου, τὸ φῶς ἔφαιξεν εἰς αὐτούς.

17 Καὶ ἀπὸ τότε ἄρχισεν ὁ Ἰησοῦς να κηρύττῃ καὶ νὰ λέγῃ· μετανοεῖτε· ὅτι ἐσήμωσεν ἡ βασιλεία τῶν οὐρανῶν.

18 Καὶ περιπατῶντας ὁ Ἰησοῦς σιμὰ εἰς τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφοὺς, τὸν Σίμωνα, ὁποῦ λέγεται Πέτρος, καὶ τὸν Ἀνδρέαν τὸν ἀδελφόν του, ὁποῦ ἔρριχναν δίκτυα εἰς τὴν θάλασσαν· (διατὶ ἦταν ψαράδες·)

19 Καὶ λέγει τους· ἐλᾶτε ὀπίσω μου, καὶ θέλω σᾶς κάμει ψαράδες ἀνθρώπων.

20 Καὶ παρευθὺς ἐκεῖνοι ἄφησαν τὰ δίκτυα, καὶ τοῦ ἀκολουθήσασιν.

21 Καὶ παγένωντας παρακεῖθε, εἶδε ἄλλους δύο ἀδελφοὺς, τὸν Ἰάκωβον τὸν υἱὸν τοῦ Ζεβεδαίου, καὶ τὸν ἀδελφόν του τὸν Ἰωάννην, μέσα εἰς τὸ μονόξυλον μαζὺ μὲ τὸν Ζεβεδαῖον τὸν πατέρα τους,

ζοντας τὰ δίκτυα αὐτῶν· καὶ
ἐκάλεσεν αὐτούς.
22 Οἱ δὲ εὐθέως ἀφέντες τὸ
πλοῖον καὶ τὸν πατέρα αὐτῶν,
ἠκολούθησαν αὐτῷ.

23 Καὶ περιῆγεν ὅλην τὴν
Γαλιλαίαν ὁ Ἰησοῦς, διδά-
σκων ἐν ταῖς συναγωγαῖς αὐ-
τῶν, καὶ κηρύσσων τὸ εὐαγγέ-
λιον τῆς βασιλείας, καὶ θερα-
πεύων πᾶσαν νόσον καὶ πᾶσαν
μαλακίαν ἐν τῷ λαῷ.
24 Καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐ-
τοῦ εἰς ὅλην τὴν Συρίαν· καὶ
προσήνεγκαν αὐτῷ πάντας τοὺς
κακῶς ἔχοντας, ποικίλαις νό-
σοις καὶ βασάνοις συνεχομένους,
καὶ δαιμονιζομένους, καὶ σελη-
νιαζομένους, καὶ παραλυτικούς·
καὶ ἐθεράπευσεν αὐτούς.
25 Καὶ ἠκολούθησαν αὐτῷ
ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλι-
λαίας, καὶ Δεκαπόλεως καὶ
Ἱεροσολύμων καὶ Ἰουδαίας, καὶ
πέραν τοῦ Ἰορδάνου.

ὅπου ἐμπάλωναν τὰ δίκτυά τους,
καὶ τοὺς ἐκάλεσε.
22 Καὶ παρευθὺς ἐκεῖνοι
ἄφησαν καὶ τὸ μονόξυλον καὶ
τὸν πατέρα τους, καὶ τοῦ ἀκο-
λουθήσασιν.
23 Καὶ ὁ Ἰησοῦς ἐγύριζεν
ὅλην τὴν Γαλιλαίαν, διδάσκωντας
εἰς ταῖς συναγωγαῖς τους,
καὶ κηρύττωντας τὸ εὐαγγέλιον
τῆς βασιλείας, καὶ ἰατρεύων-
τας κάθε λογῆς ἀῤῥωστίαν, καὶ
κάθε ἀσθένειαν εἰς τὸν λαόν.
24 Καὶ εὐγῆκεν ἡ φήμη του
εἰς ὅλην τὴν Συρίαν· καὶ τοῦ
ἔφεραν ὅλους τοὺς ἀῤῥώστους, ὁ-
ποῦ ἐκρατοῦνταν ἀπὸ διάφοραις
ἀῤῥωστίαις καὶ βάσανα, καὶ
δαιμονισμένους, καὶ σεληνιασ-
μένους, καὶ παραλύτους· καὶ τοὺς
ἰάτρευσε.
25 Καὶ τοῦ ἀκολούθησε πολὺς
λαὸς ἀπὸ τὴν Γαλιλαίαν καὶ
ἀπὸ τὴν Δεκάπολιν καὶ ἀπὸ τὰ
Ἱεροσόλυμα καὶ ἀπὸ τὴν Ἰου-
δαίαν καὶ ἀπὸ πέραν τοῦ Ἰορ-
δάνου.

Κεφ. έ. 5.

ἸΔΩ`Ν δὲ τοὺς ὄχλους, ἀνέβη
εἰς τὸ ὄρος· καὶ καθίσαν-
τος αὐτοῦ, προσῆλθον αὐτῷ
οἱ μαθηταὶ αὐτοῦ.
2 Καὶ ἀνοίξας τὸ στόμα αὐ-
τοῦ, ἐδίδασκεν αὐτοὺς, λέγων·
3 Μακάριοι οἱ πτωχοὶ τῷ
πνεύματι· ὅτι αὐτῶν ἐστιν ἡ
βασιλεία τῶν οὐρανῶν.

ΚΑΙ` ἐκεῖνος βλέπωντας τὸν
λαὸν, ἀνέβη ἀπάνω εἰς
τὸ ὄρος· καὶ ἐκάθισε, καὶ οἱ
μαθητάδες του ἐπῆγαν σιμά του.
2 Καὶ ἀνοίγωντας τὸ στόμα
του, τοὺς ἐδίδασκε, λέγωντας·
3 Καλότυχοι ἐκεῖνοι, ὁποῦ
εἶναι πτωχοὶ εἰς τὸ πνεῦμα·
ὅτι αὐτωνῶν εἶναι ἡ βασιλεία
τῶν οὐρανῶν.

4 Μακάριοι οἱ πενθοῦντες· ὅτι αὐτοὶ παρακληθήσονται.

5 Μακάριοι οἱ πραεῖς· ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

6 Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην· ὅτι αὐτοὶ χορτασθήσονται.

7 Μακάριοι οἱ ἐλεήμονες· ὅτι αὐτοὶ ἐλεηθήσονται.

8 Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ· ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

9 Μακάριοι οἱ εἰρηνοποιοί· ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

10 Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

11 Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ.

12 Χαίρετε καὶ ἀγαλλιᾶσθε· ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν.

13 Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ βληθῆναι ἔξω,

4 Καλότυχοι ἐκεῖνοι, ὁποῦ λυποῦνται· ὅτι θέλουσι παρηγορηθῆ.

5 Καλότυχοι ἐκεῖνοι, ὁποῦ εἶναι ἥμεροι· ὅτι αὐτοὶ θέλουσι κληρονομήσει τὴν γῆν

6 Καλότυχοι ἐκεῖνοι, ὁποῦ πεινοῦσι καὶ διψοῦσι τὴν δικαιοσύνην· ὅτι αὐτοὶ θέλουσι χορτασθῆ.

7 Καλότυχοι ἐκεῖνοι, ὁποῦ εἶναι ἐλεημονητικοί· ὅτι θέλουσιν ἐλεηθῆ.

8 Καλότυχοι ἐκεῖνοι, ὁποῦ εἶναι καθαροὶ εἰς τὴν καρδίαν· ὅτι αὐτοὶ θέλουσιν εἰδῆ τὸν Θεόν.

9 Καλότυχοι ἐκεῖνοι, ὁποῦ κάμνουν εἰρήνην· ὅτι αὐτοὶ θέλουσι καλεσθῆ υἱοὶ τοῦ Θεοῦ.

10 Καλότυχοι ἐκεῖνοι, ὁποῦ διωχθοῦσι διὰ τὴν δικαιοσύνην· ὅτι αὐτωνῶν εἶναι ἡ βασιλεία, τῶν οὐρανῶν.

11 Καλότυχοι θέλετε εἶσθαι, ὅταν σᾶς ὀνειδίσουν καὶ σᾶς διώξουσι, καὶ σᾶς εἰποῦσι κάθε λογῆς κακὸν λόγον ἐναντίον σας, ψευδόμενοι, διὰ λόγου μου.

12 Χαίρεσθε καὶ εὐφραίνεσθε ὅτι ἡ πληρωμή σας εἶναι πολλὴ εἰς τοὺς οὐρανούς· Διατὶ τέτοιας λογῆς ἐδίωξαν τοὺς προφήτας, ὁποῦ ἦταν προτίτερά σας.

13 Ἐσεῖς εἶσθε τὸ ἅλας τῆς γῆς· καὶ ἐὰν τὸ ἅλας γένῃ ἀνάλατον, μὲ τί νὰ ἁλατισθῇ; πλέον δὲν ἀχρήζει τίποτες, πα-

καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων.

14 Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη.

15 Οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ.

16 Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

17 Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι.

18 Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται.

19 Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

ρὰ νὰ ῥιχθῇ ἔξω, καὶ νὰ καταπατηθῇ ἀπὸ τοὺς ἀνθρώπους.

14 Ἐσεῖς εἶσθε τὸ φῶς τοῦ κόσμου· μία πόλις, ὁποῦ εἶναι ἀπάνω εἰς ὄρος, δὲν ἠμπορεῖ νὰ κρυφθῇ.

15 Οὐδὲ ἀνάπτουσι λύχνον, καὶ τὸν βάνουσιν ἀπὸ κάτω εἰς τὸ μόδι, ἀλλὰ τὸν βάνουσιν εἰς τὸν λυχνοστάτη, καὶ φέγγει εἰς ὅλους, ὁποῦ εἶναι μέσα εἰς τὸ σπῆτι.

16 Τέτοιας λογῆς ἂς λάμψῃ τὸ φῶς σας ἔμπροσθεν εἰς τοὺς ἀνθρώπους, διὰ νὰ εἰδοῦσι τὰ καλά σας ἔργα, καὶ νὰ δοξάσουν τὸν πατέρα σας, ὁποῦ εἶναι εἰς τοὺς οὐρανούς.

17 Μὴν λογιάσετε, ὅτι ἐγὼ ἦλθα νὰ χαλάσω τὸν νόμον, ἢ τοὺς προφήτας· δὲν ἦλθα νὰ τὰ χαλάσω, ἀλλὰ νὰ τὰ τελειώσω.

18 Διατὶ βέβαια σᾶς λέγω· ἕως ὁποῦ νά παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, μία ἰῶτα ἢ μία στιγμὴ δὲν θέλει παρέλθῃ ἀπὸ τὸν νόμον, ἕως ὁποῦ νὰ τελειωθοῦσιν ὅλα.

19 Ὁποῖος λοιπὸν χαλάσῃ μίαν ἀπὸ τούταις ταῖς παραγγελίαις ταῖς πολλὰ μικραῖς, καὶ διδάξῃ τέτοιας λογῆς τοὺς ἀνθρώπους, πολλὰ μικρὸς θέλει καλεσθῇ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀμὴ ὅποιος ταῖς κάμῃ καὶ διδάξῃ, ἐτοῦτος θέλει καλεσθῇ μέγας εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

20 Λέγω γὰρ ὑμῖν, ὅτι ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

21 Ἠκούσατε, ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· Οὐ φονεύσεις· ὃς δ᾽ ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει.

22 Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ᾽ ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ῥακὰ, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ᾽ ἂν εἴπῃ μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός.

23 Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ·

24 Ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου.

25 Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ᾽ αὐτοῦ· μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτής σε παραδῷ τῷ ὑπηρέτῃ, καὶ εἰς φυλακὴν βληθήσῃ.

20 Διατὶ ἐγὼ σᾶς λέγω· ὅτι ἂν δὲν περισσεύσῃ ἡ δικαιοσύνη σας περισσότερον ἀπὸ τὴν δικαιοσύνην τῶν Γραμματέων καὶ Φαρισαίων, δὲν θέλετε ἔμβει εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

21 Ἀκούσετε, ὅτι ἐλαλήθη εἰς τοὺς παλαιοὺς νὰ μὴν φονεύσῃς· καὶ ὅποιος φονεύσῃ, θέλει εἶσθαι φταίστης εἰς τὴν κρίσιν.

22 Ἀμὴ ἐγὼ σᾶς λέγω· ὅτι κάθε ἄνθρωπος, ὅπου ὀργισθῇ τὸν ἀδελφόν του χωρὶς ἀφορμὴν, θέλει εἶσθαι φταίστης εἰς τὴν κρίσιν· καὶ ὅποιος εἰπῇ εἰς τὸν ἀδελφόν του ῥακὰ, θέλει εἶσθαι φταίστης εἰς τὸ συνέδριον καὶ ὅποιος εἰπῇ μωρὲ, θέλει εἶσθαι φταίστης εἰς τὴν γέενναν τοῦ πυρός.

23 Ἂν προσφέρῃς λοιπὸν τὸ δῶρόν σου εἰς τὸ θυσιαστήριον, καὶ ἐκεῖ ἐνθυμηθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τίποτες ἐναντία σου·

24 Ἄφησε ἐκεῖ τὸ δῶρόν σου ὀμπροστὰ εἰς τὸ θυσιαστήριον, καὶ σύρε πρῶτον, φιλιώσου μὲ τὸν ἀδελφόν σου, καὶ τότε, ὡσὰν ἔλθῃς, πρόσφερε τὸ δῶρόν σου.

25 Φιλιώσου με τὸν ἐναντίον σου γλήγορα, ἕως ὅπου εὑρίσκεσαι εἰς τὴν στράταν μετ᾽ αὐτόν· μήπως καὶ σὲ παραδώσῃ ὁ ἐναντίος εἰς τὸν κριτὴν, καὶ ὁ κριτὴς σὲ παραδώσῃ εἰς τὸν ὑπηρέτην, καὶ θέλεις βαλθῇ εἰς τὴν φυλακήν.

26 Ἀμὴν λέγω σοὶ, οὐ μὴ
ἐξέλθῃς ἐκεῖθεν, ἕως ἂν ἀποδῷς
τὸν ἔσχατον κοδράντην.

27 Ἠκούσατε, ὅτι ἐῤῥέθη
τοῖς ἀρχαίοις· Οὐ μοιχεύσεις.
28 Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι
πᾶς ὁ βλέπων γυναῖκα πρὸς
τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη
ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ
αὐτοῦ.
29 Εἰ δὲ ὁ ὀφθαλμός σου ὁ
δεξιὸς σκανδαλίζει σε, ἔξελε
αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ·
συμφέρει γάρ σοι, ἵνα ἀπόλη-
ται ἓν τῶν μελῶν σου, καὶ μὴ
ὅλον τὸ σῶμά σου βληθῇ εἰς
γέενναν.
30 Καὶ εἰ ἡ δεξιά σου χεὶρ
σκανδαλίζει σε, ἔκκοψον αὐτὴν,
καὶ βάλε ἀπὸ σοῦ· συμφέρει
γάρ σοι, ἵνα ἀπόληται ἓν τῶν
μελῶν σου, καὶ μὴ ὅλον τὸ
σῶμά σου βληθῇ εἰς γέενναν.

31 Ἐῤῥέθη δὲ, ὅτι ὃς ἂν
ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ,
δότω αὐτῇ ἀποστάσιον.
32 Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι
ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα
αὐτοῦ, παρεκτὸς λόγου πορ-
νείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι,
καὶ ὃς ἐὰν ἀπολελυμένην γα-
μήσῃ, μοιχᾶται.

33 Πάλιν ἠκούσατε, ὅτι ἐῤ-
ῥέθη τοῖς ἀρχαίοις· Οὐκ ἐπι-

26 Βέβαια σȣ λέγω· δὲν
θέλεις εὔγει ἀπ' ἐκεῖ, ἕως
ὁπȣ νὰ πληρώσῃς ὡς καὶ τὴν
ὕστερην φόλλα.
27 Ἠκȣσετε, ὅτι ἐλαλήθη εἰς
τȣς παλαιȣς· μὴν μοιχεύσῃς.
28 Ἀμὴ ἐγὼ σᾶς λέγω, ὅτι
κάθε ἄνθρωπος, ὁπȣ βλέπει
γυναῖκα, διὰ νὰ τὴν ἐπιθυ-
μήσῃ, ὡραμάν τὴν ἐμοίχευσε
μέσα εἰς τὴν καρδίαν τȣ.
29 Καὶ ἂν τὸ μάτι σȣ τὸ δε-
ξιὸ νσὲ σκανδαλίζῃ, εὔγαλέ το,
καὶ ῥίξε το ἀπὸ λόγȣ σȣ· διαλὶ
ὠφέλιμόν σȣ εἶναι, νὰ χα-
λασθῇ ἕνα ἀπὸ τὰ μέλη σȣ,
καὶ ὄχι ὅλον τὸ κορμί σȣ νὰ
βαλθῇ εἰς τὴν γέενναν.
30 Καὶ ἂν τὸ δεξιόν σȣ χέ-
ρι σὲ σκανδαλίζῃ, κόψε καὶ ῥί-
ξε το ἀπὸ λόγȣ σȣ· διαλὶ καλ-
λίτερόν σȣ εἶναι, νὰ χαλασθῇ
ἕνα ἀπὸ τὰ μέλη σȣ, καὶ ὄχι
ὅλον σȣ τὸ κορμὶ νὰ βαλθῇ εἰς
τὴν γέενναν.
31 Καὶ ἐλαλήθη, ὅτι ὅποιος
χωρίσῃ τὴν γυναῖκά τȣ, νὰ τῆς
δώσῃ διαζύγιον.
32 Ἀμὴ ἐγὼ σᾶς λέγω·
ὅτι ὅποιος ἀφήσῃ τὴν γυναῖ-
κά τȣ, ἔξω ἀπὸ ἀφορμὴν πορ-
νείας, τὴν κάμνει νὰ μοιχᾶ-
ται καὶ ὅποιος ὑπανδρευθῇ
τὴν γυναῖκα τὴν χωρισμένην,
μοιχᾶται.
33 Ἠκȣσετε πάλιν, ὅτι
ἐλαλήθη εἰς τȣς παλαιȣς· νὰ

ορκήσεις, ἀποδώσεις δὲ τῷ Κυ-
ρίῳ τοὺς ὅρκους σου.
34 Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ
ὀμόσαι ὅλως· μήτε ἐν τῷ οὐρα-
νῷ, ὅτι θρόνος ἐςὶ τοῦ Θεοῦ·
35 Μήτε ἐν τῇ γῇ, ὅτι ὑπο-
πόδιόν ἐςι τῶν ποδῶν αὐτοῦ·
μήτε εἰς Ἱεροσόλυμα, ὅτι πόλις
ἐςὶ τοῦ μεγάλου βασιλέως·
36 Μήτε ἐν τῇ κεφαλῇ σου
ὀμόσῃς, ὅτι οὐ δύνασαι μίαν
τρίχα λευκὴν ἢ μέλαιναν
ποιῆσαι.
37 Ἔςω δὲ ὁ λόγος ὑμῶν,
Ναὶ, ναὶ, Οὒ, οὔ· τὸ δὲ πε-
ρισσὸν τούτων ἐκ τοῦ πονηροῦ
ἐςιν.
38 Ἠκούσατε, ὅτι ἐῤῥέθη·
Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ
ὀδόντα ἀντὶ ὀδόντος.
39 Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ
ἀντιςῆναι τῷ πονηρῷ· ἀλλ᾽
ὅςτις σε ῥαπίσει ἐπὶ τὴν δεξιάν
σου σιαγόνα, ςρέψον αὐτῷ καὶ
τὴν ἄλλην·
40 Καὶ τῷ θέλοντί σοι κρι-
θῆναι, καὶ τὸν χιτῶνά σου
λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ
ἱμάτιον.
41 Καὶ ὅςτις σε ἀγγα-
ρεύσει μίλιον ἓν, ὕπαγε μετ᾽
αὐτοῦ δύο.
42 Τῷ αἰτοῦντί σε δίδου· καὶ
τὸν θέλοντα ἀπὸ σοῦ δανείσα-
σθαι μὴ ἀποςραφῇς.

μὴν ὀμώσῃς ψέμματα, ἀλλὰ νὰ
δώσῃς τῷ κυρίῳ τοὺς ὅρκους σου.
34 Ἀμὴ ἐγὼ σᾶς λέγω, νὰ
μὴν ὀμώσετε καθόλου· μήτε εἰς
τὸν οὐρανὸν, διατὶ ὁ οὐρανὸς εἶναι
θρόνος τοῦ Θεοῦ·
35 Μήτε εἰς τὴν γῆν, ὅτι
εἶναι ὑποπόδιον τῶν ποδῶν του·
μήτε εἰς τὰ Ἱεροσόλυμα, ὅτι
εἶναι πόλις τοῦ μεγάλου βασι-
λέως·
36 Μήτε εἰς τὸ κεφάλι σου
νὰ μὴν ὀμώσῃς, διατὶ δὲν δύνε-
σαι νὰ κάμῃς καμίαν τρίχα
ἄσπρην ἢ μαύρην.
37 Ἀλλὰ ὁ λόγος σας ἂς
εἶναι τὸ ναὶ, ναὶ, καὶ τὸ ὄχι,
ὄχι· Διατὶ τὸ περισσότερον
ἀπὸ τοῦτα εἶναι τοῦ πονηροῦ.
38 Ἠκούσετε, ὅτι ἐλαλήθη·
μάτι ἀντὶ ματίου, καὶ δόντι
ἀντὶ δοντίου.
39 Ἀμὴ ἐγὼ σᾶς λέγω, νὰ
μὴν ἀντιςαθῆτε τὸν κακόν· ἀλ-
λὰ ὅποιος σὲ κτυπήσῃ ῥάπισμα
εἰς τὸ δεξιόν σου μάγουλον, γύ-
ρισέτου καὶ τὸ ἄλλον.
40 Καὶ ὅποιος θέλει νὰ σὲ
σύρῃ εἰς τὴν κρίσιν, νὰ πάρῃ
τὸ ὑποκάμισόν σου, ἄφες του καὶ
τὸ ἀπανωφόρεμά σου.
41 Καὶ ὅποιος σέ ἀγγαρεύ-
σῃ ἕνα μίλι, σύρε μαζύ του δύο.
42 Ὅποιος σοῦ ζητᾷ, δός
του· καὶ ὅποιος σοῦ γυρέψῃ
δανεικὸν, μὴν τὸν ἀποδιώξῃς.

43 Ἠκούσατε, ὅτι ἐῤῥέθη· Ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου.

44 Ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς.

45 Ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

46 Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι;

47 Καὶ ἐὰν ἀσπάσησθε τοὺς ἀδελφοὺς ὑμῶν μόνον, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι οὕτω ποιοῦσιν;

48 Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστι.

43 Ἠκούσετε, ὅτι ἐλαλήθη· ἀγάπα τὸν γείτονάσου, καὶ μίσα τὸν ἐχθρόνσου.

44 Ἀμὴ ἐγὼ σᾶς λέγω· ἀγαπᾶτε τοὺς ἐχθρούς σας, καὶ εὐλογεῖτε ἐκείνους, ὁποῦ σᾶς καταροῦνται, κάμετε καλὸν εἰς ἐκείνους, ὁποῦ σᾶς μισοῦσι, καὶ παρακαλεῖτε διὰ ἐκείνους, ὁποῦ σᾶς πειράζουν καὶ σᾶς κατατρέχουν.

45 Διὰ νὰ γενῆτε υἱοὶ τοῦ πατρός σας, ὁποῦ εἶναι εἰς τοὺς οὐρανοὺς, ὅτι ἀνατέλλει τὸν ἥλιόν του εἰς τοὺς πονηροὺς καὶ εἰς τοὺς ἀγαθοὺς, καὶ βρέχει εἰς τοὺς δικαίους καὶ ἀδίκους.

46 Διατὶ ἐὰν ἀγαπᾶτε ἐκείνους, ὁποῦ σᾶς ἀγαποῦν, τὶ μισθὸν ἔχετε; δὲν κάμνουσιν ἐτοῦτο καὶ οἱ τελῶναι;

47 Ἀνίσως καὶ χαιρετᾶτε τοὺς ἀδελφούς σας μοναχᾶ, τί περισσὸν κάμνετε; δὲν κάμνουσι καὶ οἱ τελῶναι τέτοιας λογῆς;

48 Ἄς εἶσθε λοιπὸν τέλειοι καὶ ἐσεῖς, ὡς καθὼς καὶ ὁ πατήρ σας, ὁποῦ εἶναι εἰς τοὺς οὐρανοὺς, εἶναι τέλειος.

Κεφ. ϛʹ. 6.

ΠΡοσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων· πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ

ΠΡοσέχετε, νὰ μὴν κάμνετε τὴν ἐλεημοσύνην σας ὀμπροστᾶ εἰς τοὺς ἀνθρώπους, διὰ νὰ φανῆτε εἰς αὐτούς· εἰ δὲ μὴ, δὲν ἔχετε μισθὸν σημᾶ εἰς τὸν

πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς.

2 Ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων· ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

3 Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου, τί ποιεῖ ἡ δεξιά σου.

4 Ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, αὐτὸς ἀποδώσει σοι ἐν τῷ φανερῷ.

5 Καὶ ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὥσπερ οἱ ὑποκριταί· ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως ἂν φανῶσι τοῖς ἀνθρώποις. ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

6 Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ. καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ.

7 Προσευχόμενοι δὲ μὴ

πατέρα σας, ὁποῦ εἶναι εἰς τοὺς οὐρανούς.

2 Ὅταν κάμνῃς τὸ λοιπὸν ἐλεημοσύνην, μὴν κωδωνίσῃς ὀμπροστά σου, καθὼς κάμνουσιν οἱ ὑποκριταὶ εἰς τὰ συναγώγιά τους, καὶ εἰς ταῖς ῥύμναις, διὰ νὰ δοξασθοῦσιν ἀπὸ τοὺς ἀνθρώπους. βέβαια σᾶς λέγω, ὅτι χάνουσι τὴν πληρωμήν τους.

3 Ἀμὴ ἐσὺ ὅταν κάμνῃς ἐλεημοσύνην, ἂς μὴν ἰξεύρῃ ἡ ζερβιά σου μερία, τί κάμει ἡ δεξιά σου.

4 Διὰ νὰ εἶναι ἡ ἐλεημοσύνη σου εἰς τὸ κρυφὸν· καὶ ὁ πατήρ σου, ὁποῦ βλέπει εἰς τὸ κρυφὸν, αὐτὸς θέλει εἰς τὸ δώσει εἰς τὸ φανερόν.

5 Καὶ ὅταν προσεύχεσαι, νὰ μὴν εἶσαι ὡσὰν οἱ ὑποκριτάδες· ὅτι ἀγαποῦσι νὰ προσεύχωνται στεκόμενοι εἰς τὰ συναγώγια, καὶ εἰς ταῖς γωνίαις τῶν πλατωμάτων, διὰ νὰ φανοῦσιν εἰς τοὺς ἀνθρώπους· ἀληθινὰ σᾶς λέγω, ὅτι χάνουσι τὴν πληρωμήν τους.

6 Ἀμὴ ἐσὺ ὅταν προσεύχεσαι, ἔμβα μέσα εἰς τὸ κελλί σου, καὶ κλεῖσε τὴν θύραν σου, καὶ προσεύξου τὸν πατέρα σου, ὁποῦ εἶναι εἰς τὸ κρυφὸν· καὶ ὁ πατέρας σου, ὁποῦ βλέπει εἰς τὸ κρυφὸν, θέλει σοῦ ἀποδώσει εἰς τὸ φανερόν.

7 Καὶ ὅταν προσεύχεσθε,

βαττολογήσητε. ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι, γὰρ, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται.

8 Μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδε γὰρ ὁ πατὴρ ὑμῶν, ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν.

9 Οὕτως οὖν προσεύχεσθε ὑμεῖς· ΠΑ'ΤΕΡ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω το ὄνομά σου.

10 Ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.

11 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον.

12 Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

13 Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

14 Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος.

15 Ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν.

μην περισσολογεῖτε ὡσὰν οἱ ἐθνικοί· Διατὶ ἐκεῖνοι λογιάζουσιν, ὅτι εἰς τὴν πολυλογίαν τους θέλουσιν εἰσακουσθῇ.

8 Μὴν ὁμοιάσετε λοιπὸν ἐκείνους· Διατὶ ὁ πατέρας σας ἰξεύρει, ποῖα χρειάζεσθε προτίτερα παρὰ νὰ τοῦ ζητήσετε.

9 Τέτοιας λογῆς λοιπὸν να προσεύχεσθε ἐσεῖς· ὦ πατέρα μας, ὁποῦ εἶσαι εἰς τοὺς οὐρανοὺς· ἃς ἁγιασθῇ τὸ ὄνομά σου.

10 Ἃς ἔλθῃ ἡ βασιλεία σου· ἃς γένῃ τὸ θέλημά σου, καθὼς εἰς τὸν οὐρανὸν, ἔτζι καὶ εἰς τὴν γῆν.

11 Τὸ ψωμί μας τὸ καθημερινὸν δός μας τὸ σήμερον.

12 Καὶ συγχώρησέ μας τὰ χρέη μας, καθὼς καὶ ἐμεῖς συγχωροῦμεν τοὺς χρεωφειλέτας μας.

13 Καὶ μὴν μᾶς φέρῃς εἰς πειρασμόν· ἀλλὰ ἐλευθέρωσέ μας ἀπὸ τὸν πονηρόν· ὅτι ἐδική σου εἶναι ἡ βασιλεία, καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

14 Διατὶ ἂν ἐσεῖς συγχωρέσετε τοὺς ἀνθρώπους τὰ σφάλματά τους, θέλει συγχωρέσει καὶ ἐσᾶς ὁ πατήρ σας ὁ οὐράνιος.

15 Ἀμὴ ἐὰν ἐσεῖς δὲν συγχωρέσετε τοὺς ἀνθρώπους ταῖς ἁμαρτίαις των, οὐδὲ ὁ πατήρ σας θέλει συγχωρέσει ταῖς ἁμαρτίαις σας.

16 Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταὶ, σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις, νηστεύοντες· ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

17 Σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν, καὶ τὸ πρόσωπόν σου νίψαι·

18 Ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλά τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ.

19 Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς, ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι.

20 Θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν, οὐδὲ κλέπτουσιν.

21 Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν.

22 Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται.

23 Ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται. εἰ οὖν τὸ φῶς

16 Καὶ ὅταν νηστεύετε, μὴν γίνεσθε σκυθρωποὶ ὡσὰν οἱ ὑποκριτάδες· Διατὶ ἐκεῖνοι χαλνοῦσι τὴν ὄψιν τους, διὰ νὰ φανοῦσιν εἰς τοὺς ἀνθρώπους πῶς νηστεύουν· βέβαια σᾶς λέγω, ὅτι χάνουσι τὴν πληρωμήν τους.

17 Ἀμὴ ἐσὺ ὅταν νηστεύῃς, ἄλειψαι τὸ κεφάλι σου, καὶ τὸ πρόσωπόν σου νίψαι.

18 Διὰ νὰ μὴν φανῇς εἰς τοὺς ἀνθρώπους πῶς νηστεύεις, ἀλλὰ εἰς τὸν πατέρα σου, ὁποῦ εἶναι εἰς τὸ κρυφόν· καὶ ὁ πατέρας σου, ὁποῦ βλέπει εἰς τὸ κρυφὸν, θέλει σοῦ ἀποδώσει εἰς τὸ φανερόν.

19 Μὴν θηκιάζετε θησαυροὺς διὰ λόγου σας εἰς τὴν γῆν, ἐκεῖ ὁποῦ τὸ σκουλήκι καὶ ἡ σκουρία τὰ χαλᾷ, καὶ ἐκεῖ ὁποῦ οἱ κλέπται τρυποῦν καὶ κλέπτουσι.

20 Ἀλλὰ θηκιάζετε διὰ λόγου σας θησαυροὺς εἰς τὸν οὐρανὸν, ἐκεῖ ὁποῦ οὔτε σκουλήκι τοὺς τρώγει, οὔτε σκουρία τοὺς σαπίζει, οὐ δὲ οἱ κλέπται τρυποῦσιν, οὐ δὲ κλέπτουσι.

21 Διατὶ ἐκεῖ, ὁποῦ εἶναι ὁ θησαυρός σας, ἐκεῖ θέλει εἶσθαι καὶ ἡ καρδία σας.

22 Ὁ λύχνος τοῦ κορμίου εἶναι τὸ μάτι· ἐὰν λοιπὸν εἶναι τὸ μάτι σου καθαρὸν, καὶ ὅλον σου τὸ κορμὶ φωτεινὸν θέλει εἶσθαι.

23 Ἀμὴ ἀνίσως καὶ τὸ μάτι σου εἶναι πονηρὸν, ὅλον σου τὸ κορμὶ θέλει εἶσθαι σκοτεινόν.

τὸ ἐν σοὶ, σκότος ἐστὶ, τὸ σκότος πόσον;

24 Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει· οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμμωνᾷ.

25 Διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε καὶ τί πίητε· μηδὲ τῷ σώματι ὑμῶν, τί ἐνδύσησθε· οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος;

26 Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά· οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν;

27 Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα;

28 Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ, πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει.

29 Λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων.

ἀνίσως καὶ λοιπὸν τὸ φῶς, ὁποῦ εἶναι εἰς ἐσένα, εἶναι σκότος, πόσον θέλει εἶσθαι τὸ σκότος;

24 Κανένας δὲν δύνεται νὰ δουλεύῃ δύο αὐθεντάδες· Διατὶ ἢ τὸν ἕνα θέλει μισήσει, καὶ τὸν ἄλλον θέλει ἀγαπήσει· ἢ τὸν ἕνα θέλει κρατήσει, καὶ τὸν ἄλλον θέλει καταφρονήσει. δὲν ἠμπορεῖτε νὰ δουλεύετε τὸν Θεὸν, καὶ τὸν πλοῦτον.

25 Διὰ τοῦτο σᾶς λέγω· μὴν φροντίζετε διὰ τὴν ζωήν σας, τί νὰ φᾶτε, καὶ τί νὰ πιῆτε· μὴ δὲ τὸ κορμί σας, τί νὰ τὸ ἐνδύσετε· ἡ ζωὴ δὲν εἶναι περισσότερη ἀπὸ τὸ φαγὶ, καὶ τὸ κορμί σας ἀπὸ τὴν ἐνδυμασίαν;

26 Στοχασθῆτε τὰ πουλία, ὁποῦ πέτουνται εἰς τὸν ἀέρα, ὅτι μὴ δὲ σπέρνουσι, μὴ δὲ θερίζουσι, μὴ δὲ μαζώνουσιν εἰς ταῖς ἀποθήκαις, καὶ ὁ πατήρ σας ὁ οὐράνιος τὰ θρέφει· καὶ ἐσεῖς δὲν διαφέρετε πολὺ ἀπ' αὐτά;

27 Ποῖος ἀπὸ ἐσᾶς φροντίζοντας ἠμπορεῖ νὰ προσθέσῃ καμίαν πῆχυν εἰς τὴν ἡλικίαν του;

28 Καὶ διὰ τὴν ἐνδυμασίαν σας τί ἐγνοιάζεσθε; μάθετε καταλεπτῶς τὰ λουλούδια τοῦ λειβαδίου, πῶς αὐξάνουσι· δὲν κοπιάζουσιν, οὐ δὲ νέθουσι.

29 Καὶ λέγω σας, ὅτι μὴ δὲ ὁ Σολομὼν μὲ ὅλην του τὴν δόξαν ἐνδύθηκεν ὡσὰν ἕνα ἀπὸ τοῦτα.

30 Εἰ δὲ τὸν χόρτον τοῦ ἀ-
γροῦ, σήμερον ὄντα, καὶ αὔριον
εἰς κλίβανον βαλλόμενον, ὁ
Θεὸς οὕτως ἀμφιέννυσιν, οὐ
πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγό-
πιστοι;
31 Μὴ οὖν μεριμνήσητε, λέ-
γοντες· Τί φάγωμεν, ἢ τί πί-
ωμεν, ἢ τί περιβαλώμεθα;
32 Πάντα γὰρ ταῦτα τὰ ἔθνη
ἐπιζητεῖ· οἶδε γὰρ ὁ πατὴρ
ὑμῶν ὁ οὐράνιος, ὅτι χρῄζετε
τούτων ἁπάντων.
33 Ζητεῖτε δὲ πρῶτον τὴν
βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν
δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα
πάντα προστεθήσεται ὑμῖν.
34 Μὴ οὖν μεριμνήσητε εἰς
τὴν αὔριον· ἡ γὰρ αὔριον με-
ριμνήσει τὰ ἑαυτῆς· ἀρκετὸν
τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς.

30 Καὶ ἐὰν τὰ χορτάρια τοῦ
λειβαδίου, ὁποῦ εἶναι σήμερον,
καὶ αὔριον τὰ βάλλουσιν εἰς τὸν
φοῦρνον, ὁ Θεὸς τέτοιας λογῆς
τὰ στολίζῃ, πόσω μᾶλλον ἐσᾶς,
ὀλιγόπιστοι;
31 Μὴν ἐγνοιάζεσθε τὸ λοι-
πὸν, λέγοντες· τί νὰ φᾶμεν,
καὶ τί νὰ πιοῦμεν, καὶ τί νὰ
ἐνδυθοῦμεν.
32 Ὅτι ἐτοῦτα ὅλα τὰ ἔθνη
τὰ γυρεύουσι· Διατὶ ὁ πατέ-
ρας σας ὁ οὐράνιος ἰξεύρει πῶς
τὰ χρειάζεσθε ἐτοῦτα ὅλα.
33 Ἀμὴ πρῶτα ζητᾶτε
τὴν βασιλείαν τοῦ Θεοῦ καὶ
τὴν δικαιοσύνην του, καὶ τοῦτα
ὅλα θέλουν σᾶς αὐγατισθῇ.
34 Μὴν ἔχετε ἔγνοιαν λοι-
πὸν διὰ τὸ αὔριον· Διατὶ ἡ
αὐριοσυνὴ θέλει φροντίσει τὰ
ἐδικάτης· σώνει πᾶσαν ἡμέραν
ἡ πείραξίς της.

Κεφ. ζ'. 7.

ΜΗ' κρίνετε, ἵνα μὴ κρι-
θῆτε.
2 Ἐν ᾧ γὰρ κρίματι κρίνετε,
κριθήσεσθε· καὶ ἐν ᾧ μέτρῳ
μετρεῖτε, ἀντιμετρηθήσεται
ὑμῖν.
3 Τί δὲ βλέπεις τὸ κάρφος
τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελ-
φοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφ-
θαλμῷ δοκὸν οὐ κατανοεῖς;

ΜΗΝ κρίνετε, διὰ νὰ μὴν
κριθῆτε.
2 Διατὶ ὅ, τι λογῆς κρίσιν
κρίνετε, θέλετε κριθῆ καὶ ἐσεῖς·
καὶ μὲ ἐκεῖνο τὸ μέτρον, ὁποῦ
μετρᾶτε τοὺς ἄλλους, θέλετε
μετρηθῆ καὶ ἐσεῖς.
3 Καὶ τί βλέπεις τὸ ξυλά-
κι, ὁποῦ εἶναι εἰς τὸ μάτι τοῦ
ἀδελφοῦ σου, καὶ τὸ δοκάρι, ὁ-
ποῦ εἶναι εἰς τὸ μάτι σου, δὲν τὸ
στοχάζεσαι.

4 Ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ σου· ἄφες ἐκβάλω τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ σου· καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου;

5 Ὑποκριτὰ, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.

6 Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσὶ, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων· μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς.

7 Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν.

8 Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται.

9 Ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ;

10 Καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ;

11 Εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;

4 Ἢ πῶς θέλεις εἰπεῖ τοῦ ἀδελφοῦ σου· ἄφησέ με νὰ εὐγάλω τὸ ξυλάκι ἀπὸ τὸ μάτι σου· καὶ νὰ, τὸ δοκάρι μέσα εἰς τὸ ἐδικόν σου μάτι;

5 Ὑποκριτὰ, εὔγαλε πρῶτα τὸ δοκάρι ἀπὸ τὸ μάτι σου, καὶ τότε θέλεις εἰδῆ, νὰ εὐγάλῃς τὸ ξυλάκι ἀπὸ τὸ μάτι τοῦ ἀδελφοῦ σου.

6 Μὴν δίδετε τὰ ἅγια εἰς τοὺς σκύλους, μὴ δὲ βάλλετε τὰ μαργαριτάριά σας ἔμπροσθεν εἰς τοὺς χοίρους· μήπως καὶ καμίαν φορὰν τὰ καταπατήσουσι μὲ τὰ ποδάριά τους, καὶ γυρίσουν καὶ ξεσχίσουσι καὶ ἐσᾶς.

7 Ζητᾶτε, καὶ θέλει σᾶς δοθῇ· γυρεύετε, καὶ θέλετε εὕρει· κτυπᾶτε, καὶ θέλει σᾶς ἀνοιχθῇ.

8 Διατὶ κάθε ἕνας ὁποῦ ζητᾷ, πέρνει, καὶ ὅποιος γυρεύει, εὑρίσκει, καὶ ἐκεῖνος ὁποῦ κτυπᾷ, θέλει τοῦ ἀνοιχθῇ.

9 Ἢ ποῖος ἄνθρωπος εἶναι ἀπὸ ἐσᾶς, τοῦ ὁποίου ἐὰν ὁ υἱός του τοῦ γυρεύσῃ ψωμὶ, μῆνα τοῦ θέλει δώσει πέτραν;

10 Καὶ ἂν τοῦ γυρεύσῃ ψάρι, μῆνα τοῦ θέλει δώσει ὀφίδι;

11 Ἂν τὸ λοιπὸν ἐσεῖς, μὲ ὅλον ὁποῦ εἶσθε πονηροὶ, ἠξεύρετε νὰ δίδετε καλὰ χαρίσματα εἰς τὰ παιδιά σας, πόσῳ μᾶλλον ὁ πατήρ σας, ὁ οὐράνιος, θέλει δώσει καλὰ εἰς ἐκείνους ὁποῦ τοῦ ζητοῦσι;

12 Πάντα οὖν ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται.

13 Εἰσέλθετε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς.

14 Ὅτι στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.

15 Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες.

16 Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς· μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὴν, ἢ ἀπὸ τριβόλων σῦκα;

17 Οὕτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ· τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ.

18 Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν.

19 Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.

12 Ὅλα λοιπὸν, ὅσα θέλετε νὰ σᾶς κάμνουσιν οἱ ἄνθρωποι, ἔτζι κάμνετε καὶ ἐσεῖς εἰς αὐτούς· Διατὶ ἐτοῦτος εἶναι ὁ νόμος καὶ οἱ προφῆται.

13 Ἐμβᾶτε ἀπὸ τὴν στενὴν τὴν θύραν· ὅτι πλατεῖα εἶναι ἡ θύρα, καὶ πλατύχωρη ἡ στράτα, ὁποῦ φέρνει εἰς τὴν ἀπώλειαν, καὶ πολλοὶ εἶναι, ὁποῦ περνοῦν ἀπ' αὐτήν.

14 Ὅτι ἡ θύρα εἶναι στενὴ, καὶ τεθλιμμένη ἡ στράτα, ὁποῦ φέρνει εἰς τὴν ζωὴν, καὶ ὀλίγοι εἶναι ἐκεῖνοι, ὁποῦ τὴν εὑρίσκουσι.

15 Καὶ φυλάγεσθε ἀπὸ τοὺς ψευδοπροφήτας, οἱ ὁποῖοι ἔρχονται εἰς ἐσᾶς μὲ φορέματα προβάτων, καὶ ἀπὸ μέσα εἶναι λύκοι ἅρπαγες.

16 Ἀπὸ τοὺς καρπούς τους θέλετε τοὺς γνωρίσει· μῆνα ἀπὸ ἀκάνθια μαζώνουσι σταφύλια; ἢ ἀπὸ τριβόλια σῦκα;

17 Τέτοιας λογῆς κάθε δένδρον καλὸν κάμνει καρποὺς καλούς· καὶ τὸ κακὸν δένδρον, κάμνει κακοὺς καρπούς.

18 Δέν ἠμπορεῖ τὸ καλὸν δένδρον, νὰ κάμῃ πονηροὺς καρποὺς, οὐδὲ τὸ κακὸν δένδρον, νὰ κάμῃ καλοὺς καρπούς.

19 Κάθε δένδρον ὁποῦ δὲν κάμνει καλὸν καρπὸν, κόπτεται, καὶ βάλλεται εἰς τὴν φωτίαν.

20 Ἄραγε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.

20 Ἀπὸ τοὺς καρποὺς των τὸ λοιπὸν θέλετε τοὺς γνωρίσει.

21 Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

21 Ὄχι καθένας ὁποῦ μὲ λέγει, Κύριε, Κύριε, θέλει ἔμβει εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλὰ ἐκεῖνος, ὁποῦ κάμνει τὸ θέλημα τοῦ πατρός μου, ὁποῦ εἶναι εἰς τοὺς οὐρανούς.

22 Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν;

22 Πολλοὶ θέλουσι μοῦ εἰπεῖ εἰς ἐκείνην τὴν ἡμέραν· Κύριε, Κύριε, δὲν ἐπροφητεύσαμεν εἰς τὸ ὄνομά σου, καὶ μὲ τὸ ὄνομά σου εὐγάλαμεν δαιμόνια, καὶ μὲ τὸ ἐδικόν σου ὄνομα ἐκάμαμεν πολλὰς δυνάμεις;

23 Καὶ τότε ὁμολογήσω αὐτοῖς, ὅτι οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ᾽ ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

23 Τότε θέλω τοὺς εἰπεῖ καὶ ἐγὼ παῤῥησίᾳ, ὅτι ποτὲ δὲν σᾶς ἐγνώρισα· ἀναχωρεῖτε ἀπὸ ἐμένα οἱ ἐργᾶται της ἀνομίας.

24 Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτούς, ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν·

24 Καθ᾽ ἕνας λοιπὸν, ὁποῦ ἀκούει τὰ λόγιά μου τοῦτα, καὶ τὰ κάμνει, θέλω τὸν ὁμοιάσει μὲ ἕνα ἄνδρα φρόνιμον, ὁ ὁποῖος ἔκτισε τὸ σπῆτί του ἀπάνω εἰς τὴν πέτραν.

25 Καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γάρ ἐπὶ τὴν πέτραν.

25 Καὶ ἐκατέβη ἡ βροχὴ, καὶ ἦλθαν οἱ ποταμοὶ, καὶ ἐφύσησαν οἱ ἄνεμοι, καὶ ἐκτύπησαν εἰς τὸ σπῆτι ἐκεῖνο, καὶ δὲν ἔπεσε· διατὶ ἦτον θεμελιωμένον εἰς τὴν πέτραν.

26 Καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ μὴ ποιῶν αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν

26 Καὶ κάθε ἄνθρωπος, ὁποῦ ἀκούει τὰ λόγιά μου τοῦτα, καὶ δὲν τὰ κάμνει, θέλω τὸν ὁμοιάσει ὡσὰν ἕνα ἄνδρα λωλὸν, ὁποῦ

οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον·

27 Καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ· καὶ ἔπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη.

28 Καὶ ἐγένετο, ὅτε συνετέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

29 Ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς.

ἔκτισε τὸ σπῆτί του ἀπάνω εἰς τὴν ἄμμον.

27 Καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθαν οἱ ποταμοὶ, καὶ ἐφύσησαν οἱ ἄνεμοι, καὶ ἐκτύπησαν εἰς τὸ σπῆτι ἐκεῖνο· καὶ ἔπεσε, καὶ τὸ πέσιμόν του ἔγινε μεγάλον.

28 Καὶ τότε ὅταν ἐτελείωσεν ὁ Ἰησοῦς τὰ λόγια ἐτοῦτα, ἔφρικτον τὰ πλήθη εἰς τὴν διδαχήν του.

29 Διατὶ τοὺς ἐδίδασκεν ὡσὰν ὁποῦ εἶχεν ἐξουσίαν, καὶ ὄχι ὡς καθὼς ἐδιδάσκασιν οἱ γραμματεῖς.

Κεφ. η. 8.

ΚΑταβάντι δὲ αὐτῷ ἀπὸ τοῦ ὄρους, ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί.

2 Καὶ ἰδοὺ λεπρὸς ἐλθὼν προσεκύνει αὐτῷ, λέγων· Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.

3 Καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ ὁ Ἰησοῦς, λέγων· Θέλω, καθαρίσθητι. Καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα.

4 Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅρα μηδενὶ εἴπῃς· ἀλλὰ ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρον, ὃ προσέταξε Μωσῆς εἰς μαρτύριον αὐτοῖς.

5 Εἰσελθόντι δὲ τῷ Ἰησοῦ εἰς Καπερναοὺμ, προσῆλθεν

ΚΑΙ ὡσὰν ἐκατέβη ἀπὸ τὸ ὄρος, τοῦ ἀκολούθησεν πολὺς ὄχλος.

2 Καὶ παρευθὺς ἦλθεν ἕνας λεπρὸς, καὶ τὸν ἐπροσκύνα, καὶ ἔλεγεν· αὐθέντη, ἐὰν θέλῃς, ἠμπορεῖς νὰ μὲ καθαρίσῃς.

3 Καὶ ἅπλωσε τὸ χέρι του ὁ Ἰησοῦς, καὶ τὸν ἐπίασε, καὶ εἶπε· θέλω, καθαρίσου. καὶ παρευθὺς ἐκαθαρίσθη ἡ λέπρα ἀπ' αὐτόν.

4 Καὶ λέγει του ὁ Ἰησοῦς· φυλάγου, νὰ μὴν τὸ εἰπῇς τινός· ἀλλὰ σύρε, καὶ δεῖξε τοῦ λόγου σου εἰς τὸν ἱερέα, καὶ πρόσφερε καὶ τὸ δῶρον, ὁποῦ ἐπρόσταξεν ὁ Μωϋσῆς διὰ μαρτυρίαν εἰς αὐτούς.

5 Καὶ ὡσὰν ἐμβῆκεν ὁ Ἰησοῦς εἰς τὴν Καπερναοὺμ, ἦλ-

αὐτῷ ἑκατόνταρχος παρακαλῶν αὐτὸν,

6 Καὶ λέγων, Κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικὸς, δεινῶς βασανιζόμενος.

7 Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν.

8 Καὶ ἀποκριθεὶς ὁ ἑκατόνταρχος ἔφη· Κύριε, οὐκ εἰμὶ ἱκανὸς, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· ἀλλὰ μόνον εἰπὲ λόγον, καὶ ἰαθήσεται ὁ παῖς μου.

9 Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας· καὶ λέγω τούτῳ, πορεύθητι, καὶ πορεύεται καὶ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, ποίησον τοῦτο, καὶ ποιεῖ.

10 Ἀκούσας δὲ ὁ Ἰησοῦς, ἐθαύμασε, καὶ εἶπε τοῖς ἀκολουθοῦσιν· Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον.

11 Λέγω δὲ ὑμῖν, ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

12 Οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ

θεν εἰς αὐτὸν ἑκατόνταρχος, παρακαλῶντάς τον.

6 Καὶ λέγωντας· αὐθέντη, τὸ παιδί μου κεῖται εἰς τὸ σπῆτι παράλυτον, καὶ τιμωρᾶται κακά.

7 Καὶ λέγει του ὁ Ἰησοῦς· ἐγὼ θέλω ἔλθη νὰ τὸν ἰατρεύσω.

8 Καὶ ἀπεκρίθη ὁ ἑκατόνταρχος, καὶ εἶπεν· αὐθέντη, δὲν εἶμαι ἄξιος, νὰ ἔλθῃς εἰς τὸ σπῆτί μου· ἀλλὰ εἰπὲ μοναχᾶ λόγον, καὶ θέλει ἰατρευθῇ τὸ παιδί μου.

9 Διατὶ καὶ ἐγὼ εἶμαι ἄνθρωπος ἀπὸ κάτω εἰς ἐξουσίαν, καὶ ἔχω ἀπὸ κάτω μου στρατιώτας· καὶ λέγω εἰς τοῦτον, σύρε, καὶ παγένει καὶ εἰς ἄλλον, ἔλα, καὶ ἔρχεται· καὶ εἰς τὸν δοῦλόν μου, κάμε τοῦτο, καὶ τὸ κάμνει.

10 Καὶ ἀκούωντας ὁ Ἰησοῦς, ἐθαύμασε, καὶ εἶπεν εἰς ἐκείνους, ὁποῦ τὸν ἀκολουθοῦσαν· ἀληθινᾶ σᾶς λέγω· μὴ δὲ εἰς τὸν Ἰσραὴλ δὲν εὕρηκα τόσην μεγάλην πίστιν.

11 Καὶ λέγω σας, ὅτι πολλοὶ ἀπὸ τὴν ἀνατολὴν καὶ ἀπὸ τὴν δύσιν θέλουσιν ἔλθη, καὶ θέλουσι συγκαθίσει μὲ τὸν Ἀβραὰμ καὶ τὸν Ἰσαὰκ καὶ τὸν Ἰακὼβ εἰς τῆν βασιλείαν τῶν οὐρανῶν.

12 Καὶ οἱ υἱοὶ τῆς βασιλείας θέλουσιν εὐγαλθῇ ἔξω εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ θέλει εἶ-

κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν
ὀδόντων.
13 Καὶ εἶπεν ὁ Ἰησοῦς τῷ
ἑκατοντάρχῳ· ὕπαγε, καὶ ὡς
ἐπίστευσας γενηθήτω σοι. Καὶ
ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ
ἐκείνῃ.
14 Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς
τὴν οἰκίαν Πέτρου, εἶδε τὴν
πενθερὰν αὐτοῦ βεβλημένην καὶ
πυρέσσουσαν.
15 Καὶ ἥψατο τῆς χειρὸς
αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ
πυρετός· καὶ ἠγέρθη, καὶ διη-
κόνει αὐτοῖς.
16 Ὀψίας δὲ γενομένης
προσήνεγκαν αὐτῷ δαιμονιζο-
μένους πολλούς· καὶ ἐξέβαλε τὰ
πνεύματα λόγῳ, καὶ πάντας
τοὺς κακῶς ἔχοντας ἐθεράπευ-
σεν.
17 Ὅπως πληρωθῇ τὸ ῥη-
θὲν διὰ Ἡσαΐου τοῦ προφήτου,
λέγοντος, Αὐτὸς τὰς ἀσθε-
νείας ἡμῶν ἔλαβε, καὶ τὰς
νόσους ἐβάστασεν.
18 Ἰδὼν δὲ ὁ Ἰησοῦς πολ-
λοὺς ὄχλους περὶ αὐτὸν, ἐκέλευ-
σεν ἀπελθεῖν εἰς τὸ πέραν.
19 Καὶ προσελθὼν εἷς
γραμματεὺς, εἶπεν αὐτῷ· Δι-
δάσκαλε, ἀκολουθήσω σοι ὅπου
ἐὰν ἀπέρχῃ.
20 Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς·
Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι,
καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κα-
τασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀν-
θρώπου οὐκ ἔχει ποῦ τὴν κεφα-
λὴν κλίνῃ.

σθαι ὁ κλαυθμὸς καὶ ὁ βρυγ-
μὸς τῶν ὀδόντων.
13 Καὶ εἶπεν ὁ Ἰησοῦς εἰς
τὸν ἑκατόνταρχον· πάγενε, καὶ
καθὼς ἐπίστευσες, νὰ σοῦ γένῃ.
καὶ ἰατρεύθη τὸ παιδί του τὴν
ὥραν ἐκείνην.
14 Καὶ πηγένωντας ὁ Ἰη-
σοῦς εἰς τὸ σπῆτι τοῦ Πέτρου,
εἶδε τὴν πενθεράν του κοιταμέ-
νην ὁποῦ ἐθερμαίνετον.
15 Καὶ ἐπίασε τὸ χέρι της,
καὶ ἄφησέν την ἡ θέρμη· καὶ
ἐσηκώθη, καὶ τοὺς ὑπηρέτα.
16 Καὶ ὡσὰν ἐβράδιασε,
τοῦ ἔφεραν πολλοὺς δαιμονισ-
μένους· καὶ μὲ λόγον ἐδίωξε τὰ
πνεύματα, καὶ ὅλους τοὺς
ἀῤῥωστημένους τοὺς ἰάτρευσε.
17 Διὰ νὰ τελειωθῇ ἡ προ-
φητεία τοῦ προφήτου Ἡσαΐου,
ὁποῦ λέγει· αὐτὸς ἐπῆρε ταῖς
ἀσθένειαίς μας, καὶ ταῖς ἀῤ-
ῥωστίαις μας ἐσήκωσε.
18 Ὡσὰν εἶδεν ὁ Ἰησοῦς
πολὺν ὄχλον τρυγύρω του, ἐπρόσ-
ταξε νὰ περάσουν πέρα.
19 Καὶ σιμώνωντας ἕνας
γραμματεὺς, τοῦ λέγει· διδά-
σκαλε, ἐγὼ θέλω σὲ ἀκολουθή-
σει ὅπου καὶ ἂν πάγῃς.
20 Καὶ λέγει του ὁ Ἰησοῦς. ἡ
ἀλωποῦδες ἔχουσι φωλιαῖς, καὶ
τὰ πετεινὰ τοῦ οὐρανοῦ κατοικί-
αις· ἀμὴ ὁ υἱὸς τοῦ ἀνθρώπου
δὲν ἔχει ποῦ νὰ κλίνῃ τὸ
κεφάλι του.

21 Ἕτερος δὲ τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ· Κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν, καὶ θάψαι τὸν πατέρα μου.

22 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς.

23 Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ.

24 Καὶ ἰδοὺ, σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων· αὐτὸς δὲ ἐκάθευδε.

25 Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἤγειραν αὐτὸν, λέγοντες, Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα.

26 Καὶ λέγει αὐτοῖς· Τί δειλοί ἐστε, ὀλιγόπιστοι; Τότε ἐγερθεὶς ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ· καὶ ἐγένετο γαλήνη μεγάλη.

27 Οἱ δὲ ἄνθρωποι ἐθαύμασαν, λέγοντες, Ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;

28 Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ πέραν εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, ὑπήντησαν αὐτῷ δύο δαιμονιζόμενοι, ἐκ τῶν μνημείων ἐξερχόμενοι, χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης.

21 Καὶ ἄλλος ἀπὸ τοὺς μαθητάδες του λέγει· αὐθέντη, δός μου ἄδειαν πρῶτον νὰ πάγω, νὰ θάψω τὸν πατέρα μου.

22 Καὶ ὁ Ἰησοῦς τοῦ λέγει· ἀκολούθα με, καὶ ἄφησε τοὺς νεκροὺς νὰ θάψουν τοὺς νεκρούς των.

23 Καὶ ἐμβῆκε μέσα εἰς τὸ καράβι, καὶ τὸν ἀκολούθησαν οἱ μαθητάδες του.

24 Καὶ παρευθὺς ἔγινε σεισμὸς μέγας εἰς τὴν θάλασσαν, εἰς τόσον, ὁποῦ τὸ καράβι ἐσκεπάσθη ἀπὸ τὰ κύματα· καὶ αὐτὸς ἐκοιμᾶτον.

25 Καὶ οἱ μαθηταὶ ἐπῆγαν κοντὰ καὶ τὸν ἐξύπνισαν, λέγοντες· αὐθέντη, γλύτωσέ μας, χανόμεσθεν.

26 Καὶ λέγει τους· Διατί εἶσθε φοβητζιάρηδες ὀλιγόπιστοι; τότε ἐσηκώθη καὶ ἐπρόσταξε μὲ φοβερισμὸν τοὺς ἀνέμους καὶ τὴν θάλασσαν· καὶ ἔγινε γαλήνη μεγάλη.

27 Καὶ οἱ ἄνθρωποι ἐθαύμασαν, λέγοντες· τί λογῆς ἄνθρωπος εἶναι ἐτοῦτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα τοῦ ὑπακούουσι.

28 Καὶ περνῶντας ἀντίπερα εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, τὸν ἀπάντησαν δύο δαιμονισμένοι, ὁποῦ εὐγένασιν ἔξω ἀπὸ τὰ μνημόρια, ἄγριοι πολλὰ, τόσον, ὁποῦ δὲν ἐδύνετον νὰ περάση κανένας ἀπὸ τὴν στράταν ἐκείνην.

29 Καὶ ἰδοὺ ἔκραξαν, λέγοντες, Τί ἡμῖν καὶ σοὶ, Ἰησοῦ υἱὲ τοῦ Θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;

30 Ἦν δὲ μακρὰν ἀπ' αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη.

31 Οἱ δὲ δαίμονες παρεκάλουν αὐτὸν, λέγοντες, Εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων.

32 Καὶ εἶπεν αὐτοῖς, Ὑπάγετε. Οἱ δὲ ἐξελθόντες ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων. Καὶ ἰδοὺ, ὥρμησε πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν.

33 Οἱ δὲ βόσκοντες ἔφυγον, καὶ ἀπελθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν πάντα, καὶ τὰ τῶν δαιμονιζομένων.

34 Καὶ ἰδοὺ, πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ· καὶ ἰδόντες αὐτὸν, παρεκάλεσαν, ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν.

29 Καὶ παρευθὺς ἔκραξαν, λέγοντες· Ἰησοῦ υἱὲ τοῦ Θεοῦ, τί ἔχομεν, νὰ κάμωμεν ἡμεῖς μὲ ἐσένα; ἦλθες ἐδῶ νὰ μᾶς βασανίσῃς προτίτερα ἀπὸ τὸν καιρόν;

30 Καὶ μακρὰ ἀπ' αὐτοὺς ἦτον ἀγέλη χοίρων πολλῶν ὅπου ἔβοσκε.

31 Καὶ οἱ δαίμονες τὸν ἐπαρακάλουν, λέγοντες· ἂν μᾶς εὐγάλλῃς, δός μας ἄδειαν νὰ ὑπᾶμεν εἰς τὴν ἀγέλην τῶν χοίρων.

32 Καὶ τοὺς εἶπε· παγένετε. καὶ ἐκεῖνοι εὐγῆκαν, καὶ ἐπῆγαν εἰς τὴν ἀγέλην τῶν χοίρων. καὶ παρευθὺς ὥρμησεν ὅλη ἡ ἀγέλη τῶν χοίρων ἀπὸ τὸν ἐγκρεμνὸν εἰς τὴν θάλασσαν, καὶ ἐπνίγησαν μέσα εἰς τὰ νερά.

33 Καὶ οἱ βοσκοὶ ἔφυγαν, καὶ ἐπῆγαν εἰς τὴν πόλιν, καὶ εἶπασιν ὅλην τὴν ὑπόθεσιν, καὶ τὰ πράγματα τῶν δαιμονισμένων.

34 Καὶ εὐθὺς ὅλη ἡ πόλις εὐγῆκε καὶ ἀπάντησε τὸν Ἰησοῦν· καὶ ὡσὰν τὸν εἶδαν, τὸν ἐπαρακάλεσαν νὰ εὔγῃ ἀπὸ τὰ σύνορά τους.

Κεφ. θ'. 9.

ΚΑῚ ἐμβὰς εἰς τὸ πλοῖον, διεπέρασε, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν.

2 Καὶ ἰδοὺ, προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βε-

ΚΑῚ ἐμβαίνωντας μέσα εἰς τὸ καράβι, ἐπέρασε, καὶ ἐπῆγεν εἰς τὴν ἐδικήν του πόλιν.

2 Καὶ παρευθὺς τοῦ ἔφεραν ἕνα παραλυτικὸν βαλμένον ἀ-

βλημένον· καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, εἶπε τῷ παραλυτικῷ· Θάρσει τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

3 Καὶ ἰδοὺ, τινὲς τῶν γραμματέων εἶπον ἐν ἑαυτοῖς· Οὗτος βλασφημεῖ.

4 Καὶ ἰδὼν ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν, Ἱνατί ὑμεῖς ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν;

5 Τί γάρ ἐστιν εὐκοπώτερον, εἰπεῖν· Ἀφέωνταί σοι αἱ ἁμαρτίαι· ἢ εἰπεῖν, Ἔγειραι καὶ περιπάτει;

6 Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας (τότε λέγει τῷ παραλυτικῷ) Ἐγερθεὶς ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.

7 Καὶ ἐγερθεὶς, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

8 Ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν, καὶ ἐδόξασαν τὸν Θεὸν, τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.

9 Καὶ παράγων ὁ Ἰησοῦς ἐκεῖθεν, εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον· καὶ λέγει αὐτῷ, Ἀκολούθει μοι· Καὶ ἀναστὰς, ἠκολούθησεν αὐτῷ.

10 Καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδού,

πάνω εἰς κρεββάτι· καὶ βλέποντας ὁ Ἰησοῦς, τὴν πίστιν τους, λέγει εἰς τὸν παραλυτικόν· ἔχε θάῤῥος παιδί μου, συγχωροῦνται αἱ ἁμαρτίαι σου.

3 Καὶ νὰ, κάποιοι ἀπὸ τοὺς γραμματεῖς ἔλεγαν ἀνάμεσά τους· ἐτοῦτος βλασφημᾷ.

4 Καὶ γνωρίζοντας ὁ Ἰησοῦς τοὺς διαλογισμούς των, εἶπεν· Διατί διαλογίζεσθε ἐσεῖς κακὰ εἰς ταῖς καρδίαις σας.

5 Ποῖον εἶναι εὐκολώτερον, νὰ εἰπῶ· σοῦ συγχωροῦνται αἱ ἁμαρτίαις· ἢ νὰ εἰπῶ· σήκω καὶ περιπάτει;

6 Καὶ διὰ νὰ ἐγνωρίσετε, ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου ἔχει ἐξουσίαν εἰς τὴν γῆν νὰ συγχωρᾷ ἁμαρτίας, τότε λέγει τοῦ παραλυτικοῦ· σήκω καὶ ἔπαρε τὸ κρεββάτι σου, καὶ σύρε εἰς τὸ σπῆτί σου.

7 Καὶ ἐσηκώθη, καὶ ἐπῆγεν εἰς τὸ σπῆτί του.

8 Καὶ βλέποντας ὁ λαὸς ἐθαύμασαν, καὶ ἐδόξασαν τὸν Θεὸν, ὁποῦ ἔδωκε τέτοιας λογῆς ἐξουσίαν εἰς τοὺς ἀνθρώπους.

9 Καὶ περνῶντας ὁ Ἰησοῦς ἀπ' ἐκεῖ, εἶδεν ἄνθρωπον, ὁποῦ ἐκάθετον εἰς τὸ κουμέρκι, καὶ τὸν ἔλεγαν Ματθαῖον· καὶ λέγει του· ἀκολούθα με. καὶ ἐσηκώθη, καὶ ἀκολούθησέ τον.

10 Καὶ ἔστοντας νὰ ἀναπαυθῇ ὁ Ἰησοῦς εἰς τὸ σπῆτί του, καὶ νά,

πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες, συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ·

11 Καὶ ἰδόντες οἱ Φαρισαῖοι, εἶπον τοῖς μαθηταῖς αὐτοῦ· Διατί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν;

12 Ὁ δὲ Ἰησοῦς ἀκούσας, εἶπεν αὐτοῖς. Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.

13 Πορευθέντες δὲ μάθετε τί ἐστιν. Ἔλεον θέλω, καὶ οὐ θυσίαν· οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν.

14 Τότε προσέρχονται αὐτῷ οἱ μαθηταὶ Ἰωάννου, λέγοντες· διατί ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλά, οἱ δὲ μαθηταί σου οὐ νηστεύουσι;

15 Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν, ἐφ' ὅσον μετ' αὐτῶν ἐστιν ὁ νυμφίος; ἐλεύσονται δὲ ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν.

16 Οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ· αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ ἱματίου καὶ χεῖρον σχίσμα γίνεται.

πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἦλθαν, καὶ ἐκάθησαν μαζὺ μὲ τὸν Ἰησοῦν καὶ μὲ τοὺς μαθητάδες του.

11 Καὶ βλέποντες οἱ Φαρισαῖοι ἔλεγον εἰς τοὺς μαθητάδες του. Διατὶ ὁ διδάσκαλός σας τρώγει μὲ τοὺς τελῶνας καὶ μὲ τοὺς ἁμαρτωλούς;

12 Καὶ ὁ Ἰησοῦς, ὡσάν τὸ ἄκουσεν, τοὺς εἶπεν· οἱ γεῤῥοὶ δὲν χρειάζονται ἰατρὸν, ἀλλὰ οἱ ἀσθενημένοι.

13 Ὑπάγετε καὶ μάθετε, τί εἶναι· ἔλεον θέλω καὶ ὄχι θυσίαν· διατὶ δὲν ἦλθα νὰ καλέσω τοὺς δικαίους, ἀλλὰ τοὺς ἁμαρτωλοὺς εἰς τὴν μετάνοιαν.

14 Τότε ἦλθασιν οἱ μαθητάδες τοῦ Ἰωάννου, καὶ λέγουσίν του· Διατὶ ἐμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλᾶ, καὶ οἱ μαθητάδες σου δὲν νηστεύουσι;

15 Καὶ εἶπέ τους ὁ Ἰησοῦς· μῆνα οἱ υἱοὶ τοῦ νυμφῶνος ἠμποροῦν νὰ εἶναι θλιμμένοι, εἰς ὅσον καιρὸν εἶναι ὁ νυμφίος μαζὺ μετ' αὐτούς; ἀμὴ θέλει ἔλθη καιρὸς, ὅπου νὰ παρθῇ ἀπ' αὐτοὺς ὁ νυμφίος, καὶ τότε θέλουσι νηστεύσει.

16 Καὶ οὐδὲ κανένας βάλλει μπάλωμα ἀπὸ πανὶ ἄτριβον εἰς φόρεμα παλαιόν· Διατὶ τὸ μπάλωμα τὸ καινούριον πέρνει ἀπὸ τὸ φόρεμα τὸ παλαιὸν, καὶ γίνεται χειρότερον σχίσμα.

17 Οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μήγε, ῥήγνυνται οἱ ἀσκοί, καὶ ὁ οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται· ἀλλὰ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς καινούς, καὶ ἀμφότερα συντηροῦνται.

18 Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς, ἰδού, ἄρχων, ἐλθὼν προσεκύνει αὐτῷ, λέγων, Ὅτι ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν· ἀλλὰ ἐλθών, ἐπίθες τὴν χεῖρά σου ἐπ' αὐτήν, καὶ ζήσεται.

19 Καὶ ἐγερθεὶς ὁ Ἰησοῦς ἠκολούθησεν αὐτῷ, καὶ οἱ μαθηταὶ αὐτοῦ.

20 (Καὶ ἰδού, γυνὴ αἱμοῤῥοοῦσα δώδεκα ἔτη, προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ.

21 Ἔλεγε γὰρ ἐν ἑαυτῇ. Ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι.

22 Ὁ δὲ Ἰησοῦς ἐπιστραφεὶς καὶ ἰδὼν αὐτήν, εἶπε. Θάρσει θύγατερ· ἡ πίστις σου σέσωκέ σε· Καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης.)

23 Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος, καὶ ἰδὼν τοὺς αὐλητάς, καὶ τὸν ὄχλον θορυβούμενον.

24 Λέγει αὐτοῖς· Αναχωρεῖτε· οὐ γὰρ ἀπέθανε τὸ κοράσιον,

17 Μὴ δὲ βάλλουσι νέον κρασὶ εἰς δερμάτια παλαιά· εἰ δὲ μή, σπάζουσι τὰ δερμάτια, καὶ τὸ κρασὶ χύνεται, καὶ τὰ δερμάτια χάνονται ἀλλὰ τὸ νέον κρασὶ τὸ βάλλουσιν εἰς καινούρια δερμάτια, καὶ φυλάττονται καὶ τὰ δύο.

18 Καὶ λέγωντας ἐτοῦτα τὰ λόγια, νά, καὶ ἦλθεν ἕνας ἄρχωντας, καὶ τὸν ἐπροσκύνησε καὶ λέγει του· ἡ θυγατέρα μου ἀπὸ τῶρα ἀπέθανε· ἀλλὰ ἔλα, βάλλε τὸ χέρι σου ἀπάνω της καὶ θέλει ζήσει.

19 Καὶ ἐσηκώθη ὁ Ἰησοῦς καὶ ἀκολούθησέν του, καὶ οἱ μαθητάδες του μαζύ.

20 (Καὶ νά, καὶ μία γυναῖκα, ὁποῦ εἶχε κίνησιν αἵματος δώδεκα χρόνους, ἐσήμωσεν ὀπίσω, καὶ ἐπίασε τὴν ἄκραν τοῦ φορέματός του.

21 Διατὶ ἔλεγ μέσα της· ἂν πιάσω μοναχᾶ τὸ φόρεμά του, θέλω ἰατρευθῆ.

22 Καὶ ὁ Ἰησοῦς ἐγύρισε καὶ εἶδέν την καὶ λέγει· ὦ θύγατερ, ἔχε θάῤῥος· ἡ πίστις σου σε ἔσωσε· καὶ ἰατρεύθη ἡ γυναῖκα ἀπὸ τὴν ὥραν ἐκείνην.)

23 Καὶ ὡσὰν ἦλθεν εἰς τὸ σπῆτι τοῦ ἄρχοντος, καὶ εἶδε τοὺς μυρολογητάδες, καὶ τὸν λαὸν ὁποῦ ἐσυγχίζουνταν,

24 Λέγει τους σύρτε ἀπ' αὐτοῦ· Διατὶ τὸ κοράσιον δὲν ἀ-

ἀλλὰ καθεύδει. Καὶ κατεγέ-
λων αὐτοῦ.
25 Ὅτε δὲ ἐξεβλήθη ὁ ὄχ-
λος, εἰσελθὼν ἐκράτησε τῆς
χειρὸς αὐτῆς· καὶ ἠγέρθη τὸ
κοράσιον.
26 Καὶ ἐξῆλθεν ἡ φήμη αὕ-
τη εἰς ὅλην τὴν γῆν ἐκείνην.
27 Καὶ παράγοντι ἐκεῖθεν
τῷ Ἰησοῦ, ἠκολούθησαν αὐτῷ δύο
τυφλοὶ, κράζοντες, καὶ λέγον-
τες, Ἐλέησον ἡμᾶς υἱὲ Δαβίδ.
28 Ἐλθόντι δὲ εἰς τὴν οἰκίαν,
προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ
λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πιστεύε-
τε, ὅτι δύναμαι τοῦτο ποιῆσαι;
Λέγουσιν αὐτῷ, Ναὶ Κύριε.
29 Τότε ἥψατο τῶν ὀφθαλ-
μῶν αὐτῶν, λέγων, Κατὰ τὴν
πίστιν ὑμῶν γενηθήτω ὑμῖν.
30 Καὶ ἀνεῴχθησαν αὐτῶν
οἱ ὀφθαλμοί. καὶ ἐνεβριμήσατο
αὐτοῖς ὁ Ἰησοῦς, λέγων, Ὁρᾶτε
μηδεὶς γινωσκέτω.
31 Οἱ δὲ ἐξελθόντες διεφήμι-
σαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ.
32 Αὐτῶν δὲ ἐξερχομένων,
ἰδοὺ, προσήνεγκαν αὐτῷ ἄνθρω-
πον κωφὸν δαιμονιζόμενον.
33 Καὶ ἐκβληθέντος τοῦ δαι-
μονίου, ἐλάλησεν ὁ κωφός· καὶ
ἐθαύμασαν οἱ ὄχλοι, λέγοντες,
Ὅτι οὐδέποτε ἐφάνη οὕτως ἐν
τῷ Ἰσραήλ.

πέθανεν, ἀμὴ κοιμᾶται. καὶ
τὸν ἀναγελοῦσαν.
25 Καὶ ὡσὰν εὐγῆκεν ὁ λα-
ὸς ἔξω, ἐμβῆκε μέσα ὁ Ἰησοῦς,
καὶ ἐπίασεν τὸ κοράσιον ἀπὸ
τὸ χέρι· καὶ ἐσηκώθη ἀπάνω.
26 Καὶ εὐγῆκεν ἡ φήμη του
εἰς ὅλην τὴν γῆν ἐκείνην.
27 Καὶ περνῶντας ἀπ' ἐκεῖ ὁ
Ἰησοῦς, τὸν ἀκολούθησαν δύο τυ-
φλοὶ, καὶ ἐφώναζαν, καὶ ἔλεγαν·
ὦ υἱὲ τοῦ Δαβὶδ, ἐλέησόν μας.
28 Καὶ ὡσὰν ἔφθασεν εἰς τὸ
σπῆτι, ἦλθαν καὶ οἱ τυφλοὶ, καὶ
λέγει τους ὁ Ἰησοῦς· πιστεύετε,
πῶς δύναμαι νὰ τὸ κάμω τοῦτο;
καὶ λέγουν του· ναὶ, αὐθέντη.
29 Τότε ἐπίασε τὰ μάτιά
τους, καὶ λέγει τους· κατὰ τὴν
πίστιν σας ἂς σᾶς γένη.
30 Καὶ ἀνοίχθησαν τὰ
μάτιά τους· καὶ ὁ Ἰησοῦς μὲ φο-
βερισμὸν τοὺς ἐπρόσταξε, λέγον-
τας· βλέπετε ἂς μὴν τὸ ἰξεύρῃ
τινάς.
31 Καὶ ἐκεῖνοι ὡσὰν εὐγῆ-
καν ἔξω, τὸν εὐφήμησαν εἰς
ὅλην τὴν γῆν ἐκείνην.
32 Καὶ ὡσὰν εὐγῆκαν αὐ-
τοὶ, νὰ, καὶ τοῦ ἔφεραν ἕναν ἄν-
θρωπον βουβὸν δαιμονισμένον.
33 Καὶ ὡσὰν εὐγῆκε τὸ
δαιμόνιον, ἐσύντυχεν ὁ βουβός·
καὶ ἐθαύμασαν οἱ ὄχλοι, καὶ
ἔλεγαν· οὐδέποτε ἐφάνη τέτοι-
ας λογῆς εἰς τὸ γένος τοῦ Ἰσ-
ραήλ.

34 Οἱ δὲ Φαρισαῖοι ἔλεγον, Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.

34 Ἀμὴ οἱ Φαρισαῖοι ἔλεγον· μὲ τὸν ἄρχοντα τῶν δαιμόνων ἐτοῦτος εὐγάνει τὰ δαιμόνια.

35 Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

35 Καὶ ὁ Ἰησοῦς ἐτριγύρισεν ὅλαις ταῖς πόλαις καὶ ταῖς χώραις, διδάσκωντας εἰς τὰ συναγώγιά τους, καὶ κηρύττωντας τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ ἰατρεύωντας κάθε λογῆς ἀσθένιαις καὶ ἀχαμνοσύνην εἰς τὸν λαόν.

36 Ἰδὼν δὲ τοὺς ὄχλους, ἐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι ἦσαν ἐκλελυμένοι καὶ ἐῤῥιμμένοι ὡσεὶ πρόβατα μὴ ἔχοντα ποιμένα.

36 Καὶ ὁ Ἰησοῦς βλέπωντας τὸν ὄχλον, τοὺς ἐσπλαγχνίσθη, ὅτι ἦταν ἀποσταμένοι καὶ σκορπισμένοι ὡσὰν πρόβατα ὁποῦ δὲν ἔχουν ποιμένα.

37 Τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ· Ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι·

37 Τότε λέγει εἰς τοὺς μαθητάδες του· τὸ θέρος εἶναι πολὺ, ἀμὴ οἱ ἐργάταις εἶναι ὀλίγοι.

31 Δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

38 Παρακαλέσετε λοιπὸν τὸν αὐθέντην τοῦ θέρους, νὰ βάλῃ ἐργάταις εἰς τὸ θέρος του.

Κεφ. ι. 10.

ΚΑΙ` προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν.

ΚΑΙ` ἐπροσκάλεσε τοὺς δώδεκα μαθητάδες, καὶ τοὺς ἔδωσεν ἐξουσίαν ἐναντίον τῶν πνευμάτων τῶν ἀκαθάρτων νὰ τὰ ευγάλουν, καὶ νὰ ἰατρεύουσι κάθε λογῆς ἀῤῥωστίαν καὶ κάθε λογῆς ἀχαμνοσύνην.

2 Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα· πρῶτος, Σίμων ὁ λεγόμενος Πέτρος, καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ· Ἰάκωβος ὁ τοῦ Ζε-

2 Καὶ τῶν δώδεκα ἀποστόλων τὰ ὀνόματα εἶναι ἐτοῦτα· πρῶτος εἶναι ὁ Σίμων, ὁποῦ λέγεται Πέτρος, καὶ Ἀνδρέας ὁ ἀδελφός του· Ἰάκωβος ὁ υἱὸς τοῦ

βεδαίου καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ.

3 Φίλιππος, καὶ Βαρθολομαῖος· Θωμᾶς, καὶ Ματθαῖος ὁ τελώνης· Ἰάκωβος ὁ τοῦ Ἀλφαίου, καὶ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος·

4 Σίμων ὁ Κανανίτης, καὶ Ἰούδας ὁ Ἰσκαριώτης, ὁ καὶ παραδοὺς αὐτόν.

5 Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς, λέγων, Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε·

6 Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.

7 Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες· Ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν.

8 Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

9 Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν.

10 Μὴ πήραν εἰς ὁδὸν, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα, μηδὲ ῥάβδον· ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν.

11 Εἰς ἣν δ' ἂν πόλιν ἢ κώμην εἰσέλθητε ἐξετάσατε, τίς ἐν

Ζεβεδαίου, καὶ Ἰωάννης ὁ ἀδελφός του.

3 Φίλιππος, καὶ Βαρθολομαῖος· Θωμᾶς, καὶ Ματθαῖος ὁ τελώνης· Ἰάκωβος ὁ υἱὸς τοῦ Ἀλφαίου, καὶ Λεββαῖος, ὁ ὁποῖος ἐπωνομάσθη Θαδδαῖος.

4 Σίμων ὁ Κανανίτης, καὶ Ἰούδας ὁ Ἰσκαριώτης, ἐκεῖνος ὁποῦ καὶ τὸν ἐπαράδωκε.

5 Ἐτούτους τοὺς δώδεκα τοὺς ἔστειλεν ὁ Ἰησοῦς, καὶ τοὺς ἐπαράγγειλε, λέγωντας· εἰς τὴν στράταν τῶν ἐθνῶν νὰ μὴν πηγένετε, καὶ εἰς τὴν πόλιν τῶν Σαμαρειτῶν νὰ μὴν ἐμβῆτε.

6 Ἀλλὰ περισσότερον νὰ πηγένετε εἰς τὰ πρόβατα τὰ χαμένα τοῦ σπητίου τοῦ Ἰσραήλ.

7 Καὶ πηγένοντες κηρύττετε, λέγοντες· ὅτι ἐσήμωσεν ἡ βασιλεία τῶν οὐρανῶν.

8 Τοὺς ἀσθενημένους ἰατρεύετε, τοὺς λεπροὺς καθαρίζετε, τοὺς νεκροὺς ἀναστήνετε, τὰ δαιμόνια εὐγάλετε· χάρισμα τὸ ἐπήρετε, χάρισμα τὸ δίδετε.

9 Νὰ μὴν ἀποκτήσετε χρυσάφι, μηδὲ ἀσήμι, μηδὲ χάλκωμα εἰς τὰ ζωνάριά σας.

10 Μὴ δὲ σακκοῦλι εἰς τὴν στράταν, μηδὲ δύο φορέματα, μηδὲ ὑποδήματα, μηδὲ ῥαβδί· Διατὶ ὁ ἐργάτης εἶναι ἄξιος διὰ τὴν τροφήν του.

11 Καὶ εἰς ὅποιαν πόλιν ἢ χώραν ἐμβῆτε, ἐξετάξετε, τίς

αὐτῇ ἄξιός ἐστι, κἀκεῖ μείνατε ἕως ἂν ἐξέλθητε.

12 Εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν, ἀσπάσασθε αὐτήν.

13 Καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω.

14 Καὶ ὃς ἐὰν μὴ δέξηται ὑμᾶς μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι τῆς οἰκίας ἢ τῆς πόλεως ἐκείνης, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν.

15 Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥων ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ.

16 Ἰδοὺ, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.

17 Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς.

18 Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν.

19 Ὅταν δὲ παραδιδῶσιν

εἶναι εἰς αὐτὴν ἄξιος, καὶ ἐκεῖ μείνατε ἕως ὅπου νὰ εὐγῆτε.

12 Καὶ ὅταν ἐμβῆτε μέσα εἰς τὸ σπῆτι, νὰ τὸ χαιρετᾶτε (λέγοντες· εἰρήνη εἰς τὸ σπῆτι τοῦτο.)

13 Καὶ ἂν εἶναι τὸ σπῆτι ἄξιον, ἃς ἔλθῃ ἡ εἰρήνη σας εἰς αὐτό· ἂν δὲν εἶναι ἄξιον, ἡ εἰρήνη σας ἃς γυρίσῃ εἰς ἐσᾶς.

14 Καὶ ὅποιος δὲν σᾶς δεχθῇ, μηδὲ ἀκούσῃ τὰ λόγιά σας, ὅταν εὐγῆτε ἀπὸ τὸ σπῆτι, ἢ ἀπὸ τὴν πόλιν ἐκείνην, τινάξετε τὴν σκόνην τῶν ποδαριῶν σας.

15 Βέβαια σᾶς λέγω· πλέον συμπάθιον θέλει εἶσθαι εἰς τὴν γῆν τῶν Σοδόμων καὶ τῶν Γομόῤῥων εἰς τὴν ἡμέραν τῆς κρίσεως, παρὰ εἰς τὴν πόλιν ἐκείνην.

16 Νὰ ὅπου σᾶς πέμπω ὡσὰς πρόβατα μέσα εἰς τοὺς λύκους· γενεῖτε τὸ λοιπὸν φρόνιμοι ὡσὰν τὰ φίδια, καὶ ἁπλοὶ ὡσὰν τὰ περιστέρια.

17 Καὶ ἔχετε τὸν νοῦν σας ἀπὸ τοὺς ἀνθρώπους· Διατὶ θέλουν σᾶς παραδώσει εἰς τὰ δικαστήρια, καὶ μέσα εἰς ταῖς συναγωγαῖς των θέλουν σᾶς δείρει.

18 Καὶ θέλετε φερθῆ ὀμπροστᾶ εἰς αὐθεντάδες καὶ βασιλεῖς διὰ λόγου μου, διὰ μαρτυρίαν εἰς αὐτοὺς καὶ εἰς τὰ ἔθνη.

19 Καὶ ὅταν σᾶς παραδί-

ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τι λαλήσετε.

20 Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν.

21 Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς.

22 Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

23 Ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην. ἀμὴν γὰρ λέγω ὑμῖν, οὐ μὴ τελέσητε τὰς πόλεις τοῦ Ἰσραὴλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου.

24 Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ.

25 Ἀρκετὸν τῷ μαθητῇ, ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ· καὶ ὁ δοῦλος ὡς ὁ κύριος αὐτοῦ. εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ;

26 Μὴ οὖν φοβηθῆτε αὐτούς· οὐδὲν γάρ ἐστι κεκαλυμμένον, ὃ οὐκ ἀποκαλυφθήσε-

δουν, μὴν ἐγνοιασθῆτε, πῶς ἢ τί θέλετε λαλήσει· Διατὶ θέλει σᾶς δοθῆ εἰς ἐκείνην τὴν ὥραν, τί θέλετε λαλήσει.

20 Διατὶ δὲν εἶσθε ἐσεῖς, ὁποῦ καλεῖτε, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρός σας, ὁποῦ λαλεῖ εἰς ἐσᾶς.

21 Καὶ ἀδελφὸς ἀδελφὸν θέλει παραδώσει εἰς θάνατον, καὶ ὁ πατὴρ τὸ παιδί του· καὶ θέλουν σηκωθῆ τὰ παιδία καταπάνω εἰς τοὺς γονεῖς τους, καὶ θέλουν τοὺς θανατώσει.

22 Καὶ θέλετε εἶσθαι μισημένοι ἀπὸ ὅλους διὰ τὸ ὄνομά μου· ἀμὴ ὅποιος ὑπομείνει ἕως εἰς τὸ τέλος, θέλει σωθῆ.

23 Καὶ ὅταν σᾶς διώκουν εἰς τούτην τὴν πόλιν, φεύγετε εἰς τὴν ἄλλην· Διατὶ βέβαια σᾶς λέγω, δὲν θέλετε τελειώσει τὰς πόλεις τοῦ Ἰσραὴλ, ἕως ὁποῦ νὰ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου.

24 Δὲν εἶναι μαθητὴς παραπάνω ἀπὸ τὸν διδάσκαλόν του, οὐ δὲ δουλευτὴς ἀπὸ τὸν αὐθέντην του.

25 Φθάνει εἰς τὸν μαθητὴν, νὰ γένῃ ὡσὰν ὁ διδάσκαλός του· καὶ ὁ δουλευτὴς, ὡσὰν ὁ αὐθέντης του· ἀνίσως καὶ τὸν αὐθέντην τοῦ σπητίου ἐκάλεσαν Βεελζεβοὺλ, πόσω μᾶλλον τοὺς ἐδικούς του;

26 Μὴν τοὺς φοβηθῆτε λοιπόν· Διατὶ δὲν εἶναι κανένα σκεπασμένον, ὁποῦ νὰ μὴν ξεσκε-

ται, καὶ κρυπτὸν, ὃ ȣ̓ γνωσθήσεται.

27 Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὃ εἰς τὸ ȣ̓̃ς ἀκȣ́ετε, κηρύξατε ἐπὶ τῶν δωμάτων.

28 Καὶ μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ.

29 Οὐχὶ δύο στρȣθία ἀσσαρίȣ πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν ȣ̓ πεσεῖται ἐπὶ τὴν γῆν, ἄνευ τȣ̃ πατρὸς ὑμῶν;

30 Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσί.

31 Μὴ ȣ̓̃ν φοβηθῆτε· πολλῶν στρȣθίων διαφέρετε ὑμεῖς.

32 Πᾶς ȣ̓̃ν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τȣ̃ πατρός μȣ, τȣ̃ ἐν ȣ̓ρανοῖς.

33 Ὅστις δ᾽ ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τȣ̃ πατρός μȣ τȣ̃ ἐν ȣ̓ρανοῖς.

34 Μὴ νομίσητε, ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν·

πασθῇ, καὶ κρυφὸν, ὁπȣ̃ να μὴν γνωρισθῇ.

27 Ἐτȣ̃το, ὁπȣ̃ σᾶς λέγω εἰς τὸ σκότος, νὰ τὸ εἰπῆτε εἰς τὸ φῶς· καὶ τȣ̃το, ὁπȣ̃ ἀκȣ́ετε κρυφᾶ εἰς τὸ αὐτὶ, νὰ τὸ κηρύξετε ἀπάνω εἰς τὰ δώματα.

28 Καὶ μὴν φοβηθῆτε ἀπ᾽ ἐκείνȣς, ὁπȣ̃ φονεύȣν τὸ κορμὶ, καὶ τὴν ψυχὴν δὲν δύνȣνται νὰ τὴν φονεύσουν· ἀλλὰ περισσότερον πρέπει νὰ φοβηθῆτε ἐκεῖνον, ὁπȣ̃ δύνεται νὰ χαλάσῃ καὶ τὴν ψυχὴν καὶ τὸ κορμὶ εἰς τὴν γέενναν.

29 Δὲν πȣλȣ̃νται δύο πȣλία διὰ ἕνα ἄσπρον, καὶ ἕνα ἀπ᾽ αὐτὰ δὲν θέλει πέσει εἰς τὴν γῆν χωρὶς τοῦ πατρός σας;

30 Ἀμὴ ἐσᾶς καὶ ἡ τρίχαις ὅλαις τῆς κεφαλῆς σας εἶναι μετρημέναις.

31 Μὴν φοβᾶσθε λοιπόν· ἀπὸ πολλὰ πȣλία διαφέρετε ἐσεῖς.

32 Πᾶς ἄνθρωπος λοιπόν, ὁπȣ̃ ὁμολογήσει εἰς ἐμένα ὀμπροστὰ εἰς τȣ̀ς ἀνθρώπȣς, θέλω ὁμολογήσει καὶ ἐγὼ εἰς αὐτὸν ὀμπροστὰ εἰς τὸν πατέρα μȣ τὸν ȣ̓ράνιον.

33 Καὶ ὅποιος μὲ ἀρνηθῇ ὀμπροστὰ εἰς τȣ̀ς ἀνθρώπȣς, θέλω τὸν ἀρνηθῆ καὶ ἐγὼ ὀμπροστὰ εἰς τὸν πατέρα μȣ τὸν ȣ̓ράνιον.

34 Μὴν λογιάσετε, ὅτι ἦλθα νὰ βάλλει εἰρήνην εἰς τὴν

οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλ-
λὰ μάχαιραν.
35 Ἦλθον γὰρ διχάσαι ἄν-
θρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ,
καὶ θυγατέρα κατὰ τῆς μητρὸς
αὐτῆς, καὶ νύμφην κατὰ τῆς
πενθερᾶς αὐτῆς.
36 Καὶ ἐχθροὶ τοῦ ἀνθρώπου,
οἱ οἰκιακοὶ αὐτοῦ.
37 Ὁ φιλῶν πατέρα ἢ μη-
τέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου
ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ
θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι
μου ἄξιος.
38 Καὶ ὃς οὐ λαμβάνει τὸν
σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ
ὀπίσω μου, οὐκ ἔστι μου ἄξι-
ος.
39 Ὁ εὑρὼν τὴν ψυχὴν
αὐτοῦ, ἀπολέσει αὐτήν· καὶ ὁ
ἀπολέσας τὴν ψυχὴν αὐτοῦ
ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν.
40 Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ
δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος
δέχεται τὸν ἀποστείλαντά με.
41 Ὁ δεχόμενος προφή-
την εἰς ὄνομα προφήτου, μι-
σθὸν προφήτου λήψεται· καὶ
ὁ δεχόμενος δίκαιον εἰς ὄνομα
δικαίου, μισθὸν δικαίου λή-
ψεται.
42 Καὶ ὃς ἐὰν ποτίσῃ ἕνα
τῶν μικρῶν τούτων ποτήριον
ψυχροῦ μόνον, εἰς ὄνομα μα-

γῆν· δὲν ἦλθα νὰ βάλλω εἰρή-
νην, ἀλλὰ σπαθί.
35 Διατὶ ἐγὼ ἦλθα νὰ δια-
χωρίσω ἄνθρωπον ἐναντίον τοῦ
πατρός του, καὶ θυγατέρα ἐναν-
τίον τῆς μητρός της, καὶ νύμφην
ἐναντίον τῆς πενθερᾶς της.
36 Καὶ ἐχθροὶ τοῦ ἀνθρώπου
νὰ εἶναι οἱ οἰκιακοί του.
37 Ἐκεῖνος, ὅπου ἀγαπᾶ
πατέρα ἢ μητέρα περισσότερον
ἀπὸ ἐμένα, δὲν εἶναι ἄξιος
διὰ λόγου μου· καὶ ὅποιος ἀγα-
πᾶ υἱὸν ἢ θυγατέρα περισσότε-
ρον ἀπὸ ἐμένα, δὲν εἶναι ἄξι-
ος διατεμένα.
38 Καὶ ὅποιος δὲν πέρνει
τὸν σταυρόν του, καὶ νὰ ἀκολουθᾶ
ὀπίσω μου, δὲν εἶναι ἄξιος διὰ
λόγου μου.
39 Ἐκεῖνος, ὅπου εὕρει
τὴν ζωήν του, θέλει τὴν χάσει·
καὶ ἐκεῖνος, ὅπου τὴν χάσει
διὰ λόγου μου, θέλει τὴν εὕρει.
40 Ἐκεῖνος, ὅπου δέχεται
ἐσᾶς, ἐμένα δέχεται· καὶ
ὅποιος δέχεται ἐμένα, δέχεται
ἐκεῖνον, ὅπου μὲ ἔστειλε.
41 Ἐκεῖνος, ὅπου δέχεται
προφήτην εἰς ὄνομα προφήτου,
θέλει πάρει πληρωμὴν προφή-
του· καὶ ἐκεῖνος, ὅπου δέχεται
δίκαιον εἰς ὄνομα δικαίου, θέλει
πάρει πληρωμὴν δικαίου.
42 Καὶ ὅποιος ἐὰν ποτίσῃ
ἕνα ἀπὸ τούτους τοὺς μικροὺς ἕνα
ποτήριον νερὸν κρυὸν εἰς ὄνομα

θητȣ͂, ἀμὴν λέγω ὑμῖν, ȣ̓ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτȣ͂.

μαθητȣ͂, βέβαια σᾶς λέγω, δὲν θέλει χάσει τὲν πληρωμήν τȣ.

Κεφ. ιά. 11.

ΚΑΙ' ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησȣ͂ς διατάσσων τοῖς δώδεκα μαθηταῖς αὐτȣ͂, μετέβη ἐκεῖθεν, τȣ͂ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν.

2 Ὁ δὲ Ἰωάννης ἀκȣ́σας ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τȣ͂ Χριςȣ͂, πέμψας δύο τῶν μαθητῶν αὐτȣ͂,

3 Εἶπεν αὐτῷ· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;

4 Καὶ ἀποκριθεὶς ὁ Ἰησȣ͂ς, εἶπεν αὐτοῖς· Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ, ἃ ἀκȣ́ετε καὶ βλέπετε.

5 Τυφλοὶ ἀναβλέπȣσι, καὶ χωλοὶ περιπατȣ͂σι, λεπροὶ καθαρίζονται, καὶ κωφοὶ ἀκȣ́ȣσι, νεκροὶ ἐγείρονται, καὶ πτωχοὶ αὐεγγελίζονται.

6 Καὶ μακάριός ἐςιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί.

7 Τȣ́των δὲ πορευομένων, ἤρξατο ὁ Ἰησȣ͂ς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννȣ· Τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμȣ σαλευόμενον;

8 Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ, οἱ τὰ

ΚΑΙ' ἔγινεν, ὡσὰν ἐτελείωσεν ὁ Ἰησȣ͂ς νὰ διατάσσῃ τȣ̀ς δώδεκα μαθητάδες τȣ, ἐδιέβη ἀπ' ἐκεῖ νὰ διδάσκῃ καὶ νὰ κηρύττῃ εἰς τὰς πόλεις αὐτῶν.

2 Καὶ ὁ Ἰωάννης ἔςοντας νὰ ἀκȣ́σῃ μέσα εἰς τὴν φυλακὴν τὰ ἔργα τȣ͂ Χριςȣ͂, ἔπεμψε δύο ἀπὸ τȣ̀ς μαθητάδες τȣ.

3 Καὶ λέγει τȣ· ἐσὺ εἶσαι ἐκεῖνος, ὁπȣ͂ μέλλει νὰ ἔλθῃ, ἢ ἄλλον καρτερȣ͂μεν;

4 Καὶ ὁ Ἰησȣ͂ς ἀπεκρίθη καὶ εἶπέν τȣς· πηγένοντες εἰπέτε τȣ͂ Ἰωάννȣ ἐτȣ͂τα, ὁπȣ͂ βλέπετε καὶ ἀκȣ́ετε.

5 Τυφλοὶ ἀναβλέπȣσι, κȣλοὶ περιπατȣ͂σι, λεπροὶ καθαρίζονται, καὶ κȣφοὶ ἀκȣ́ȣσι, νεκροὶ ἀναςήνονται, καὶ οἱ πτωχοὶ εὐαγγελίζονται.

6 Καὶ καλότυχος εἶναι ἐκεῖνος, ὁπȣ͂ δὲν σκανδαλισθῇ εἰς τȣ͂ λόγȣ μȣ.

7 Καὶ πηγένοντες ἐτȣ͂τοι, ἄρχησεν ὁ Ἰησȣ͂ς νὰ λέγῃ εἰς τὸν λαὸν διὰ τὸν Ἰωάννην· τί εὐγήκετε εἰς τὴν ἔρημον νὰ εἴδῆτε, καλάμι, ὁπȣ͂ ταράσσεται ἀπὸ τὸν ἄνεμον;

8 Ἀλλὰ τί εὐγήκετε νὰ εἰδῆτε; ἄνθρωπον ςολισμένον μὲ μαλακὰ φορέματα; νὰ, ἐκεῖ-

μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν.

9 Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; προφήτην; ναὶ, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου.

10 Οὗτος γάρ ἐστι, περὶ οὗ γέγραπται· Ἰδοὺ, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.

11 Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν.

12 Ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ Βαπτιστοῦ ἕως ἄρτι ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν.

13 Πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου προεφήτευσαν.

14 Καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι.

15 Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

16 Τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην; ὁμοία ἐστὶ παιδαρίοις ἐν ἀγοραῖς καθημένοις, καὶ προσφωνοῦσι τοῖς ἑταίροις αὐτῶν,

17 Καὶ λέγουσιν· Ηὐλήσα-

νοι, ὁποῦ φοροῦσι τὰ μαλακὰ, εἶναι μέσα εἰς τὰ σπήτια τὰ βασιλικά.

9 Ἀλλὰ τί εὐγήκετε νὰ εἰδῆτε; προφήτην; ναὶ λέγω σας, καὶ περισσότερον ἀπὸ προφήτην.

10 Διατὶ ἐτοῦτος εἶναι ἐκεῖνος, διὰ τὸν ὁποῖον ἐγράφη· νὰ, ὁποῦ ἐγὼ στέλλω τὸν ἄγγελόν μου ὀμπροστά σου, ὁ ὁποῖος θέλει ἑτοιμάσει τὴν στράταν σου ἔμπροσθέν σου.

11 Βέβαια σᾶς λέγω, δὲν ἐσηκώθη ἀπὸ ἐκείνους, ὁποῦ ἐγεννήθησαν ἀπὸ γυναῖκες, μεγαλίτερος ἀπὸ τὸν Ἰωάννην τὸν Βαπτιστήν· ἀμὴ ὁ μικρότερος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, εἶναι μεγαλίτερος ἀπ' αὐτόν.

12 Καὶ ἀπὸ ταῖς ἡμέραις τοῦ Ἰωάννου τοῦ Βαπτιστοῦ ἕως τώρα ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ οἱ βιασταὶ τὴν ἁρπάζουσι.

13 Διατὶ ὅλοι οἱ προφῆται καὶ ὁ νόμος ἕως τοῦ Ἰωάννου ἐπροφήτευσαν.

14 Καὶ ἂν θέλετε νὰ τὸν δεχθῆτε, αὐτὸς εἶναι ὁ Ἡλίας, ὁποῦ ἔμελλε νὰ ἔλθῃ.

15 Ὅποιος ἔχει αὐτία νὰ ἀκούῃ, ἂς ἀκούῃ.

16 Καὶ μὲ τί νὰ παρομοιάσω τὴν γενεὰν ἐτούτην; ὁμοιάζει παιδία μικρὰ, ὁποῦ κάθουνται εἰς τοὺς φόρους, καὶ λαλοῦσιν εἰς τοὺς συντρόφους των,

17 Καὶ λέγουν· ἐμεῖς σᾶς

μεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε.

18 Ἦλθε γὰρ Ἰωάννης μήτε ἐσθίων, μήτε πίνων· καὶ λέγουσι· Δαιμόνιον ἔχει.

19 Ἦλθεν ὁ υἱὸς τοῦ ἀθρώπου ἐσθίων καὶ πίνων· καὶ λέγουσιν· Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν. καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς.

20 Τότε ἤρξατο ὀνειδίζειν τὰς πόλεις, ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν.

21 Οὐαί σοι Χοραζὶν, οὐαί σοι Βηθσαϊδάν· ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν.

22 Πλὴν λέγω ὑμῖν· Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ ὑμῖν.

23 Καὶ σὺ Καπερναοὺμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ· ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοὶ, ἔμειναν ἂν μέχρι τῆς σήμερον.

ἐπαίξαμεν, καὶ ἐσεῖς δὲν ἐχορέψετε· σᾶς ἐμυρολογήσαμεν, καὶ δὲν ἐλυπηθήκετε.

18 Διατὶ ἦλθεν ὁ Ἰωάννης, ὁποῦ μηδὲ ἔτρωγεν, μηδὲ ἔπινεν· καὶ λέγουσιν, ὅτι δαιμόνιον ἔχει.

19 Ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁποῦ τρώγει καὶ πίνει· καὶ λέγουσιν· νὰ, ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος τῶν τελώνιδων καὶ τῶν ἁμαρτωλῶν. ἀμὴ ἡ σοφία ἐδικαιώθη ἀπὸ τὰ παιδιά της.

20 Τότε ἄρχισε νὰ ὀνειδίζῃ τὰς πόλεις, εἰς ταῖς ὁποίαις ἐγίνουνταν αἱ περισσότεραίς του δυνάμεις, ὅτι δὲν ἐμετανόησαν.

21 Αἐιλύμονον εἰς ἐσένα Χωραζὶν, αἐιλύμονον εἰς ἐσένα Βηθσαϊδά· ὅτι αἱ δυνάμαις, ὁποῦ ἐγίνηκαν εἰς ἐσᾶς, ἐὰν ἐγίνουνταν εἰς τὴν Τύρον καὶ εἰς τὴν Σιδῶνα, κἄποτε ἤθελαν μετανοήσῃ (νὰ βάλλουσι) σάκκους καὶ στάκταις.

22 Μὲ ὅλον τοῦτο λέγω σας· εἰς τὴν ἡμέραν τῆς κρίσεως πλέον συμπάθιον θέλει εἶσθαι εἰς τὴν Τύρον καὶ εἰς τὴν Σιδῶνα, παρὰ εἰς ἐσᾶς.

23 Καὶ σὺ Καπερναοὺμ, ὁποῦ ὑψώθης ἕως εἰς τὸν οὐρανὸν, θέλεις καταβιβασθῇ, ἕως τὸν ἅδην· διατὶ αἱ δυνάμαις, ὁποῦ ἔγιναν εἰς ἐσένα, ἐὰν ἐγίνουνταν εἰς τὰ Σόδομα, ἤθελαν μείνῃ ἕως τὴν σήμερον.

24 Πλὴν λέγω ὑμῖν, ὅτι γῇ Σοδόμων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ σοί.

25 Ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν. Ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις.

26 Ναὶ ὁ πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

27 Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι.

28 Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

29 Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν.

30 Ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

24 Ὅμως λέγω σας, ὅτι πλέον συμπάθιον θέλει εἶσθαι εἰς τὰ Σόδομα εἰς τὴν ἡμέραν τῆς κρίσεως, παρὰ εἰς ἐσένα.

25 Εἰς ἐκείνην τὴν ὥραν ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν· εὐχαριστῶ σε, πάτερ, αὐθέντη τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι τὰ ἔκρυψες ἐτοῦτα ἀπὸ τοὺς σοφοὺς καὶ τοὺς φρονίμους, καὶ τὰ ἐφανέρωσες εἰς τὰ νήπια.

26 Ναὶ βέβαια ὦ πάτερ, ὅτι ἔτζι σοῦ ἄρεσε.

27 Ὅλα μοῦ ἐπαραδόθηκαν ἀπὸ τὸν πατέρα μου· καὶ οὐδένας γνωρίζει τὸν υἱὸν, παρὰ ὁ πατήρ· οὐδὲ γνωρίζει τινὰς τὸν πατέρα, παρὰ ὁ υἱὸς, καὶ εἰς ὅποιον θέλει ὁ υἱὸς νὰ τοῦ τὸ φανερώσῃ.

28 Ἐλᾶτε εἰς ἐμένα ὅλοι οἱ κοπιασμένοι καὶ οἱ φορτωμένοι, καὶ ἐγὼ θέλω σᾶς ἀναπαύσει.

29 Ἐπάρετε τὸν ζυγόν μου ἀπάνω σας, καὶ μάθετε ἀπὸ ἐμένα, ὅτι εἶμαι ἥμερος καὶ ταπεινὸς εἰς τὴν καρδίαν· καὶ θέλετε εὕρει ἀνάπαυσιν εἰς ταῖς ψυχαῖς σας.

30 Διατὶ ὁ ζυγός μου εἶναι καλὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν.

Κεφ. ιβ'. 12.

ἘΝ ἐκείνῳ τῷ καιρῷ ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασι διὰ τῶν σπορίμων· οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν, καὶ

ΕἸς ἐκεῖνον τὸν καιρὸν ἐπῆγεν ὁ Ἰησοῦς τὰ σάββατα ἀπὸ μέσα ἀπὸ ταῖς σποραῖς· καὶ οἱ μαθητάδες του ἐπείνασαν, καὶ

ἤρξαντο τίλλειν στάχυας, καὶ ἐσθίειν.

2 Οἱ δὲ Φαρισαῖοι ἰδόντες, εἶπον αὐτῷ, Ἰδȣ, οἱ μαθηταί σȣ ποιȣσιν, ὃ οὐκ ἔξεστι ποιεῖν ἐν σαββάτῳ.

3 Ὁ δὲ εἶπεν αὐτοῖς· Οὐκ ἀνέγνωτε, τί ἐποίησε Δαβὶδ, ὅτε ἐπείνασεν αὐτὸς, καὶ οἱ μετ' αὐτȣ;

4 Πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τȣ Θεȣ, καὶ τȣς ἄρτȣς τῆς προθέσεως ἔφαγεν, ȣς οὐκ ἐξὸν ἦν αὐτῷ φαγεῖν, ȣδὲ τοῖς μετ' αὐτȣ, εἰ μὴ τοῖς ἱερεῦσι μόνοις;

5 Ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ, ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον βεβηλȣσι, καὶ ἀναίτιοί εἰσι;

6 Λέγω δὲ ὑμῖν, ὅτι τȣ ἱερȣ μείζων ἐστὶν ὧδε.

7 Εἰ δὲ ἐγνώκειτε, τί ἐστιν· Ἔλεον θέλω καὶ ȣ θυσίαν, οὐκ ἂν κατεδικάσατε τȣς ἀναιτίȣς.

8 Κύριος γάρ ἐστι καὶ τȣ σαββάτȣ ὁ υἱὸς τȣ ἀνθρώπȣ.

9 Καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς τὴν συναγωγὴν αὐτῶν.

10 Καὶ ἰδοὺ, ἄνθρωπος ἦν τὴν χεῖρα ἔχων ξηράν· καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες, Εἰ ἔξεστι τοῖς σάββασι θερα-

ἄρχισαν νὰ τρίβȣν ἀστάχυα, καὶ νὰ τρώγουν.

2 Καὶ οἱ Φαρισαῖοι ὥσαν τὸ εἶδαν, τȣ εἶπαν· νὰ, οἱ μαθητάδες σȣ, ὁπȣ κάμνȣν ἐκεῖνο, ὁπȣ δὲν εἶναι συγχώρησις νὰ τὸ κάμȣν τὸ σάββατον.

3 Λέγει τȣς ὁ Ἰησȣς· δὲν ἐδιαβάσετε, τί ἔκαμεν ὁ Δαβὶδ, ὅταν ἐπείνασεν αὐτὸς, καὶ ἐκεῖνοι ὁπȣ ἦταν μαζύ τȣ;

4 Πῶς ἐμβῆκεν εἰς τὸ σπῆτι τȣ Θεȣ, καὶ ἔφαγε τὰ ψωμία τῆς προθέσεως, τὰ ὁποῖα αὐτὸς δὲν εἶχεν ἐξȣσίαν νὰ τὰ φάγῃ, ȣδὲ ἐκεῖνοι ὁπȣ ἦταν μαζὺ μετ' αὐτὸν, ἀλλὰ μοναχᾶ οἱ ἱερεῖς μόνοι;

5 Ἢ δὲν ἐδιαβάσετε εἰς τὸν νόμον, ὅτι τὰ σάββατα οἱ ἱερεῖς εἰς τὸ ἱερὸν καταλύȣσι τὸ σάββατον, καὶ εἶναι ἀκατηγόρητοι;

6 Καὶ λέγω σας, ἐδῶ εἶναι μεγαλίτερος ἀπὸ τὸ ἱερόν.

7 Ἂν ἠθέλετε γνωρίσῃ, τί εἶναι· ἔλεον θέλω καὶ ὄχι θυσίαν, δὲν ἠθέλετε καταδικάσῃ ἐκείνȣς, ὁπȣ δὲν ἐπταίσασιν.

8 Διατὶ ὁ υἱὸς τȣ ἀνθρώπȣ εἶναι αὐθέντης καὶ τȣ σαββάτȣ.

9 Καὶ εὐγένωντας ἀπ' ἐκεῖ, ἐπῆγεν εἰς τὸ συναγώγι των.

10 Καὶ νὰ, καὶ ἦτον ἕνας ἄνθρωπος, ὁπȣ εἶχε τὸ χέρι τȣ ξηρόν· καὶ ἐρώτησάν τον, λέγοντες· ἂν εἶναι δυνατὸν νὰ

πεύειν; ἵνα κατηγορήσωσιν
αὐτοῦ.
11 Ὁ δὲ εἶπεν αὐτοῖς· Τίς
ἔσται ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἕξει
πρόβατον ἕν, καὶ ἐὰν ἐμπέσῃ
τοῦτο τοῖς σάββασιν εἰς βόθυ-
νον, οὐχὶ κρατήσει αὐτὸ καὶ
ἐγερεῖ;
12 Πόσῳ οὖν διαφέρει
ἄνθρωπος προβάτου; ὥστε
ἔξεστι τοῖς σάββασι καλῶς
ποιεῖν.
13 Τότε λέγει τῷ ἀνθρώ-
πῳ· Ἔκτεινον τὴν χεῖρά σου,
καὶ ἐξέτεινε· καὶ ἀποκατεστάθη
ὑγιὴς ὡς ἡ ἄλλη.
14 Οἱ δὲ Φαρισαῖοι συμβού-
λιον ἔλαβον κατ' αὐτοῦ ἐξελ-
θόντες, ὅπως αὐτὸν ἀπολέσω-
σιν.
15 Ὁ δὲ Ἰησοῦς γνοὺς ἀνεχώ-
ρησεν ἐκεῖθεν· καὶ ἠκολούθησαν
αὐτῷ ὄχλοι πολλοὶ, καὶ ἐθερά-
πευσεν αὐτοὺς πάντας.
16 Καὶ ἐπετίμησεν αὐτοῖς,
ἵνα μὴ φανερὸν αὐτὸν ποιήσω-
σιν.
17 Ὅπως πληρωθῇ τὸ ῥη-
θὲν διὰ Ἡσαΐου τοῦ προφήτου,
λέγοντος·
18 Ἰδοὺ, ὁ παῖς μου, ὃν
ᾑρέτισα· ὁ ἀγαπητός μου, εἰς
ὃν εὐδόκησεν ἡ ψυχή μου· θήσω
τὸ πνεῦμά μου ἐπ' αὐτὸν, καὶ
κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ.
19 Οὐκ ἐρίσει, οὐδὲ κραυ-
γάσει, οὐδὲ ἀκούσει τις ἐν ταῖς

ἰατρεύσῃ τινὰς τὸ σάββατον;
διὰ νὰ τὸν κατηγορήσουν.
11 Καὶ αὐτὸς τοὺς εἶπεν·
ποῖος ἄνθρωπος θέλει εἶσθαι
ἀπὸ σᾶς, ὁποῦ νὰ ἔχῃ ἕνα πρό-
βατον, καὶ νὰ πέσῃ εἰς ἕνα
λάκκον, καὶ δὲν ἤθελε τὸ
πιάσῃ νὰ τὸ σηκώσῃ;
12 Καὶ πόσην διαφορὰν
ἔχει ὁ ἄνθρωπος ἀπὸ τὸ πρό-
βατον; εἰς τόσον ὁποῦ καὶ τὸ
σάββατον; εἶναι δυνατὸν νὰ
κάμῃ τινὰς καλωσύνην.
13 Τότε λέγει τοῦ ἀνθρώπου
ἐκείνου· ἅπλωσε τὸ χέρι σου, καὶ
τὸ ἅπλωσε· καὶ ἐκατεστάθη
ὁλόγερον, ὡσὰν καὶ τὸ ἄλλον.
14 Καὶ οἱ Φαρισαῖοι,
ὡσὰν εὐγῆκαν ἔξω, ἐσυμβου-
λεύθησαν ἐνάντιά του, διὰ νὰ
τὸν χαλάσουν.
15 Καὶ ὁ Ἰησοῦς γνωρίζων-
τάς το ἀνεχώρησεν ἀπ' ἐκεῖ· καὶ
τὸν ἀκολούθησαν ὄχλοι πολλοὶ,
καὶ ὅλους τοὺς ἐθεράπευσε.
16 Καὶ τοὺς ἐπρόσταξεν,
νὰ μὴν τὸν φανερώσουσι.
17 Διὰ νὰ τελειωθῇ ἐκεῖνο
ὁποῦ ἐλαλήθη διὰ μέσου τοῦ προ-
φήτου Ἡσαΐου, ὁποῦ ἔλεγεν·
18 Νὰ, τὸ παιδί μου, τὸ ὁ-
ποῖον ἐδιάλεξα· τὸ ἀγαπημέ-
νον, εἰς τὸ ὁποῖον ἀναπαύεται
ἡ ψυχή μου· θέλω βάλλει τὸ
πνεῦμά μου εἰς αὐτὸν, καὶ θέλει
μηνύσει εἰς τὰ ἔθνη κρίσιν.
19 Δὲν θέλει φιλονικήσει, οὐδὲ
θέλει φωνάξει, οὐ δὲ κανεὶς θέ-

πλατείαις τὴν φωνὴν αὐτοῦ.

20 Κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λῖνον τυφόμενον οὐ σβέσει· ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν.

21 Καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι.

22 Τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος, τυφλὸς καὶ κωφός· καὶ ἐθεράπευσεν αὐτὸν, ὥστε τὸν τυφλὸν καὶ κωφὸν καὶ λαλεῖν καὶ βλέπειν.

23 Καὶ ἐξίσταντο πάντες οἱ ὄχλοι, καὶ ἔλεγον· Μήτι οὗτός ἐστιν ὁ υἱὸς Δαβίδ;

24 Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες, εἶπον· Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων.

25 Εἰδὼς δὲ ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν αὐτοῖς· Πᾶσα βασιλεία μερισθεῖσα καθ' ἑαυτῆς, ἐρημοῦται· καὶ πᾶσα πόλις ἢ οἰκία μερισθεῖσα καθ' ἑαυτῆς, οὐ σταθήσεται.

26 Καὶ εἰ ὁ σατανᾶς τὸν σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν ἐμερίσθη· πῶς οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ;

27 Καὶ εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ

λει ἀκούσει τὴν φωνήν του εἰς τὰ πλατώματα.

20 Καλάμι συντριμμένον δὲν θέλει τζακίσει, καὶ λινάρι, ὁποῦ νὰ καπνίζῃ, δὲν θέλει σβέσει· ἕως ὁποῦ νὰ ἐυγάλῃ ἔξω εἰς νίκην τὴν κρίσιν.

21 Καὶ εἰς τὸ ὄνομά του θέλουν ἐλπίσει τὰ ἔθνη.

22 Τότε τοῦ ἐφέρθη ἕνας δαιμονισμένος, τυφλὸς καὶ βουβὸς· καὶ τὸν ἰάτρευσε, τόσον ὁποῦ ὁ τυφλὸς καὶ βουβὸς καὶ ἔβλεπε καὶ ἐλάλει.

23 Καὶ ἐθαύμαζαν ὅλοι οἱ ὄχλοι, καὶ ἔλεγαν· μήνα εἶναι ἐτοῦτος ὁ υἱὸς τοῦ Δαβίδ;

24 Καὶ οἱ Φαρισαῖοι, ὡσὰν τὸ ἤκουσαν, ἔλεγαν· ἐτοῦτος δὲν εὐγάνει τὰ δαιμόνια, παρὰ μὲ τὸν Βεελζεβοὺλ, ὁποῦ εἶναι ἄρχων τῶν δαιμόνων.

25 Ὁ δὲ Ἰησοῦς γνωρίζωντας τοὺς διαλογισμούς των, τοὺς εἶπε· πᾶσα βασιλεία, ὁποῦ νὰ διαμοιρασθῇ ἐναντίον εἰς τοῦ λόγου της, ἐρημώνεται· καὶ πᾶσα πόλις καὶ σπῆτι, ὁποῦ νὰ μοιρασθῇ ἐναντίον εἰς τοῦ λόγου του, δὲν θέλει σταθῇ.

26 Καὶ ἀνίσως καὶ ὁ Σατανᾶς εὐγάνει τὸν Σατανᾶν, ἐμοιράσθη καταπάνω τοῦ λόγου του· πῶς τὸ λοιπὸν θέλει σταθῇ ἡ βασιλεία του;

27 Καὶ ἂν εγὼ εὐγάνω τὰ δαιμόνια μὲ τὸν Βεελζεβοὺλ, οἱ

ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο αὐτοὶ ὑμῶν ἔσονται κριταί.

28 Εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

29 Ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν, καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει;

30 Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει.

31 Διὰ τοῦτο λέγω ὑμῖν· Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ πνεύματος βλασφημία οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις.

32 Καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τούτῳ τῷ αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.

33 Ἢ ποιήσατε τὸ δένδρον καλόν, καὶ τὸν καρπὸν αὐτοῦ καλόν· ἢ ποιήσατε τὸ δένδρον σαπρόν, καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται.

34 Γεννήματα ἐχιδνῶν, πῶς

υἱοί σας μὲ τίνα τὰ εὐγάλουσι; διὰ τοῦτο αὐτοὶ θέλουσιν εἶσθαι κριτάδες σας.

28 Ἀμὴ ἀνίσως καὶ ἐγὼ μὲ τὸ πνεῦμα τοῦ Θεοῦ εὐγάνω τὰ δαιμόνια, ἔφθασε λοιπὸν ἡ βασιλεία τοῦ Θεοῦ εἰς ἐσᾶς.

29 Ἢ πῶς ἠμπορεῖ κανένας νὰ ἔμβῃ εἰς τὸ σπῆτι τοῦ δυνατοῦ, καὶ νὰ ἁρπάξῃ τὰ πράγματά του, ἂν δὲν δέσῃ πρῶτα τὸν δυνατόν, καὶ τότε νὰ κουρσέψῃ τὸ σπῆτί του;

30 Ἐκεῖνος, ὁποῦ δὲν εἶναι μαζύ μου, εἶναι ἐναντίος μου· καὶ ἐκεῖνος, ὁποῦ δὲν μαζώνει μαζύ μου, σκορπίζει.

31 Διὰ τοῦτο σᾶς λέγω· πᾶσα ἁμαρτία καὶ βλασφημία θέλει συγχωρηθῇ εἰς τοὺς ἀνθρώπους· ἀμὴ ἡ βλασφημία τοῦ πνεύματος δὲν θέλει συγχωρηθῇ.

32 Καὶ ὅποιος εἰπεῖ λόγον ἐναντίον τοῦ υἱοῦ τοῦ ἀνθρώπου, θέλει τοῦ συγχωρηθῇ· ἀμὴ ὅποιος εἰπεῖ λόγον ἐναντίον τοῦ πνεύματος τοῦ ἁγίου, δὲν θέλει συγχωρηθῇ, μήτε εἰς ἐτοῦτον τὸν αἰῶνα, οὐδὲ εἰς τὸν μέλλοντα.

33 Ἢ κάμετε τὸ δένδρον καλόν, καὶ τὸν καρπόν του καλόν· ἢ κάμετε τὸ δένδρον σάπιον, καὶ τὸν καρπόν του σάπιον· διατὶ ἀπὸ τὸν καρπὸν γνωρίζεται τὸ δένδρον.

34 Παιδιὰ ὄχεντρας, πῶς

δύνασθε ἀγαθὰ λαλεῖν, πονη-
ροὶ ὄντες; ἐκ γὰρ τοῦ περισ-
σεύματος τῆς καρδίας τὸ
ϛόμα λαλεῖ.
35 Ὁ ἀγαθὸς ἄνθρωπος
ἐκ τοῦ ἀγαθȣ̃ θησαυρȣ̃ τῆς
καρδίας ἐκβάλλει τὰ ἀγαθά·
καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ
πονηρȣ̃ θησαυρȣ̃ ἐκβάλλει
πονηρά.
36 Λέγω δὲ ὑμῖν, ὅτι πᾶν
ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν
οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ
αὐτȣ̃ λόγον ἐν ἡμέρᾳ κρίσεως.
37 Ἐκ γὰρ τῶν λόγων σȣ
δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων
σȣ καταδικασθήσῃ.
38 Τότε ἀπεκρίθησάν τινες
τῶν Γραμματέων καὶ Φαρι-
σαίων, λέγοντες· Διδάσκαλε,
θέλομεν ἀπὸ σȣ̃ σημεῖον ἰδεῖν.
39 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν
αὐτοῖς· Γενεὰ πονηρὰ καὶ μοι-
χαλὶς σημεῖον ἐπιζητεῖ· καὶ
σημεῖον ȣ̓ δοθήσεται αὐτῇ, εἰ
μὴ τὸ σημεῖον Ἰωνᾶ τȣ̃ προ-
φήτȣ.
40 Ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν
τῇ κοιλίᾳ τοῦ κήτȣς τρεῖς ἡμέ-
ρας καὶ τρεῖς νύκτας· ȣ̓́τως
ἔϛαι ὁ υἱὸς τοῦ ἀνθρώπȣ ἐν τῇ
καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας
καὶ τρεῖς νύκτας.
41 Ἄνδρες Νινευῖται ἀναϛή-
σονται ἐν τῇ κρίσει μετὰ τῆς

ἠμπορεῖτε νὰ εἰπῆτε καλὰ,
ὄντες κακοί; διατὶ ἀπὸ τὸ πε-
ρίσσευμα τῆς καρδίας λαλεῖ
τὸ ϛόμα.
35 Ὁ καλὸς ἄνθρωπος εὐ-
γάλει τὰ καλὰ ἀπὸ τὸν καλὸν
θησαυρὸν τῆς καρδίας τȣ· καὶ ὁ
πονηρὸς ἄνθρωπος εὐγάλει τὰ
πονηρὰ ἀπὸ τοῦ κακȣ̃ θησαυρȣ̃
τῆς καρδίας τȣ.
36 Ἀμὴ λέγω σας, ὅτι κάθε
λογῆς λόγον ἀργὸν, ὁπȣ̃ νὰ εἰ-
πȣ̃σιν οἱ ἄνθρωποι, θέλȣσι
δώσει λογαριασμὸν δι᾽ αὐτὸν
εἰς τὴν ἡμέραν τῆς κρίσεως.
37 Διατὶ ἀπὸ τὰ λόγιά σȣ
θέλεις δικαιωθῇ, καὶ ἀπὸ τὰ
λόγιά σȣ θέλεις κατακριθῇ.
38 Τότε ἀπεκρίθηκαν κά-
ποιοι ἀπὸ τȣ̀ς γραμματεῖς καὶ
φαρισαίȣς, καὶ εἶπαν· διδά-
σκαλε, θέλομεν νὰ ἰδȣ̃μεν
ἀπὸ λόγȣ σȣ τίποτες σημεῖον.
39 Καὶ αὐτὸς τȣ̀ς ἀπεκρίθη,
καὶ εἶπεν· ἡ γενεὰ ἡ πονηρὰ
καὶ μοιχεύτρια ζητεῖ σημεῖον·
καὶ σημεῖον δὲν θέλει δοθῇ εἰς
αὐτὴν, παρὰ τὸ σημάδι τοῦ
Ἰωνᾶ τοῦ προφήτȣ.
40 Διατὶ καθὼς ὁ Ἰωνᾶς
ἦτον εἰς τὴν κοιλίαν τοῦ κήτȣς
τρεῖς ἡμέραις καὶ τρεῖς νύκταις·
ἔτζι θέλει εἶσθαι ὁ υἱὸς τοῦ ἀν-
θρώπȣ εἰς τὴν καρδίαν τῆς γῆς
τρεῖς ἡμέραις καὶ τρεῖς νύκταις.
41 Ἄνθρωποι Νινευῖται θέ-
λȣσιν ἀναϛαθῇ εἰς τὴν κρίσιν

γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν· ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ, πλεῖον Ἰωνᾶ ὧδε.

42 Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτήν· ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος· καὶ ἰδοὺ, πλεῖον Σολομῶντος ὧδε.

43 Ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει.

44 Τότε λέγει, Ἐπιστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον. Καὶ ἐλθὸν, εὑρίσκει σχολάζοντα, σεσαρωμένον, καὶ κεκοσμημένον.

45 Τότε πορεύεται, καὶ παραλαμβάνει μεθ' ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. Οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ.

46 Ἔτι δὲ αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις, ἰδοὺ, ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἱστήκει-

μαζὺ μέ τὴν γενεὰν ἐτούτην, καὶ θέλουν τὴν κατακρίνει· διατὶ ἐκεῖνοι ἐμετανόησαν εἰς τὸ κήρυγμα τοῦ Ἰωνᾶ· καὶ νὰ, ἐδῶ εἶναι περισσότερον ἀπὸ τοῦ Ἰωνᾶ.

42 Ἡ βασίλισσα τοῦ νότου θέλει σηκωθῇ εἰς τὴν κρίσιν μαζὺ μὲ τὴν γενεὰν ἐτούτην, καὶ θέλει τὴν κατακρίνει· διατὶ ἦλθεν ἀπὸ τὴν ἄκραν τῆς γῆς νὰ ἀκούσῃ τὴν σοφίαν τοῦ Σολομῶντος· καὶ νὰ, ἐδῶ ὁποῦ εἶναι περισσότερον ἀπὸ τοῦ Σολομῶντος.

43 Καὶ ὅταν τὸ ἀκάθαρτον πνεῦμα εὔγῃ ἀπὸ τὸν ἄνθρωπον, περνᾷ ἀπὸ τόπους ἀνύδρους, γυρεύωντας ἀνάπαυσιν, καὶ δὲν εὑρίσκει.

44 Τότε λέγει· ἂς γυρίσω εἰς τὸ σπῆτί μου, ἀπ' ἐκεῖ ὁποῦ ἐυγῆκα· καὶ παγένωντας, τὸ εὑρίσκει ἄδειον, καὶ σαρωμένον, καὶ στολισμένον.

45 Τότε παγένει, καὶ πέρνει μαζύ του ἄλλα ἑπτὰ δαιμόνια πονηρότερα ἀπὸ λόγου του, καὶ ἐμβαίνουν καὶ καθίζουν ἐκεῖ· καὶ γίνονται τὰ ὕστερα τοῦ ἀνθρώπου ἐκείνου χειρότερα ἀπὸ τὰ πρῶτα. τέτοιας λογῆς θέλει εἶσθαι καὶ εἰς τὴν γενεὰν ἐτούτην τὴν πονηρήν.

46 Καὶ ἀκόμι συντυχένωντας αὐτὸς εἰς τοὺς ὄχλους, νὰ, ἡ μάνα του καὶ τὰ ἀδέλφιά του

σαν ἔξω, ζητοῦντες αὐτῷ λαλῆσαι.

47 Εἶπε δέ τις αὐτῷ· Ἰδοὺ, ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασι, ζητοῦντές σοι λαλῆσαι.

48 Ὁ δὲ ἀποκριθεὶς, εἶπε τῷ εἰπόντι αὐτῷ· Τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου;

49 Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ, εἶπεν· Ἰδοὺ ἡ μήτηρ μου, καὶ οἱ ἀδελφοί μου·

50 Ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου, τοῦ ἐν οὐρανοῖς, αὐτός μου ἀδελφὸς, καὶ ἀδελφὴ, καὶ μήτηρ ἐστίν.

ἐστέκουνταν ἔξω, γυρεύωντες νὰ τὸν συντύχουν.

47 Καὶ κάποιος τοῦ εἶπε· νὰ, ἡ μάνα σου καὶ τὰ ἀδέλφιά σου στέκουνται ἔξω, γυρεύοντες νὰ σὲ συντύχουν.

48 Καὶ ὁ Ἰησοῦς ἀπεκρίθη ἐκείνου, ὅπου τοῦ τὸ εἶπε· ποῖα εἶναι ἡ μάνα μου, καὶ ποῖοι εἶναι οἱ ἀδελφοί μου.

49 Καὶ ἁπλώνωντας τὸ χέρι του εἰς τοὺς μαθητάς του, εἶπε· νὰ ἡ μάνα μου, καὶ οἱ ἀδελφοί μου.

50 Διατὶ ὅποιος θέλει κάμει τὸ θέλημα τοῦ πατρός μου, ὅπου εἶναι εἰς τὸν οὐρανόν, αὐτὸς εἶναι ἀδελφὸς μου, καὶ ἀδελφή μου, καὶ μάνα μου.

Κεφ. ιγ'. 13.

ΕΝ δὲ τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς ἀπὸ τῆς οἰκίας, ἐκάθητο παρὰ τὴν θάλασσαν·

2 Καὶ συνήχθησαν πρὸς αὐτὸν ὄχλοι πολλοὶ, ὥστε αὐτὸν εἰς τὸ πλοῖον ἐμβάντα καθῆσθαι· καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει.

3 Καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβολαῖς, λέγων· Ἰδοὺ, ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν.

4 Καὶ ἐν τῷ σπείρειν αὐτὸν, ἃ μὲν ἔπεσε παρὰ τὴν ὁδόν· καὶ ἦλθε τὰ πετεινὰ, καὶ κατέφαγεν αὐτά.

ΚΑΙ ἐκείνην τὴν ἡμέραν εὐγῆκεν ὁ Ἰησοῦς ἀπὸ τὸ σπῆτι, καὶ ἐκάθισεν εἰς τὸ παραθαλάσσιον.

2 Καὶ ἐμαζώχθησαν εἰς αὐτὸν πολλοὶ ὄχλοι, εἰς τόσον ὅπου ἐμβῆκε μέσα εἰς τὸ καράβι καὶ ἐκάθισε· καὶ ὅλος ὁ ὄχλος ἐστέκουνταν εἰς τὸν αἰγιαλόν.

3 Καὶ τοὺς εἶπε· πολλὰ λόγια μὲ παραβολαῖς, λέγωντας· νὰ, ὅπου εὐγῆκεν ὁ σπείρων νὰ σπείρῃ.

4 Καὶ ἐκεῖ ὅπου ἔσπερνε τὸν σπόρον, ἄλλα ἔπεσαν εἰς τὴν στράταν· καὶ ἦλθασι τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὰ ἐκατάφαγαν.

5 Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ εἶχε γῆν πολλήν· καὶ εὐθέως ἐξανέτειλε, διὰ τὸ μὴ ἔχειν βάθος γῆς.

6 Ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη· καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη.

7 Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι, καὶ ἀπέπνιξαν αὐτά.

8 Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλὴν, καὶ ἐδίδου καρπὸν, ὃ μὲν ἑκατὸν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα.

9 Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

10 Καὶ προσελθόντες οἱ μαθηταὶ, εἶπον αὐτῷ· διατί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς;

11 Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Ὅτι ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται.

12 Ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ, καὶ περισσευθήσεται· ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ᾽ αὐτοῦ.

13 Διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσιν, οὐδὲ συνιοῦσι.

14 Καὶ ἀναπληροῦται ἐπ᾽

5 Καὶ ἄλλα ἔπεσαν εἰς τόπους πετρώδεις, ὅπου δὲν ἦτον γῆ πολλή· καὶ παρευθὺς ἐφύτρωσαν, μὲ τὸ νὰ μὴν ἔχῃ βάθος ἡ γῆ.

6 Καὶ ὡσὰν ἀνέτειλεν ὁ ἥλιος, ἐκαυματίσθησαν· καὶ μὲ τὸ νὰ μὴν ἔχουσι ῥίζαν, ἐξεράνθησαν.

δοῦλος ἐκεῖνος, ηὗρεν ἕνα ἀπὸ
τοὺς συνδούλους του, ὁ ὁποῖος τοῦ
ἐχρεώστει ἑκατὸν δηνάρια· καὶ
πιάνωντάς τον τὸν ἐστεναχώρεν,
λέγωντας· δός μου ἐκεῖνα ὁποῦ
μοῦ χρεωστᾶς·
29 Ἔπεσε λοιπὸν ὁ σύνδουλός
του εἰς τὰ ποδάριά του, καὶ τὸν

ἐκάλει αὐτὸν, λέγων· Μακροθύμησον ἐπ᾽ ἐμοὶ, καὶ πάντα ἀποδώσω σοι.

30 Ὁ δὲ οὐκ ἤθελεν· ἀλλ᾽ ἀπελθὼν, ἔβαλεν αὐτὸν εἰς φυλακὴν, ἕως ȣ ἀποδῷ τὸ ὀφειλόμενον.

31 Ἰδόντες δὲ οἱ σύνδȣλοι αὐτȣ τὰ γενόμενα, ἐλυπήθησαν σφόδρα· καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ αὐτῶν πάντα τὰ γενόμενα.

32 Τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτȣ, λέγει αὐτῷ· Δȣλε πονηρὲ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με·

33 Οὐκ ἔδει καί σε ἐλεῆσαι τὸν σύνδȣλόν σȣ, ὡς καὶ ἐγώ σε ἠλέησα;

34 Καὶ ὀργισθεὶς ὁ κύριος αὐτȣ παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως ȣ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ.

35 Οὕτω καὶ ὁ πατήρ μȣ ὁ ἐπȣράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτȣ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν.

ἐπαρακάλει, λέγωντας· μακροθύμησέ με, καὶ ὅλα νὰ σȣ τὰ πληρώσω·

30 Καὶ ἐκεῖνος δὲν ἤθελε· ἀλλὰ ἐπῆγε, καὶ ἔβαλλέ τον μέσα εἰς τὴν φυλακὴν, ἕως ȣ νὰ πληρώσῃ τὸ χρέος τȣ.

31 Βλέποντες δὲ οἱ σύνδȣλοί τȣ τὰ γενόμενα, ἐλυπήθηκαν πολλὰ· καὶ ἦλθαν καὶ ἐφανέρωσαν εἰς τὸν αὐθέντην τȣς καταλεπτῶς ὅλα τὰ γενόμενα.

32 Τότε τὸν ἔκραξεν ὁ αὐθέντης τȣ, καὶ λέγει τȣ· δȣλε πονηρὲ, ἐγὼ σȣ ἐχάρισα ὅλον ἐκεῖνο τὸ χρέος, ἐπειδὴ μὲ ἐπαρακάλεσες·

33 Δὲν ἔπρεπε καὶ ἐσὺ νὰ λυπηθῇς τὸν σύνδȣλόν σȣ, καθὼς σὲ ἐλυπήθηκα καὶ ἐγώ;

34 Καὶ ἐθυμώθη ὁ αὐθέντης τȣ, καὶ τὸν ἐπαράδωκεν εἰς τȣς βασανιστάδες, ἕως ȣ νὰ δώσῃ ὅλον τȣ τὸ χρέος.

35 Τέτοιας λογῆς καὶ ὁ πατήρ μȣ, ὁ ȣράνιος, θέλει κάμει εἰς ἐσᾶς, ἂν δὲν συγχωρέσῃ ἀπὸ καρδίας κάθε ἕνας τὰ σφάλματα τȣ ἀδελφȣ τȣ, ὁπȣ τȣ ἔσφαλε.

Κεφ. ιθ΄. 19.

ΚΑῚ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησȣς τȣς λόγȣς τȣτȣς, μετῆρεν ἀπὸ τῆς Γαλιλαίας, καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰȣδαίας, πέραν τȣ Ἰορδάνȣ.

ΚΑῚ ἐγένετο, ὅταν ἐτελείωσεν ὁ Ἰησȣς τὰ λόγια ἐτȣτα, ἐμετατόπισεν ἀπὸ τὴν Γαλιλαίαν, καὶ ἦλθεν εἰς τὰ σύνορα τῆς Ἰȣδαίας, πέραν τοῦ Ἰορδάνȣ.

2 Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί· καὶ ἐθεράπευσεν αὐτοὺς ἐκεῖ.

3 Καὶ προσῆλθον αὐτῷ οἱ Φαρισαῖοι, πειράζοντες αὐτὸν, καὶ λέγοντες αὐτῷ· Εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν;

4 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Οὐκ ἀνέγνωτε, ὅτι ὁ ποιήσας ἀπ' ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς;

5 Καὶ εἶπεν· Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ· καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.

6 Ὥστε οὐκ ἔτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία· ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

7 Λέγουσιν αὐτῷ· Τί οὖν Μωσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου, καὶ ἀπολῦσαι αὐτήν;

8 Λέγει αὐτοῖς· Ὅτι Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν· ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτω.

9 Λέγω δὲ ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, εἰ μὴ ἐπὶ πορνείᾳ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται· καὶ ὁ ἀπολελυμένην

2 Καὶ τὸν ἀκολούθησαν πολὺ πλῆθος· καὶ ἐκεῖ τοὺς ἰάτρευσεν.

3 Καὶ ἦλθασι Φαρισαῖοι, δοκιμάζοντές τον, καὶ λέγοντες εἰς αὐτόν· ἂν ἠμπορῇ ἄνθρωπος νὰ χωρίσῃ τὴν γυναῖκά του μὲ κάθε λογῆς αἰτίαν;

4 Καὶ ὁ Ἰησοῦς ἀπεκρίθη, καὶ εἶπέν τους· δὲν ἐδιαβάσετε, ὅτι ἐκεῖνος, ὅπου ἔκαμε τοὺς ἀνθρώπους ἀπὸ τὴν ἀρχὴν, τοὺς ἔκαμεν ἀρσενικὸν καὶ θηλυκόν;

5 Καὶ εἶπε· διὰ τούτην τὴν ἀφορμὴν θέλει ἀφήσει ἄνθρωπος τὸν πατέρα του καὶ τὴν μητέρα του, καὶ θέλει προσκολληθῇ μὲ τὴν γυναῖκά του· καὶ θέλουσιν εἶσθαι οἱ δύο εἰς σάρκα μίαν.

6 Τόσον ὅπου δὲν εἶναι πλέον δύο, ἀλλὰ μία σάρκα· ἐκεῖνο λοιπὸν, ὅπου ὁ Θεὸς ἔσμιξεν, ἄνθρωπος ἂς μὴν τὸ χωρίζῃ.

7 Λέγουν του· διατὶ λοιπὸν ὁ Μωϋσῆς ἐπαράγγειλε νὰ δίδῃ διαζύγιον, καὶ νὰ τὴν χωρίζῃ;

8 Λέγει τους· ὅτι ὁ Μωϋσῆς διὰ τὴν σκληροκαρδίαν σας σᾶς ἔδωκεν ἄδειαν νὰ χωρίζεσθε ταῖς γυναῖκαίς σας· ἀμὴ ἀπὸ τὴν ἀρχὴν δὲν ἔγινεν ἔτζι.

9 Ἀμὴ ἐγὼ σᾶς λέγω· ὅτι ὅποιος χωρισθῇ τὴν γυναῖκά του, ἔξω ἀπὸ πορνείαν, καὶ ὑπανδρευθῇ ἄλλην, γίνεται μοιχός· καὶ ἐκεῖνος, ὅπου ὑπαν-

γαμήσας, μοιχᾶται.

10 Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Εἰ οὕτως ἐςὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς, οὐ συμφέρει γαμῆσαι.

11 Ὁ δὲ εἶπεν αὐτοῖς· Οὐ πάντες χωροῦσι τὸν λόγον τοῦτον, ἀλλ᾽ οἷς δέδοται.

12 Εἰσὶ γὰρ εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτω· καί εἰσιν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων· καί εἰσιν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Ὁ δυνάμενος χωρεῖν, χωρείτω.

13 Τότε προσηνέχθη αὐτῷ παιδία, ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς, καὶ προσεύξηται· οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς·

14 Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἄφετε τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με· τῶν γὰρ τοιούτων ἐςὶν ἡ βασιλεία τῶν οὐρανῶν.

15 Καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας, ἐπορεύθη ἐκεῖθεν.

16 Καὶ ἰδοὺ, εἷς προσελθὼν εἶπεν αὐτῷ· Διδάσκαλε ἀγαθὲ, τί ἀγαθὸν ποιήσω, ἵνα ἔχω ζωὴν αἰώνιον;

17 Ὁ δὲ εἶπεν αὐτῷ· Τί με

δρευθῇ γυναῖκα ξεχωρισμένην, γίνεται μοιχός.

10 Λέγουν του οἱ μαθητάδες του· ἂν εἶναι τέτοιας λογῆς ἡ ἀφορμὴ τοῦ ἀνθρώπου μὲ τὴν γυναῖκά του, δὲν εἶναι συμφέρον νὰ ὑπανδρευθῇ.

11 Καὶ αὐτὸς τοὺς εἶπεν· ἐτοῦτον τὸν λόγον ὅλοι δὲν ἠμποροῦν νὰ τὸν χωρέσουν, ἀλλὰ ἐκεῖνοι, εἰς τοὺς ὁποίους ἐδόθη.

12 Διατὶ εἶναι εὐνοῦχοι, ὁποῦ ἐγεννήθηκαν ἔτζι ἀπὸ τὴν κοιλίαν τῆς μάνας των· καὶ εἶναι εὐνοῦχοι, ὁποῦ εὐνουχίσθησαν ἀπὸ τοὺς ἀνθρώπους· καὶ εἶναι εὐνοῦχοι, ὁποῦ εὐνούχισαν τοῦ λόγου τους διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. ἐκεῖνος, ὁποῦ ἠμπορεῖ νὰ χωρέσῃ, ἂς χωρέσῃ.

13 Τότε τοῦ ἔφεραν μικρὰ παιδία, νὰ βάλλῃ τὰ χέριά του ἀπάνω, καὶ νὰ εὐχηθῇ καὶ οἱ μαθηταί του τὰ ἐπροπῆραν.

14 Καὶ ὁ Ἰησοῦς εἶπεν· ἄφετε τὰ παιδία, καὶ μὴν τὰ ἐμποδίζετε νὰ ἔλθουν εἰς ἐμένα· διατὶ τῶν τοιούτων εἶναι ἡ βασιλεία τῶν οὐρανῶν.

15 Καὶ βάνωντας τὰ χέριά του ἀπάνω εἰς τὰ παιδία, ἐδιέβη ἀπ᾽ ἐκεῖ.

16 Καὶ εὐθὺς ἦλθεν ἕνας, καὶ λέγει του· διδάσκαλε ἀγαθὲ, τί καλὸν νὰ κάμω, διὰ νὰ ἔχω ζωὴν αἰώνιον;

17 Καὶ ὁ Ἰησοῦς τοῦ λέγει,

λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς, ὁ Θεός. εἰ δὲ θέλεις εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς ἐντολάς.

18 Λέγει αὐτῷ· Ποίας; Ὁ δὲ Ἰησοῦς εἶπε· Τό· Οὐ φονεύσεις· Οὐ μοιχεύσεις· Οὐ κλέψεις· Οὐ ψευδομαρτυρήσεις·

19 Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα· καί· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.

20 Λέγει αὐτῷ ὁ νεανίσκος· Πάντα ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου· τί ἔτι ὑστερῶ;

21 Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς· καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο, ἀκολούθει μοι.

22 Ἀκούσας δὲ ὁ νεανίσκος τὸν λόγον, ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά.

23 Ὁ δὲ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ· Ἀμὴν λέγω ὑμῖν, ὅτι δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

24 Πάλιν δὲ λέγω ὑμῖν· εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασι-

τί μὲ λέγεις ἀγαθόν; κανένας δὲν εἶναι ἀγαθὸς, παρὰ ἕνας, ὁ Θεός. ἀμὴ ἂν θέλῃς νὰ ἔμβῃς εἰς τὴν ζωὴν, φύλαξε ταῖς παραγγελίαις.

18 Λέγει του· Ποίαις; καὶ ὁ Ἰησοῦς λέγει· Τό· Νὰ μὴν φονεύσῃς· Νὰ μὴν μοιχεύσῃς· Νὰ μὴν κλέψῃς· Νὰ μὴν ψευδομαρτυρήσῃς.

19 Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου. καί· Νὰ ἀγαπᾷς τὸν γείτονά σου ὡσὰν καὶ τοῦ λόγου σου.

20 Λέγει του ἐκεῖνος ὁ νέος· Ἐτοῦτα ὅλα τὰ ἐφύλαξα ἀπὸ τὴν νεότητά μου· τί μὲ λείπει ἀκόμι;

21 Λέγει του ὁ Ἰησοῦς· Ἂν θέλῃς νὰ γενῇς τέλειος, σύρε, πούλησε, εἰ τὶ καὶ ἂν ἔχῃς, καὶ δός τα εἰς τοὺς πτωχούς· καὶ θέλεις ἔχει πλοῦτον εἰς τὸν οὐρανόν· καὶ ἔλα, ἀκολούθα με.

22 Καὶ ὁ νέος, ὡσὰν ἄκουσε τὸν λόγον, ἐδιέβη λυπημένος· διατὶ εἶχε πολλὰ πράγματα.

23 Καὶ ὁ Ἰησοῦς λέγει εἰς τοὺς μαθητάδες του· Βέβαια σᾶς λέγω, ὅτι πλούσιος δύσκολα θέλει ἔμβει εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

24 Καὶ πάλιν λέγω σας· εὐκολώτερον εἶναι ἡ κάμηλος νὰ περάσῃ ἀπὸ τὴν τρύπα τῆς βελόνας, παρὰ ὁ πλούσιος νὰ

λείαν τȣ̃ Θεȣ̃ εἰσελθεῖν.

25 Ἀκȣ́σαντες δὲ οἱ μαθηταὶ αὐτȣ̃, ἐξεπλήσσοντο σφόδρα, λέγοντες· Τίς ἄρα δύναται σωθῆναι;

26 Ἐμβλέψας δὲ ὁ Ἰησȣ̃ς, εἶπεν αὐτοῖς· Παρὰ ἀνθρώποις τȣ̃το ἀδύνατόν ἐςι, παρὰ δὲ Θεῷ πάντα δυνατά ἐςι.

27 Τότε ἀποκριθεὶς ὁ Πέτρος, εἶπεν αὐτῷ· Ἰδȣ̀, ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολȣθήσαμέν σοι· τί ἄρα ἔςαι ἡμῖν;

28 Ὁ δὲ Ἰησȣ̃ς εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολȣθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τȣ̃ ἀνθρώπȣ ἐπὶ θρόνȣ δόξης αὐτȣ̃, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνȣς, κρίνοντες τὰς δώδεκα φυλὰς τȣ̃ Ἰσραήλ.

29 Καὶ πᾶς ὃς ἀφῆκεν οἰκίας, ἢ ἀδελφȣ̀ς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγρȣ̀ς, ἕνεκεν τȣ̃ ὀνόματός μȣ, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει.

30 Πολλοὶ δὲ ἔσονται πρῶτοι, ἔσχατοι· καὶ ἔσχατοι, πρῶτοι.

ἔμβῃ εἰς τὴν βασιλείαν τοῦ Θεȣ̃.

25 Καὶ ἀκȣ́σαντές το οἱ μαθητάδες τȣ, ἐθαύμασαν κατὰ πολλὰ, καὶ ἔλεγαν· Ποῖος τὸ λοιπὸν ἠμπορεῖ νὰ σωθῇ;

26 Καὶ βλέπωντάς τȣς ὁ Ἰησȣ̃ς, λέγει τȣς· Τȣ̃το εἶναι ἀδύνατον εἰς τȣ̀ς ἀνθρώπȣς, ἀμὴ εἰς τὸν Θεὸν εἶναι ὅλα δυνατά.

27 Τότε ἀπεκρίθη ὁ Πέτρος, καὶ εἶπέν τȣ· Νὰ, ἐμεῖς ὁπȣ̃ ἀφήσαμεν ὅλα, καὶ σὲ ἀκολȣθήσαμεν· τί λοιπὸν θέλει μᾶς γένει;

28 Λέγει τους ὁ Ἰησȣ̃ς· Βέβαια σᾶς λέγω, ὅτι ἐσεῖς, ὁπȣ̃ μὲ ἀκολουθήσετε, εἰς τὴν αναγέννησιν, ὅταν καθίσῃ ὁ υἱὸς τȣ̃ ἀνθρώπȣ ἐπὶ θρόνȣ δόξης αὐτȣ̃, θέλετε καθίσει καὶ ἐσεῖς εἰς δώδεκα θρόνȣς, νὰ κρίνετε ταῖς δώδεκα φυλαῖς τȣ̃ Ἰσραήλ·

29 Καὶ κάθε ἕνας, ὁπȣ̃ ἀφῆκε σπήτια, ἢ ἀδελφȣ̀ς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ παιδία, ἢ χωράφια, διὰ τὸ ὄνομά μȣ, ἑκατονταπλασίονα θέλει τὰ πάρει, καὶ θέλει κληρονομήσει καὶ ζωὴν αἰώνιον.

30 Καὶ πολλοὶ πρῶτοι θέλȣσι γένει ὕςεροι· καὶ ὕςεροι, πρῶτοι.

Κεφ. κʹ. 20.

ΟΜΟΙΑ γάρ ἐστιν ἡ βασιλεία τῶν ȣρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτȣ̃.

2 Συμφωνήσας δὲ μετὰ τῶν ἐργατῶν ἐκ δηναρίȣ τὴν ἡμέραν, ἀπέστειλεν αὐτȣ̀ς εἰς τὸν ἀμπελῶνα αὐτȣ̃.

3 Καὶ ἐξελθὼν περὶ τὴν τρίτην ὥραν, εἶδεν ἄλλȣς ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργȣ́ς.

4 Κἀκείνοις εἶπεν· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα· καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν.

5 Οἱ δὲ ἀπῆλθον. Πάλιν ἐξελθὼν περὶ ἕκτην καὶ ἐννάτην ὥραν, ἐποίησεν ὡσαύτως.

6 Περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν, εὗρεν ἄλλȣς ἑστῶτας ἀργȣ̀ς, καὶ λέγει αὐτοῖς· Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;

7 Λέγȣσιν αὐτῷ· Ὅτι ȣ̓δεὶς ἡμᾶς ἐμισθώσατο· Λέγει αὐτοῖς· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε.

8 Ὀψίας δὲ γενομένης λέγει ὁ κύριος τȣ̃ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτȣ̃· Κάλεσον τȣ̀ς

ΔΙΑΤΙ' ἡ βασιλεία τῶν ȣ̓ρανῶν ὁμοιάζει ἕνα ἄνθρωπον οἰκοκύριον, ὁ ὁποῖος εὐγῆκεν τὴν αὐγὴν ἀπὸ τὸ σπῆτί τȣ νὰ στοιχήσῃ ἐργάταις διὰ τὸ ἀμπέλι τȣ.

2 Καὶ ἐσυμφώνησε μὲ τȣ̀ς ἐργάτας ἀπὸ ἕνα δηνάρι τὴν ἡμέραν, καὶ ἔστειλέν τȣς εἰς τὸ ἀμπέλι τȣ.

3 Καὶ εὐγένωντας εἰς τὴν τρίτην ὥραν, εἶδεν ἄλλȣς, ὁπȣ̃ ἐστέκȣνταν εἰς τὸν φόρον σχολαστοί.

4 Καὶ τȣ̀ς εἶπε· Σύρτε καὶ ἐσεῖς εἰς τὸ ἀμπέλι· καὶ ὅ, τι εἶναι τὸ δίκαιον, θέλω σᾶς τὸ δώσει.

5 Καὶ ἐδιέβησαν καὶ ἐκεῖνοι. Πάλιν εὐγῆκε τὴν ἕκτην καὶ τὴν ἐννάτην ὥραν, καὶ ἔκαμεν ὁμοίως.

6 Καὶ εὐγένωντας εἰς τὴν ἑνδεκάτην ὥραν, εὑρῆκε καὶ ἄλλȣς, ὁπȣ̃ ἐστέκȣνταν σχολαστοὶ, καὶ λέγει τȣς· Διατί στέκεσθε ἐδῶ ὅλη ἡμέρα χωρὶς δȣλείαν;

7 Καὶ λέγȣν τȣ· Διατὶ κανένας δὲν μᾶς ἐστοίχησε· Λέγει τȣς· Σύρτε καὶ ἐσεῖς εἰς τὸ ἀμπέλι, καὶ ἐκεῖνο ὁπȣ̃ εἶναι δίκαιον, θέλετε τὸ πάρει.

8 Καὶ ὡσὰν ἐβραδίασε, λέγει ὁ αὐθέντης τȣ̃ ἀμπελίȣ εἰς τὸν ἐπίτροπόν τȣ· Κράξεμȣ τȣ̀ς

ἐργάτας, καὶ ἀπόδος αὐτοῖς τὸν μισθὸν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων, ἕως τῶν πρώτων.

9 Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτη ὥραν, ἔλαβον ἀνὰ δηνάριον.

10 Ἐλθόντες δὲ οἱ πρῶτοι, ἐνόμισαν, ὅτι πλείονα λήψονται· καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον.

11 Λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου,

12 Λέγοντες· Ὅτι οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας, τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσωνα.

13 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν ἑνὶ αὐτῶν· Ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησάς μοι;

14 Ἆρον τὸ σὸν, καὶ ὕπαγε· θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί.

15 Ἢ οὐκ ἔξεστί μοι ποιῆσαι, ὃ θέλω ἐν τοῖς ἐμοῖς; ἢ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι;

16 Οὕτως ἔσονται οἱ ἔσχατοι, πρῶτοι· καὶ οἱ πρῶτοι, ἔσχατοι· πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.

ἐργάτας, καὶ πλήρωσέ τους, ἀρχίζοντας ἀπὸ τὸν ὑστερινὸν, ἕως τὸν πρῶτον.

9 Καὶ ἦλθαν ἐκεῖνοι, ὁποῦ ἐπῆγαν εἰς τὴν ἑνδεκάτην ὥραν, καὶ καθένας ἐπῆρεν ἀπὸ ἕνα δηνάριον.

10 Καὶ ὡσὰν ἦλθαν οἱ πρῶτοι, ἐλογίασαν, ὅτι θέλουσι πάρει περισσότερον· καὶ ἐπῆραν καὶ αὐτοὶ ἀπὸ ἕνα δηνάρι.

11 Καὶ ὡσὰν τὸ ἐπῆραν, ἐγόγγυζαν ἐναντίον εἰς τὸν σπητονοικοκύρην,

12 Λέγοντες· Ὅτι ἐτοῦτοι οἱ ὑστερινοὶ ἔκαμαν μίαν ὥραν, καὶ τοὺς ἔκαμες ἴσα μετ᾿ ἐμᾶς, ὁποῦ ἐβαστάξαμεν τὸ βάρος τῆς ἡμέρας, καὶ τὸ καῦμα;

13 Καὶ ἐκεῖνος ἀπεκρίθη καὶ λέγει εἰς ἕνα ἀπ᾿ ἐκείνους· Φίλε, δὲν σὲ ἀδικῶ τίποτες· δὲν ἐσυμβάσθης μετ᾿ ἐμένα διὰ ἕνα δηνάρι;

14 Ἔπαρε τὸ ἐδικόν σου, καὶ σύρε εἰς τὸ καλόν· θέλω νὰ δώσω καὶ τούτου τοῦ ὑστερινοῦ ὡσὰν καὶ ἐσένα.

15 Ἢ δὲν ἔχω ἐξουσίαν νὰ κάμω ἐκεῖνο, ὁποῦ θέλω εἰς τὰ ἐδικά μου; ἂν εἶναι τὸ μάτι σου πονηρὸν, διατὶ ἐγὼ εἶμαι ἀγαθός;

16 Τέτοιας λογῆς οἱ ὑστερινοὶ θέλουσι γένει πρῶτοι· καὶ οἱ πρῶτοι, ὑστερινοί· διατὶ πολλοὶ εἶναι καλεσμένοι, ἀμὴ ὀλίγοι εἶναι διαλεγμένοι.

17 Καὶ ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, παρέλαβε τοὺς δώδεκα μαθητὰς κατ' ἰδίαν ἐν τῇ ὁδῷ, καὶ εἶπεν αὐτοῖς.

18 Ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς Ἀρχιερεῦσι καὶ Γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ.

19 Καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ σταυρῶσαι· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

20 Τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου, μετὰ τῶν υἱῶν αὐτῆς, προσκυνοῦσα, καὶ αἰτοῦσά τι παρ' αὐτοῦ.

21 Ὁ δὲ εἶπεν αὐτῇ· Τί θέλεις; Λέγει αὐτῷ· Εἰπὲ, ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου, εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων, ἐν τῇ βασιλείᾳ σου.

22 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Οὐκ οἴδατε τί αἰτεῖσθε· δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πίνειν, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι; Λέγουσιν αὐτῷ· Δυνάμεθα.

23 Καὶ λέγει αὐτοῖς. Τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ

17 Καὶ ἀναβαίνωντας ὁ Ἰησοῦς εἰς τὰ Ἱεροσόλυμα, ἐπῆρε τοὺς δώδεκα μαθητάδες κατὰ μόνας εἰς τὴν στράταν καὶ λέγει τους·

18 Νὰ, ὅπου ἀναβαίνομεν εἰς τὰ Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου θέλει παραδοθῇ εἰς τὰ χέρια τῶν Ἀρχιερέων καὶ τῶν Γραμματέων, καὶ θέλουν τὸν κατακρίνει εἰς θάνατον.

19 Καὶ θέλουν τὸν παραδώσει εἰς τὰ ἔθνη, νὰ τὸν παραπαίξουν, καὶ νὰ τὸν δείρουν, καὶ νὰ τὸν σταυρώσουν· καὶ τῇ τρίτῃ ἡμέρᾳ θέλει ἀνασταθῇ.

20 Τότε ἦλθεν εἰς αὐτὸν ἡ μάνα τῶν υἱῶν Ζεβεδαίου, μαζὺ μὲ τοὺς υἱούς της, προσκυνοῦσα, καὶ ζητοῦσα κάποιον τὶ ἀπ' αὐτόν.

21 Καὶ ὁ Ἰησοῦς τῆς λέγει· Τί θέλεις; Λέγει του· Εἰπὲ, διὰ νὰ καθίσωσιν οἱ δύο ἐτοῦτοι υἱοί μου, ἕνας ἀπὸ τὴν δεξιάν σου, καὶ ἄλλος ἀπὸ τὴν ζερβίαν εἰς τὴν βασιλείαν σου.

22 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ λέγει· Δὲν ἰξεύρετε τί ζητεῖτε· δύνασθε νὰ πιῆτε τὸ ποτήριον, ὅπου ἐγὼ μέλλω νὰ πίω, καὶ τὸ βάπτισμα, ὅπου ἐγὼ βαπτίζομαι, νὰ βαπτισθῆτε; Λέγουν του· Δυνάμεθα.

23 Καὶ λέγει τους· Τὸ ποτήριόν μου θέλετε τὸ πίει, καὶ τὸ βάπτισμα, ὅπου βαπτίζομαι, θέλετε βαπτισθῇ· ἀμὴ τὸ νὰ

δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ᾽ οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου.

24 Καὶ ἀκούσαντες οἱ δέκα, ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν.

25 Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς, εἶπεν· Οἴδατε, ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν.

26 Οὐχ οὕτως δὲ ἔσται ἐν ὑμῖν· ἀλλ᾽ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι, ἔστω ὑμῶν διάκονος·

27 Καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν δοῦλος.

28 Ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

29 Καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἱεριχὼ, ἠκολούθησεν αὐτῷ ὄχλος πολύς.

30 Καὶ ἰδοὺ, δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδὸν, ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, ἔκραξαν, λέγοντες· Ἐλέησον ἡμᾶς Κύριε, υἱὸς Δαβίδ.

31 Ὁ δὲ ὄχλος ἐπετίμησεν αὐτοῖς, ἵνα σιωπήσωσιν· οἱ δὲ μεῖζον ἔκραζον, λέγοντες·

καθίσετε ἀπὸ τὴν δεξιάν μου καὶ ἀπὸ τὴν ζερβιάν μου, δὲν εἶναι ἐδικόν μου νὰ τὸ δώσω, ἀλλὰ εἰς ἐκείνους, ὁποῦ ἑτοιμάσθη ἀπὸ τὸν πατέρα μου.

24 Καὶ ἀκούσαντές το οἱ δέκα, ἀδημόνησαν διὰ τοὺς δύο ἀδελφούς.

25 Καὶ ὁ Ἰησοῦς τοὺς ἔκραξε, καὶ εἶπεν· Ἰξεύρετε, ὅτι ἐκεῖνοι, ὁποῦ αὐθεντεύουσι τὰ ἔθνη, τὰ κατακυριεύουσι, καὶ οἱ μεγάλοι αὐθεντεύουσιν αὐτά.

26 Ἀλλὰ εἰς ἐσᾶς δὲν θέλει εἶσθαι ἔτζι· ἀμὴ ὅποιος θέλει νὰ εἶναι μέγας εἰς ἐσᾶς, ἂς εἶναι ὑπηρέτης σας.

27 Καὶ ὅποιος θέλει ἀνάμεσά σας νὰ εἶναι πρῶτος, ἂς εἶναι δοῦλός σας.

28 Καθὼς ὁ υἱὸς τοῦ ἀνθρώπου δὲν ἦλθε νὰ ὑπηρετηθῆ, ἀλλὰ νὰ ὑπηρετήσῃ, καὶ νὰ βάλλῃ τὴν ψυχήν του εἰς ἐξαγόρασιν ἀντὶ πολλῶν.

29 Καὶ εὐγένοντες αὐτοὶ ἀπὸ τὴν Ἱεριχὼ, τοῦ ἀκολούθησε λαὸς πολύς.

30 Καὶ νὰ, δύο τυφλοὶ, ὁποῦ ἐκάθουνταν εἰς τὴν στράταν, ὡσὰν ἤκουσαν, ὅτι περνᾷ ὁ Ἰησοῦς, ἔκραξαν, λέγοντες· Ὦ Αὐθέντη, υἱὲ τοῦ Δαβὶδ, λυπήσου μας.

31 Καὶ ὁ λαὸς τοὺς ἐπρόπηρε, διὰ νὰ σιωπάσουν· καὶ ἐκεῖνοι ἔκραξαν δυνατώτερα· Αὐ-

Ἐλέησον ἡμᾶς Κύριε, υἱὸς Δαβίδ.

32 Καὶ στὰς ὁ Ἰησοῦς ἐφώνησεν αὐτοὺς, καὶ εἶπε· Τί θέλετε ποιήσω ὑμῖν;

33 Λέγουσιν αὐτῷ· Κύριε, ἵνα ἀνοιχθῶσιν ἡμῶν οἱ ὀφθαλμοί.

34 Σπλαγχνισθεὶς δὲ ὁ Ἰησοῦς ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν· καὶ εὐθέως ἀνέβλεψαν αὐτῶν οἱ ὀφθαλμοὶ, καὶ ἠκολούθησαν αὐτῷ.

θέντη, υἱὲ τοῦ Δαβὶδ, λυπήσου μας.

32 Καὶ ὁ Ἰησοῦς ἐστάθη, καὶ τοὺς ἔκραξε, καὶ λέγει τους· Τί θέλετε νὰ σᾶς κάμω;

33 Λέγουν του· Αὐθέντη, νὰ ἀνοιχθοῦν τὰ μάτιά μας.

34 Καὶ ὁ Ἰησοῦς τοὺς ἐλυπήθη, καὶ ἐπίασε τὰ μάτιά τους· καὶ παρευθὺς ἀνέβλεψαν τὰ μάτιά τους· καὶ τὸν ἀκολούθησαν.

Κεφ. κά. 21.

ΚΑΙ' ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα, καὶ ἦλθον εἰς Βηθφαγὴ πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, τότε ὁ Ἰησοῦς ἀπέστειλε δύο μαθητὰς, λέγων αὐτοῖς·

2 Πορεύθητε εἰς τὴν κώμην, τὴν ἀπέναντι ὑμῶν· καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον μετ' αὐτῆς· λύσαντες ἀγάγετέ μοι.

3 Καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε, ὅτι ὁ Κύριος αὐτῶν χρείαν ἔχει· εὐθέως δὲ ἀποστελεῖ αὐτούς.

4 Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου, λέγοντος.

5 Εἴπατε τῇ θυγατρὶ Σιών· Ἰδοὺ, ὁ βασιλεύς σου ἔρχεταί σοι πραῢς, καὶ ἐπιβεβηκὼς ἐπὶ

ΚΑΙ' ὅταν ἐσήμωσαν εἰς τὴν Ἱερουσαλὴμ, λαι ἦλθαν εἰς τὴν Βηθσφαγὴ εἰς τὸ ὄρος τῶν ἐλαιῶν, τότε ὁ Ἰησοῦς ἀπέστειλε δύο μαθητάδες, λέγωντάς τους·

2 Σύρτε εἰς τὴν χώραν, τὴν ἀντίκρυ σας· καὶ παρευθὺς θέλετε εὕρει μίαν ὄνον δέμένην, καὶ ἕνα πουλάρι μαζὺ μετ' αὐτήν· λύσετε καὶ φέρετέ με τα.

3 Καὶ ἂν σᾶς εἰπῇ τινὰς τίποτες, θέλετε εἰπεῖ, ὅτι ὁ Αὐθέντης των τὰ χρειάζεται· καὶ παρευθὺς θέλει τὰ στείλει.

4 Καὶ τοῦτο ὅλον ἔγινε, διὰ νὰ πληρωθῇ ἐκεῖνο, ὁποῦ ἐλαλήθη διὰ μέσου τοῦ προφήτου, ὁποῦ λέγει·

5 Εἴπατε εἰς τὴν θυγατέρα τῆς Σιών· Νὰ, ὁ βασιλεύς σου ὁποῦ σοῦ ἔρχεται ἱλαρὸς, καὶ καβαλάρις ἀπάνω εἰς τὴν ὄνον, καὶ εἰς

ὄνον, καὶ πῶλον υἱὸν ὑποζυ-
γίου.
6 Πορευθέντες δὲ οἱ μαθηταὶ,
καὶ ποιήσαντες καθὼς προσέ-
ταξεν αὐτοῖς ὁ Ἰησοῦς,
7 Ἤγαγον τὴν ὄνον καὶ τὸν
πῶλον, καὶ ἐπέθηκαν ἐπάνω
αὐτῶν τὰ ἱμάτια αὐτῶν, καὶ
ἐπεκάθισαν ἐπάνω αὐτῶν.
8 Ὁ δὲ πλεῖστος ὄχλος
ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν
τῇ ὁδῷ· ἄλλοι δὲ ἔκοπτον κλά-
δους ἀπὸ τῶν δένδρων, καὶ
ἐστρώννυον ἐν τῇ ὁδῷ.
9 Οἱ δὲ ὄχλοι οἱ προάγοντες
καὶ οἱ ἀκολουθοῦντες, ἔκραζον,
λέγοντες· Ὡσαννὰ τῷ υἱῷ Δα-
βὶδ· εὐλογημένος ὁ ἐρχόμενος
ἐν ὀνόματι Κυρίου· Ὡσαννὰ ἐν
τοῖς ὑψίστοις.

10 Καὶ εἰσελθόντος αὐτοῦ
εἰς Ἱεροσόλυμα, ἐσείσθη πᾶσα
ἡ πόλις, λέγουσα· Τίς ἐστιν
οὗτος;
11 Οἱ δὲ ὄχλοι ἔλεγον. Οὗ-
τός ἐστιν Ἰησοῦς ὁ προφήτης, ὁ
ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας.

2 Καὶ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς
τ ἱερὸν τοῦ Θεοῦ, καὶ ἐξέβαλε
ς λας τοὺς πωλοῦντας καὶ ἀγο-
ρα ντας ἐν τῷ ἱερῷ, καὶ τὰς
τραπέζας τῶν κολλυβιστῶν κα-
τέστρεψε, καὶ ς καθέδρας τῶν
πωλούντων τὰς περιστεράς.

τὸ πουλάρι τὸ παιδὶ τοῦ ὑπο-
ζυγίου.
6 Καὶ παγένοντες οἱ μαθη-
ταὶ, ἔκαμαν καθὼς τοὺς
ἐπρόσταξεν ὁ Ἰησοῦς.
7 Καὶ ἤφεραν τὴν ὄνον καὶ
τὸ πουλάρι, καὶ ἔβαλλαν ἀπάνω
τὰ φορέματά τους, καὶ τὸν
ἀπανωκάθισαν εἰς αὐτά.
8 Καὶ ὁ περισσότερος ὄχ-
λος ἔστρωσαν τὰ φορέματά τους
εἰς τὴν στράτα· καὶ ἄλλοι ἔκοπ-
ταν κλαδία ἀπὸ τὰ δένδρα,
καὶ ἔστρωναν εἰς τὴν στράτα.
9 Καὶ οἱ ὄχλοι, ὅπου ἐπά-
γεναν ὀμπροστᾶ, καὶ ἐκεῖνοι,
ὅπου ἀκολουθοῦσαν; ἔκραζαν, λέ-
γοντες· Ὡσαννὰ τῷ υἱῷ Δαβὶδ·
εὐλογημένος ὁ ἐρχόμενος ἐν
ὀνόματι Κυρίου· Ὡσαννὰ ἐν
τοῖς ὑψίστοις.
10 Καὶ ὅταν ἐμβῆκε μέσα
εἰς τὰ Ἱεροσόλυμα, ἐσείσθη
ὅλη ἡ πόλις, καὶ ἔλεγε· Ποῖος
εἶναι ἐτοῦτος;
11 Καὶ οἱ ὄχλοι ἔλεγαν· Ἐ-
τοῦτος εἶναι Ἰησοῦς ὁ προφήτης,
ὅπου εἶναι ἀπὸ τὴν Ναζαρὲτ
τῆς Γαλιλαίας.
12 Καὶ ἐμβῆκε μέσα ὁ
Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ Θεοῦ, καὶ
εὔγαλεν ἔξω ὅλους ἐκείνους, ὅπου
ἐπουλοῦσαν καὶ ἀγόραζαν εἰς τὸ
ἱερὸν, καὶ ταῖς τραπέζαις τῶν
σαράφιδων ἐγύρισεν ἄνω κάτω,
καὶ τὰ θρονία ἐκείνων, ὅπου
ἐπουλοῦσαν τὰ περιστέρια.

13 Καὶ λέγει αὐτοῖς· Γέ-
γραπται· Ὁ οἶκός μου, οἶκος
προσευχῆς κληθήσεται· ὑμεῖς
δὲ αὐτὸν ἐποιήσατε σπήλαιον
λῃστῶν.
14 Καὶ προσῆλθον αὐτῷ
τυφλοὶ καὶ χωλοὶ ἐν τῷ ἱερῷ·
καὶ ἐθεράπευσεν αὐτούς.
15 Ἰδόντες δὲ οἱ Ἀρχιερεῖς
καὶ οἱ Γραμματεῖς τὰ θαυμά-
σια ἃ ἐποίησε, καὶ τοὺς παῖδας
κράζοντας ἐν τῷ ἱερῷ, καὶ λέ-
γοντας, Ὡσαννὰ τῷ υἱῷ Δα-
βὶδ, ἠγανάκτησαν.
16 Καὶ εἶπον αὐτῷ· Ἀκούεις
τί οὗτοι λέγουσιν; Ὁ δὲ Ἰησοῦς
λέγει αὐτοῖς· Ναί· οὐδέποτε
ἀνέγνωτε, Ὅτι ἐκ στόματος νη-
πίων καὶ θηλαζόντων κατηρ-
τίσω αἶνον;
17 Καὶ καταλιπὼν αὐτοὺς,
ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς
Βηθανίαν· καὶ ηὐλίσθη ἐκεῖ.

18 Πρωΐας δὲ ἐπανάγων εἰς
τὴν πόλιν, ἐπείνασε.
19 Καὶ ἰδὼν συκῆν μίαν ἐπὶ
τῆς ὁδοῦ, ἦλθεν ἐπ' αὐτὴν, καὶ
οὐδὲν εὗρεν ἐν αὐτῇ εἰ μὴ φύλλα
μόνον· καὶ λέγει αὐτῇ· Μηκέ-
τι ἐκ σοῦ καρπὸς γένηται εἰς
τὸν αἰῶνα. Καὶ ἐξηράνθη
παραχρῆμα ἡ συκῆ.

20 Καὶ ἰδόντες οἱ μαθηταὶ,
ἐθαύμασαν, λέγοντες· Πῶς
παραχρῆμα ἐξηράνθη ἡ συκῆ;

13 Καὶ λέγει τους. Εἶναι γε-
γραμμένον· Τὸ σπῆτί μου θέλει
καλεσθῆ σπῆτι τῆς προσευχῆς·
καὶ ἐσεῖς τὸ ἐκάμετε σπήλαιον
τῶν λῃστῶν.
14 Καὶ ἦλθασιν εἰς αὐτὸν
τυφλοὶ καὶ κουτζοὶ εἰς τὸ
ἱερόν· καὶ τοὺς ἰάτρευσεν.
15 Καὶ ὡσὰν εἶδαν οἱ Ἀρ-
χιερεῖς, καὶ οἱ Γραμματεῖς τὰ
θαύματα, ὁποῦ ἔκαμε, καὶ τὰ
παιδία, ὁποῦ ἔκραζαν εἰς τὸ
ἱερὸν, καὶ ἔλεγαν, Ὡσαννὰ τῷ
υἱῷ Δαβὶδ, ἀδημόνησαν.
16 Καὶ εἶπάν του· Ἀκούεις τί
λέγουν ἐτοῦτοι; Καὶ λέγει τους ὁ
Ἰησοῦς· Ναί· δὲν ἐδιαβάσετε πο-
τὲ, Ὅτι ἀπὸ τὸ στόμα τῶν νηπίων
καὶ ἐκείνων, ὁποῦ βυζάνουσι,
ἐκατασκεύασες ἔπαινον;
17 Καὶ ἀφίνωντάς τους, εὐ-
γῆκεν ἔξω ἀπὸ τὴν πόλιν, καὶ
ἐπῆγεν εἰς τὴν Βηθανίαν· καὶ
ἐκόνεψεν ἐκεῖ.
18 Καὶ τὸ ταχὺ γυρίζωντας
εἰς τὴν πόλιν, ἐπείνασε.
19 Καὶ βλέπωντας μίαν συ-
κίαν εἰς τὴν στράτα, ἐπῆγεν εἰς
ἐκείνην, καὶ δὲν εὗρηκε τίποτες
εἰς αὐτὴν, παρὰ μοναχὰ
φύλλα· καὶ λέγει της· Πλέον νὰ
μὴν γένῃ καρπὸς ἀπὸ λόγου σου
εἰς τὸν αἰῶνα. Καὶ παρευθὺς
ἐξηράνθη ἡ συκία.
20 Καὶ ὡσὰν τὸ εἶδαν οἱ μα-
θητάδες, ἐθαύμασαν, καὶ εἶ-
παν· Πῶς παρευθὺς ἐξηράνθη
ἡ συκία;

21 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν, καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε· Ἄρθητι, καὶ βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται.

22 Καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευχῇ πιστεύοντες, λήψεσθε.

23 Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ ἱερὸν, προσῆλθον αὐτῷ διδάσκοντι οἱ Ἀρχιερεῖς καὶ οἱ Πρεσβύτεροι τοῦ λαοῦ, λέγοντες· Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην;

24 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα· ὃν ἐὰν εἴπητέ μοι, κἀγὼ ὑμῖν ἐρῶ, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ·

25 Τὸ βάπτισμα Ἰωάννου πόθεν ἦν; ἐξ οὐρανοῦ, ἢ ἐξ ἀνθρώπων; Οἱ δὲ διελογίζοντο παρ' ἑαυτοῖς, λέγοντες· Ἐὰν εἴπωμεν, Ἐξ οὐρανοῦ· ἐρεῖ ἡμῖν· Διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ;

26 Ἐὰν δὲ εἴπωμεν, Ἐξ ἀνθρώπων· φοβούμεθα τὸν ὄχλον· πάντες γὰρ ἔχουσι τὸν Ἰωάννην ὡς προφήτην

27 Καὶ ἀποκριθέντες τῷ Ἰησοῦ, εἶπον· Οὐκ οἴδαμεν. Ἔφη

21 Καὶ ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπέν τους· Βέβαια σᾶς λέγω, ἂν ἔχετε πίστιν, καὶ δὲν ἀμφιβάλλετε, ὄχι μοναχὰ τὸ πρᾶγμα τῆς συκῆς θέλετε κάμει, ἀλλὰ ἂν εἰπῆτε εἰς τὸ ὄρος ἐτοῦτο· Σήκω, καὶ ῥίξου εἰς τὴν θάλασσαν, θέλει γένει.

22 Καὶ ὅλα ὅσα ζητήσετε εἰς τὴν προσευχήν σας, ἔχοντες πίστιν, θέλετε τὰ πάρει.

23 Καὶ ὡσὰν ἐπῆγεν εἰς τὸ ἱερὸν, τοῦ ἦλθαν οἱ Ἀρχιερεῖς καὶ οἱ Πρεσβύτεροι τοῦ λαοῦ ἐκεῖ, ὅπου ἐδίδασκε, καὶ ἔλεγαν· Μὲ ποῖαν ἐξουσίαν τὰ κάμνεις αὐτά; καὶ τίς σοῦ τὴν ἔδωκε τὴν ἐξουσίαν ἐτούτην;

24 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ λέγει τους· Θέλω νὰ σᾶς ἐρωτήσω καὶ ἐγὼ ἕνα λόγον· τὸν ὁποῖον ἂν μοῦ τὸν εἰπῆτε, θέλω σᾶς εἰπεῖ καὶ ἐγὼ, μὲ ποῖαν ἐξουσίαν κάμνω ἐτοῦτα·

25 Τὸ βάπτισμα τοῦ Ἰωάννου πόθεν ἦτον; ἀπὸ τὸν οὐρανὸν, ἢ ἀπὸ τοὺς ἀνθρώπους; Καὶ ἐκεῖνοι ἐδιαλογίζουνταν μέσα τους, λέγοντες· Ἂν εἰποῦμεν, Ἀπὸ τὸν οὐρανόν· θέλει μᾶς εἰπεῖ· Διατί λοιπὸν δὲν τὸ ἐπιστεύσατε;

26 Καὶ ἂν εἰποῦμεν, Εἶναι ἀπὸ τοὺς ἀνθρώπους· φοβούμεσθε τὸν ὄχλον· διατὶ ὅλοι ἔχουσι τὸν Ἰωάννην ὡσὰν προφήτην.

27 Καὶ ἀπεκρίθηκαν, καὶ λέγουν εἰς τὸν Ἰησοῦν· Δὲν ἠξεύ-

αὐτοῖς καὶ αὐτός· Οὐδὲ ἐγὼ λέγω ὑμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

28 Τί δὲ ὑμῖν δοκεῖ; Ἄνθρωπος εἶχε τέκνα δύο, καὶ προσελθὼν τῷ πρώτῳ, εἶπε· Τέκνον, ὕπαγε, σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου.

29 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Οὐ θέλω· ὕστερον δὲ μεταμεληθεὶς, ἀπῆλθε.

30 Καὶ προσελθὼν τῷ δευτέρῳ, εἶπεν ὡσαύτως. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Ἐγὼ κύριε. καὶ οὐκ ἀπῆλθε.

31 Τίς ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ πατρός; Λέγουσιν αὐτῷ· Ὁ πρῶτος. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν λέγω ὑμῖν, ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

32 Ἦλθε γὰρ πρὸς ὑμᾶς Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν αὐτῷ ὑμεῖς δὲ ἰδόντες οὐ μετεμελήθητε ὕστερον, τοῦ πιστεῦσαι αὐτῷ.

33 Ἄλλην παραβολὴν ἀκούσατε. Ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκε, καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν, καὶ ᾠκοδόμησε πύρ-

ρομεν. Λέγει τους καὶ αὐτός· Οὐδὲ ἐγὼ σᾶς λέγω, μὲ ποῖαν ἐξουσίαν τὰ κάμνω ἐτοῦτα.

28 Ἀμὴ τί σᾶς φαίνεται; Ἕνας ἄνθρωπος εἶχε δύο παιδία, καὶ ἐπῆγεν εἰς τὸν πρῶτον, καὶ λέγει του· Παιδί μου, σύρε σήμερον εἰς τὸ ἀμπέλι μου, καὶ δούλευε.

29 Καὶ ἐκεῖνος ἀπεκρίθη, καὶ εἶπε· Δὲν θέλω· ἀμὴ ὕστερον ἐμετανόησε, καὶ ἐπῆγε.

30 Καὶ πηγένωντας εἰς τὸν δεύτερον, εἶπε τὰ ὅμοια. Καὶ ἐκεῖνος ἀπεκρίθη, καὶ εἶπεν· Ἐγὼ νὰ ὑπάγω αὐθέντη· καὶ δὲν ἐπῆγε.

31 Τίς ἀπὸ τοὺς δύο ἔκαμε τὸ θέλημα τοῦ πατρός; Λέγουν του· Ὁ πρῶτος. Λέγει τους ὁ Ἰησοῦς· Βέβαια σᾶς λέγω, ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι πηγένουν ὀμπροστήτερά σας εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

32 Διατὶ ὁ Ἰωάννης ἦλθεν εἰς ἐσᾶς μὲ στράτα δικαιοσύνης, καὶ δὲν τὸν ἐπιστεύσετε· ἀμὴ οἱ τελῶναι καὶ ἡ πόρναις τὸν ἐπίστευσαν· καὶ ἐσεῖς, ὁποῦ εἴδετε, δὲν ἐμετανοήσετε ὕστερον, νὰ τὸν πιστεύσετε.

33 Ἄλλην παραβολὴν ἀκούσατε. Ἦτον κάποιος ἄνθρωπος οἰκοκύρης, ὁ ὁποῖος ἐφύτευσεν ἕνα ἀμπέλι, καὶ τὸ ἔφραξε τρυγύρω, καὶ ἔσκαψεν μέσα εἰς αὐτὸ ληνὸν, καὶ ἔκλισε πύργον·

γον· καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν.

34 Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς, λαβεῖν τοὺς καρποὺς αὐτοῦ.

35 Καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ, ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν.

36 Πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων· καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως.

37 Ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ, λέγων· Ἐντραπήσονται τὸν υἱόν μου.

38 Οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν, εἶπον ἐν ἑαυτοῖς· Οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ.

39 Καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος, καὶ ἀπέκτειναν.

40 Ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις;

41 Λέγουσιν αὐτῷ· Κακοὺς κακῶς ἀπολέσει αὐτούς· καὶ τὸν ἀμπελῶνα ἐκδόσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν.

καὶ τὸ ἔδωσεν τιμησάρικον εἰς τοὺς γεωργοὺς, καὶ ἐμίσευσε.

34 Καὶ ὅταν ἐσήμωσεν ὁ καιρὸς τῶν καρπῶν, ἔστειλε τοὺς δουλευτάδες του εἰς τοὺς γεωργοὺς νὰ πάρουν τοὺς καρπούς του·

35 Καὶ οἱ γεωργοὶ πιάνοντες τοὺς δούλους του, ἄλλον ἔδειραν, ἄλλον ἐσκότωσαν, καὶ ἄλλον ἐλιθοβόλησαν.

36 Πάλιν ἔστειλεν ἄλλους δούλους, περισσοτέρους ἀπὸ τοὺς πρώτους· καὶ ἔκαμαν καὶ εἰς αὐτοὺς τὰ ὅμοια.

37 Καὶ ὕστερον ἔστειλεν εἰς αὐτοὺς τὸν υἱόν του, λέγοντας· Θέλουσιν ἐντραπεῖ τὸν υἱόν μου·

38 Ἀμὴ οἱ γεωργοὶ ὡσὰν εἴδασι τὸν υἱόν του, εἶπαν ἀνάμεσά τους· Ἐτοῦτος εἶναι ὁ κληρονόμος· ἐλᾶτε νὰ τὸν σκοτώσωμεν, καὶ νὰ κρατήσωμέν τὴν κληρονομίαν του·

39 Καὶ πιάνοντές τον εὔγαλάν τον ἔξω ἀπὸ τὸ ἀμπέλι, καὶ τὸν ἐσκότωσαν.

40 Ὅταν λοιπὸν ἔλθῃ ὁ αὐθέντης τοῦ ἀμπελίου, τί θέλει κάμει εἰς τοὺς γεωργοὺς ἐκείνους;

41 Λέγουσιν εἰς αὐτόν· Τούτους τοὺς κακοὺς θέλει τοὺς ἀφανίσει κακὴν κακῶς, καὶ τὸ ἀμπέλι του θέλει τὸ δώσει μισιακὸν εἰς ἄλλους γεωργοὺς, ὁποῦ νὰ τοῦ δίδωσι τὸν καρπὸν εἰς τὸν καιρόν του.

42 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς· Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν;

43 Διὰ τοῦτο λέγω ὑμῖν, ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.

44 Καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν.

45 Καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τὰς παραβολὰς αὐτοῦ, ἔγνωσαν, ὅτι περὶ αὐτῶν λέγει.
46 Καὶ ζητοῦντες αὐτὸν κρατῆσαι, ἐφοβήθησαν τοὺς ὄχλους, ἐπειδὴ ὡς προφήτην αὐτὸν εἶχον.

42 Λέγει τους ὁ Ἰησοῦς· Καμίαν φορὰν δὲν ἀνεγνώσετε εἰς ταῖς γραφαῖς· Τὴν πέτραν ἐκείνην, ὁποῦ ἐκαταφρόνησαν οἱ κτιστάδες, αὐτὴ ἔγινε κεφαλὴ τῆς γωνίας· ἀπὸ τὸν Θεὸν ἔγινεν ἐτοῦτο, καὶ εἶναι θαυμαστὸν εἰς τὰ μάτιά μας;
43 Διὰ τοῦτο σᾶς λέγω, ὅτι ἡ βασιλεία τοῦ Θεοῦ θέλει παρθῆ ἀπὸ σᾶς, καὶ θέλει δοθῆ εἰς ἔθνος, ὁποῦ νὰ κάμνῃ τοὺς καρπούς της.
44 Καὶ ὅποιος πέσει εἰς τὴν πέτραν ἐτούτην, θέλει συντριφθῆ· καὶ εἰς ὅποιον ἀπάνω πέσει, θέλει τὸν λιχνίσει.
45 Καὶ ὡσὰν ἄκουσαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ταῖς παραβολαῖς του, ἐγνώρισαν, ὅτι διὰ λόγου τους τὰ λέγει.
46 Καὶ γυρεύοντες νὰ τὸν πιάσουν, ἐφοβήθηκαν τοὺς ὄχλους, διατὶ οἱ ὄχλοι τὸν εἶχαν ὡσὰν προφήτην.

Κεφ. κβʹ. 22.

ΚΑΙ᾽ ἀποκριθεὶς ὁ Ἰησοῦς, πάλιν εἶπεν αὐτοῖς ἐν παραβολαῖς, λέγων·
2 Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ.

3 Καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ καλέσαι τοὺς κεκλημένους

ΚΑΙ᾽ ἀποκριθεὶς ὁ Ἰησοῦς, πάλιν τοὺς εἶπε μὲ παραβολαῖς·
2 Ὁμοιάζει ἡ βασιλεία τῶν οὐρανῶν ὡσὰν ἕνα ἄνθρωπον βασιλέα, ὁ ὁποῖος ἔκαμε γάμους τοῦ υἱοῦ του.
3 Καὶ ἔστειλε τοὺς δουλευτάδες του, νὰ κράξουν τοὺς καλε-

εἰς τοὺς γάμους· καὶ οὐκ ἤθελον ἐλθεῖν.

4 Πάλιν ἀπέστειλεν ἄλλους δούλους, λέγων· Εἴπατε τοῖς κεκλημένοις· Ἰδοὺ, τὸ ἄριστόν μου ἡτοίμασα, οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γάμους.

5 Οἱ δὲ ἀμελήσαντες, ἀπῆλθον· ὁ μὲν εἰς τὸν ἴδιον ἀγρὸν, ὁ δὲ εἰς τὴν ἐμπορίαν αὐτοῦ·

6 Οἱ δὲ λοιποὶ, κρατήσαντες τοὺς δούλους αὐτοῦ, ὕβρισαν καὶ ἀπέκτειναν.

7 Ἀκούσας δὲ ὁ βασιλεὺς ὠργίσθη· καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ, ἀπώλεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε.

8 Τότε λέγει τοῖς δούλοις αὐτοῦ. Ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι.

9 Πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἂν εὕρητε, καλέσατε εἰς τοὺς γάμους.

10 Καὶ ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς, συνήγαγον πάντας ὅσους εὗρον, πονηρούς τε καὶ ἀγαθούς· καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων.

11 Εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυ-

σμένους εἰς τοὺς γάμους· καὶ δὲν ἠθέλησαν νὰ ἔλθουν.

4 Πάλιν ἔστειλεν ἄλλους δούλους, καὶ λέγει τους· Εἰπέτε εἰς τοὺς καλεσμένους· Νὰ, ὁποῦ τὸ γεῦμά μου ἑτοίμασα, τὰ ταυριά μου καὶ τὰ θρεφτὰ εἶναι σφαγμένα, καὶ ὅλα εἶναι ἕτοιμα· ἐλᾶτε εἰς τοὺς γάμους.

5 Καὶ ἐκεῖνοι ἔστωντας νὰ ἀμελήσουν, ἄλλος ἐπῆγεν εἰς τὸ χωράφι του, ἄλλος εἰς τὴν πραγματείαν του.

6 Καὶ οἱ ἐπίλοιποι ἐπίασαν τοὺς δούλους του, καὶ τοὺς ὕβρισαν, καὶ τοὺς ἐσκότωσαν.

7 Καὶ ὡσὰν τὸ ἄκουσεν ὁ βασιλεὺς, ἐθυμώθη· καὶ ἔστειλε τὰ στρατεύματά του, καὶ ἐχάλασε τοὺς φονείαδες ἐκείνους, καὶ τὴν πόλιν τους τὴν ἐκατάσκαψε.

8 Τότε λέγει εἰς τοὺς δούλους του· Ὁ γάμος εἶναι ἕτοιμος, ἀμὴ οἱ καλεσμένοι δὲν ἦταν ἄξιοι.

9 Σύρτε λοιπὸν εἰς ταῖς στράταις, καὶ ὅσους εὕρετε, καλέσετέ τους εἰς τοὺς γάμους.

10 Καὶ εὐγένοντες ἔξω οἱ δοῦλοι ἐκεῖνοι εἰς ταῖς στράταις, ἐμάζωξαν ὅσους εὑρῆκαν, κακοὺς καὶ καλούς· καὶ ἐγέμισεν ὁ γάμος καλεσμένους.

11 Καὶ ὁ βασιλεὺς ἐμβαίνωντας νὰ εἰδῇ ἐκείνους, ὁποῦ ἐκάθουνταν εἰς τὴν τράπεζαν, εἶδεν

μένον ἔνδυμα γάμου.

12 Καὶ λέγει αὐτῷ· Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; Ὁ δὲ ἐφιμώθη.

13 Τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις· Δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας, ἄρατε αὐτὸν, καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

14 Πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.

15 Τότε πορευθέντες οἱ Φαρισαῖοι, συμβούλιον ἔλαβον, ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ.

16 Καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρωδιανῶν, λέγοντες· Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων.

17 Εἰπὲ οὖν ἡμῖν, τί σοι δοκεῖ; ἔξεστι δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ;

18 Γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν, εἶπε· Τί με πειράζετε ὑποκριταί;

19 Ἐπιδείξατέ μοι τὸ νόμι-

ἐκεῖ ἕνα ἄνθρωπον, ὅπου δὲν ἐφόρει φόρεμα τοῦ γάμου.

12 Καὶ λέγει του· Φίλε, πῶς ἐμβῆκες ἐδῶ, ὅπου δὲν ἔχεις φόρεμα τοῦ γάμου; Καὶ ἐκεῖνος ἀποστομώθη.

13 Τότε εἶπεν ὁ βασιλεὺς εἰς τοὺς ὑπηρέτας του· Δέσετέ τον χέρια καὶ ποδάρια, καὶ σηκώσετέ τον, καὶ βάλλετέ τον εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ θέλει εἶσθαι ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

14 Διατὶ πολλοὶ εἶναι οἱ καλεσμένοι, ἀμὴ ὀλίγοι οἱ διαλεγμένοι.

15 Τότε ἐπῆγαν οἱ Φαρισαῖοι, καὶ ἐσυμβουλεύθησαν, πῶς νὰ τὸν παγιδεύσουν εἰς τίποτες λόγον.

16 Καὶ τοῦ στέλλουσι τοὺς μαθητάδες των μὲ τοὺς Ἡρωδιανοὺς, λέγοντες· Διδάσκαλε, ἠξεύρομεν ὅτι εἶσαι ἀληθινὸς, καὶ ἀληθινὰ διδάσκεις τὴν στράταν τοῦ Θεοῦ, καὶ δὲν σὲ μέλει διὰ κανέναν ἄνθρωπον· διατὶ δὲν βλέπεις εἰς πρόσωπον ἀνθρώπων.

17 Εἰπέ μας λοιπὸν, τί σοῦ φαίνεται; ἠμποροῦμεν νὰ δώσωμεν κῆνσον εἰς τὸν Καίσαρα, ἢ ὄχι;

18 Καὶ ὁ Ἰησοῦς γνωρίζωντας τὴν πονηρίαν τους, εἶπε· Τί μέ πειράζετε ὑποκριταί;

19 Δείξετέ μου τὸ νόμισμα

σμα τοῦ κήνσου. Οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον.
20 Καὶ λέγει αὐτοῖς· Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή;
21 Λέγουσιν αὐτῷ· Καίσαρος. Τότε λέγει αὐτοῖς· Ἀπόδοτε οὖν τὰ Καίσαρος, Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ.

22 Καὶ ἀκούσαντες ἐθαύμασαν· καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.
23 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι, οἱ λέγοντες μὴ εἶναι ἀνάστασιν· καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες·

24 Διδάσκαλε, Μωσῆς εἶπεν· Ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.
25 Ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος, γαμήσας ἐτελεύτησε· καὶ μὴ ἔχων σπέρμα, ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ.
26 Ὁμοίως καὶ ὁ δεύτερος, καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά.
27 Ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή.
28 Ἐν τῇ οὖν ἀναστάσει, τίνος τῶν ἑπτὰ ἔσται γυνή; πάντες γὰρ ἔσχον αὐτήν.

29 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς,

τοῦ κήνσου· Καὶ ἐκεῖνοι τοῦ ἔφεραν ἕνα δηνάριον.
20 Λέγει τους· Τίνος εἶναι ἡ εἰκόνα αὐτὴ καὶ ἡ ἐπιγραφή;
21 Λέγουν του· Τοῦ Καίσαρος. Τότε τοὺς εἶπε· Πληρώσετε λοιπὸν ἐκεῖνα, ὅπου εἶναι τοῦ Καίσαρος, εἰς τὸν Καίσαρα, καὶ ἐκεῖνα, ὅπου εἶναι τοῦ Θεοῦ, εἰς τὸν Θεόν.
22 Καὶ ὡσὰν ἤκουσαν, ἐθαύμασαν, καὶ ἄφησάν τον καὶ ἐδιάβηκαν.
23 Ἐκείνην τὴν ἡμέραν ἦλθαν εἰς αὐτὸν καὶ οἱ Σαδδουκαῖοι, οἱ ὁποῖοι ἔλεγαν, πῶς νὰ μὴν εἶναι ἀνάστασις, καὶ ἐρώτησάν τον, λέγοντες·
24 Διδάσκαλε, ὁ Μωϋσῆς εἶπεν· Ἐὰν ἀποθάνῃ κανένας, καὶ δὲν ἀφήσῃ παιδία, νὰ ὑπανδρευθῇ ὁ ἀδελφός του τὴν γυναῖκά του, καὶ νὰ ἀναστήσῃ σπέρμα εἰς τὸν ἀδελφόν του.
25 Καὶ εἰς ἐμᾶς ἦταν ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος ὑπανδρεύθη, καὶ ἀπέθανε· καὶ μὴ ἔχοντας παιδί, ἀφῆκεν τὴν γυναῖκά του εἰς τὸν ἀδελφόν του.
26 Ὁμοίως καὶ ὁ δεύτερος, καὶ ὁ τρίτος, ἕως τοὺς ἑπτά.
27 Ὕστερον ἀπὸ ὅλους ἀπέθανε καὶ ἡ γυναῖκα.
28 Εἰς τὴν ἀνάστασιν λοιπὸν, ποῖος ἀπὸ τοὺς ἑπτὰ θέλει εἶσθαι ἡ γυναῖκα; διατὶ ὅλοι τὴν εἶχαν.
29 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ

εἶπεν αὐτοῖς· Πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ Θεȣ̃.

30 Ἐν γὰρ τῇ ἀναςάσει ȣ̓́τε γαμȣ̃σιν, ȣ̓́τε ἐκγαμίζονται, ἀλλ᾽ ὡς ἄγγελοι τοῦ Θεȣ̃ ἐν ȣ̓ρανῷ εἰσι.

31 Περὶ δὲ τῆς ἀναςάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ Θεȣ̃, λέγοντος·

32 Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ; οὐκ ἔςιν ὁ Θεὸς, Θεὸς νεκρῶν, ἀλλὰ ζώντων.

33 Καὶ ἀκȣ́σαντες οἱ ὄχλοι, ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτȣ̃.

34 Οἱ δὲ φαρισαῖοι, ἀκȣ́σαντες ὅτι ἐφίμωσε τȣ̀ς Σαδδȣκαίȣς, συνήχθησαν ἐπὶ τὸ αὐτό.

35 Καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν νομικὸς, πειράζων αὐτὸν, καὶ λέγων·

36 Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ;

37 Ὁ δὲ Ἰησȣ̃ς εἶπεν αὐτῷ· Ἀγαπήσεις Κύριον τὸν Θεόν σȣ ἐν ὅλῃ τῇ καρδίᾳ σȣ, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σȣ, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σȣ·

38 Αὕτη ἐςὶ πρώτη καὶ μεγάλη ἐντολή.

39 Δευτέρα δὲ ὁμοία αὐτῇ· Ἀγαπήσεις τὸν πλησίον σȣ ὡς σεαυτόν.

λέγει τȣ̀ς· Πλανᾶσθε μὴν γνωρίζοντες τὰς γραφὰς, μήτε τὴν δύναμιν τοῦ Θεȣ̃.

30 Διατὶ εἰς τὴν ἀνάςασιν ȣ̓́τε ὑπανδρεύȣν ȣ̓́τε ὑπανδρεύονται, ἀλλὰ εἶναι ὡσὰν ἄγγελοι Θεȣ̃ εἰς τὸν ȣ̓ρανόν.

31 Ἀμὴ διὰ τὴν ἀνάςασιν τῶν νεκρῶν, δὲν ἐδιαβάσετε ἐκεῖνο, ὁπȣ̃ σᾶς ἐλαλήθη ἀπὸ τὸν Θεὸν, λέγωντας·

32 Ἐγὼ εἰμὶ ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεός Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ; ὁ Θεὸς δὲν εἶναι Θεὸς νεκρῶν, ἀλλὰ Θεὸς ζωντανῶν.

33 Καὶ ὡσὰν τὸ ἄκȣσεν ὁ λαὸς, ἐθαύμασεν εἰς τὴν διδαχήν τȣ.

34 Καὶ οἱ φαρισαῖοι, ὡσὰν ἤκȣσαν ὅτι ἀποςόμωσε τȣ̀ς Σαδδȣκαίȣς, ἐμαζώχθησαν.

35 Καὶ ἕνας ἀπ᾽ ἐκείνȣς νομοδιδάσκαλος τὸν ἐρώτησε, δοκιμάζωντάς τον, καὶ λέγωντας·

36 Διδάσκαλε, ποῖα ἐντολὴ εἶναι μεγάλη εἰς τὸν νόμον;

37 Καὶ ὁ Ἰησȣ̃ς τοῦ εἶπε· Νὰ ἀγαπήσῃς τὸν Αὐθέντην τὸν Θεόν σȣ μὲ ὅλην τὴν καρδίαν σȣ· καὶ μὲ ὅλην τὴν ψυχήν σȣ, καὶ μὲ ὅλην σȣ τὴν διάνοιαν·

38 Ἐτȣ̃τη εἶναι πρώτη καὶ μεγάλη ἐντολή.

39 Καὶ δευτέρα ὅμοια μὲ ἐτȣ̃την εἶναι· Νὰ ἀγαπήσῃς τὸν γείτονά σȣ ὡσὰν καὶ τοῦ λόγȣ σȣ.

40 Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται.

41 Συνηγμένων δὲ τῶν Φαρισαίων, ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς,

42 Λέγων· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ, τίνος υἱός ἐστι; Λέγουσιν αὐτῷ, τοῦ Δαβίδ.

43 Λέγει αὐτοῖς· Πῶς οὖν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ; λέγων·

44 Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

45 Εἰ οὖν Δαβὶδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι;

46 Καὶ οὐδεὶς ἐδύνατο αὐτῷ ἀποκριθῆναι λόγον· οὐδὲ ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι.

40 Εἰς τούταις ταῖς δύο ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμονται.

41 Καὶ ὡσὰν ἐμαζώχθησαν οἱ Φαρισαῖοι, τοὺς ἐρώτησεν ὁ Ἰησοῦς,

42 Λέγωντας· Τί σᾶς φαίνεται διὰ τὸν Χριστόν; τίνος υἱός εἶναι; Λέγουν του, τοῦ Δαβίδ.

43 Λέγει τους· Πῶς τὸ λοιπὸν ὁ Δαβὶδ προφητεύωντας, μὲ τὸ ἅγιον Πνεῦμα τὸν λέγει Αὐθέντην; λέγωντας·

44 Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ὅπου νὰ θέσω τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου·

45 Ἂν τὸ λοιπὸν ὁ Δαβὶδ τὸν καλεῖ Αὐθέντην, πῶς εἶναι υἱός του;

46 Καὶ κανεὶς δὲν ἐδύνετον νὰ τοῦ ἀποκριθῇ λόγον· μηδὲ ἀποκότησε κανεὶς, ἀπ' ἐκείνην τὴν ἡμέραν, νὰ τὸν μετερωτήσῃ πλέον.

Κεφ. κγ΄. 23.

ΤΟ'ΤΕ ὁ Ἰησοῦς ἐλάλησε τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ,

2 Λέγων· Ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι·

3 Πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· λέγουσι γάρ, καὶ οὐ ποιοῦσι.

ΤΟ'ΤΕ ὁ Ἰησοῦς εἶπεν εἰς τοὺς ὄχλους, καὶ εἰς τοὺς μαθητάδες·

2 Εἰς τὴν καθέδραν τοῦ Μωϋσέως ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι·

3 Ὅλα λοιπὸν, ὅσα σᾶς εἰποῦσι νὰ φυλάγετε, φυλάγετέ τα, καὶ κάμνετέ τα· ἀμὴ κατὰ τὰ ἔργα τους μὴν κάμνετε· διατὶ λέγουν, καὶ δὲν κάμνουν·

4 Δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα, καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων· τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά.

5 Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις· πλατύνουσι δὲ τὰ φυλακτήρια αὐτῶν, καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν.

6 Φιλοῦσί τε τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις, καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς,

7 Καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων, ῥαββὶ, ῥαββί.

8 Ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββί· εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητὴς, ὁ Χριστός· πάντες δὲ ὑμεῖς, ἀδελφοί ἐστε.

9 Καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς.

10 Μηδὲ κληθῆτε καθηγηταί· εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθηγητὴς, ὁ Χριστός.

11 Ὁ δὲ μείζων ὑμῶν, ἔσται ὑμῶν διάκονος.

12 Ὅστις δὲ ὑψώσει ἑαυτὸν, ταπεινωθήσεται· καὶ ὅστις ταπεινώσει ἑαυτὸν, ὑψωθήσεται.

4 Διατὶ δένουσι φορτία βαρέα καὶ δυσκολοσήκωτα, καὶ βάνουν τα εἰς τοὺς νώμους τῶν ἀνθρώπων· ἀμὴ αὐτοὶ δὲν θέλουν οὐδὲ μὲ τὸ δάκτυλόν τους νὰ τὰ σείσουν.

5 Καὶ ὅλα τους τὰ ἔργα τὰ κάμνουσι διὰ νὰ φανοῦν εἰς τοὺς ἀνθρώπους· πλατύνουσι τὰ φυλακτήριά τους, καὶ μεγαλύνουσι τὰ κρώσια τῶν φορεμάτων τους.

6 Καὶ ἀγαποῦσι νὰ προκαθίζωνται εἰς τὰ δεῖπνα, καὶ εἰς ταῖς συναγωγαῖς.

7 Καὶ ἀγαποῦν νὰ τοὺς χαιρετοῦν εἰς τοὺς φόρους, καὶ νὰ κράζωνται ἀπὸ τοὺς ἀνθρώπους, διδάσκαλε, διδάσκαλε.

8 Ἀμὴ ἐσεῖς μὴν κραχθῆτε διδάσκαλοι· διατὶ ἕνας εἶναι ὁ διδάσκαλός σας, ὁ Χριστός· καὶ ὅλοι ἐσεῖς εἶσθε ἀδελφοί.

9 Καὶ κανένα νὰ μὴν τὸν κράξετε πατέρα σας ἀπάνω εἰς τὴν γῆν· διατὶ ἕνας εἶναι ὁ πατέρας σας, ὁποῦ εἶναι εἰς τοὺς οὐρανούς.

10 Μηδὲ νὰ κραχθῆτε διδάσκαλοι· διατὶ ἕνας εἶναι ὁ διδάσκαλός σας, ὁ Χριστός.

11 Καὶ ὁ μεγαλίτερός σας, νὰ εἶναι ὑπηρέτης σας.

12 Καὶ ὁποῖος ὑψώσει τοῦ λόγου του, θέλει ταπεινωθῆ· καὶ ὁποῖος ταπεινώσει τοῦ λόγου του, θέλει ὑψωθῆ.

13 Οὐαὶ δὲ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν.

14 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι· διὰ τοῦτο λήψεσθε περισσότερον κρίμα.

15 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν, ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν.

16 Οὐαὶ ὑμῖν ὁδηγοὶ τυφλοὶ, οἱ λέγοντες· Ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν· ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει.

17 Μωροὶ καὶ τυφλοί· τίς γὰρ μείζων ἐστὶν, ὁ χρυσὸς, ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν;

18 Καὶ Ὃς ἐὰν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν· ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ, ὀφείλει.

19 Μωροὶ καὶ τυφλοὶ, τί γὰρ μεῖζον; τὸ δῶρον, ἢ τὸ θυσια-

13 Καὶ ἀειλύμονον εἰς ἐσᾶς γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, διατὶ κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ὀμπροστὰ εἰς τοὺς ἀνθρώπους· διατὶ ἐσεῖς δὲν ἐμβαίνετε, οὐδὲ ἐκείνους, ὁποῦ ἔρχουνται, ἀφίνετε νὰ ἐμβοῦσι.

14 Ἀειλύμονον εἰς ἐσᾶς γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι κατατρώγετε τὰ σπήτια τῶν χηράδων, ἀφορμῇ ὅτι προσεύχεσθε πολλά· διὰ τοῦτο θέλετε πάρει περισσότερον κρῖμα.

15 Ἀειλύμονον εἰς ἐσᾶς γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι γυρίζετε τὴν θάλασσαν καὶ τὴν γῆν, νὰ κάμετε ἕνα προσήλυτον· καὶ ὅταν γένῃ, τὸν κάμνετε υἱὸν γεέννης διπλότερον ἀπ' ἐσᾶς.

16 Ἀειλύμονον εἰς ἐσᾶς ὁδηγοὶ τυφλοὶ, ὁποῦ λέγετε· Ὅποιος ὀμώσῃ εἰς τὸν ναὸν, δὲν εἶναι τίποτες· ἀμὴ ὅποιος ὀμώσῃ εἰς τὸ χρυσάφι τοῦ ναοῦ, χρεωστεῖ.

17 Ἄγνωστοι καὶ τυφλοί· ποῖος εἶναι μεγαλίτερος, τὸ χρυσάφι, ἢ ὁ ναὸς, ὁποῦ ἁγιάζει τὸ χρυσάφι;

18 Καί· Ὅποιος ἤθελεν ὀμώσῃ εἰς τὸ θυσιαστήριον, δὲν εἶναι τίποτες· ἀμὴ ὅποιος ἤθελεν ὀμώσῃ εἰς τὸ δῶρον, ὁποῦ εἶναι ἀπάνω του, χρεωστεῖ.

19 Μωροὶ καὶ τυφλοὶ, ποῖον εἶναι μεγαλίτερον; τὸ δῶρον,

στήριον τὸ ἁγιάζον τὸ δῶρον;

20 Ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ, ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσι τοῖς ἐπάνω αὐτοῦ.

21 Καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ, ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ κατοικοῦντι αὐτόν.

22 Καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ, ὀμνύει ἐν τῷ θρόνῳ τοῦ Θεοῦ καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ.

23 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν· ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι.

24 Ὁδηγοὶ τυφλοὶ, οἱ διϋλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες.

25 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀκρασίας.

26 Φαρισαῖε τυφλὲ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν.

ἢ τὸ θυσιαστήριον, ὁποῦ ἁγιάζει τὸ δῶρον;

20 Ἐκεῖνος λοιπὸν, ὁποῦ ὀμώσει εἰς τὸ θυσιαστήριον, ὀμώνει εἰς αὐτὸ καὶ εἰς ὅλα ἐκεῖνα, ὁποῦ εἶναι ἀπάνω του.

21 Καὶ ἐκεῖνος, ὁποῦ ὀμώσει εἰς τὸν ναὸν, ὀμώνει εἰς αὐτὸν καὶ εἰς ἐκεῖνον, ὁποῦ κατοικᾷ εἰς αὐτόν.

22 Καὶ ἐκεῖνος, ὁποῦ ὀμώσει εἰς τὸν οὐρανὸν, ὀμώνει εἰς τὸν θρόνον τοῦ Θεοῦ, καὶ εἰς ἐκεῖνον, ὁποῦ κάθεται ἀπάνω του.

23 Ἀειλύμονον εἰς ἐσᾶς γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι δεκατίζετε τὸ ἡδύοσμον, καὶ τὸ ἄνηθον, καὶ τὸν κύμινον, καὶ ἀφήσετε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν, καὶ τὸν ἔλεον, καὶ τὴν πίστιν· ἐτοῦτα ἔπρεπε νὰ κάμνετε, καὶ ἐκεῖνα νὰ μὴν ἀφίνετε.

24 Ὁδηγοὶ τυφλοὶ, ὁποῦ στραγγίζετε τὸν κώνωπα, καὶ τὴν κάμηλον καταπίνετε.

25 Ἀειλύμονον εἰς ἐσᾶς γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι καθαρίζετε τὸ ἀπ᾽ ἔξω τοῦ ποτηρίου καὶ τοῦ πινακίου, καὶ ἀπὸ μέσα εἶναι γεμάτα ἀπὸ ἁρπαγαῖς καὶ ἀδικίαις.

26 Φαρισαῖε τυφλὲ, καθάρισε πρῶτα τὸ μέσα τοῦ ποτηρίου καὶ τοῦ πινακίου, νὰ εἶναι καὶ τὸ ἔξω καθαρόν.

27 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας.

28 Οὕτω καὶ ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας.

29 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν, καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων·

30 Καὶ λέγετε· Εἰ ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν.

31 Ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας.

32 Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν.

33 Ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης;

34 Διὰ τοῦτο, ἰδοὺ, ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας, καὶ σοφοὺς, καὶ γραμματεῖς· καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐ-

27 Ἀλλοίμονον εἰς ἐσᾶς γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ὁμοιάζετε τοὺς τάφους τοὺς ἀσβεστωμένους, οἱ ὁποῖοι ἀπ' ἔξω φαίνονται ὄμορφοι, καὶ ἀπὸ μέσα εἶναι γεμάτοι κόκκαλα τῶν ἀπεθαμμένων καὶ ἀπὸ κάθε λογῆς ἀκαθαρσίαν.

28 Τέτοιας λογῆς καὶ ἐσεῖς ἀπ' ἔξω φαίνεσθεν εἰς τοὺς ἀνθρώπους δίκαιοι· καὶ ἀπὸ μέσα εἶσθε γεμάτοι ὑπόκρισιν καὶ ἀνομίαν.

29 Ἀλλοίμονον εἰς ἐσᾶς γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι κτίζετε τοὺς τάφους τῶν προφητῶν, καὶ στολίζετε τὰ μνήματα τῶν δικαίων.

30 Καὶ λέγετε· Ἂν εἴμασθεν ἐμεῖς εἰς ταῖς ἡμέραις τῶν πατέρων μας, δὲν ἠθέλαμεν συμφωνήσῃ μὲ αὐτοὺς εἰς τὰ αἵματα τῶν προφητῶν.

31 Τόσον ὁποῦ μαρτυρεῖτε τοῦ λόγου σας, πῶς εἶσθε υἱοὶ ἐκείνων, ὁποῦ ἐσκότωσαν τοὺς προφήτας.

32 Καὶ ἐσεῖς ἀναπληρώσετε τὸ μέτρον τῶν πατέρων σας.

33 Ὀφίδια, γεννήματα τῶν ὀχένδρων, πῶς θέλετε φύγει ἀπὸ τὴν κρίσιν τῆς γεέννης;

34 Διὰ τοῦτο, ἰδὰ, ἐγὼ ὁποῦ σᾶς πέμπω προφήτας, καὶ σοφοὺς, καὶ γραμματεῖς· καὶ ἀπ' αὐτοὺς θέλετε σκοτώσει, καὶ θέλετε σταυρώσει, καὶ ἀπ' αὐτοὺς

τῶν μαστιγώσετε ἐν ταῖς συνα-
γωγαῖς ὑμῶν, καὶ διώξετε ἀπὸ
πόλεως εἰς πόλιν·
35 Ὅπως ἔλθῃ ἐφ᾽ ὑμᾶς
πᾶν αἷμα δίκαιον, ἐκχυνό-
μενον ἐπὶ τῆς γῆς ἀπὸ τοῦ
αἵματος Ἄβελ τοῦ δικαίου,
ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ
Βαραχίου, ὃν ἐφονεύσατε μετα-
ξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου.
36 Ἀμὴν λέγω ὑμῖν, ἥξει
ταῦτα πάντα ἐπὶ τὴν γενεὰν
ταύτην.
37 Ἱερουσαλὴμ, Ἱερουσα-
λὴμ, ἡ ἀποκτείνουσα τοὺς προ-
φήτας, καὶ λιθοβολοῦσα τοὺς
ἀπεσταλμένους πρὸς αὐτὴν, πο-
σάκις ἠθέλησα ἐπισυναγαγεῖν
τὰ τέκνα σου, ὃν τρόπον ἐπι-
συνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς
ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ
ἠθελήσατε;
38 Ἰδοὺ, ἀφίεται ὑμῖν ὁ
οἶκος ὑμῶν ἔρημος.
39 Λέγω γὰρ ὑμῖν· Οὐ μή
με ἴδητε ἀπ᾽ ἄρτι, ἕως ἂν
εἴπητε· Εὐλογημένος ὁ ἐρχό-
μενος ἐν ὀνόματι Κυρίου.

θέλετε δείρει εἰς ταῖς συναγω-
γαῖς σας, καὶ θέλετε τοὺς
διώχνει ἀπὸ πόλιν εἰς πόλιν·
35 Διὰ νὰ ἔλθῃ ἀπάνω σας
κάθε αἷμα δίκαιον, ὁποῦ ἐχύθη
ἀπάνω εἰς τὴν γῆν ἀπὸ τὸ αἷ-
μα τοῦ Ἄβελ τοῦ δικαίου, ἕως
τὸ αἷμα τοῦ Ζαχαρίου τοῦ υἱοῦ
τοῦ Βαραχίου, τὸν ὁποῖον
ἐφονεύσετε ἀναμεταξὺ τοῦ ναοῦ
καὶ τοῦ θυσιαστηρίου.
36 Βέβαια σᾶς λέγω, ὅτι
ἐτοῦτα ὅλα θέλουσιν ἔλθῃ εἰς
τὴν γενεὰν ἐτούτην.
37 Ἱερουσαλὴμ, Ἱερουσα-
λὴμ, ὁποῦ σκοτώνεις τοὺς προ-
φήτας, καὶ πετροβολᾷς ἐκείνους,
ὁποῦ ἐστάλθηκαν εἰς ἐσένα, πό-
σαις φοραῖς ἠθέλησα νὰ μαζώ-
ξω τὰ παιδιά σου, καθὼς μα-
ζώνει ἡ ὄρνιθα τὰ πουλιά της ἀπὸ
κάτω εἰς ταῖς πτερούγαις της,
καὶ δὲν ἠθελήσετε.
38 Νὰ, ὁποῦ σὰς ἀφίνεται
τὸ σπῆτί σας ἔρημον.
39 Διατὶ λέγω σας· Ὅτι ἀπὸ
τώρα καὶ ὀμπροστὰ δὲν θέλετε
μὲ εἰδῆ, ἕως ὁποῦ νὰ εἰπῆτε·
Εὐλογημένος ὁ ἐρχόμενος ἐν
ὀνόματι Κυρίου.

Κεφ. κδ΄. 24.

ΚΑΙ` ἐξελθὼν ὁ Ἰησοῦς ἐπο-
ρεύετο ἀπὸ τοῦ ἱεροῦ· καὶ
προσῆλθον οἱ μαθηταὶ αὐτοῦ
ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς
τοῦ ἱεροῦ.

ΚΑΙ` ευγένωντας ὁ Ἰησοῦς
ἐδιάβαινεν ἀπὸ τὸ ἱερὸν,
καὶ ἐπῆγαν κοντὰ οἱ μαθη-
ταί του νὰ τοῦ δείξουν ταῖς
οἰκοδομαῖς τοῦ ἱεροῦ.

2 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐ βλέπετε πάντα ταῦτα; ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ μὴ καταλυθήσεται.

3 Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ' ἰδίαν, λέγοντες· Εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος;

4 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Βλέπετε μή τις ὑμᾶς πλανήσῃ·

5 Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ἐγώ εἰμι ὁ Χριστός· καὶ πολλοὺς πλανήσουσι.

6 Μελλήσετε δὲ ἀκούειν πολέμους, καὶ ἀκοὰς πολέμων· ὁρᾶτε μὴ θροεῖσθε· δεῖ γὰρ πάντα γενέσθαι· ἀλλ' οὔπω ἐστὶ τὸ τέλος.

7 Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν· καὶ ἔσονται λιμοὶ καὶ λοιμοὶ, καὶ σεισμοὶ κατὰ τόπους.

8 Πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων.

9 Τότε παραδώσουσιν ὑμᾶς εἰς θλίψιν, καὶ ἀποκτενοῦσιν ὑμᾶς· καὶ ἔσεσθε μισούμενοι ὑπὸ

2 Καὶ ὁ Ἰησοῦς τοὺς εἶπε· Δὲν βλέπετε ἐτοῦτα ὅλα; βέβαια σᾶς λέγω, δὲν θέλει ἀπομείνει πέτρα ἀπάνω εἰς τὴν πέτραν, ὁποῦ νὰ μὴν χαλασθῇ.

3 Καὶ καθεζόμενος αὐτὸς ἀπάνω εἰς τὸ ὄρος τῶν ἐλαιῶν, ἐπῆγαν κοντά του οἱ μαθηταί του ξεχωριστὰ, λέγοντες· Εἰπέ μας, πότε θέλουσι γένει ἐτοῦτα; καὶ τί θέλει εἶσθαι τὸ σημεῖον τοῦ ἐρχομοῦ σου, καὶ τοῦ τέλους τοῦ κόσμου;

4 Καὶ ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπέ τους· Προσέχετε, μήπως καὶ σᾶς πλανέσῃ κανείς.

5 Διατὶ θέλουσιν ἔλθη πολλοὶ εἰς τὸ ὄνομά μου, νὰ λέγουν· Ἐγὼ εἶμαι ὁ Χριστὸς, καὶ θέλουν πλανέσει πολλούς.

6 Καὶ θέλετε ἀκούσει πολέμους καὶ ἀκοὰς πολέμων· βλέπετε μὴν συγχίζεσθε· διατὶ κάμνει χρεία νὰ γενοῦν ἐτοῦτα ὅλα· ἀμὴ ἀκόμι δὲν εἶναι τὸ τέλος.

7 Διατὶ θέλει συκωθῇ ἔθνος ἀπάνω εἰς ἄλλο ἔθνος, καὶ βασιλεία ἀπάνω εἰς ἄλλην βασιλείαν· καὶ θέλουσι γένει πεῖναι, καὶ πανοῦκλαι, καὶ σεισμοὶ κατὰ τόπους.

8 Ἀμὴ τοῦτα ὅλα εἶναι ἀρχαῖς τῶν πόνων.

9 Τότε θέλουν σᾶς παραδώσει εἰς θλίψιν, καὶ θέλουν σᾶς σκοτώσει· καὶ θέλετε εἶσθαι μι-

πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου.

10 Καὶ τότε σκανδαλισθήσονται πολλοί· καὶ ἀλλήλους παραδώσουσι, καὶ μισήσουσιν ἀλλήλους.

11 Καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται, καὶ πλανήσουσι πολλούς.

12 Καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν.

13 Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

14 Καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι· καὶ τότε ἥξει τὸ τέλος.

15 Ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου, ἑστὼς ἐν τόπῳ ἁγίῳ· (ὁ ἀναγινώσκων νοείτω.)

16 Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν ἐπὶ τὰ ὄρη·

17 Ὁ ἐπὶ τοῦ δώματος, μὴ καταβαινέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ·

18 Καὶ ὁ ἐν τῷ ἀγρῷ, μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὰ ἱμάτια αὐτοῦ.

19 Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ

σημένοι ἀπὸ ὅλα τὰ ἔθνη διὰ τὸ ὄνομά μου.

10 Καὶ πολλοὶ θέλουν σκανδαλισθῆ τότε· καὶ θέλουσι παραδίδει ἕνας τὸν ἄλλον, καὶ θέλουν μισήσει ἕνας τὸν ἄλλον·

11 Καὶ πολλοὶ ψευδοπροφῆται θέλουσι σηκωθῆ καὶ θέλουσι πλανέσει πολλούς.

12 Καὶ μὲ τὸ νὰ πληθύνῃ ἡ ἀνομία, ἡ ἀγάπη τῶν πολλῶν θέλει κρυώσει.

13 Ἀμὴ ὅποιος ὑπομείνει ἕως τὸ τέλος, ἐτοῦτος θέλει σωθῆ.

14 Καὶ θέλει κηρυχθῆ τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας εἰς ὅλην τὴν οἰκουμένην, διὰ μαρτυρίαν ὅλων τῶν ἐθνῶν· καὶ τότε θέλει ἔλθη τὸ τέλος.

15 Ὅταν τὸ λοιπὸν εἰδῆτε τὸ σύγχαμα τῆς ἐρημώσεως, ἐκεῖνο ὁποῦ ἐλαλήθη διὰ Δανιὴλ τοῦ προφήτου, νὰ στέκεται εἰς τὸν τόπον τὸν ἅγιον· (ἐκεῖνος ὁποῦ διαβάζει, ἂς γροικᾷ.)

16 Τότε ἐκεῖνοι, ὁποῦ θέλουν εἶσθαι εἰς τὴν Ἰουδαίαν, ἂς φεύγουσιν εἰς τὰ ὄρη·

17 Ἐκεῖνος, ὁποῦ εἶναι ἀπάνω εἰς τὸ δῶμα, ἂς μὴν καταβαίνῃ νὰ πάρῃ τίποτες ἀπὸ τὸ σπῆτί του.

18 Καὶ ἐκεῖνος, ὁποῦ εἶναι εἰς τὸ χωράφι, ἂς μὴν γυρίσῃ ὀπίσω νὰ πάρῃ τὰ φορέματά του.

19 Καὶ ἀλλοίμονον εἰς ταῖς

ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.

20 Προσεύχεσθε δὲ, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος, μηδὲ ἐν σαββάτῳ.

21 Ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδ' οὐ μὴ γένηται.

22 Καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι.

23 Τότε ἐάν τις ὑμῖν εἴπῃ· Ἰδοὺ, ὧδε ὁ Χριστὸς, ἢ ὧδε· μὴ πιστεύσητε.

24 Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα· ὥστε πλανῆσαι, εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτούς.

25 Ἰδοὺ προείρηκα ὑμῖν.

26 Ἐὰν οὖν εἴπωσιν ὑμῖν· Ἰδοὺ, ἐν τῇ ἐρήμῳ ἐστί· μὴ ἐξέλθητε· ἰδοὺ, ἐν τοῖς ταμείοις· μὴ πιστεύσητε.

27 Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται

ἐγγαστρωμέναις, καὶ ἐκείναις, ὁποῦ βυζάνονται εἰς ἐκείναις ταῖς ἡμέραις.

20 Καὶ παρακαλεῖτε, νὰ μὴν γένῃ ἡ φυγή σας τὸν χειμῶνα, μηδὲ τὸ σάββατον.

21 Διατὶ θέλει εἶσθαι μεγάλη θλῖψις, τέτοιας λογῆς ὁποῦ δὲν ἐγένηκεν ἀπὸ τὴν ἀρχὴν τοῦ κόσμου ἕως τῶρα, οὐδὲ θέλει γένει.

22 Καὶ ἂν δὲν ἤθελαν κοντείνῃ ἐκείναις ἡ ἡμέραις, δὲν ἤθελε γλυτώσῃ καμία σάρκα· ἀμὴ διὰ τοὺς διαλεγμένους θέλουν κοντείνει ἐκείναις ἡ ἡμέραις.

23 Καὶ τότε ἂν σᾶς εἰπῇ κανένας· Νὰ, ἐδῶ ὁ Χριστὸς, ἢ ἐδῶ· νὰ μὴν πιστεύσετε.

24 Διατὶ θέλουσι συκωθῇ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ θέλουν δώσει μεγάλα σημεῖα καὶ τέρατα, εἰς τόσον ὁποῦ νὰ πλανέσουν, ἂν ἦτον δυνατὸν, καὶ τοὺς διαλεγμένους.

25 Νὰ, ὁποῦ σᾶς τὸ προεῖπα.

26 Ἐὰν τὸ λοιπὸν σᾶς εἰποῦσι· Νὰ, ὁποῦ εἶναι εἰς τὴν ἔρημον· Νὰ μὴν εὐγῆτε ἔξω· νὰ, ὁποῦ εἶναι εἰς τὰ κελλάρια· νὰ μὴν πιστεύσετε.

27 Διατὶ καθὼς ἡ ἀστραπὴ εὐγένει ἀπὸ τὴν ἀνατολὴν, καὶ φαίνεται ἕως τὴν δύσιν, τέτοιας

καὶ ἡ παρȣσία τοῦ υἱȣ̃ τοῦ ἀνθρώπȣ.
28 Ὅπȣ γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί.
29 Εὐθέως δὲ μετὰ τὴν θλίψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη ȣ̓ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀςέρες πεσȣ̃νται ἀπὸ τοῦ ȣ̓ρανȣ̃, καὶ αἱ δυνάμεις τῶν ȣ̓ρανῶν σαλευθήσονται.

30 Καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ υἱȣ̃ τοῦ ἀνθρώπȣ ἐν τῷ ȣ̓ρανῷ· καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπȣ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ ȣ̓ρανȣ̃, μετὰ δυνάμεως καὶ δόξης πολλῆς.

31 Καὶ ἀποςελεῖ τȣ̀ς ἀγγέλȣς αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης· καὶ ἐπισυνάξȣσι τȣ̀ς ἐκλεκτȣ̀ς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρων ȣ̓ρανῶν ἕως ἄκρων αὐτῶν.
32 Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς, καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος.

33 Οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε πάντα ταῦτα, γινώσκετε ὅτι

λογῆς θέλει εἶσθαι καὶ ὁ ἐρχομὸς τοῦ υἱȣ̃ τοῦ ἀνθρώπȣ.
28 Διατὶ ἐκεῖ ὁπȣ̃ εἶναι τὸ νεκρὸν κορμὶ, ἐκεῖ θέλȣσι μαζωχθῆ καὶ οἱ ἀετοί.
29 Καὶ παρευθὺς ὕςερον ἀπὸ τὴν ςενοχωρίαν τῶν ἡμερῶν ἐκείνων, ὁ ἥλιος θέλει σκοτεινιάσει, καὶ τὸ φεγγάρι δὲν θέλει φέγξει, καὶ οἱ ἀςέρες θέλȣσι πέσει ἀπὸ τὸν ȣ̓ρανὸν, καὶ αἱ δυνάμεις τῶν ȣ̓ρανῶν θέλȣσι σαλευθῆ.
30 Καὶ τότε θέλει φανεῖ τὸ σημάδι τοῦ υἱȣ̃ τοῦ ἀνθρώπȣ εἰς τὸν ȣ̓ρανόν· καὶ τότε θέλȣσι κλαύσει ὅλαις ἡ φυλαῖς τῆς γῆς, καὶ θέλȣσιν εἰδῆ τὸν υἱὸν τοῦ ἀνθρώπȣ, ὁπȣ̃ νὰ ἔρχεται ἀπάνω εἰς τὰ σύννεφα τοῦ ȣ̓ρανȣ̃, μετὰ δυνάμεως καὶ δόξης πολλῆς.
31 Καὶ θέλει πέμψει τȣ̀ς ἀγγέλȣς τȣ μὲ σάλπιγγα καὶ μὲ μεγάλην φωνήν· καὶ θέλȣσι μαζώξει τȣ̀ς διαλεγμένȣς τȣ, ἀπὸ τȣ̀ς τέσσαρας ἀνέμȣς ἀπὸ ταῖς ἄκραις τῶν ȣ̓ρανῶν, ἕως ταῖς ἄλλαις ἄκραις αὐτῶν.
32 Καὶ ἀπὸ τὴν συκίαν μάθετε τὴν παραβολήν· ὅταν ὡραμάη γενȣ̃σι τὰ κλαδιά της ἁπαλὰ, καὶ φυτρώσῃ τὰ φύλλα, γνωρίζετε ὅτι σιμὰ εἶναι τὸ θέρος.
33 Τέτοιας λογῆς καὶ ἐσεῖς, ὅταν εἰδῆτε ἐτȣ̃τα ὅλα, γνωρί-

ἐγγύς ἐϛιν ἐπὶ θύραις.
34 Ἀμὴν λέγω ὑμῖν, οὐ
μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως
ἂν πάντα ταῦτα γένηται.
35 Ὁ ȣ̓ρανὸς καὶ ἡ γῆ
παρελεύσονται· οἱ δὲ λόγοι μȣ
ȣ̓ μὴ παρέλθωσι.
36 Περὶ δὲ τῆς ἡμέρας
ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς
οἶδεν, ȣ̓δὲ οἱ ἄγγελοι τῶν
ȣ̓ρανῶν, εἰ μὴ ὁ πατήρ μȣ
μόνος.
37 Ὥσπερ δὲ αἱ ἡμέραι τοῦ
Νῶε, οὕτως ἔϛαι καὶ ἡ παρȣσία
τοῦ υἱȣ̃ τοῦ ἀνθρώπȣ.
38 Ὥσπερ γὰρ ἦσαν ἐν ταῖς
ἡμέραις ταῖς πρὸ τοῦ κατακλυ-
σμȣ̃ τρώγοντες καὶ πίνοντες,
γαμȣ̃ντες καὶ ἐκγαμίζοντες,
ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε
εἰς τὴν κιβωτόν·
39 Καὶ οὐκ ἔγνωσαν, ἕως
ἦλθεν ὁ κατακλυσμὸς, καὶ
ἦρεν ἅπαντας· οὕτως ἔϛαι καὶ
ἡ παρȣσία τοῦ υἱȣ̃ τοῦ
ἀνθρώπȣ.
40 Τότε δύο ἔσονται ἐν τῷ
ἀγρῷ· ὁ εἷς παραλαμβάνεται,
καὶ ὁ εἷς ἀφίεται.
41 Δύο ἀλήθȣσαι ἐν τῷ
μύλωνι· μία παραλαμβάνε-
ται, καὶ μία ἀφίεται.
42 Γρηγορεῖτε οὖν, ὅτι οὐκ

ζετε ὅτι εἶναι σημὰ εἰς ταῖς
θύραις.
34 Βέβαια σᾶς λέγω, ὅτι
δὲν θέλει περάσει ἡ γενεὰ
ἐτȣ́τη, ἕως ὁπȣ̃ νὰ γενȣ̃ν
ἐτȣ̃τα ὅλα.
35 Ὁ ȣ̓ρανὸς καὶ ἡ γῆ
θέλȣσι παρέλθη, ἀμὴ τὰ
λόγιά μȣ δὲν θέλȣσι παρέλθη.
36 Ἀμὴ διὰ τὴν ἡμέραν
ἐκείνην καὶ τὴν ὥραν κανεὶς
δὲν ἰξεύρει, μηδὲ οἱ ἄγγελοι
τῶν ȣ̓ρανῶν, παρὰ ὁ πατήρ μȣ
μοναχός.
37 Καὶ καθὼς ἦταν ἡ ἡμέ-
ραις τοῦ Νῶε, τέτοιας λογῆς
θέλει εἶσθαι καὶ ὁ ἐρχομὸς
τοῦ υἱȣ̃ τοῦ ἀνθρώπȣ.
38 Διατὶ καθὼς ἦσαν εἰς
ταῖς ἡμέραις ἐκείναις προτίτερα
ἀπὸ τὸν κατακλυσμὸν, ὁπȣ̃
ἔτρωγαν καὶ ἔπιναν, ὑπαν-
δρεύȣνταν καὶ ὑπάνδρευαν,
ἕως τὴν ἡμέραν ἐκείνην, ὁπȣ̃ ὁ
Νῶε ἐμβῆκεν εἰς τὴν κιβωτόν·
39 Καὶ δὲν ἐγνώρισαν, ἕως
ὁπȣ̃ ἦλθεν ὁ κατακλυσμὸς, καὶ
τȣ̀ς ἐσήκωσεν ὅλȣς· τέτοιας λο-
γῆς θέλει εἶσθαι καὶ ὁ ἐρχομὸς
τοῦ υἱȣ̃ τοῦ ἀνθρώπȣ.
40 Τότε δύο θέλȣσιν εἶσθαι
εἰς τὸ χωράφι· καὶ ὁ ἕνας πι-
άνεται, καὶ ὁ ἄλλος ἀφίνεται.
41 Δύο ὁπȣ̃ ἀλέθȣν εἰς τὸν
μύλον· ἡ μία πιάνεται, καὶ
ἡ ἄλλη ἀφίνεται.
42 Στέκετε λοιπὸν ἔξυπνοι,

οἴδατε ποίᾳ ὥρᾳ ὁ κύριος
ὑμῶν ἔρχεται.
43 Ἐκεῖνο δὲ γινώσκετε, ὅτι
εἰ ᾔδει ὁ οἰκοδεσπότης, ποίᾳ
φυλακῇ ὁ κλέπτης ἔρχεται,
ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν
εἴασε διορυγῆναι τὴν οἰκίαν
αὐτοῦ.
44 Διὰ τοῦτο καὶ ὑμεῖς
γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ
δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου
ἔρχεται.
45 Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦ-
λος καὶ φρόνιμος, ὃν κατέστησεν
ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θερα-
πείας αὐτοῦ, τοῦ διδόναι αὐ-
τοῖς τὴν τροφὴν ἐν καιρῷ;
46 Μακάριος ὁ δοῦλος ἐκεῖ-
νος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ
εὑρήσει ποιοῦντα οὕτως.
47 Ἀμὴν λέγω ὑμῖν, ὅτι
ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν
αὐτοῦ καταστήσει αὐτόν.
48 Ἐὰν δὲ εἴπῃ ὁ κακὸς
δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ
αὐτοῦ· Χρονίζει ὁ κύριός μου
ἐλθεῖν·
49 Καὶ ἄρξηται τύπτειν
τοὺς συνδούλους, ἐσθίειν δὲ καὶ
πίνειν μετὰ τῶν μεθυόντων·
50 Ἥξει ὁ κύριος τοῦ δούλου
ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ,
καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει·

ὅτι δὲν ἰξεύρετε ποῖαν ὥραν
ἔρχεται ὁ αὐθέντης σας.
43 Ἐκεῖνο ἰξεύρετε, ὅτι ἂν
ἤθελεν ἰξεύρῃ ὁ αὐθέντης τοῦ
σπητίου, εἰς ποῖαν βίγλαν τῆς
νυκτὸς ἔρχεται ὁ κλέπτης,
ἤθελεν ἀγρυπνήσῃ, καὶ δὲν
ἤθελεν ἀφήσῃ το σπῆτί του νὰ
τὸ τρυπήσουν.
44 Διὰ τοῦτο ἂς εἶσθε καὶ
ἐσεῖς ἕτοιμοι· ὅτι τὴν ὥραν,
ὁποῦ δὲν θαῤῥεῖτε, ἔρχεται ὁ
υἱὸς τοῦ ἀνθρώπου.
45 Ποῖος λοιπὸν εἶναι ἐκεῖ-
νος ὁ ἐμπιστευμένος δοῦλος καὶ
φρόνιμος, τὸν ὁποῖον ἐκατάστη-
σεν ὁ αὐθέντης του εἰς τοὺς
δούλους του, νὰ τοὺς δίδῃ τὸ
φαγητόν τους εἰς τὴν ὥραν τους;
46 Καλότυχος εἶναι ἐκεῖ-
νος ὁ δοῦλος, τὸν ὁποῖον, ὅταν
ἔλθῃ ὁ αὐθέντης του, θέλει τὸν
εὕρει νὰ κάμνῃ τοιουτοτρόπως.
47 Βέβαια σᾶς λέγω, ὅτι
ἀπάνω εἰς ὅλα του τὰ ὑπάρ-
χοντα θέλει τὸν καταστήσει.
48 Ἀμὴ ἂν εἰπῇ ὁ κακὸς
δοῦλος ἐκεῖνος μέσα εἰς τὴν
καρδίαν του· Ὁ αὐθέντης μου
ἀργεῖ νὰ ἔλθῃ·
49 Καὶ νὰ ἀρχίσῃ νὰ
δέρνῃ τοὺς συνδούλους του, καὶ νὰ
τρώγῃ καὶ νὰ πίνῃ μὲ τοὺς
μεθυστάδες.
50 Θέλει ἔλθη ὁ αὐθέντης τοῦ
δούλου ἐκείνου εἰς μίαν ἡμέραν
ὁποῦ δὲν ἐλπίζει, καὶ εἰς μίαν
ὥραν ὁποῦ δὲν γνωρίζει·

51 Καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρ@ αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει· ἐκεῖ ἔςαι ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

51 Καὶ θέλει τὸν χωρίσει, καὶ τὸ μέρος τȣ θέλει τὸ βάλλει μὲ τȣ̀ς ὑποκριτάς· ἐκεῖ θέλει εἶσθαι τὰ κλάμματα καὶ τὸ τρίξιμον τῶν ὀδόντων.

Κεφ. κέ. 25.

ΤΟ'ΤΕ ὁμοιωθήσεται ἡ βασιλεία τῶν ȣ̓ρανῶν δέκα παρθένοις, αἵτινες λαβȣ̃σαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίȣ.

2 Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ πέντε μωραί.

3 Αἵτινες μωραὶ, λαβȣ̃σαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον.

4 Αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν.

5 Χρονίζοντ@ δὲ τοῦ νυμφίȣ, ἐνύςαξαν πᾶσαι, καὶ ἐκάθευδον.

6 Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδοὺ, ὁ νυμφί@ ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ.

7 Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν.

8 Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίȣ ὑμῶν· ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται.

9 Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγȣσαι· Μήποτε οὐκ ἀρ-

ΤΟ'ΤΕ θέλει ὁμοιωθῇ ἡ βασιλεία τῶν ȣ̓ρανῶν δέκα παρθέναις, ἡ ὁποίαις ἐπῆραν ταῖς λαμπάδες των, καὶ εὐγῆκαν νὰ συναπαντήσȣν τὸν νυμφίον.

2 Καὶ αἱ πέντε ἀπὸ τȣ̃ταις ἦταν φρόνιμαις, καὶ αἱ πέντε λωλαῖς·

3 Αἱ ὁποίαις λωλαῖς, ὡσὰν ἐπῆραν ταῖς λαμπάδες των, δὲν ἐπῆραν μαζύ των λάδι·

4 Ἀμὴ αἱ φρόνιμαις ἐπῆραν λάδι εἰς τὰ ἀγγεῖά των μὲ ταῖς λαμπάδες των.

5 Καὶ ἔςωντας νὰ ἀργήσῃ ὁ νυμφί@, ἐνύςαξαν ὅλαις καὶ ἐκοιμȣ̃νταν.

6 Καὶ τὰ μεσάνυκτα ἔγινε βοή· Νὰ, ὁ νυμφί@ ὁπȣ̃ ἔρχεται, εὐγᾶτε νὰ τὸν ἀπαντήσετε.

7 Τότε ἐσηκώθηκαν ὅλαις ἐκείναις ἡ παρθέναις, καὶ ἑτοίμασαν ταῖς λαμπάδες των·

8 Καὶ ἡ λωλαῖς εἶπαν εἰς ταῖς φρόνιμαις· Δότεμας ἀπὸ τὸ λάδι σας· ὅτι ἡ λαμπάδες μας σβύνονται.

9 Καὶ ἀπεκρίθηκαν ἡ φρόνιμαις, καὶ εἶπαν· Μήπως καὶ δὲν

κέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς.

10 Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος· καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα.

11 Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι, λέγουσαι· Κύριε, κύριε, ἄνοιξον ἡμῖν.

12 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς.

13 Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

14 Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ·

15 Καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν· ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν· καὶ ἀπεδήμησεν εὐθέως.

16 Πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν, εἰργάσατο ἐν αὐτοῖς, καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα.

17 Ὡσαύτως καὶ ὁ τὰ δύο, ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύο.

18 Ὁ δὲ τὸ ἓν λαβὼν, ἀπελ-

φθάσῃ καὶ ἐμᾶς καὶ ἐσᾶς· σύρτε καλλίτερα εἰς ἐκείνους, ὁποῦ τὸ πουλοῦσι, καὶ ἀγοράσετε διὰ λόγου σας.

10 Πηγένοντες αὐταῖς νὰ ἀγοράσουν, ἦλθεν ὁ νυμφίος· καὶ ἡ ἕτοιμαις ἐμβῆκαν μετ' αὐτὸν εἰς τοὺς γάμους, καὶ ἐσφαλίσθη ἡ θύρα.

11 Ὕστερον ἦλθαν καὶ αἱ λοιπαὶ παρθέναι, λέγουσαι· Αὐθέντη, αὐθέντη, ἄνοιξέ μας.

12 Ἀμὴ ἐκεῖνος ταῖς ἀπεκρίθη· Ἀληθινὰ σᾶς λέγω, δὲν σᾶς γνωρίζω.

13 Ἀγρυπνᾶτε λοιπὸν, ὅτι δὲν ἰξεύρετε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν, εἰς τὴν ὁποῖαν ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

14 Διατὶ ὡσὰν ἕνας ἄνθρωπος θέλωντας νὰ ταξιδεύσῃ ἐκάλεσε τοὺς δουλευτάδες του, καὶ τοὺς ἐπαράδωκε τὰ ὑπάρχοντά του.

15 Καὶ ἄλλου ἔδωκε πέντε τάλαντα, καὶ ἄλλου ἔδωκε δύο, καὶ ἄλλου ἔδωκεν ἕνα· κάθε ἕνα κατὰ τὴν δύναμίν του· καὶ ἐμίσευσε παρευθύς.

16 Καὶ ἐκεῖνος, ὁποῦ ἐπῆρε τὰ πέντε τάλαντα, παγένωντας ἐδούλευσε μετ' αὐτὰ, καὶ ἔκαμεν ἄλλα πέντε τάλαντα.

17 Ὁμοίως καὶ ἐκεῖνος, ὁποῦ ἐπῆρε τὰ δύο, ἐκέρδεσε καὶ αὐτὸς ἄλλα δύο.

18 Ἀμὴ ἐκεῖνος, ὁποῦ ἐπῆρε

θῶν ὤρυξεν ἐν τῇ γῇ, καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ.

19 Μετὰ δὲ χρόνον πολὺν ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων, καὶ συναίρει μετ᾿ αὐτῶν λόγον.

20 Καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν, προσήνεγκεν ἄλλα πέντε τάλαντα, λέγων· Κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε, ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ᾿ αὐτοῖς.

21 Ἔφη δὲ αὐτῷ ὁ κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἧς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.

22 Προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λαβὼν, εἶπε· Κύριε, δύο τάλαντά μοι παρέδωκας· ἴδε, ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ᾿ αὐτοῖς.

23 Ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἧς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.

24 Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰληφὼς, εἶπε· Κύριε, ἔγνων σε, ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας·

τὸ ἕνα, παγένωντας ἔσκαψε τὴν γῆν, καὶ ἐπαράχωσε τὸ ἀσῆμι τοῦ αὐθεντός του.

19 Καὶ ὕστερα μὲ πολὺν καιρὸν ἦλθεν ὁ αὐθέντης τῶν δούλων ἐκείνων, καὶ κάμνει λογαριασμὸν μετ᾿ αὐτούς.

20 Καὶ ἦλθεν ἐκεῖνος, ὅπου ἐπῆρε τὰ πέντε τάλαντα, καὶ ἤφερεν ἄλλα πέντε τάλαντα, λέγωντας· Αὐθέντη, πέντε τάλαντα μοῦ ἔδωκες· ἰδὲς, νὰ, ἄλλα πέντε τάλαντα ἐκέρδεσα μετ᾿ αὐτά.

21 Καὶ λέγει του ὁ αὐθέντης του· Ὑγιάσου, ὦ δοῦλε ἀγαθὲ καὶ πιστέ· εἰς τὰ ὀλίγα ἔγινες ἐμπιστευμένος, θέλω σε καταστήσει εἰς πολλά· ἔμβα μέσα εἰς τὴν χαρὰν τοῦ αὐθεντός σου.

22 Καὶ ἦλθε καὶ ἐκεῖνος, ὅπου ἐπῆρε τὰ δύο τάλαντα, καὶ λέγει· Αὐθέντη, δύο τάλαντα μοῦ παράδωκες, νὰ, ἄλλα δύο τάλαντα ἐκέρδεσα μετ᾿ αὐτά.

23 Λέγει του ὁ αὐθέντης του· Ὑγιάσου, δοῦλε ἀγαθὲ καὶ ἐμπιστευμένε· εἰς τὰ ὀλίγα ἔγινες ἐμπιστευμένος, εἰς πολλὰ θέλω σε καταστήσει· ἔμβα εἰς τὴν χαρὰν τοῦ κυρίου σου.

24 Ἦλθε καὶ ἐκεῖνος, ὅπου ἐπῆρε τὸ ἕνα τάλαντον, καὶ λέγει· Αὐθέντη, ἐγώ σε ἐγνώρισα, πῶς εἶσαι ἄνθρωπος σκληρὸς, θερίζωντας ἐκεῖ ὅπου δὲν ἔσπειρες, καὶ μαζώνωντας ἐκεῖ ὅπου δὲν ἐσκόρπισες.

25 Καὶ φοβηθεὶς, ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε, ἔχεις τὸ σόν.

26 Ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ, εἶπεν αὐτῷ· Πονηρὲ δοῦλε καὶ ὀκνηρὲ, ᾔδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα, καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα·

27 Ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις· καὶ ἐλθὼν ἐγὼ, ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ.

28 Ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον, καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα.

29 (Τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται, καὶ περισσευθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ.)

30 Καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

31 Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ.

32 Καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη· καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορί-

25 Καὶ ἔστωντας νὰ φοβηθῶ, ἐπῆγα καὶ ἐπαράχωσα τὸ τάλαντόν σου εἰς τὴν γῆν· ἰδὲς, νὰ, ὁποῦ ἔχῃς τὸ ἐδικόν σου.

26 Ἀπεκρίθη ὁ αὐθέντης του, καὶ λέγει του· Ὦ κακὲ δοῦλε καὶ ὀκνηρὲ, ἤξευρες ὅτι ἐγὼ θερίζω ἐκεῖ ὁποῦ δὲν ἔσπειρα, καὶ μαζώνω ἐκεῖ ὁποῦ δὲν ἐσκόρπισα.

27 Ἔπρεπε λοιπὸν νὰ δώσῃς δανεικὸν τὸ ἀργύριόν μου εἰς τοὺς σαράφιδες· καὶ ἐρχόμενος ἐγὼ, ἤθελα πάρῃ τὸ ἐδικό μου μὲ τὸν κάματον.

28 Ἐπάρετε λοιπὸν ἀπ' αὐτὸν τὸ τάλαντον, καὶ δότε το ἐκείνου, ὁποῦ ἔχει τὰ δέκα τάλαντα.

29 (Διατὶ κάθε ἕνας ὁποῦ ἔχει, θέλει τοῦ δοθῇ, καὶ θέλει περισσευθῇ· ἀμὴ ἀπ' ἐκεῖνον ὁποῦ δὲν ἔχει, καὶ ἐκεῖνο, ὁποῦ ἔχει, θέλει παρθῇ ἀπ' αὐτόν.)

30 Καὶ ἐτοῦτον τὸν ἄχρηστον δοῦλον ῥίξετέ τον ἔξω εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ θέλει εἶσθαι τὸ κλαύσιμον καὶ τὸ τρίξιμον τῶν ὀδόντων.

31 Καὶ ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου μὲ τὴν δόξαν του, καὶ ὅλοι οἱ ἅγιοι ἄγγελοι αὐτοῦ ὁμοῦ μὲ αὐτὸν, τότε θέλει καθίσει εἰς τὸν θρόνον τῆς δόξης του.

32 Καὶ θέλουσι μαζωχθῇ ὀμπροστὰ του ὅλα τὰ ἔθνη, καὶ θέλει τοὺς χωρίσει ἕνα ἀπὸ τὸν ἄλλον, καθὼς ὁ ποιμένας χωρί-

ζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων.

33 Καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων.

34 Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μȣ, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμȣ·

35 Ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με·

36 Γυμνός, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με.

37 Τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι, λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν; ἢ διψῶντα, καὶ ἐποτίσαμεν;

38 Πότε δέ σε εἴδομεν ξένον, καὶ συνηγάγομεν; ἢ γυμνὸν, καὶ περιεβάλομεν;

39 Πότε δέ σε εἴδομεν ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ ἤλθομεν πρός σε;

40 Καὶ ἀποκριθεὶς ὁ βασιλεὺς, ἐρεῖ αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μȣ τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.

ζει τὰ πρόβατα ἀπὸ τὰ κατζίκια.

33 Καὶ θέλει βάλλει τὰ πρόβατα ἀπὸ τὴν δεξιάν τȣ, καὶ τὰ κατζίκια ἀπὸ τὴν ζερβιάν τȣ.

34 Τότε θέλει εἰπεῖ ὁ βασιλεὺς εἰς ἐκείνȣς, ὁπȣ̃ εἶναι ἀπὸ τὸ δεξιόν τȣ μέρος· Ἐλᾶτε ἐσεῖς οἱ εὐλογημένοι τȣ̃ πατρός μȣ, κληρονομήσετε τὴν βασιλείαν, ὁπȣ̃ σᾶς ἑτοιμάσθη ἀπὸ τὴν ἀρχὴν τοῦ κόσμȣ.

35 Διατὶ ἐπείνασα, καὶ μȣ̃ ἐδώκετε νὰ φάγω· ἐδίψασα, καὶ μὲ ἐποτίσετε· ἤμȣν ξένος, καὶ μὲ ἐπήρετε εἰς τὸ σπῆτί σας.

36 Ἤμȣν γυμνὸς, καὶ μὲ ἐνδύσετε· ἀῤῥώστησα, καὶ μὲ ἐπιμεληθήκετε· εἰς τὴν φυλακὴν ἤμȣν, καὶ ἤλθετε εἰς ἐμένα.

37 Τότε θέλȣν ἀποκριθῆ οἱ δίκαιοι, νὰ τȣ̃ εἰπȣ̃ν· Αὐθέντη, καὶ πότε σὲ εἴδαμεν πεινασμένον, καὶ σὲ ἐθρέψαμεν; ἢ διψασμένον, καὶ σὲ ἐποτίσαμεν;

38 Πότε σὲ εἴδαμεν ξένον, καὶ σὲ ἐπήραμεν εἰς τὸ σπῆτί μας; ἢ γυμνὸν, καὶ σὲ ἐνδύσαμεν;

39 Πότε σὲ εἴδαμεν ἀσθενημένον, ἢ εἰς τὴν φυλακὴν, καὶ ἤλθαμεν πρὸς τȣ̃ λόγȣ σȣ;

40 Καὶ ἀποκριθεὶς ὁ βασιλεὺς θέλει τȣ̀ς εἰπεῖ· Βέβαια σᾶς λέγω, ὅσον ἐκάμετε εἰς ἕνα ἀπὸ ἐτȣ̃τȣς τȣ̀ς ἀδελφȣ́ς μȣ τȣ̀ς πολλὰ εὐτελεῖς, εἰς ἐμένα τὸ ἐκάμετε.

41 Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.

42 Ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με·

43 Ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· γυμνός, καὶ οὐ περιεβάλετέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με.

44 Τότε ἀποκριθήσονται αὐτῷ καὶ αὐτοί, λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα, ἢ διψῶντα, ἢ ξένον, ἢ γυμνόν, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι;

45 Τότε ἀποκριθήσεται αὐτοῖς, λέγων· Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε.

46 Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.

41 Τότε θέλει εἰπεῖ καὶ εἰς ἐκείνους, ὁποῦ εἶναι ἀπὸ τὴν ζερβιὰν μεραίαν· Σύρτε ἀπ' ἐμένα οἱ καταραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, ὁποῦ εἶναι ἑτοιμασμένον διὰ τὸν διάβολον, καὶ δια τοὺς ἀγγέλους του.

42 Διατὶ ἐπείνασα, καὶ δὲν μοῦ ἐδώκετε νὰ φάγω· ἐδίψασα, καί δὲν μὲ ἐποτίσετε.

43 Ἤμουν ξένος, καὶ δὲν μὲ ἐβάλλετε εἰς τὸ σπῆτί σας· ἤμουν γυμνὸς καὶ δὲν μὲ ἐνδύσετε· ἤμουν ἀσθενὴς καὶ εἰς τὴν φυλακήν, καὶ δὲν μὲ ἐπιμεληθήκετε.

44 Τότε θέλουν τοῦ ἀποκριθῆ καὶ αὐτοί, νὰ εἰποῦσιν· Αὐθέντη, πότε σὲ εἴδαμεν πεινασμένον, ἢ διψασμένον, ἢ ξένον, ἢ γυμνόν, ἢ ἀσθενῆ, ἢ εἰς τὴν φυλακήν, καὶ δὲν σὲ ὑπηρετήσαμεν;

45 Τότε θέλει τοὺς ἀποκριθῆ, λέγωντας· Βέβαια σᾶς λέγω, ὅσον δὲν ἐκάμετε εἰς ἕνα ἀπὸ τούτους τοὺς ἀδελφούς μου τοὺς πολλὰ εὐτελεῖς, καὶ εἰς ἐμένα δὲν τὸ ἐκάμετε.

46 Καὶ θέλουσιν ὑπάγει ἐτοῦτοι εἰς τὴν κόλασιν τὴν αἰώνιον· καὶ οἱ δίκαιοι εἰς τὴν ζωὴν τὴν αἰώνιον.

Κεφ. κϛ'. 26.

ΚΑῚ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους, εἶπε τοῖς μαθηταῖς αὐτοῦ·

ΚΑῚ ἔγινεν ὅταν ἐτελείωσεν ὁ Ἰησοῦς ὅλους τούτους τοὺς λόγους, εἶπεν εἰς τοὺς μαθητάδες του·

2 Οἴδατε ὅτι κατὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τȣ͂ ἀνθρώπȣ παραδίδοται εἰς τὸ σαυρωθῆναι.

3 Τότε συνήχθησαν οἱ Ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς καὶ οἱ Πρεσβύτεροι τȣ͂ λαȣ͂ εἰς τὰν αὐλὴν τȣ͂ Ἀρχιερέως τȣ͂ λεγομένȣ Καϊάφα.

4 Καὶ συνεβȣλεύσαντο, ἵνα τὸν Ἰησȣ͂ν κρατήσωσι δόλῳ, καὶ ἀποκτείνωσιν.

5 Ἔλεγον δέ· Μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ.

6 Τȣ͂ δὲ Ἰησȣ͂ γενομένȣ ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τȣ͂ λεπρȣ͂,

7 Προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον μύρȣ ἔχȣσα βαρυτίμȣ, καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτȣ͂ ἀνακειμένȣ.

8 Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτȣ͂ ἠγανάκτησαν, λέγοντες· Εἰς τί ἡ ἀπώλεια αὕτη;

9 Ἠδύνατο γὰρ τȣ͂το τὸ μύρον πραθῆναι πολλȣ͂, καὶ δοθῆναι πτωχοῖς.

10 Γνȣ̀ς δὲ ὁ Ἰησȣ͂ς, εἶπεν αὐτοῖς· Τί κόπȣς παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ.

11 Πάντοτε γὰρ τȣ̀ς πτωχȣ̀ς ἔχετε μεθ' ἑαυτῶν· ἐμὲ δὲ ȣ̓ πάντοτε ἔχετε.

2 Ἰξεύρετε ὅτι ὕςερα ἀπὸ δύο ἡμέραις γίνεται τὸ πάσχα· καὶ ὁ υἱὸς τȣ͂ ἀνθρώπȣ παραδίδεται διὰ νὰ σαυρωθῆ·

3 Τότε ἐμαζώχθησαν οἱ ἀρχιερεῖς, καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τȣ͂ λαȣ͂ εἰς τὴν αὐλὴν τȣ͂ ἀρχιερέως, ὁπȣ͂ ἐλέγȣνταν Καϊάφας.

4 Καὶ ἐσυμβȣλεύθηκαν, νὰ πιάσȣν τοῦ Ἰησȣ͂ν μὲ δόλον, καὶ νὰ τὸν σκοτώσȣν.

5 Καὶ ἔλεγαν· Μὴν τὸ κάμωμεν εἰς τὴν ἑορτὴν, διὰ νὰ μὴν γένη σύγχυσις εἰς τὸν λαόν.

6 Καὶ ὅταν ἐπῆγεν ὁ Ἰησȣ͂ς εἰς τὴν Βηθανίαν, εἰς τὸ σπῆτι τοῦ Σίμωνος τοῦ λεπρȣ͂,

7 Ἐπῆγεν εἰς αὐτὸν μία γυναῖκα, ὁπȣ͂ εἶχεν ἕνα κανὶ μύρον πολύτιμον, καὶ τὸ ἔχυσεν ἀπάνω εἰς τὸ κεφάλι τȣ, ἐκεῖ ὁπȣ͂ ἐκάθετον.

8 Καὶ ὡσὰν τὸ εἶδαν οἱ μαθητάδες τȣ, ἀδημόνησαν, καὶ εἶπαν· Διατὶ ἔγινεν ὁ χαλασμὸς ἐτȣ͂τος;

9 Ὁπȣ͂ ἠμπόρειεν ἐτȣ͂το τὸ μύρον νὰ πȣληθῆ διὰ πολλὰ, καὶ νὰ δοθῆ εἰς τȣ̀ς πτωχȣ́ς.

10 Καὶ γνωρίζωντάς το ὁ Ἰησȣ͂ς, λέγει τȣς· Τί πειράζετε τὴν γυναῖκα; ὁπȣ͂ ἔκαμε καλὸν ἔργον εἰς ἐμένα·

11 Διατὶ τȣ̀ς πτωχȣ̀ς τȣ̀ς ἔχετε πάντα μὲ τȣ͂ λόγȣ σας, ἀμὴ ἐμένα πάντα δὲν μὲ ἔχετε.

12 Βαλȣ̃σα γάρ αὕτη τὸ μύρον τȣ̃το ἐπὶ τȣ̃ σώματός μȣ, πρός τὸ ἐνταφιάσαι με ἐποίησεν.

13 Ἀμὴν λέγω ὑμῖν, ὅπȣ ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τȣ̃το ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη, εἰς μνημόσυνον αὐτῆς.

14 Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰȣ́δας Ἰσκαριώτης, πρὸς τȣ̀ς ἀρχιερεῖς,

15 Εἶπε· Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτὸν; Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια.

16 Καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ.

17 Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες αὐτῷ· Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα;

18 Ὁ δὲ εἶπεν· Ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα, καὶ εἴπατε αὐτῷ· Ὁ διδάσκαλος λέγει· Ὁ καιρός μȣ ἐγγύς ἐστιν, πρός σε ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μȣ.

19 Καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς· καὶ ἡτοίμασαν τὸ πάσχα.

20 Ὀψίας δὲ γενομένης ἀνέκειτο μετὰ τῶν δώδεκα.

21 Καὶ ἐσθιόντων αὐτῶν,

12 Διατὶ ἐτȣ́τη, ὁπȣ̃ περιέχυσεν ἐτȣ̃το τὸ μύρον εἰς τὸ κορμί μȣ, διὰ τὴν ταφήν μȣ τὸ ἔκαμε.

13 Λέγω σας βέβαια, ὅτε ὁπȣ̃ καὶ ἂν κηρυχθῇ ἐτȣ̃το τὸ εὐαγγέλιον εἰς ὅλον τὸν κόσμον, θέλει λαληθῇ καὶ ἐτȣ̃το ὁπȣ̃ ἔκαμεν αὐτὴ, εἰς μνημόσυνόν της.

14 Τότε ἐπῆγεν ἕνας ἀπὸ τȣ̀ς δώδεκα, ὁπȣ̃ ἐλέγȣνταν Ἰȣ́δας Ἰσκαριώτης, εἰς τȣ̀ς ἀρχιερεῖς,

15 Καὶ εἶπεν· Τί θέλετε μȣ̃ δώσει, καὶ ἐγὼ νὰ σᾶς τὸν παραδώσω; Καὶ ἐκεῖνοι ἔταξαν νὰ τοῦ δώσȣν τριάντα ἀργύρια.

16 Καὶ ἀπὸ τότε ἐγύρευε εὐκολίαν, νὰ τὸν παραδώσῃ.

17 Καὶ εἰς τὴν πρώτην τῶν ἀζύμων ἐπῆγαν οἱ μαθητάδες εἰς τὸν Ἰησȣ̃ν, καὶ λέγȣν τȣ· Πȣ̃ θέλεις νὰ σȣ̃ ἑτοιμάσωμεν νὰ φᾶς τὸ πάσχα;

18 Καὶ ἐκεῖνος εἶπε· Ὑπάγετε εἰς τὴν πόλιν, εἰς τὸν δεῖνα, καὶ εἰπέτε τȣ· Ὁ διδάσκαλος λέγει· Ὁ καιρός μȣ εἶναι κοντᾶ, εἰς ἐσένα θέλω νὰ κάμω τὸ πάσχα μὲ τȣ̀ς μαθητάδες μȣ.

19 Καὶ ἔκαμαν οἱ μαθητάδες τȣ καθὼς τȣ̀ς ἐπαράγγειλεν ὁ Ἰησȣ̃ς· καὶ ἑτοίμασαν τὸ πάσχα.

20 Καὶ ὡσὰν ἐβραδίασεν, ἐκάθετον μὲ τȣ̀ς δώδεκα.

21 Καὶ ἐκεῖ ὁπȣ̃ ἐτρώγασι, λέγει· Βέβαια σᾶς λέγω, ὅτι

εἶπεν· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.

22 Καὶ λυπούμενοι σφόδρα, ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν· Μήτι ἐγώ εἰμι, Κύριε;

23 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με παραδώσει.

24 Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.

25 Ἀποκριθεὶς δὲ Ἰούδας, ὁ παραδιδοὺς αὐτὸν, εἶπε· Μήτι ἐγώ εἰμι, ῥαββί; Λέγει αὐτῷ· Σὺ εἶπας.

26 Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐλογήσας, ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπε· Λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου.

27 Καὶ λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς, λέγων· Πίετε ἐξ αὐτοῦ πάντες·

28 Τοῦτο γάρ ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

ἕνας ἀπὸ ἐσᾶς θέλει μὲ παραδώσει.

22 Καὶ αὐτοὶ λυπούμενοι πολλὰ, ἄρχισαν κάθε ἕνας νὰ τοῦ λέγῃ· Μήνα εἶμαι ἐγὼ, Αὐθέντη;

23 Καὶ ἐκεῖνος ἀπεκρίθη, καὶ τοὺς εἶπεν· Ἐκεῖνος ὁποῦ βουτᾷ μετ' ἐμένα τὸ χέρι του εἰς τὸ πινάκι, ἐκεῖνος θέλει μὲ παραδώσει.

24 Καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς εἶναι γεγραμμένον διὰ λόγου του· ἀμὴ ἀλοίμονον εἰς τὸν ἄνθρωπον ἐκεῖνον, διὰ μέσου τοῦ ὁποίου ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλλίτερόν του ἦτον, νὰ μὴν ἤθελε γεννηθῇ ὁ ἄνθρωπος ἐκεῖνος.

25 Καὶ ἀπεκρίθη ὁ Ἰούδας, ὁποῦ τὸν ἐπαράδωκεν, καὶ εἶπε· Μήνα ἐγὼ εἶμαι διδάσκαλε; Λέγει του· Ἐσὺ τὸ εἶπες.

26 Καὶ ἐκεῖ ὁποῦ ἔτρωγαν, ἐπῆρεν ὁ Ἰησοῦς τὸ ψωμὶ, καὶ ὥσαν εὐχαρίστησε, τὸ ἔκοψε, καὶ τὸ ἔδιδεν εἰς τοὺς μαθητάδες, καὶ εἶπεν· Ἐπάρετε, φάγετε· τοῦτο εἶναι τὸ κορμί μου.

27 Καὶ πέρνωντας τὸ ποτήριον, καὶ ὥσαν εὐχαρίστησε, τοὺς τὸ ἔδωκεν, λέγωντας· Πίετε ἀπ' αὐτὸ ὅλοι·

28 Διατὶ τοῦτο εἶναι τὸ αἷμά μου τῆς καινούριας διαθήκης, ὁποῦ χύνεται διὰ τοὺς πολλοὺς εἰς συγχώρησιν ἁμαρτιῶν.

29 Λέγω δὲ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπ᾽ ἄρτι ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω μεθ᾽ ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου.

30 Καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν.

31 Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· γέγραπται γάρ· Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης.

32 Μετὰ δὲ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.

33 Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ· Εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι.

34 Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, ὅτι ἐν ταύτῃ τῇ νυκτὶ, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με.

35 Λέγει αὐτῷ ὁ Πέτρος· Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι. Ὁμοίως καὶ πάντες οἱ μαθηταὶ εἶπον.

36 Τότε ἔρχεται μετ᾽ αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ· καὶ λέγει τοῖς μαθηταῖς· Καθίσατε αὐτοῦ, ἕως οὗ

29 Καὶ λέγω σας· ἀπὸ τώρα καὶ ὀμπρὸς δὲν θέλω πίει ἀπὸ τοῦτο τὸ γέννημα τῆς ἀμπέλου, ἕως τὴν ἡμέραν ἐκείνην, ὅταν αὐτὸ πίνω ὁμοῦ μὲ ἐσᾶς νέον εἰς τὴν βασιλείαν τοῦ πατρός μου.

30 Καὶ ἔστωντας νὰ ὑμνήσουν, εὐγῆκαν εἰς τὸ ὄρος τῶν ἐλαιῶν.

31 Τότε τοὺς λέγει ὁ Ἰησοῦς· Ἐτούτην τὴν νύκτα ὅλοι σας θέλετε σκανδαλισθῆ εἰς ἐμένα· διατὶ εἶναι γεγραμμένον· Ὅτι θέλω κτυπήσει τὸν ποιμένα, καὶ θέλουν σκορπισθῆ τὰ πρόβατα τῆς μάνδρας.

32 Καὶ ὕστερα ἀφόντις ἀνασταθῶ, θέλω ὑπάγει ἐγὼ προτίτερα ἀπὸ σᾶς εἰς τὴν Γαλιλαίαν.

33 Καὶ ἀπεκρίθη ὁ Πέτρος, καὶ εἶπέν του· Ἂν καὶ ὅλοι σκανδαλισθοῦσιν εἰς ἐσένα, ἀμὴ ἐγὼ ποτὲ δὲν θέλω σκανδαλισθῆ.

34 Λέγει του ὁ Ἰησοῦς· Βέβαια σοῦ λέγω, ὅτι ἐτούτην τὴν νύκτα, πρὸ τοῦ νὰ φωνάξῃ ὁ πετεινὸς, τρεῖς φοραῖς θέλεις μὲ ἀρνηθῆ.

35 Λέγει του ὁ Πέτρος· Ἂν καὶ κάμῃ χρεία νὰ ἀποθάνω μὲ ἐσένα, δὲν θέλω σὲ ἀρνηθῆ· Τέτοιας λογῆς εἶπαν καὶ ὅλοι οἱ μαθητάδες.

36 Τότε ἐπῆγεν ὁ Ἰησοῦς μετ᾽ αὐτοὺς εἰς ἕνα χωρίον ὁποῦ τὸ ἔλεγαν Γεθσημανῆ· καὶ λέγει εἰς τοὺς μαθητάδες του· Καθίσετε

ἀπελθὼν προσεύξωμαι ἐκεῖ.

37 Καὶ παραλαβὼν τὸν Πέτρον καὶ τὲς δύο υἱὲς Ζεβεδαίȣ, ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν.

38 Τότε λέγει αὐτοῖς· Περίλυπός ἐςιν ἡ ψυχή μȣ ἕως θανάτȣ· μείνατε ὧδε, καὶ γρηγορεῖτε μετ' ἐμȣ̃.

39 Καὶ προελθὼν μικρὸν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτȣ̃, προσευχόμενος, καὶ λέγων· Πάτερ μȣ, εἰ δυνατόν ἐςι, παρελθέτω ἀπ' ἐμȣ̃ τὸ ποτήριον τȣ̃το· πλὴν ἐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ.

40 Καὶ ἔρχεται πρὸς τὲς μαθητὰς, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· Οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμȣ̃;

41 Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.

42 Πάλιν ἐκ δευτέρȣ ἀπελθὼν προσηύξατο, λέγων· Πάτερ μȣ, εἰ ἐ δύναται τȣ̃το τὸ ποτήριον παρελθεῖν ἀπ' ἐμȣ̃ ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σȣ.

43 Καὶ ἐλθὼν εὑρίσκει αὐτὲς πάλιν καθεύδοντας· ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι.

44 Καὶ ἀφεὶς αὐτὲς ἀπελ-

αὐτȣ̃, ἕως ὁπȣ̃ να ὑπάγω νὰ προσευχηθῶ.

37 Καὶ ἐπῆρε τὸν Πέτρον καὶ τὲς δύο υἱὲς τοῦ Ζεβεδαίȣ, καὶ ἄρχισε νὰ λυπᾶται καὶ νὰ ἀδημονᾷ.

38 Τότε τοὺς λέγει ὁ Ἰησȣ̃ς· Πολλὰ λυπᾶται ἡ ψυχή μȣ μέχρι θανάτȣ· ἀπομείνετε ἐδῶ, καὶ ἀγρυπνᾶτε μὲ τοῦ λόγȣ μȣ.

39 Καὶ ἐπῆγεν ὀμπρὸς καμπόσον, καὶ ἔπεσε πίκωπα, καὶ ἐπροσεύχετον, καὶ ἔλεγεν· Ὦ πάτερ μȣ, ἂν εἶναι δυνατὸν, ἂς περάσῃ ἐτοῦτο τὸ ποτῆρι ἀπὸ λόγȣ μȣ· ὅμως ὄχι καθὼς θέλω ἐγὼ, ἀλλὰ καθὼς θέλεις ἐσύ.

40 Καὶ ἔρχεται εἰς τοὺς μαθητάδες, καὶ εὑρίσκει τȣς ὁποῦ ἐκοιμȣ̃νται, καὶ λέγει εἰς τὸν Πέτρον· Τόσον δὲν ἐδυνηθήκετε μίαν ὥραν νὰ ἀγρυπνήσετε μετ' ἐμένα;

41 Ἀγρυπνᾶτε καὶ προσεύχεσθε, διὰ νὰ μὴν ἐμβῆτε εἰς πειρασμόν· τὸ πνεῦμα εἶναι πρόθυμον, ἀμὴ ἡ σάρκα εἶναι ἀσθενής.

42 Πάλιν δεύτερον ἐπῆγε καὶ ἐπροσευχήθη, λέγοντας· Ὦ πατέρα μȣ, ἀνίσως καὶ δὲν εἶναι δυνατὸν ἐτοῦτο τὸ ποτήριον νὰ περάσῃ ἀπ' ἐμένα, ἂν δὲν τὸ πίω, ἂς γένῃ τὸ θέλημά σȣ.

43 Καὶ ἦλθε πάλιν, καὶ τοὺς εὕρηκεν ὁποῦ ἐκοιμοῦνταν· διατὶ ἦταν τὰ μάτιά τȣς βαρεμένα.

44 Καὶ ἀφίνωντάς τȣς πά-

θὼν πάλιν, προσηύξατο ἐκ τρίτου, τὸν αὐτὸν λόγον εἰπών.

45 Τότε ἔρχεται πρὸς τοὺς μαθητὰς αὐτοῦ, καὶ λέγει αὐτοῖς· Καθεύδετε τὸ λοιπὸν, καὶ ἀναπαύεσθε· ἰδοὺ, ἤγγικεν ἡ ὥρα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν.

46 Ἐγείρεσθε, ἄγωμεν· ἰδοὺ, ἤγγικεν ὁ παραδιδούς με.

47 Καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ, Ἰούδας εἷς τῶν δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ.

48 Ὁ δὲ παραδιδοὺς αὐτὸν, ἔδωκεν αὐτοῖς σημεῖον, λέγων· Ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε αὐτόν.

49 Καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ, εἶπε· Χαῖρε ῥαββί. Καὶ κατεφίλησεν αὐτόν.

50 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἑταῖρε, ἐφ' ᾧ πάρει; Τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν, καὶ ἐκράτησαν αὐτόν.

51 Καὶ ἰδοὺ, εἷς τῶν μετὰ Ἰησοῦ, ἐκτείνας τὴν χεῖρα, ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ· καὶ πατάξας τὸν δοῦλον τοῦ

λιν, ἐπῆγε καὶ ἐπροσευχήθηκε τρίτον, λέγωντας τὸν αὐτὸν λόγον.

45 Τότε ἦλθεν εἰς τοὺς μαθητάδες του, καὶ λέγει τους· Κοιμᾶσθε τὸ λοιπὸν, καὶ ἀναπαύεσθε· νὰ, ὁποῦ ἐσήμωσεν ἡ ὥρα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χέρια ἁμαρτωλῶν.

46 Σηκωθῆτε, ἂς ὑπάγωμεν ἀπ' ἐδῶ· νὰ ὁποῦ ἐσήμωσε ἐκεῖνος, ὁποῦ μέλλει νὰ μὲ παραδώσῃ.

47 Καὶ ἀκόμι τὸ ἔλεγε, καὶ νὰ, ὁ Ἰούδας ἕνας ἀπὸ τοὺς δώδεκα καὶ ἔφθασε, καὶ μετ' αὐτὸν πολὺ πλῆθος μὲ σπαθία καὶ μὲ ξύλα, ἀπὸ τοὺς ἀρχιερεῖς καὶ ἀπὸ τοὺς πρεσβυτέρους τοῦ λαοῦ.

48 Καὶ ἐκεῖνος, ὁποῦ τὸν ἐπαράδιδε, τοὺς ἔδωκε σημάδι, λέγωντας· Ἐκεῖνον ὁποῦ ἐγὼ φιλήσω, ἐκεῖνος εἶναι· πιάσετέ τον.

49 Καὶ παρευθὺς ἐπῆγε κοντὰ εἰς τὸν Ἰησοῦν, καὶ εἶπε· Χαῖρε, διδάσκαλε· Καὶ τὸν ἐφίλησε.

50 Καὶ ὁ Ἰησοῦς τοῦ λέγει· Ὦ φίλε, εἰς ποῖον ἦλθες; Τότε ἐπῆγαν κοντὰ εἰς τὸν Ἰησοῦν, καὶ ἅπλωσαν τὰ χέρια τους ἀπάνω του, καὶ ἐπίασάν τον.

51 Καὶ νὰ, ἕνας ἀπ' ἐκείνους ὁποῦ ἦταν ὁμοῦ μὲ τὸν Ἰησοῦν, ἁπλώνωντας τὸ χέρι του, εὔγαλεν τὸ μαχαίριόν του· καὶ ἐκτύ-

ἀρχιερέως, ἀφεῖλεν αὐτοῦ τὸ
ὠτίον.
52 Τότε λέγει αὐτῷ ὁ Ἰη-
σοῦς· Ἀπόστρεψόν σου τὴν μά-
χαιραν εἰς τὸν τόπον αὐτῆς·
πάντες γὰρ οἱ λαβόντες μάχαι-
ραν, ἐν μαχαίρᾳ ἀπολοῦνται.
53 Ἢ δοκεῖς, ὅτι οὐ δύναμαι
ἄρτι παρακαλέσαι τὸν πατέρα
μου, καὶ παραστήσει μοι πλείους
ἢ δώδεκα λεγεῶνας ἀγγέλων;
54 Πῶς οὖν πληρωθῶσιν αἱ
γραφαὶ, ὅτι οὕτω δεῖ γενέσ-
θαι;
55 Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν
ὁ Ἰησοῦς τοῖς ὄχλοις· Ὡς ἐπὶ
ληστὴν ἐξήλθετε μετὰ μαχαι-
ρῶν καὶ ξύλων συλλαβεῖν με·
καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθε-
ζόμην διδάσκων ἐν τῷ ἱερῷ,
καὶ οὐκ ἐκρατήσατέ με.
56 Τοῦτο δὲ ὅλον γέγονεν,
ἵνα πληρωθῶσιν αἱ γραφαὶ
τῶν προφητῶν. Τότε οἱ μαθη-
ταὶ πάντες, ἀφέντες αὐτὸν,
ἔφυγον.
57 Οἱ δὲ κρατήσαντες τὸν
Ἰησοῦν, ἀπήγαγον πρὸς Καϊά-
φαν τὸν ἀρχιερέα, ὅπου οἱ
γραμματεῖς καὶ οἱ πρεσβύτε-
ροι συνήχθησαν.
58 Ὁ δὲ Πέτρος ἠκολούθει
αὐτῷ ἀπὸ μακρόθεν, ἕως
τῆς αὐλῆς τοῦ ἀρχιερέως·
καὶ εἰσελθὼν ἔσω, ἐκά-
θητο μετὰ τῶν ὑπηρε-

πησε τὸν δοῦλον τοῦ ἀρχιερέως,
καὶ ἔκοψε τὸ αὐτί του.
52 Τότε τοῦ εἶπεν ὁ Ἰησοῦς·
Γύρισε τὸ μαχαιριόν σου εἰς τὸν
τόπον του· διατὶ ὅσοι κτυπήσουν
μὲ μαχαίριον, μὲ μαχαίριον
θέλουν χαλασθῆ·
53 Ἢ λογιάζεις, ὅτι δὲν δύ-
ναμαι τῶρα νὰ παρακαλέσω
τὸν πατέρα μου, καὶ θέλει μοῦ
παραστήσει περισσότερους παρὰ
δώδεκα λεγεῶνας ἀγγέλων;
54 Πῶς τὸ λοιπὸν θέλουσι
τελειωθῆ αἱ γραφαὶ, ὅτι τέ-
τοιας λογῆς πρέπει νὰ γένῃ;
55 Εἰς ἐκείνην τὴν ὥραν
εἶπεν ὁ Ἰησοῦς εἰς τὸν λαόν·
Ὡσὰν εἰς ληστὴν εὐγήκετε καὶ
ἤλθετε μὲ σπαθία καὶ μὲ
ξύλα νὰ μὲ πιάσετε· ὅλην τὴν
ἡμέραν ἐκάθουμουν μετὰ σᾶς
διδάσκωντας εἰς τὸ ἱερὸν, καὶ
δὲν μὲ ἐπιάνετε·
56 Καὶ τοῦτο ὅλον ἔγινε,
διὰ νὰ τελειωθοῦσιν αἱ γραφαὶ
τῶν προφητῶν· Τότε τὸν ἀφη-
σαν οἱ μαθητάδες ὅλοι, καὶ
ἔφυγαν.
57 Καὶ ἐκεῖνοι πιάνοντες
τὸν Ἰησοῦν, τὸν ἐπῆγαν εἰς τὸν
Καϊάφαν τὸν ἀρχιερέα, ἐκεῖ
ὁποῦ ἦταν οἱ γραμματεῖς καὶ
οἱ πρεσβύτεροι μαζωμένοι.
58 Καὶ ὁ Πέτρος τὸν
ἀκολούθαν ἀπὸ μακρὰ, ἕως
εἰς τὴν αὐλὴν τοῦ ἀρ-
χιερέως· καὶ ἐμβαίνων-
τας μέσα, ἐκάθισε ὁμοῦ

τῶν, ἰδεῖν τὸ τέλος.
59 Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ
πρεσβύτεροι καὶ τὸ συνέδριον
ὅλον ἐζήτουν ψευδομαρτυρίαν
κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν
θανατώσωσι·
60 Καὶ οὐχ εὗρον· καὶ πολ-
λῶν ψευδομαρτύρων προσελ-
θόντων, οὐχ εὗρον· ὕστερον δὲ
προσελθόντες δύο ψευδομάρ-
τυρες,
61 Εἶπον· Οὗτος ἔφη· Δύ-
ναμαι καταλῦσαι τὸν ναὸν τοῦ
Θεοῦ, καὶ διὰ τριῶν ἡμερῶν οἰ-
κοδομῆσαι αὐτόν.
62 Καὶ ἀναστὰς ὁ ἀρχιε-
ρεὺς, εἶπεν αὐτῷ· Οὐδὲν ἀπο-
κρίνῃ; τί οὗτοί σου καταμαρτυ-
ροῦσιν;
63 Ὁ δὲ Ἰησοῦς ἐσιώπα.
Καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς, εἶ-
πεν αὐτῷ· Ἐξορκίζω σε κατὰ
τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν
εἴπῃς, εἰ σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς
τοῦ Θεοῦ.
64 Λέγει αὐτῷ ὁ Ἰησοῦς·
Σὺ εἶπας· πλὴν λέγω ὑμῖν, ἀπ᾿
ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀν-
θρώπου καθήμενον ἐκ δεξιῶν
τῆς δυνάμεως, καὶ ἐρχόμενον
ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ.
65 Τότε ὁ ἀρχιερεὺς διέῤῥηξε
τὰ ἱμάτια αὐτοῦ, λέγων· Ὅτι
ἐβλασφήμησε· τί ἔτι χρείαν

μὲ τοὺς δουλευτάδες, νὰ εἰδῇ τὸ
τέλος.
59 Καὶ οἱ ἀρχιερεῖς καὶ οἱ
πρεσβύτεροι καὶ ὅλη ἡ σύναξις
ἐγύρευαν ψευδομαρτυρίαν ἐν-
αντίον τοῦ Ἰησοῦ, διὰ νὰ τὸν
θανατώσουν·
60 Καὶ δὲν εὐρῆκαν· ἀγ-
καλὰ καὶ πολλοὶ ψευδομάρ-
τυρες νὰ ἦλθαν, ὅμως δὲν εὐρῆ-
καν· ἀμὴ ὕστερα ἦλθαν δύο
ψευδομάρτυρες,
61 Καὶ εἶπαν· Ἐτοῦτος εἶ-
πεν· Ἐγὼ ἠμπορῶ νὰ χαλάσω
τὸν ναὸν τοῦ Θεοῦ, καὶ εἰς τρεῖς
ἡμέραις νὰ τὸν κτίσω.
62 Καὶ ἐσηκώθη ὁ ἀρχιε-
ρεὺς, καὶ λέγει του· Δὲν ἀποκρί-
νεσαι; τί εἶναι ἐτοῦτα ὁποῦ
μαρτυροῦν ἐναντίον σου;
63 Καὶ ὁ Ἰησοῦς ἐσιώπαινε·
Καὶ ἀπεκρίθη ὁ ἀρχιερεὺς, καὶ
εἶπεν του· Ἐξορκίζω σε εἰς τὸν
Θεὸν τὸν ζῶντα, νὰ μᾶς εἰπῇς,
ἂν εἶσαι ἐσὺ ὁ Χριστὸς, ὁ υἱὸς
τοῦ Θεοῦ.
64 Λέγει του ὁ Ἰησοῦς· Ἐσὺ
τὸ εἶπες· ὅμως λέγω σας, ἀπὸ
τώρα καὶ ὀμπροστὰ θέλετε
εἰδῇ τὸν υἱὸν τοῦ ἀνθρώπου νὰ
κάθεται ἀπὸ τὴν δεξιὰν τῆς
δυνάμεως τοῦ Θεοῦ, καὶ νὰ ἔρ-
χεται ἀπάνω εἰς τὰ σύννεφα
τοῦ οὐρανοῦ.
65 Τότε ὁ ἀρχιερεὺς ἔσχισε
τὰ φορέματά του, καὶ εἶπεν· Ὅτι
ἐβλασφήμησε· τί χρεία μᾶς

ἔχομεν μαρτύρων; ἴδε, νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ.

66 Τί ὑμῖν δοκεῖ; Οἱ δὲ ἀποκριθέντες, εἶπον· Ἔνοχος θανάτου ἐστί.

67 Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ἐκολάφισαν αὐτόν· οἱ δὲ ἐῤῥάπισαν,

68 Λέγοντες· Προφήτευσον ἡμῖν Χριστὲ, τίς ἐστιν ὁ παίσας σε.

69 Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ· καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη, λέγουσα· Καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου.

70 Ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων, λέγων· Οὐκ οἶδα τί λέγεις.

71 Ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα, εἶδεν αὐτὸν ἄλλη, καὶ λέγει τοῖς ἐκεῖ· Καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου.

72 Καὶ πάλιν ἠρνήσατο μεθ᾽ ὅρκου· Ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον.

73 Μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες, εἶπον τῷ Πέτρῳ· Ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ·

74 Τότε ἤρξατο καταναθεματίζειν, καὶ ὀμνύειν· Ὅτι οὐκ

κάμνουσι πλέον μάρτυρες; νὰ, ὁποῦ ἀκούσετε τῶρα τὴν βλασφημίαν του.

66 Τί σᾶς φαίνεται; Καὶ ἐκεῖνοι ἀπεκρίθηκαν, καὶ εἶπαν· Ἄξιος εἶναι θανάτου.

67 Τότε τὸν ἔπτυσαν εἰς τὸ πρόσωπον, καὶ τὸν ἐῤῥάπισαν· καὶ ἄλλοι τὸν ἐκτυποῦσαν μὲ ῥαβδία,

68 Καὶ τοῦ ἔλεγαν· Προφήτευσέ μας Χριστὲ, ποῖος εἶναι ὁποῦ σὲ ἐκτύπησε.

69 Καὶ ὁ Πέτρος ἐκάθουνταν ἔξω εἰς τὴν αὐλήν· καὶ ἔρχεται μία δουλευτροποῦλα, καὶ λέγει του· Καὶ σὺ ὁμοῦ ἦσουν μὲ τὸν Ἰησοῦν τὸν Γαλιλαῖον.

70 Καὶ αὐτὸς ἀρνήθηκεν ἐμπροστὰ εἰς ὅλους, καὶ ἔλεγε· Δὲν ἰξεύρω τί λέγεις.

71 Καὶ εὐγένωντας ἔξω εἰς τὴν θύραν, τὸν εἶδεν ἄλλη, καὶ λέγει εἰς ἐκείνους ὁποῦ ἦταν ἐκεῖ· Καὶ ἐτοῦτος ὁμοῦ ἦτον μὲ τὸν Ἰησοῦν, τὸν Ναζωραῖον.

72 Καὶ πάλιν ἀρνήθηκε μὲ ὅρκον· Ὅτι δὲν ἰξεύρω τὸν ἄνπον.

73 Καὶ εἰς ὀλίγον ὕστερα ἐπῆγαν κοντά του ἐκεῖνοι, ὁποῦ ἐστέκουνταν ἐκεῖ, καὶ λέγουν τοῦ Πέτρου· Ἀλήθεια, καὶ σὺ ἀπ᾽ αὐτοὺς εἶσαι· διατὶ τὸ ὁμίλημά σου σὲ φανερώνει.

74 Τότε ἄρχισε νὰ ἀναθεματίζῃ τοῦ λόγου του, καὶ νὰ

οἶδα τὸν ἄνθρωπον· Καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε.

75 Καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος τοῦ Ἰησοῦ, εἰρηκότος αὐτῷ· Ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. Καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς.

ὀμώνη· Ὅτι δὲν ἰξεύρω τὸν ἄνθρωπον· Καὶ παρευθὺς ἐλάλησεν ὁ πετεινός.

75 Καὶ ὁ Πέτρος ἐθυμήθη τὸν λόγον τοῦ Ἰησοῦ, ὁποῦ τοῦ εἶπεν· Ὅτι πρὸ τοῦ νὰ λαλήσῃ ὁ πετεινὸς, τρεῖς φοραῖς θέλεις μὲ ἀρνηθῇ· Καὶ εὐγῆκεν ἔξω, καὶ ἔκλαυσε πικρά.

Κεφ. κζ΄. 27.

ΠΡωΐας δὲ γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι αὐτόν.

2 Καὶ δήσαντες αὐτὸν, ἀπήγαγον, καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι.

3 Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν, ὅτι κατεκρίθη, μεταμεληθεὶς, ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις,

4 Λέγων· Ἥμαρτον, παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον· Τί πρὸς ἡμᾶς; σὺ ὄψει·

5 Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ, ἀνεχώρησε· καὶ ἀπελθὼν, ἀπήγξατο.

6 Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια, εἶπον· Οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορ-

ΚΑὶ ὡσὰν ἐξημέρωσεν, ἐσυμβουλεύθηκαν ὅλοι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ ἐναντίον τοῦ Ἰησοῦ, νὰ τὸν θανατώσουν.

2 Καὶ δένοντές τον, τὸν ἐπῆγαν, καὶ τὸν ἐπαράδωκαν εἰς τὸν Πόντιον Πιλάτον τὸν ἡγεμόνα.

3 Τότε ὡσὰν εἶδεν ὁ Ἰούδας, ὁποῦ τὸν ἐπαράδωκεν, ὅτι κατεκρίθη, ἐμελανόησε, καὶ ἐγύρισεν ὀπίσω τὰ τριάντα ἀργύρια εἰς τοὺς ἀρχιερεῖς καὶ εἰς τοὺς πρεσβυτέρους,

4 Λέγοντας· Ἔσφαλα, ὁποῦ ἐπρόδωσα αἷμα ἀθῷον· Καὶ ἐκεῖνοι εἶπαν· Τί μᾶς μέλει ἡμᾶς; σὺ ὄψει.

5 Καὶ ἔρριξε τὰ ἀργύρια μέσα εἰς τὸν ναὸν, καὶ ἀνεχώρησε· καὶ ἐπῆγε, καὶ ἐκρεμάσθη.

6 Καὶ οἱ ἀρχιερεῖς ἐπῆραν τὰ ἀργύρια, καὶ εἶπαν· Δὲν πρέπει νὰ τὰ βάλλωμεν αὐτὰ εἰς τὸ θησαυροφυλάκιον τῆς ἐκ-

βανᾶν· ἐπεὶ τιμὴ αἵματός ἐστι.

7 Συμβούλιον δὲ λαβόντες, ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως, εἰς ταφὴν τοῖς ξένοις.

8 Διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος, ἀγρὸς αἵματος, ἕως τῆς σήμερον.

9 (Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου, λέγοντος· Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ.

10 Καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος.)

11 Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος· καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν, λέγων· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Σὺ λέγεις.

12 Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων, οὐδὲν ἀπεκρίνατο.

13 Τότε λέγει αὐτῷ ὁ Πιλάτος· Οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι;

14 Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα· ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν.

15 Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ

κλησίας· ἐπειδὴ εἶναι τιμὴ αἵματος.

7 Καὶ ὡσὰν ἐσυμβουλεύθηκαν, ἀγόρασαν μετ' ἐκεῖνα τὸ χωράφι τοῦ κεραμέως, νὰ θάπτουν τοὺς ξένους.

8 Διὰ τοῦτο ὠνομάσθη τὸ χωράφι ἐκεῖνο, χωράφι αἵματος, ἕως τὴν σήμερον.

9 (Τότε ἐτελειώθη ἐκεῖνο, ὅπου ἐλαλήθη διὰ μέσου Ἱερεμίου τοῦ προφήτου, λέγωντας· Καὶ ἐπῆραν τὰ τριάντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, τὸν ὁποῖον ἐτίμησαν ἀπὸ τοὺς υἱοὺς τοῦ Ἰσραήλ.

10 Καὶ ἐδῶκάν τα εἰς τὸ χωράφι τοῦ κεραμέως, καθὼς μὲ ἐπαράγγειλεν ὁ Κύριος.)

11 Καὶ ὁ Ἰησοῦς ἐστάθη ὀμπροστὰ εἰς τὸν ἡγεμόνα, καὶ ἐρώτησέν τον ὁ ἡγεμὼν, λέγωντας· Ἐσὺ εἶσαι ὁ βασιλεὺς τῶν Ἰουδαίων; Καὶ ὁ Ἰησοῦς τοῦ λέγει· Σὺ εἶπας.

12 Καὶ ἐκεῖ, ὅπου τὸν κατηγοροῦσαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι, δὲν ἀπεκρίθηκε τίποτες.

13 Τότε τοῦ λέγει ὁ Πιλάτος· Δὲν ἀκούεις πόσα μαρτυροῦν ἐναντία σου;

14 Καὶ δὲν τοῦ ἀπεκρίθη καθόλου εἰς κανένα λόγον· τόσον ὅπου ἐθαύμασεν ὁ ἡγεμὼν πολλά.

15 Καὶ εἰς τὴν ἑορτὴν εἶχαν συνήθειαν, νὰ ἐλευθερώνῃ

ὄχλῳ δέσμιον, ὃν ἤθελον.

ὁ ἡγεμὼν ἕνα ἄνθρωπον ἀπὸ τοὺς δεμένους διὰ τὸν ὄχλον, ὅποιον ἤθελαν.

16 Εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον Βαραββᾶν.

16 Καὶ τότε εἶχαν δεμένον κάποιον ὀνομαστὸν, ὁποῦ ἐλεγουνταν Βαραββᾶν.

17 Συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐτοῖς ὁ Πιλάτος· Τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν, ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν;

17 Ὅταν λοιπὸν ἐσυναθροίσθηκαν, λέγει τους ὁ Πιλάτος· ποῖον θέλετε νὰ σᾶς ἀπολύσω; τὸν Βαραββᾶν, ἢ τὸν Ἰησοῦν, ὁποῦ λέγεται Χριστός;

18 Ἤδει γάρ, ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν.

18 Διατὶ ἴξευρεν, ὅτι ἀπὸ τὸν φθόνον τους τὸν ἐπαράδωκαν (οἱ ἀρχιερεῖς.)

19 Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ, λέγουσα· Μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν.

19 Καὶ καθεζόμενος αὐτὸς εἰς τὸ κριτήριόν του, τοῦ ἐμήνυσεν ἡ γυναῖκά του, καὶ τοῦ λέγει· Νὰ μὴν ἔχῃς ἐσὺ νὰ κάμῃς μὲ τὸν δίκαιον ἐκεῖνον· διατὶ ἐγὼ ἔπαθα πολλὰ σήμερον εἰς τὸ ὄνειρόν μου διὰ λόγου του.

20 Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους, ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν.

20 Καὶ οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἐκατάπεισαν τὸν λαὸν, νὰ ζητήσουν τὸν Βαραββᾶν, καὶ τὸν Ἰησοῦν νὰ χαλάσουν.

21 Ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν, εἶπεν αὐτοῖς· Τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; Οἱ δὲ εἶπον, Βαραββᾶν.

21 Τότε ἀπεκρίθη ὁ ἡγεμὼν, καὶ τοὺς ἐρώτησε· Ποῖον θέλετε ἀπὸ τοὺς δύο νὰ σᾶς ἀπολύσω; Καὶ ἐκεῖνοι εἶπαν, Τὸν Βαραββᾶν.

22 Λέγει αὐτοῖς ὁ Πιλάτος· Τί οὖν ποιήσω Ἰησοῦν, τὸν λεγόμενον Χριστόν; Λέγουσιν αὐτῷ πάντες· Σταυρωθήτω.

22 Λέγει τους ὁ Πιλάτος· Ἀμὴ τὸν Ἰησοῦν, ὁποῦ λέγεται Χριστὸς, τί νὰ τὸν κάμω; Λέγουν του ὅλοι, Ἂς σταυρωθῇ.

23 Ὁ δὲ ἡγεμὼν ἔφη. Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισ-

23 Καὶ ὁ ἡγεμὼν εἶπε· Καὶ τί κακὸν ἔκαμε; Καὶ ἐκεῖνοι

σῶς ἔκραζον, λέγοντες· Σταυ-
ρωθήτω.
24 Ἰδὼν δὲ ὁ Πιλάτος, ὅτι
οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θό-
ρυβος γίνεται, λαβὼν ὕδωρ,
ἀπενίψατο τὰς χεῖρας ἀπέ-
ναντι τοῦ ὄχλου, λέγων· Ἀθῶός
εἰμι ἀπὸ τοῦ αἵματος τοῦ
δικαίου τούτου· ὑμεῖς ὄψεσθε.

25 Καὶ ἀποκριθεὶς πᾶς ὁ
λαὸς, εἶπε· Τὸ αἷμα αὐτοῦ
ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα
ἡμῶν.
26 Τότε ἀπέλυσεν αὐτοῖς
τὸν Βαραββᾶν· τὸν δὲ Ἰησοῦν
φραγελλώσας παρέδωκεν, ἵνα
σταυρωθῇ.
27 Τότε οἱ στρατιῶται τοῦ
ἡγεμόνος, παραλαβόντες τὸν
Ἰησοῦν εἰς τὸ πραιτώριον, συνή-
γαγον ἐπ' αὐτὸν ὅλην τὴν
σπεῖραν.
28 Καὶ ἐκδύσαντες αὐτὸν,
περιέθηκαν αὐτῷ χλαμύδα
κοκκίνην.
29 Καὶ πλέξαντες στέφα-
νον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ
τὴν κεφαλὴν αὐτοῦ· καὶ κάλα-
μον ἐπὶ τὴν δεξιὰν αὐτοῦ· καὶ
γονυπετήσαντες ἔμπροσθεν αὐ-
τοῦ, ἐνέπαιζον αὐτῷ, λέγοντες·
Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων.
30 Καὶ ἐμπτύσαντες εἰς αὐ-
τὸν ἔλαβον τὸν κάλαμον, καὶ
ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ.
31 Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ,
ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα,

ἐφώναξαν περισσά· Ἂς σταυ-
ρωθῇ.
24 Καὶ ὡσὰν εἶδεν ὁ Πιλά-
τος, ὅτι δὲν κάμνει τίποτες,
ἀλλὰ περισσότερον γίνεται
σύγχυσις, ἐπῆρε νερὸν, καὶ
ἔνιψε τὰ χέριά του ὀμπροστὰ εἰς
τὸν λαὸν, λέγωντας· Καθαρὸς
εἶμαι ἀπὸ τὸ αἷμα τοῦ δικαίου
ἐτούτου· ἐσεῖς ὄψεσθε.
25 Καὶ ἀπεκρίθη ὅλος ὁ
λαὸς, καὶ εἶπε· Τὸ αἷμα αὐτου-
νοῦ ἂς εἶναι ἀπάνω εἰς ἐμᾶς,
καὶ εἰς τὰ παιδιά μας.
26 Τότε τοὺς ἀπόλυσε τὸν
Βαραββᾶν· καὶ τὸν Ἰησοῦν
ἔδειρε, καὶ τοὺς τὸν ἐπαράδωκε,
νὰ σταυρωθῇ.
27 Τότε οἱ στρατιῶται τοῦ
ἡγεμόνος ἐπῆραν τὸν Ἰησοῦν εἰς
τὸ πραιτώριον, καὶ ἐπεριμάζω-
ξαν ἐκεῖ εἰς αὐτὸν ὅλον τὸ
τάγμα τῶν στρατιωτῶν.
28 Καὶ ἔκδυσάν τον, καὶ τοῦ
ἔβαλλαν κόκκινον φόρεμα.

29 Καὶ ἔπλεξαν καὶ ἕνα στε-
φάνι ἀπὸ ἀγκάθια, καὶ ἔβαλ-
λαν ἀπάνω εἰς τὸ κεφάλι του· καὶ
εἰς τὸ δεξιόν του χέρι τοῦ ἔδωκαν
ἕνα καλάμι· καὶ ἐγονάτιζαν
ὀμπροστά του, καί τοῦ ἔλεγαν·
Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων.
30 Καὶ πτύοντές τον, ἐπῆ-
ραν τὸ καλάμι, καὶ τὸν ἐκτυποῦ-
σαν εἰς τὸ κεφάλι.
31 Καὶ ἀφ' οὗ τὸν ἔπαιξαν,
τὸν ἔκδυσαν τὸ κόκκινον φόρεμα,

καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια
αὐτοῦ· καὶ ἀπήγαγον αὐτὸν
εἰς τὸ ϛαυρῶσαι.
32 Ἐξερχόμενοι δὲ, εὗρον
ἄνθρωπον Κυρηναῖον, ὀνόματι
Σίμωνα· τοῦτον ἠγγάρευσαν,
ἵνα ἄρῃ τὸν ϛαυρὸν αὐτοῦ.
33 Καὶ ἐλθόντες εἰς τόπον
λεγόμενον Γολγοθᾶ, ὅς ἐϛι
λεγόμενος κρανίου τόπος,
34 Ἔδωκαν αὐτῷ πιεῖν
ὄξος μετὰ χολῆς μεμιγμέ-
νον· καὶ γευσάμενος, οὐκ
ἤθελε πιεῖν.
35 Σταυρώσαντες δὲ αὐτὸν,
διεμερίσαντο τὰ ἱμάτια αὐ-
τοῦ, βάλλοντες κλῆρον· ἵνα
πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ
προφήτου· Διεμερίσαντο τὰ
ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ
τὸν ἱματισμόν μου ἔβαλον
κλῆρον.
36 Καὶ καθήμενοι, ἐτήρουν
αὐτὸν ἐκεῖ.
37 Καὶ ἐπέθηκαν ἐπάνω
τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν
αὐτοῦ γεγραμμένην· ΟΥ῟ΤΟΣ
ΕΣΤΙΝ ΙΗΣΟΥ῀Σ Ο
ΒΑΣΙΛΕΥΣ ΤΩ῀Ν ΙΟΥ-
ΔΑΙΩΝ.
38 Τότε ϛαυροῦνται σὺν
αὐτῷ δύο λῃϛαί· εἷς ἐκ δεξιῶν,
καὶ εἷς ἐξ εὐωνύμων.
39 Οἱ δὲ παραπορευόμενοι

καὶ τὸν ἔνδυσαν πάλιν τὰ
φορέματά τȣ· καὶ τὸν ἐπή-
γεναν νὰ τὸν ϛαυρώσȣν.
32 Καὶ ἐκεῖ ὁπȣ̃ εὔγεναν
ἔξω, εὕρηκαν ἕνα ἄνθρωπον
Κυρηναῖον, τὸ ὄνομά τȣ Σί-
μωνα· ἐτȣ̃τον ἠγγάρευσαν, νὰ
σηκώσῃ τὸν ϛαυρόν τȣ.
33 Καὶ ὡσὰν ἦλθαν εἰς
τὸν τόπον, ὁπȣ̃ ἐλέγȣνταν
Γολγοθᾶ, τὸ ὁποῖον θέλει νὰ
εἰπῇ κρανίȣ τόπος,
34 Τȣ̃ ἔδωκαν νὰ πιῇ ὀξύ-
δι ἀνακατωμένον μὲ χολήν·
καὶ ὡσὰν τὸ ἐγεύθηκε, δὲν
ἤθελε νὰ τὸ πιῇ.
35 Καὶ ὡσὰν τὸν ἐϛαύρωσαν,
ἐμοίρασαν τὰ φορέματά τȣ,
ῥίχνοντες κλήρȣς· διὰ νὰ τε-
λειωθῇ ἐκεῖνο, ὁπȣ̃ ἐλαλήθη διὰ
μέσα τοῦ προφήτȣ· Ἐδιαμοι-
ρασθήκασιν τὰ φορέματά μȣ
ἀνάμεσόν τȣς, καὶ εἰς τὴν ἐνδυ-
μασίαν μȣ ἔῤῥιξαν λαχνȣ́ς.
36 Καὶ ἐκάθȣνταν, καὶ
τὸν ἐφύλαγαν ἐκεῖ.
37 Καὶ ἔβαλλαν ἀπάνω
εἰς τὸ κεφάλι τȣ τὴν ἀφορμήν τȣ
γεγραμμένην· ΕΤΟΥ῟ΤΟΣ
ΕΙ῀ΝΑΙ Ο ΙΗΣΟΥ῀Σ Ο
ΒΑΣΙΛΕΥΣ ΤΩ῀Ν ΙΟΥ-
ΔΑΙΩΝ.
38 Τότε ἐϛαυρώθηκαν ὁμȣ̃
μετ᾽ αὐτὸν δύο λῃϛάδες, ἕνας
ἀπὸ τὴν δεξιάν τȣ, καὶ ἄλλος
ἀπὸ τὴν ζερβιάν τȣ.
39 Καὶ ἐκεῖνοι, ὁπȣ̃ ἐπερνȣ̃-

ἐβλασφήμουν αὐτὸν, κινοῦντες
τὰς κεφαλὰς αὐτῶν,

40 Καὶ λέγοντες· Ὁ κα-
ταλύων τὸν ναὸν καὶ ἐν τρισὶν
ἡμέραις οἰκοδομῶν, σῶσον
σεαυτόν· εἰ υἱὸς εἶ τοῦ Θεοῦ,
κατάβηθι ἀπὸ τοῦ σταυροῦ.

41 Ὁμοίως δὲ καὶ οἱ
ἀρχιερεῖς, ἐμπαίζοντες μετὰ
τῶν γραμματέων καὶ πρεσ-
βυτέρων, ἔλεγον·

42 Ἄλλους ἔσωσεν, ἑαυτὸν
οὐ δύναται σῶσαι· εἰ βασιλεὺς
Ἰσραήλ ἐστι, καταβάτω νῦν
ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν
αὐτῷ.

43 Πέποιθεν ἐπὶ τὸν Θεόν·
ῥυσάσθω νῦν αὐτὸν, εἰ θέλει
αὐτόν· εἶπε γάρ· Ὅτι Θεοῦ
εἰμι υἱός.

44 Τὸ δ᾽ αὐτὸ καὶ οἱ λη-
σταὶ, οἱ συσταυρωθέντες αὐτῷ,
ὠνείδιζον αὐτῷ.

45 Ἀπὸ δὲ ἕκτης ὥρας
σκότος ἐγένετο ἐπὶ πᾶσαν
τὴν γῆν, ἕως ὥρας ἐννάτης.

46 Περὶ δὲ τὴν ἐννάτην
ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ
μεγάλῃ, λέγων· Ἠλὶ, Ἠλὶ,
λαμὰ σαβαχθανί; τοῦτ᾽ ἔστι,
Θεέ μου, Θεέ μου, ἱνατί με
ἐγκατέλιπες;

47 Τινὲς δὲ τῶν ἐκεῖ ἑστώ-
των ἀκούσαντες, ἔλεγον· Ὅτι
Ἠλίαν φωνεῖ οὗτος.

σαν εἰς τὴν στράτα, τὸν ἐβλασ-
φημοῦσαν, κουνοῦντες τὰ κεφά-
λιά τους,

40 Καὶ λέγοντες· Ἐσὺ ὁποῦ
χαλνᾷς τὸν ναὸν καὶ εἰς τρεῖς
ἡμέραις τὸν οἰκοδομεῖς, σῶσε
τοῦ λόγου σου· ἂν εἶσαι υἱὸς τοῦ
Θεοῦ, κατέβα ἀπὸ τὸν σταυρόν.

41 Ὁμοιοτρόπως καὶ οἱ
ἀρχιερεῖς, παίζοντές τον ὁμοῦ
μὲ τοὺς γραμματεῖς καὶ τοὺς
πρεσβυτέρους καὶ Φαρισαίους,
ἔλεγαν·

42 Ἄλλους ἔσωσε, καὶ τὸν
ἑαυτόν του δὲν δύνεται νὰ σώσῃ·
ἂν εἶναι βασιλεὺς τοῦ Ἰσραὴλ,
ἂς κατέβη τώρα ἀπὸ τὸν σταυ-
ρὸν, καὶ θέλομεν τὸν πιστεύσει.

43 Εἰς τὸν Θεὸν ἔχει τὸ
θάῤῥος του· ἂς τὸν γλυτώσῃ
τώρα, ἂν τὸ ἀγαπᾷ· διατὶ
εἶπεν· Ὅτι Θεοῦ υἱὸς εἶμαι.

44 Τὰ ὅμοια τὸν ὀνείδιζαν
καὶ οἱ λησταδες, ὁποῦ ἐσταυρώθη-
καν μαζύ του.

45 Καὶ ἀπὸ τὴν ἕκτην
ὥραν ἔγινε σκότος εἰς ὅλην τὴν
γῆν, ἕως τὴν ἐννάτην.

46 Καὶ κοντὰ εἰς τὴν ἐννά-
την ὥραν ἐβόησεν ὁ Ἰησοῦς μὲ
μεγάλην φωνὴν, καὶ εἶπεν·
Ἠλὶ, Ἠλὶ, λαμὰ σαβαχ-
θανί; τοῦτ᾽ ἔστιν, Θεέ μου,
Θεέ μου, διατί μὲ ἄφησες;

47 Καὶ κάποιοι ἀπὸ ἐκεί-
νους, ὁποῦ ἐστέκουνταν ἐκεῖ,
ὡσὰν τὸ ἤκουσαν, ἔλεγαν·
Ὅτι τὸν Ἠλίαν φωνάζει.

48 Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ λαβὼν σπόγγον, πλήσας τε ὄξους, καὶ περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν.

49 Οἱ δὲ λοιποὶ ἔλεγον· Ἄφες, ἴδωμεν, εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν.

50 Ὁ δὲ Ἰησοῦς, πάλιν κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα.

51 Καὶ ἰδοὺ, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω· καὶ ἡ γῆ ἐσείσθη· καὶ αἱ πέτραι ἐσχίσθησαν·

52 Καὶ τὰ μνημεῖα ἀνεῴχθησαν· καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη.

53 Καὶ ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθησαν πολλοῖς.

54 Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ, τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέγοντες· Ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος.

55 Ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ, ἀπὸ μακρόθεν θεωροῦσαι· αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας, διακονοῦσαι αὐτῷ.

48 Καὶ παρευθὺς ἔτρεξεν ἕνας ἀπ' αὐτοὺς, καὶ ἐπῆρεν ἕνα σφογγάρι, καὶ γεμίζωντάς το ὀξύδι καὶ βάζωντάς το εἰς ἕνα καλάμι, τὸν ἐπότιζεν.

49 Καὶ οἱ ἄλλοι ἔλεγαν· Ἀφῆτε, νὰ εἰδοῦμεν, ἂν ἔρχεται ὁ Ἠλίας νὰ τὸν γλυτώσῃ.

50 Καὶ ὁ Ἰησοῦς, πάλιν φωνάξας μεγάλην φωνὴν, ἀφῆκε τὸ πνεῦμα.

51 Καὶ παρευθὺς τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπ' ἐπάνω ἕως κάτω· καὶ ἡ γῆ ἐσείσθη· καὶ ἡ πέτραις ἐσχίσθηκαν·

52 Καὶ τὰ μνημόρια ἀνοιχθήκασιν· καὶ πολλὰ κορμία τῶν ἀπεθαμμένων ἁγίων ἀναστάθηκαν.

53 Καὶ εὐγῆκαν ἔξω ἀπὸ τὰ μνήματα ὕστερα ἀπὸ τὴν ἀνάστασιν τοῦ Χριστοῦ, καὶ ἐπῆγαν εἰς τὴν ἁγίαν πόλιν, καὶ ἐφάνηκαν εἰς πολλούς.

54 Καὶ ὁ ἑκατόνταρχος καὶ ἐκεῖνοι, ὁποῦ ἦταν ὁμοῦ μὲ αὐτὸν, ὁποῦ ἐφύλαγαν τὸν Ἰησοῦν, βλέποντες τὸν σεισμὸν καὶ ἐκεῖνα ὁποῦ ἐγίνουνταν, ἐφοβήθηκαν κατὰ πολλὰ, καὶ εἶπαν· Ἀληθινὰ Θεοῦ υἱὸς ἦτον ἐτοῦτος.

55 Καὶ ἦταν καὶ γυναῖκαις ἐκεῖ πολλαῖς, ὁποῦ ἔβλεπαν ἀπὸ μακρὰ· αἱ ὁποίαις ἀκολουθοῦσαν τὸν Ἰησοῦν ἀπὸ τὴν Γαλιλαίαν, καὶ τὸν ὑπηρετοῦσαν.

56 Ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου.

57 Ὀψίας δὲ γενομένης, ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἀριμαθαίας, τοὔνομα Ἰωσὴφ, ὃς καὶ αὐτὸς ἐμαθήτευσε τῷ Ἰησοῦ.

58 Οὗτος προσελθὼν τῷ Πιλάτῳ, ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ· Τότε ὁ Πιλάτος ἐκέλευσεν ἀποδοθῆναι τὸ σῶμα.

59 Καὶ λαβὼν τὸ σῶμα ὁ Ἰωσὴφ, ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ.

60 Καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ, ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ· καὶ προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου, ἀπῆλθεν.

61 Ἦν δὲ ἐκεῖ Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου.

62 Τῇ δὲ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκευὴν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς Πιλάτον,

63 Λέγοντες· Κύριε, ἐμνήσθημεν, ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν, ἔτι ζῶν· Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι.

56 Ἀνάμεσα εἰς ταῖς ὁποίαις ἦτον ἡ Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ μητέρα τοῦ Ἰακώβου καὶ τοῦ Ἰωσῆ, καὶ ἡ μητέρα τῶν υἱῶν τοῦ Ζεβεδαίου.

57 Καὶ ὡσὰν ἐβραδίασεν, ἦλθεν ἕνας ἄνθρωπος πλούσιος ἀπὸ τὴν Ἀριμαθαίαν, τὸ ὄνομά του Ἰωσὴφ, ὁ ὁποῖος ἦτον καὶ αὐτὸς μαθητὴς τοῦ Ἰησοῦ.

58 Ἐτοῦτος ἐπῆγεν εἰς τὸν Πιλάτον, καὶ ἐζήτησε τὸ κορμὶ τοῦ Ἰησοῦ. Τότε ὁ Πιλάτος ἐπρόσταξε νὰ τοῦ δωθῇ τὸ κορμί.

59 Καὶ πέρνωντας τὸ κορμὶ ὁ Ἰωσὴφ, τὸ ἐτύλιξε μὲ σινδόνι καθαρόν.

60 Καὶ τὸ ἔβαλλεν εἰς τὸ καινούριόν του τὸ μνῆμα, τὸ ὁποῖον τὸ ἔσκαψεν εἰς τὴν πέτρα· καὶ κυλῶντας μίαν πέτραν μεγάλην εἰς τὸ στόμα τοῦ μνημείου, ἐδιάβηκεν.

61 Καὶ ἦταν ἐκεῖ ἡ Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, καὶ ἐκάθουνταν ἀγνάντια τοῦ τάφου.

62 Καὶ μεθαύριον, ἡ ὁποῖα εἶναι ὕστερα ἀπὸ τὴν παρασκευὴν, ἐσυναθροίσθηκαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι εἰς τὸν Πιλάτον,

63 Λέγοντες· Αὐθέντη, Ὑθυμηθήκαμεν, ὅτι ἐκεῖνος ὁ πλάνος ἀκόμι ζῶντας εἶπεν· Ὕστερα ἀπὸ τρεῖς ἡμέραις ἀναστήνομαι.

64 Κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας· μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς, κλέψωσιν αὐτὸν, καὶ εἴπωσι τῷ λαῷ· Ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης.

65 Ἔφη δὲ αὐτοῖς ὁ Πιλάτος· Ἔχετε κουστωδίαν· ὑπάγετε, ἀσφαλίσασθε ὡς οἴδατε.

66 Οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον, σφραγίσαντες τὸν λίθον, μετὰ τῆς κουστωδίας.

64 Πρόσταξε λοιπὸν νὰ σφαλισθῆ ὁ τάφος ἕως τὴν τρίτην ἡμέραν· μήπως καὶ οἱ μαθητάδες του ἔλθουν τὴν νύκτα, καὶ τὸν κλέψουν, καὶ εἰποῦσιν εἰς τὸν λαόν· Ἀνεστάθη ἀπὸ τοὺς νεκρούς· καὶ θέλει εἶσθαι ἡ ὑστερινὴ πλάνη χειρότερη ἀπὸ τὴν πρώτην.

65 Λέγει τους ὁ Πιλάτος· Ἔχετε φύλακας· σύρτε, σφαλίσετέ τον καθὼς ἠξεύρετε.

66 Καὶ ἐκεῖνοι ἐπῆγαν, καὶ ἐσφάλισαν τὸν τάφον, βουλώνοντες τὸν λίθον, μαζὺ μὲ τοὺς φύλακας.

Κεφ. κή. 28.

ΟΨΕ' δὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, θεωρῆσαι τὸν τάφον.

2 Καὶ ἰδοὺ, σεισμὸς ἐγένετο μέγας· ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ.

3 Ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών.

4 Ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο ὡσεὶ νεκροί.

ΚΑΙ' τὸ σάββατον βράδυ, ὅταν ἄρχισε νὰ χαράξῃ ἡ κυριακὴ, ἡ πρώτη ἡμέρα τῆς ἑβδομάδος, ἦλθεν ἡ Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, νὰ εἰδοῦν τὸν τάφον.

2 Καὶ νὰ, καὶ ἐγίνηκεν μεγάλος σεισμός· διατὶ ἄγγελος Κυρίου ἐκατέβη ἀπὸ τὸν οὐρανὸν, καὶ ἐπῆγε καὶ ἐκύλισε τὸν λίθον ἀπὸ τὴν θύραν τοῦ μνημείου, καὶ ἐκάθουνταν ἀπάνω εἰς τὴν πέτραν.

3 Καὶ ἦτον ἡ ὄψις του ὡσὰν τὴν ἀστραπὴν, καὶ τὸ φόρεμά του ἄσπρον ὡσὰν τὸ χιόνι.

4 Καὶ ἀπὸ τὸν φόβον αὐτουνοῦ ἐτρόμαξαν ἐκεῖνοι, ὁποῦ ἐφύλαγαν τὸν τάφον, καὶ ἐγίνηκαν ὡσὰν ἀπεθαμμένοι.

5 Ἀποκριθεὶς δὲ ὁ ἄγγελος, εἶπε ταῖς γυναιξί· Μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γάρ, ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε.

6 Οὐκ ἔστιν ὧδε· ἠγέρθη γάρ, καθὼς εἶπε· δεῦτε, ἴδετε τὸν τόπον, ὅπου ἔκειτο ὁ Κύριος.

7 Καὶ ταχὺ πορευθεῖσαι, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἰδού, προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε· ἰδού, εἶπον ὑμῖν.

8 Καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης, ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ.

9 Ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδού, ὁ Ἰησοῦς ἀπήντησεν αὐταῖς, λέγων· Χαίρετε. Αἱ δὲ προσελθοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ προσεκύνησαν αὐτῷ.

10 Τότε λέγει αὐταῖς ὁ Ἰησοῦς· Μὴ φοβεῖσθε· ὑπάγετε, ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται.

11 Πορευομένων δὲ αὐτῶν, ἰδού, τινὲς τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα.

5 Καὶ ἀπεκρίθη ὁ ἄγγελος, καὶ εἶπεν εἰς ταῖς γυναίκαις· Μὴ φοβᾶσθε ἐσεῖς· διατὶ ἠξεύρω, ὅτι τὸν Ἰησοῦν τὸν ἐσταυρωμένον γυρεύετε.

6 Δὲν εἶναι ἐδῶ· διατὶ ἀνεστάθη, καθὼς εἶπεν· ἐλᾶτε, νὰ εἰδῆτε καὶ τὸν τόπον, ὁποῦ ἐκείτετο ὁ Κύριος.

7 Καὶ ὀγλίγωρα σύρτε, καὶ εἰπέτε τοὺς μαθητάδες του, ὅτι ἀνέστη ἀπὸ τοὺς νεκρούς· καὶ νά, ὁποῦ ὑπάγει προτίτερα ἀπὸ ἐσᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ θέλετε τὸν εἰδῆ· νά, ὁποῦ σᾶς τὸ εἶπα.

8 Καὶ εὐγῆκαν ὀγλίγωρα ἀπό τὸ μνῆμα μὲ φόβον καὶ μὲ μεγάλην χαρὰν, καὶ ἔτρεξαν νὰ τὸ εἰποῦσι εἰς τοὺς μαθητάδες του.

9 Καὶ καθὼς ἐπήγεναν νὰ τὸ εἰποῦν εἰς τοὺς μαθητάδες του, νά, καὶ ὁ Ἰησοῦς καὶ ταῖς ἀπάντησε, καὶ ταῖς εἶπε· Χαίρεσθε· Καὶ ἐκείναις ἐπῆγαν κοντά, καὶ ἐπίασαν τὰ ποδάριά του, καὶ τὸν ἐπροσκύνησαν.

10 Τότε ταῖς εἶπεν ὁ Ἰησοῦς· Μὴν φοβᾶσθε· σύρτε, μηνύσετέ το εἰς τοὺς ἀδελφούς μου, νὰ ἔλθουν εἰς τὴν Γαλιλαίαν, καὶ ἐκεῖ θέλουν μὲ εἰδῆ.

11 Καὶ καθὼς ἐπήγεναν αὐταῖς εἰς τὴν πόλιν, νά, καὶ κάποιοι ἀπὸ τοὺς στρατιώτας, ὁποῦ ἐφύλαγαν, ἐπῆγαν εἰς τὴν πόλιν, καὶ εἶπαν εἰς τοὺς ἀρχιερεῖς ὅλα τὰ γενόμενα.

12 Καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις,

13 Λέγοντες· Εἴπατε, Ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων.

14 Καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτὸν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν.

15 Οἱ δὲ, λαβόντες τὰ ἀργύρια, ἐποίησαν ὡς ἐδιδάχθησαν· καὶ διεφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον.

16 Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος, οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς.

17 Καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ· οἱ δὲ ἐδίστασαν.

18 Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἐλάλησεν αὐτοῖς, λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.

19 Πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.

20 Διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ, ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

12 Καὶ ἐκεῖνοι ἐμαζώχθησαν μὲ τοὺς πρεσβυτέρους, καὶ ἐσυμβουλεύθηκαν, καὶ ἔδωκαν καμπόσα ἄσπρα εἰς τοὺς στρατιώτας,

13 Λέγοντές τους· Εἰπέτε, Ὅτι οἱ μαθητάδες του ἦλθαν τὴν νύκτα, ὅταν ἐκοιμώμασθαν, καὶ τὸν ἔκλεψαν.

14 Καὶ ἐὰν ἀκουσθῇ τοῦτο εἰς τὸν ἡγεμόνα, ἐμεῖς θέλομεν τὸν καταπείσει, καὶ ἐσᾶς θέλομεν κάμει ἀκινδύνους.

15 Καὶ ἐκεῖνοι, παίρνοντες τὰ ἄσπρα, ἔκαμαν καθὼς τοὺς ἐδίδαξαν· καὶ διεφημίσθη ἐτοῦτος ὁ λόγος εἰς τοὺς Ἰουδαίους ἕως τὴν σήμερον.

16 Καὶ οἱ ἕνδεκα μαθητάδες ἐπῆγαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος, ἐκεῖ ὅπου τοὺς ἐδιώρισεν ὁ Ἰησοῦς.

17 Καὶ αὐτοὶ βλέποντές τον, τὸν ἐπροσκύνησαν· ἀμὴ κάποιοι ἀμφίβαλαν.

18 Καὶ πηγένωντας κοντὰ ὁ Ἰησοῦς, τοὺς ἐσύντυχε, καὶ τοὺς εἶπεν· Μοῦ ἐδόθη κάθε ἐξουσία εἰς τὸν οὐρανὸν καὶ εἰς τὴν γῆν.

19 Ὑπάγετε λοιπὸν, διδάξετε ὅλα τὰ ἔθνη, βαπτίζοντές τα εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

20 Διδάσκοντές τους νὰ φυλάττουν ὅλα ὅσα σᾶς ἐπαράγγειλα· καὶ νὰ, ἐγὼ ὅπου εἶμαι ὁμοῦ μετ' ἐσᾶς ὅλον τὸν καιρὸν ἕως τὸ τέλος τοῦ κόσμου. Ἀμήν.

ΤῸ ΚΑΤᾺ ΜΆΡΚΟΝ

ΕΥ᾿ΑΓΓΕ᾿ΛΙΟΝ.

Κεφ. ά. 1.

Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ
Χριστοῦ, υἱοῦ τοῦ Θεοῦ·

2 Ὡς γέγραπται ἐν τοῖς
προφήταις· Ἰδοὺ, ἐγὼ ἀποστέλ-
λω τὸν ἄγγελόν μου πρὸ
προσώπου σου, ὃς κατασκευάσει
τὴν ὁδόν σου ἔμπροσθέν σου.

3 Φωνὴ βοῶντος ἐν τῇ ἐρή-
μῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυ-
ρίου, εὐθείας ποιεῖτε τὰς τρί-
βους αὐτοῦ.
4 Ἐγένετο Ἰωάννης βαπτί-
ζων ἐν τῇ ἐρήμῳ, καὶ κηρύσσων
βάπτισμα μετανοίας εἰς ἄφεσιν
ἁμαρτιῶν.
5 Καὶ ἐξεπορεύετο πρὸς αὐ-
τὸν πᾶσα ἡ Ἰουδαία χώρα, καὶ
οἱ Ἱεροσολυμῖται· καὶ ἐβαπτί-
ζοντο πάντες ἐν τῷ Ἰορδάνῃ
ποταμῷ ὑπ' αὐτοῦ, ἐξομολογού-
μενοι τὰς ἁμαρτίας αὐτῶν.
6 Ἦν δὲ Ἰωάννης ἐνδεδυμένος
τρίχας καμήλου, καὶ ζώνην
δερματίνην περὶ τὴν ὀσφὺν αὐ-
τοῦ· καὶ ἐσθίων ἀκρίδας καὶ
μέλι ἄγριον.
7 Καὶ ἐκήρυσσε, λέγων·
Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπί-

Ἡ Ἀρχὴ τοῦ εὐαγγελίου τοῦ
Ἰησοῦ Χριστοῦ, τοῦ υἱοῦ τοῦ
Θεοῦ.
2 Καθὼς εἶναι γεγραμμένον
εἰς τοὺς προφήτας· Νὰ, ἐγὼ
ὁποῦ στέλλω τὸν ἄγγελόν μου
ὀμπροστά σου, ὁ ὁποῖος θέλει
ἑτοιμάσει τὴν στράτα σου ὀμπρο-
στᾶ σου.
3 Ἡ φωνὴ ἐκείνου ὁποῦ βοᾷ
εἰς τὴν ἔρημον· Ἑτοιμάσετε τὴν
στράταν τοῦ Κυρίου, ἰσιάσετε
τοὺς δρόμους του.
4 Ἦτον ὁ Ἰωάννης ὁποῦ
ἐβάπτιζεν εἰς τὴν ἔρημον, καὶ
ἐκήρυττεν βάπτισμα μετανοίας
εἰς συγχώρησιν ἁμαρτιῶν.
5 Καὶ ἐπάγεναν εἰς αὐτὸν
ὅλη ἡ χώρα τῆς Ἰουδαίας, καὶ οἱ
Ἱεροσολυμῖται· καὶ ἐβαπτί-
ζουνταν ὅλοι εἰς τὸν Ἰορδάνην
ποταμὸν ἀπ' αὐτὸν, ἐξομολογού-
μενοι ταῖς ἁμαρτίαις τους.
6 Καὶ ὁ Ἰωάννης ἦτον ἐν-
δυμένος ἀπὸ ταῖς τρίχαις τῆς
καμήλας, καὶ ζωνάρι δερμα-
τένιον εἰς τὴν μέσην του· καὶ
ἔτρωγεν ἀκρίδες καὶ μέλι ἄγριον.
7 Καὶ ἐκήρυττε, λέγοντας·
Ἔρχεται ὁ δυνατώτερός μου ὀπί-

σω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς, κύ-
ψας λῦσαι τὸν ἱμάντα τῶν
ὑποδημάτων αὐτοῦ.
8 Ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς
ἐν ὕδατι· αὐτὸς δὲ βαπτίσει
ὑμᾶς ἐν Πνεύματι ἁγίῳ.
9 Καὶ ἐγένετο ἐν ἐκείναις
ταῖς ἡμέραις, ἦλθεν Ἰησοῦς ἀπὸ
Ναζαρὲτ τῆς Γαλιλαίας, καὶ
ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς
τὸν Ἰορδάνην.
10 Καὶ εὐθέως ἀναβαίνων
ἀπὸ τοῦ ὕδατος, εἶδε σχιζομέ-
νους τοὺς οὐρανοὺς, καὶ τὸ Πνεῦ-
μα ὡσεὶ περιστερὰν, καταβαῖ-
νον ἐπ' αὐτόν.
11 Καὶ φωνὴ ἐγένετο ἐκ
τῶν οὐρανῶν· Σὺ εἶ ὁ υἱός μου
ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα.

12 Καὶ εὐθὺς τὸ Πνεῦμα
αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον.
13 Καὶ ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ
ἡμέρας τεσσαράκοντα, πει-
ραζόμενος ὑπὸ τοῦ Σατανᾶ·
καὶ ἦν μετὰ τῶν θηρίων· καὶ
οἱ ἄγγελοι διηκόνουν αὐτῷ.
14 Μετὰ δὲ τὸ παραδοθῆ-
ναι τὸν Ἰωάννην, ἦλθεν ὁ Ἰησοῦς
εἰς τὴν Γαλιλαίαν, κηρύσσων
τὸ εὐαγγέλιον τῆς βασιλείας
τοῦ Θεοῦ,
15 Καὶ λέγων· Ὅτι πεπλή-
ρωται ὁ καιρὸς, καὶ ἤγγικεν ἡ
βασιλεία τοῦ Θεοῦ· μετανοεῖτε,
καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ.
16 Περιπατῶν δὲ παρὰ

σω μου, τοῦ ὁποίου ἐγὼ δὲν εἶμαι
ἄξιος, νὰ σκύψω νὰ λύσω τὸ
λουρὶ τῶν ὑποδημάτων του.
8 Ἐγὼ σᾶς ἐβάπτισα μὲ
νερόν· ἀμὴ αὐτὸς θέλει σᾶς
βαπτίσει μὲ Πνεῦμα ἅγιον.
9 Καὶ ἔγινεν ἐκείναις ταῖς
ἡμέραις, ἦλθεν ὁ Ἰησοῦς ἀπὸ
τὴν Ναζαρὲτ τῆς Γαλιλαίας,
καὶ ἐβαπτίσθη ἀπὸ τὸν Ἰωάν-
νην εἰς τὸν Ἰορδάνην.
10 Καὶ παρευθὺς ἀναβαί-
νωντας ἀπὸ τὸ νερὸν, εἶδε τοὺς
οὐρανοὺς ὁποῦ ἐσχίζουνταν, καὶ
τὸ Πνεῦμα ὁποῦ ἐκατέβαινεν
ὡσὰν περιστέρι ἀπάνω του.
11 Καὶ φωνὴ ἐγένετο ἀπὸ
τοὺς οὐρανοὺς, (ὁποῦ ἔλεγεν·) Ἐσὺ
εἶσαι ὁ υἱός μου ὁ ἀγαπημένος,
εἰς τὸν ὁποῖον ἀναπαύομαι.
12 Καὶ παρευθὺς τὸ Πνεῦμα
τὸν εὔγαλεν εἰς τὴν ἔρημον.
13 Καὶ ἦτον ἐκεῖ εἰς τὴν
ἔρημον σαράντα ἡμέραις, καὶ
ἐπειράζετον ἀπὸ τὸν Σατανᾶ·
καὶ ἦταν μὲ τὰ θηρία· καὶ οἱ
ἄγγελοι τὸν ὑπηρετοῦσαν.
14 Καὶ ὕστερα ἀφ' οὗ ἐπαρα-
δόθη ὁ Ἰωάννης, ἦλθεν ὁ Ἰησοῦς
εἰς τὴν Γαλιλαίαν, καὶ ἐκή-
ρυττε τὸ εὐαγγέλιον τῆς βα-
σιλείας τοῦ Θεοῦ,
15 Καὶ ἔλεγεν· Ὁ καιρὸς
ἐπληρώθη, καὶ ἡ βασιλεία τοῦ
Θεοῦ ἐσήμωσεν· μετανοήσετε,
καὶ πιστεύετε εἰς τὸ εὐαγγέλιον.
16 Καὶ περιπατῶντας εἰς

τὴν θάλασσαν τῆς Γαλιλαίας,
εἶδε Σίμωνα καὶ Ἀνδρέαν τὸν
ἀδελφὸν αὐτοῦ βάλλοντας
ἀμφίβληστρον ἐν τῇ θαλάσσῃ·
(ἦσαν γὰρ ἁλιεῖς.)
17 Καὶ εἶπεν αὐτοῖς ὁ Ἰη-
σοῦς· Δεῦτε ὀπίσω μου, καὶ
ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς
ἀνθρώπων.
18 Καὶ εὐθέως ἀφέντες
τὰ δίκτυα αὐτῶν, ἠκολούθησαν
αὐτῷ.
19 Καὶ προβὰς ἐκεῖθεν ὀλί-
γον, εἶδεν Ἰάκωβον τὸν τοῦ
Ζεβεδαίου, καὶ Ἰωάννην τὸν
ἀδελφὸν αὐτοῦ, καὶ αὐτοὺς ἐν
τῷ πλοίῳ καταρτίζοντας τὰ
δίκτυα.
20 Καὶ εὐθέως ἐκάλεσεν αὐ-
τούς· καὶ ἀφέντες τὸν πατέρα
αὐτῶν Ζεβεδαῖον ἐν τῷ πλοίῳ
μετὰ τῶν μισθωτῶν, ἀπῆλθον
ὀπίσω αὐτοῦ·
21 Καὶ εἰσπορεύονται εἰς
Καπερναούμ· καὶ εὐθέως τοῖς
σάββασιν εἰσελθὼν εἰς τὴν
συναγωγὴν, ἐδίδασκε.
22 Καὶ ἐξεπλήσσοντο ἐπὶ
τῇ διδαχῇ αὐτοῦ· ἦν γὰρ δι-
δάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων,
καὶ οὐχ ὡς οἱ γραμματεῖς.

23 Καὶ ἦν ἐν τῇ συναγωγῇ
αὐτῶν ἄνθρωπος ἐν πνεύματι
ἀκαθάρτῳ, καὶ ἀνέκραξε,

24 Λέγων· Ἔα, τί ἡμῖν καὶ

τὴν θάλασσαν τῆς Γαλιλαίας,
εἶδε τὸν Σίμωνα καὶ τὸν Ἀνδρέ-
αν τὸν ἀδελφόν του, ὁποῦ ἔρριχναν
τὰ δίκτυα εἰς τὴν θάλασσαν·
(διατὶ ἦταν ψαράδες.)
17 Καὶ λέγει τους ὁ Ἰησοῦς·
Ἐλᾶτε ὀπίσω μου, καὶ θέλω σᾶς
κάμει νὰ γενῆτε ψαράδες ἀν-
θρώπων.
18 Καὶ παρευθὺς ἀφίνον-
τες τὰ δίκτυά τους, τὸν ἀκολού-
θησαν.
19 Καὶ πηγένωντας ὀλίγον
ἐμπροστίτερα, εἶδε τὸν Ἰάκωβον
τὸν υἱὸν τοῦ Ζεβεδαίου, καὶ τὸν
Ἰωάννην τὸν ἀδελφόν του, καὶ
ἐτούτους μέσα εἰς τὸ μονόξυλον,
ὁποῦ ἐμπάλωναν τὰ δίκτυα.
20 Καὶ παρευθὺς τοὺς ἔκρα-
ξε· καὶ ἐτοῦτοι ἄφησαν τὸν πα-
τέρα τους τὸν Ζεβεδαῖον μέσα εἰς
τὸ μονόξυλον μαζὺ μὲ τοὺς ἐργά-
τας, καὶ ἐπῆγαν καταπόδι του·
21 Καὶ ἐμβῆκαν μέσα εἰς
τὴν Καπερναούμ· καὶ παρευθὺς
τὰ σάββατα ἐμβῆκε μέσα εἰς
τὴν συναγωγὴν, καὶ ἐδίδασκε.
22 Καὶ ἐτρόμαζαν εἰς τὴν
διδαχήν του· διατὶ τοὺς ἐδί-
δασκε ὡσὰν ἕνας ὁποῦ ἔχει ἐξου-
σίαν, καὶ ὄχι ὡσὰν οἱ γραμ-
ματεῖς.
23 Καὶ εἰς τὸ συναγώγι τους
ἦτον ἕνας ἄνθρωπος, ὁποῦ εἶ-
χε πνεῦμα ἀκάθαρτον, καὶ
ἔκραξε,
24 Λέγωντας· Ἄφες, τί ἔχεις

σοὶ Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ.

25 Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων· Φιμώθητι, καὶ ἔξελθε ἐξ αὐτοῦ.

26 Καὶ σπαράξαν αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον, καὶ κράξαν φωνῇ μεγάλῃ, ἐξῆλθεν ἐξ αὐτοῦ.

27 Καὶ ἐθαμβήθησαν πάντες, ὥστε συζητεῖν πρὸς αὐτοὺς, λέγοντας· Τί ἐστι τοῦτο; τίς ἡ διδαχὴ ἡ καινὴ αὕτη, ὅτι κατ' ἐξουσίαν καὶ τοῖς πνεύμασι τοῖς ἀκαθάρτοις ἐπιτάσσει, καὶ ὑπακούουσιν αὐτῷ;

28 Ἐξῆλθε δὲ ἡ ἀκοὴ αὐτοῦ εὐθὺς εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας.

29 Καὶ εὐθέως ἐκ τῆς συναγωγῆς ἐξελθόντες, ἦλθον εἰς τὴν οἰκίαν Σίμωνος καὶ Ἀνδρέου, μετὰ Ἰακώβου καὶ Ἰωάννου.

30 Ἡ δὲ πενθερὰ Σίμωνος κατέκειτο πυρέσσουσα· καὶ εὐθέως λέγουσιν αὐτῷ περὶ αὐτῆς.

31 Καὶ προσελθὼν ἤγειρεν αὐτὴν, κρατήσας τῆς χειρὸς αὐτῆς· καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως· καὶ διηκόνει αὐτοῖς.

32 Ὀψίας δὲ γενομένης, ὅτε

νὰ κάμῃς μετ' ἐμᾶς ὦ Ἰησοῦ Ναζαρηνέ; ἦλθες νὰ μᾶς χαλάσῃς; ἰξεύρω σὲ ποῖος εἶσαι, ὁ ἅγιος τοῦ Θεοῦ.

25 Καὶ ὁ Ἰησοῦς τὸ ἐπρόσταξε μὲ ὀργὴν, καὶ εἶπε· Ἀποστομώθητι, καὶ εὖγα ἀπ' αὐτοῦ.

26 Καὶ τὸ πνεῦμα τὸ ἀκάθαρτον τὸν ἐσπάραξε, καὶ ἔκραξε μεγάλην φωνὴν, καὶ εὐγῆκεν ἀπ' ἐκεῖνον.

27 Καὶ ἐτρόμαξαν ὅλοι, εἰς τόσον ὁποῦ ἐζητοῦσαν ἀναμεσά τους, καὶ ἔλεγαν· Τί εἶναι ἐτοῦτο; τί εἶναι ἐτούτη ἡ καινούρια διδαχὴ, ὅτι μὲ ἐξουσίαν προστάσσει καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα, καὶ τοῦ ὑπακούουσι;

28 Καὶ εὐθὺς εὐγῆκεν ἡ φήμη του εἰς ὅλα τὰ περίχωρα τῆς Γαλιλαίας.

29 Καὶ παρευθὺς, ὁποῦ εὐγῆκαν ἀπὸ τὴν συναγωγὴν, ἐπῆγαν εἰς τὸ σπῆτι τοῦ Σίμωνος καὶ τοῦ Ἀνδρέου, μαζὺ μὲ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην.

30 Καὶ ἡ πενθερὰ τοῦ Σίμωνος ἐκείτετον θερμασμένη· καὶ παρευθὺς τοῦ εἶπασι δι' αὐτήν.

31 Καὶ παγένωντας κοντὰ, τὴν ἐπίασεν ἀπὸ τὸ χέρι, καὶ τὴν ἐσήκωσε· καὶ παρευθὺς τὴν ἄφησεν ἡ θέρμη· καὶ τοὺς ὑπηρέτα.

32 Καὶ ὡσὰν ἐβράδιασε,

ἔδυ ὁ ἥλιος, ἔφερον πρὸς αὐτὸν πάντας τοὺς κακῶς ἔχοντας καὶ τοὺς δαιμονιζομένους.

33 Καὶ ἡ πόλις ὅλη ἐπισυνηγμένη ἦν πρὸς τὴν θύραν.

34 Καὶ ἐθεράπευσε πολλοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις· καὶ δαιμόνια πολλὰ ἐξέβαλε, καὶ οὐκ ἤφιε λαλεῖν τὰ δαιμόνια, ὅτι ᾔδεισαν αὐτόν.

35 Καὶ πρωῒ ἔννυχον λίαν ἀναστὰς, ἐξῆλθε· καὶ ἀπῆλθεν εἰς ἔρημον τόπον, κἀκεῖ προσηύχετο.

36 Καὶ κατεδίωξαν αὐτὸν ὁ Σίμων καὶ οἱ μετ᾽ αὐτοῦ.

37 Καὶ εὑρόντες αὐτὸν, λέγουσιν αὐτῷ· Ὅτι πάντες ζητοῦσί σε.

38 Καὶ λέγει αὐτοῖς· Ἄγωμεν εἰς τὰς ἐχομένας κωμοπόλεις, ἵνα κἀκεῖ κηρύξω· εἰς τοῦτο γὰρ ἐξελήλυθα.

39 Καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς αὐτῶν, εἰς ὅλην τὴν Γαλιλαίαν, καὶ τὰ δαιμόνια ἐκβάλλων.

40 Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς, παρακαλῶν αὐτὸν καὶ γονυπετῶν αὐτὸν, καὶ λέγων αὐτῷ· Ὅτι, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.

41 Ὁ δὲ Ἰησοῦς σπλαγχνι-

καὶ ὁ ἥλιος ἐβασίλευε, ἔφεράν τον ὅλους τοὺς ἀσθενημένους, καὶ τοὺς δαιμονισμένους.

33 Καὶ ὅλη ἡ πόλις ἦτον μαζωμένη εἰς τὴν θύραν.

34 Καὶ ἰάτρευσε πολλοὺς, ὅπου ἦταν ἄῤῥωστοι ἀπὸ διάφοραις ἀσθένειαις· καὶ πολλὰ δαιμόνια εὔγαλε, καὶ δὲν τὰ ἄφινε νὰ λαλοῦσιν, ὅτι τὸν ἰξεύρασι.

35 Καὶ τὸ ταχὺ πολλὰ τὴν αὐγὴν ἐσηκώθη, καὶ εὐγῆκεν ἔξω ὁ Ἰησοῦς· καὶ ἐπῆγεν εἰς ἕνα ἔρημον τόπον, καὶ ἐκεῖ ἐπροσεύχετον.

36 Καὶ ἐπῆγε καταπόδι του ὁ Σίμων καὶ ἐκεῖνοι ὅπου ἦταν μαζύ του.

37 Καὶ ὡσὰν τὸν ηὗραν, τοῦ λέγουσιν· Ὅτι ὅλοι σὲ γυρεύουν.

38 Καὶ λέγει τους· Ἂς ὑπᾶμεν εἰς ταῖς χώραις, ὅπου εἶναι ἐδῶ κοντὰ, διὰ νὰ κηρύξω καὶ ἐκεῖ· ὅτι διὰ τούτην τὴν ἀφορμὴν ἐξέβηκα.

39 Καὶ ἐκήρυττεν εἰς ταῖς συναγωγαῖς τους, εἰς ὅλην τὴν Γαλιλαίαν, καὶ εὔγαλε τὰ δαιμόνια.

40 Καὶ ἔρχεται εἰς αὐτὸν ἕνας λεπρὸς, καὶ τὸν ἐπαρακάλει καὶ ἐγονάτισε, καὶ λέγει του· Ὅτι, ἂν θέλῃς, ἠμπορεῖς νὰ μὲ καθαρίσῃς.

41 Καὶ ὁ Ἰησοῦς τὸν ἐσπλαγ-

σθεὶς, ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, καὶ λέγει αὐτῷ· Θέλω, καθαρίσθητι.

42 Καὶ εἰπόντος αὐτοῦ, εὐθέως ἀπῆλθεν ἀπ᾽ αὐτοῦ ἡ λέπρα, καὶ ἐκαθαρίσθη.

43 Καὶ ἐμβριμησάμενος αὐτῷ, εὐθέως ἐξέβαλεν αὐτόν·

44 Καὶ λέγει αὐτῷ· Ὅρα μηδενὶ μηδὲν εἴπῃς· ἀλλ᾽ ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου, ἃ προσέταξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς.

45 Ὁ δὲ ἐξελθὼν ἤρξατο κηρύσσειν πολλὰ, καὶ διαφημίζειν τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς εἰς πόλιν εἰσελθεῖν· ἀλλ᾽ ἔξω ἐν ἐρήμοις τόποις ἦν, καὶ ἤρχοντο πρὸς αὐτὸν πανταχόθεν.

χνίσθη, καὶ ἅπλωσε τὸ χέρι του καὶ ἐπίασέ τον, καὶ λέγει του· Θέλω νὰ καθαρισθῇς.

42 Καὶ ὡσὰν τὸ εἶπε, παρευθὺς εὐγῆκεν ἀπ᾽ ἐκεῖνον ἡ λέπρα, καὶ ἐκαθαρίσθη.

43 Καὶ προστάζωντάς τον μὲ φοβερισμὸν, παρευθὺς τὸν εὔγαλε·

44 Καὶ λέγει του· Φυλάγου νὰ μὴν εἴπῃς εἰς κανένα τίποτες· ἀλλὰ σύρε, εἰς τὸν ἱερέα δεῖξε τοῦ λόγου σου, καὶ πρόσφερε διὰ τὸν καθαρισμόν σου ἐκεῖνα, ὅπου ἐπρόσταξεν ὁ Μωϋσῆς, διὰ μαρτυρίαν αὐτῶν.

45 Καὶ ἐκεῖνος ὡσὰν εὐγῆκεν ἔξω, ἄρχισε νὰ κηρύττῃ πολλὰ, καὶ νὰ εὐφημίζῃ τὸ πρᾶγμα, τόσον ὅπου δὲν ἠμπόρει ὁ Ἰησοῦς νὰ ἔμβῃ φανερὰ μέσα εἰς καμίαν πόλιν, ἀλλὰ ἦτον ἔξω εἰς ἐρήμους τόπους· καὶ ἤρχουνταν εἰς αὐτὸν ἀπὸ κάθε λογῆς τόπον.

Κεφ. β΄. 2.

ΚΑΙ` πάλιν εἰσῆλθεν εἰς Καπερναοὺμ δι᾽ ἡμερῶν· καὶ ἠκούσθη, ὅτι εἰς οἶκόν ἐστι.

2 Καὶ εὐθέως συνήχθησαν πολλοί· ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν· καὶ ἐλάλει αὐτοῖς τὸν λόγον.

ΚΑΙ` πάλιν ὕστερον μὲ καμπόσαις ἡμέραις ἐμβῆκεν μέσα εἰς τὴν Καπερναοὺμ· καὶ ἀκούσθη, ὅτι εἶναι εἰς τὸ σπῆτι.

2 Καὶ παρευθὺς ἐμαζώχθηκαν πολλοὶ, ὅπου δὲν τοὺς ἐχωροῦσαν οὐδὲ οἱ τόποι ὅπου ἦταν ὀμπροστὰ εἰς τὴν θύραν· καὶ τοὺς ἐδίδασκε τὸν λόγον.

3 Καὶ ἔρχονται πρὸς αὐτὸν, παραλυτικὸν φέροντες, αἰρόμενον ὑπὸ τεσσάρων.

4 Καὶ μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν· καὶ ἐξορύξαντες χαλῶσι τὸν κράββατον, ἐφ᾽ ᾧ ὁ παραλυτικὸς κατέκειτο.

5 Ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, λέγει τῷ παραλυτικῷ· Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

6 Ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι, καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν·

7 Τί οὗτος οὕτω λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς ὁ Θεός;

8 Καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ, ὅτι οὕτως διαλογίζονται ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς· Τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν;

9 Τί ἐστιν εὐκοπώτερον, εἰπεῖν τῷ παραλυτικῷ, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι· ἢ εἰπεῖν· Ἔγειραι, καὶ ἆρόν σου τὸν κράββατον, καὶ περιπάτει;

10 Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι

3 Καὶ ἦλθασιν εἰς αὐτὸν, καὶ ἔφεραν ἕνα παράλυτον, τὸν ὁποῖον ἐσήκωναν τέσσαρες.

4 Καὶ μὴν ἠμποροῦντες νὰ τὸν σημώσουν ἀπὸ τὸν λαὸν, ἐξεστέγασαν τὸ σκέπασμα τοῦ σπητίου ἐκεῖ ὁποῦ ἦτον· καὶ ἀνοίξαντες ἐκρέμασαν τὸ κρεββάτι, ὁποῦ ἐκείτετον μέσα ὁ παράλυτος.

5 Καὶ ὁ Ἰησοῦς, ὡσὰν εἶδε τὴν πίστιν αὐτῶν, λέγει εἰς τὸν παράλυτον· Τέκνον, σοῦ εἶναι συγχωρημέναις αἱ ἁμαρτίαις σου.

6 Καὶ ἦταν κάποιοι ἀπὸ τοὺς γραμματεῖς, ἐκεῖ ὁποῦ ἐκάθουνταν, καὶ ἐδιαλογίζουνταν μέσα εἰς ταῖς καρδίαις τους·

7 Τί βλασφημᾷ ἐτοῦτος τέτοιας λογῆς βλασφημίαις; ποῖος ἠμπορεῖ νὰ συγχωρέσῃ ἁμαρτίαις, παρὰ μόνος ὁ Θεός;

8 Καὶ παρευθὺς ὁ Ἰησοῦς γνωρίζωντας διὰ τοῦ πνεύματός του, ὅτι ἔτζι διαλογίζουνται μέσα τους, λέγει τους· Διατί λογιάζετε τοῦτα μέσα εἰς ταῖς καρδίαις σας;

9 Τί εἶναι εὐκολώτερον, νὰ εἰπῶ εἰς τὸν παράλυτον, Σοῦ εἶναι συγχωρημέναις ἡ ἁμαρτίαις σου· ἢ νὰ εἰπῶ· Σήκω, καὶ ἔπαρε τὸ κρεββάτι σου, καὶ περιπάτει;

10 Καὶ διὰ νὰ γνωρίσετε, ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου ἔχει ἐξου-

ἐπὶ τῆς γῆς ἁμαρτίας· (λέγει
τῷ παραλυτικῷ·)

11 Σοὶ λέγω, ἔγειραι, καὶ
ἆρον τὸν κράββατόν σου, καὶ
ὕπαγε εἰς τὸν οἶκόν σου.
12 Καὶ ἠγέρθη εὐθέως, καὶ
ἄρας τὸν κράββατον, ἐξῆλθεν
ἐναντίον πάντων· ὥστε ἐξίστασθαι
πάντας, καὶ δοξάζειν τὸν Θεὸν,
λέγοντας· Ὅτι οὐδέποτε οὕτως
εἴδομεν.

13 Καὶ ἐξῆλθε πάλιν παρὰ
τὴν θάλασσαν· καὶ πᾶς ὁ
ὄχλος ἤρχετο πρὸς αὐτὸν, καὶ
ἐδίδασκεν αὐτούς.
14 Καὶ παράγων εἶδε Λευῒν
τὸν τοῦ Ἀλφαίου, καθήμενον
ἐπὶ τὸ τελώνιον· καὶ λέγει
αὐτῷ· Ἀκολούθει μοι. Καὶ
ἀναστὰς ἠκολούθησεν αὐτῷ.

15 Καὶ ἐγένετο ἐν τῷ κατα-
κεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ
αὐτοῦ, καὶ πολλοὶ τελῶναι καὶ
ἁμαρτωλοὶ συνανέκειντο τῷ
Ἰησοῦ καὶ τοῖς μαθηταῖς
αὐτοῦ· ἦσαν γὰρ πολλοὶ, καὶ
ἠκολούθησαν αὐτῷ.
16 Καὶ οἱ γραμματεῖς καὶ
οἱ Φαρισαῖοι ἰδόντες αὐτὸν
ἐσθίοντα μετὰ τῶν τελωνῶν
καὶ ἁμαρτωλῶν, ἔλεγον τοῖς
μαθηταῖς αὐτοῦ· Τί ὅτι μετὰ
τῶν τελωνῶν καὶ ἁμαρτωλῶν
ἐσθίει καὶ πίνει;
17 Καὶ ἀκούσας ὁ Ἰησοῦς, λέ-

σίαν νὰ συγχωρᾷ ἁμαρτίαις
ἀπάνω εἰς τὴν γῆν· (λέγει εἰς
τὸν παράλυτον·)
11 Ἐσένα λέγω, σήκω, καὶ
ἔπαρε τὸ κρεββάτι σου καὶ
σύρε εἰς τὸ σπῆτί σου.
12 Καὶ παρευθὺς ἐσηκώθη,
καὶ ἐσήκωσε τὸ κρεββάτι του,
καὶ εὐγῆκεν ἔξω ὀμπροστὰ εἰς
ὅλους· ὁποῦ ὅλοι ἐτρόμαξαν καὶ
ἐδόξασαν τὸν Θεὸν, καὶ ἔλε-
γαν· Ὅτι ποτὲ δὲν εἴδαμεν
τέτοιον πρᾶγμα.
13 Καὶ πάλιν εὐγῆκεν ἔξω
καὶ ἐπῆγεν εἰς τὸ παραγιάλι·
καὶ ὅλος ὁ λαὸς ἤρχετον εἰς
αὐτὸν, καὶ τοὺς ἐδίδασκε.
14 Καὶ περνῶντας ὁ Ἰησοῦς
εἶδε τὸν Λευῒ τὸν υἱὸν τοῦ
Ἀλφαίου, ὁποῦ ἐκάθετον εἰς τὸ
κουμέρκι, καὶ λέγει του· Ἀκο-
λούθα μου· Καὶ ἐσηκώθη καὶ
τοῦ ἀκολούθησε.
15 Καὶ ὅταν ἐκάθετον εἰς
τὸ τραπέζι εἰς τὸ σπῆτί του,
πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ
ἤρχουνταν καὶ ἐκάθουνταν μαζὺ
μὲ τὸν Ἰησοῦν καὶ μὲ τοὺς
μαθητάδες του· διατὶ ἦταν
πολλοὶ, καὶ τοῦ ἀκολούθησαν.
16 Καὶ οἱ γραμματεῖς καὶ
οἱ Φαρισαῖοι βλέποντές τον
ὁποῦ ἔτρωγε μὲ τοὺς τελῶνας
καὶ ἁμαρτωλοὺς, ἔλεγαν εἰς
τοὺς μαθητάδες του· Διατί
ἐκεῖνος τρώγει καὶ πίνει μὲ τοὺς
τελῶνας καὶ ἁμαρτωλούς;
17 Καὶ ὁ Ἰησοῦς ἀκούωντάς το,

γει αὐτοῖς· Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

18 Καὶ ἦσαν οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ τῶν Φαρισαίων νηστεύοντες· καὶ ἔρχονται καὶ λέγουσιν αὐτῷ· Διατί οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ τῶν Φαρισαίων νηστεύουσιν, οἱ δὲ σοὶ μαθηταὶ οὐ νηστεύουσι;

19 Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ' αὐτῶν ἐστι, νηστεύειν; ὅσον χρόνον μεθ' ἑαυτῶν ἔχουσι τὸν νυμφίον, οὐ δύνανται νηστεύειν·

20 Ἐλεύσονται δὲ ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις.

21 Καὶ οὐδεὶς ἐπίβλημα ῥάκους ἀγνάφου ἐπιῤῥάπτει ἐπὶ ἱματίῳ παλαιῷ· εἰ δὲ μὴ, αἴρει τὸ πλήρωμα αὐτοῦ τὸ καινὸν τοῦ παλαιοῦ, καὶ χεῖρον σχίσμα γίνεται.

22 Καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μὴ, ῥήσσει ὁ οἶνος ὁ νέος τοὺς ἀσκοὺς, καὶ ὁ οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται· ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον.

τοὺς λέγει· Οἱ γεῤῥοὶ δὲν χρειάζονται ἰατρὸν, ἀλλὰ ἐκεῖνοι ὁποῦ εἶναι ἄῤῥωστοι· ἐγὼ δὲν ἦλθα νὰ καλέσω δικαίους, ἀλλὰ τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν.

18 Καὶ οἱ μαθητάδες τοῦ Ἰωάννου καὶ τῶν Φαρισαίων ἐνήστευαν· καὶ ἔρχουνται καὶ λέγουν του· Διατί οἱ μαθητάδες τοῦ Ἰωάννου καὶ τῶν Φαρισαίων νηστεύουσι, καὶ οἱ μαθητάδες σου δὲν νηστεύουσι;

19 Καὶ λέγει τους ὁ Ἰησοῦς· Μῆνα οἱ υἱοὶ τοῦ νυμφῶνος, ὅσον εἶναι ὁ νυμφίος μετ' αὐτοὺς, ἠμποροῦν νὰ νηστεύσουν; ὅσον καιρὸν ἔχουσι μαζύ τους τὸν νυμφίον, δὲν ἠμποροῦν νὰ νηστεύσουν·

20 Ἀμὴ θέλουσιν ἔλθη ἡμέραις, ὅταν παρθῇ ἀπ' αὐτοὺς ὁ νυμφίος, καὶ τότε εἰς ἐκείναις ταῖς ἡμέραις θέλουσι νηστεύσει.

21 Καὶ οὐδὲ κανένας μπαλώνει μπάλωμα ἀπὸ πανὶ καινούριον εἰς φόρεμα παλαιόν· εἰ δὲ μὴ, τὸ καινούριον μπάλωμα χαλᾷ ἀπὸ τὸ παλαιὸν, καὶ γίνεται χειρότερον σχίσμα.

22 Καὶ οὐδὲ κανένας βάλλει νέον κρασὶ εἰς δερμάτια παλαιά· εἰ δὲ μὴ, τὸ νέον κρασὶ σπάζει τὰ δερμάτια, καὶ χύνεται καὶ τὸ κρασὶ, καὶ τὰ δερμάτια χαλοῦνται· ἀλλὰ πρέπει νὰ βάλλῃ τινὰς νέον κρασὶ εἰς δερμάτια καινούρια.

23 Καὶ ἐγένετο παραπορεύεσθαι αὐτὸν ἐν τοῖς σάββασι διὰ τῶν σπορίμων, καὶ ἤρξαντο οἱ μαθηταὶ αὐτοῦ ὁδὸν ποιεῖν τίλλοντες τοὺς στάχυας.

24 Καὶ οἱ Φαρισαῖοι ἔλεγον αὐτῷ· Ἴδε, τί ποιοῦσιν ἐν τοῖς σάββασιν, ὃ οὐκ ἔξεστι;

25 Καὶ αὐτὸς ἔλεγεν αὐτοῖς· Οὐδέποτε ἀνέγνωτε, τί ἐποίησε Δαβὶδ, ὅτε χρείαν ἔσχε, καὶ ἐπείνασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ;

26 Πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ ἐπὶ Ἀβιάθαρ τοῦ Ἀρχιερέως, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ τοῖς ἱερεῦσι, καὶ ἔδωκε καὶ τοῖς σὺν αὐτῷ οὖσι;

27 Καὶ ἔλεγεν αὐτοῖς· Τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον.

28 Ὥστε κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

23 Καὶ ἔτυχεν τὰ σάββατα καὶ ἐπέρναν μέσα ἀπὸ τὰ σπαρτὰ, καὶ ἄρχισαν οἱ μαθητάδες του περιπατῶντες εἰς τὴν στράταν νὰ μαδοῦσι στάχυα.

24 Καὶ οἱ Φαρισαῖοι τοῦ ἔλεγαν· Ἴδες, τί κάμνουσι τὰ σάββατα, ἐκεῖνο ὁποῦ δὲν πρέπει;

25 Καὶ αὐτὸς τοὺς ἔλεγε· Ποτέ σας δὲν ἐδιαβάσετε, τί ἔκαμεν ὁ Δαβὶδ, ὅταν εἶχεν ἀνάγκην, καὶ ἐπείνασε καὶ αὐτὸς καὶ ἐκεῖνοι, ὁποῦ ἦταν μαζὺ μετ᾽ αὐτόν;

26 Πῶς ἐμβῆκεν εἰς τὸ σπῆτι τοῦ Θεοῦ, εἰς τὸν καιρὸν τοῦ Ἀβιάθαρ τοῦ Ἀρχιερέως, καὶ ἔφαγε τὰ ψωμία τῆς προθέσεως, τὰ ὁποῖα δὲν εἶχεν ἄλλος ἐξουσίαν νὰ τὰ φάγῃ, παρὰ μοναχὰ οἱ ἱερεῖς, καὶ ἔδωκε καὶ εἰς ἐκείνους, ὁποῦ ἦταν μαζύ του;

27 Καὶ ὁ Ἰησοῦς τοὺς ἔλεγε· Τὸ σάββατον ἔγινε διὰ τὸν ἄνθρωπον, καὶ ὄχι ὁ ἄνθρωπος διὰ τὸ σάββατον.

28 Εἰς τόσον ὁποῦ ὁ υἱὸς τοῦ ἀνθρώπου εἶναι κύριος καὶ τοῦ σαββάτου.

Κεφ. γ΄. 3.

ΚΑῚ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγήν· καὶ ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα.

2 Καὶ παρετήρουν αὐτὸν εἰ τοῖς σάββασι θεραπεύσει αὐτὸν, ἵνα κατηγορήσωσιν αὐτοῦ.

ΚΑῚ πάλιν ἐμβῆκε εἰς τὸ συναγώγι, καὶ ἦτον ἐκεῖ ἕνας ἄνθρωπος, ὁποῦ εἶχε τὸ χέρι του ξηρόν.

2 Καὶ ἐπαραφύλαγαν ἀνίσως καὶ τὸν ἰατρεύσῃ τὸ σάββατον, νὰ τὸν κατηγορήσουν.

3 Καὶ λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην ἔχοντι τὴν χεῖρα· Ἔγειραι εἰς τὸ μέσον.

4 Καὶ λέγει αὐτοῖς· Ἔξεστι τοῖς σάββασιν ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι, ἢ ἀποκτεῖναι; Οἱ δὲ ἐσιώπων.

5 Καὶ περιβλεψάμενος αὐτοὺς μετ' ὀργῆς, συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν, λέγει τῷ ἀνθρώπῳ· Ἔκτεινον τὴν χεῖρά σου· καὶ ἐξέτεινε· καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη.

6 Καὶ ἐξελθόντες οἱ Φαρισαῖοι, εὐθέως μετὰ τῶν Ἡρωδιανῶν συμβούλιον ἐποίουν κατ' αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσι.

7 Καὶ ὁ Ἰησοῦς ἀνεχώρησε μετὰ τῶν μαθητῶν αὐτοῦ πρὸς τὴν θάλασσαν· καὶ πολὺ πλῆθος ἀπὸ τῆς Γαλιλαίας ἠκολούθησαν αὐτῷ, καὶ ἀπὸ τῆς Ἰουδαίας,

8 Καὶ ἀπὸ Ἱεροσολύμων, καὶ ἀπὸ τῆς Ἰδουμαίας, καὶ πέραν τοῦ Ἰορδάνου· καὶ οἱ περὶ Τύρον καὶ Σιδῶνα, πλῆθος πολὺ, ἀκούσαντες ὅσα ἐποίει, ἦλθον πρὸς αὐτόν.

9 Καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ, ἵνα πλοιάριον προσκαρτερῇ αὐτῷ, διὰ τὸν ὄχλον, ἵνα μὴ θλίβωσιν αὐτόν.

10 Πολλοὺς γὰρ ἐθεράπευσεν· ὥστε ἐπιπίπτειν αὐτῷ, ἵνα

3 Καὶ λέγει τοῦ ἀνθρώπου ἐκείνου, ὁποῦ ἔχει τὸ χέρι του ξηρόν· Σήκω εἰς τὴν μέσην.

4 Καὶ λέγει τους· Ἐμπορεῖ κανένας τὸ σάββατον νὰ κάμῃ καλὸν, ἢ κακόν; νὰ σώσῃ ἄνθρωπον, ἢ νὰ σκοτώσῃ; Καὶ ἐκεῖνοι ἐσιώπαιναν.

5 Καὶ βλέποντάς τους μὲ θυμὸν, καὶ συλλυπούμενος εἰς τὴν πώρωσιν τῆς καρδίας τους, λέγει εἰς τὸν ἄνθρωπον· Ἅπλωσε τὸ χέρι σου· καὶ τὸ ἅπλωσε· καὶ ἐκατεστάθη τὸ χέρι του γερρὸν ὡσὰν καὶ τὸ ἄλλον.

6 Καὶ παρευθὺς οἱ Φαρισαῖοι ὡσὰν εὐγῆκαν ἔξω, ἐσυμβουλεύθηκαν μὲ τοὺς Ἡρωδιανοὺς ἐναντίον του, πῶς νὰ τὸν χαλάσουν.

7 Καὶ ὁ Ἰησοῦς ἀνεχώρησε μὲ τοὺς μαθητάδες του εἰς τὸ μέρος τῆς θαλάσσης· καὶ πλῆθος πολὺ τοῦ ἀκολουθοῦσαν ἀπὸ τὴν Γαλιλαίαν, καὶ ἀπὸ τὴν Ἰουδαίαν,

8 Καὶ ἀπὸ τὴν Ἱερουσαλὴμ, καὶ ἀπὸ τὴν Ἰδουμαίαν, καὶ ἀπὸ τὴν πέρα μερίαν τοῦ Ἰορδάνου· καὶ ἀπὸ τὰ περίχωρα τῆς Τύρου καὶ τῆς Σιδῶνος, πλῆθος πολὺ, ἀκούσαντες ὅσα ἔκαμνε, ἦλθαν εἰς αὐτόν.

9 Καὶ λέγει εἰς τοὺς μαθητάδες του, νὰ τὸν καρτερῇ μονόξυλον διὰ τὸ πλῆθος, νὰ μὴν τὸν στεναχωροῦν.

10 Διατὶ ἰάτρευσε πολλοὺς, εἰς τόσον ὁποῦ ἔπεφταν ἀπάνω

αὐτῦ ἅψωνται, ὅσοι εἶχον μάςιγας.

11 Καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα, ὅταν αὐτὸν ἐθεώρει, προσέπιπτεν αὐτῷ, καὶ ἔκραζε, λέγοντα· Ὅτι σὺ εἶ ὁ υἱὸς τῦ Θεῦ.

12 Καὶ πολλὰ ἐπετίμα αὐτοῖς, ἵνα μὴ αὐτὸν φανερὸν ποιήσωσι.

13 Καὶ ἀναβαίνει εἰς τὸ ὄρος, καὶ προσκαλεῖται ὓς ἤθελεν αὐτός· καὶ ἀπῆλθον πρὸς αὐτόν.

14 Καὶ ἐποίησε δώδεκα, ἵνα ὦσι μετ' αὐτῦ, καὶ ἵνα ἀποςέλλῃ αὐτὺς κηρύσσειν,

15 Καὶ ἔχειν ἐξυσίαν θεραπεύειν τὰς νόσυς, καὶ ἐκβάλλειν τὰ δαιμόνια.

16 Καὶ ἐπέθηκε τῷ Σίμωνι ὄνομα Πέτρον·

17 Καὶ Ἰάκωβον τὸν τῦ Ζεβεδαίυ, καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβυ· (καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα Βοανεργὲς, ὅ ἐςιν, υἱοὶ βροντῆς·)

18 Καὶ Ἀνδρέαν, καὶ Φίλιππον, καὶ Βαρθολομαῖον, καὶ Ματθαῖον, καὶ Θωμᾶν, καὶ Ἰάκωβον τὸν τῦ Ἀλφαίυ, καὶ Θαδδαῖον, καὶ Σίμωνα τὸν Κανανίτην,

19 Καὶ Ἰὺδαν Ἰσκαριώτην, ὃς καὶ παρέδωκεν αὐτόν· καὶ ἔρχονται εἰς οἶκον.

20 Καὶ συνέρχεται πάλιν

τυ, νὰ τὸν πιάσυν, ὅσοι εἶχαν βλαψήματα.

11 Καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα, ὅταν τὸν ἔβλεπαν, ἔπεφταν ὀμπροςά τυ, καὶ ἔκραζαν καὶ ἔλεγαν· Ὅτι ἐσὺ εἶσαι ὁ υἱὸς τοῦ Θεῦ.

12 Καὶ ὁ Ἰησῦς τὰ ἐπρόπερνεν πολλὰ, νὰ μὴν τὸν φανερώνυσιν.

13 Καὶ ἀνεβαίνει εἰς τὸ ὄρος, καὶ ἐκάλεσεν ἐκείνυς, ὁπῦ ἤθελε· καὶ ἐπῆγαν εἰς αὐτόν.

14 Καὶ ἔκαμε δώδεκα, νὰ εἶναι μετ' αὐτόν, καὶ διὰ νὰ τὺς ςέλλῃ νὰ κηρύττυσι,

15 Καὶ νὰ ἔχυσιν ἐξυσίαν νὰ ἰατρεύυσι ταῖς ἀσθένειαις, καὶ νὰ ευγάνυν τὰ δαιμόνια.

16 Καὶ ἔβαλεν τοῦ Σίμωνος τὸ ὄνομα Πέτρον·

17 Καὶ Ἰάκωβον τὸν υἱὸν τῦ Ζεβεδαίυ, καὶ Ἰωάννην τὸν ἀδελφὸν τῦ Ἰακώβυ, (καὶ τὺς ὀνόμασε Βοανεργὲς, τὸ ὁποῖον θέλει νὰ εἰπῇ υἱὺς βροντῆς·)

18 Καὶ Ἀνδρέαν, καὶ Φίλιππον, καὶ Βαρθολομαῖον, καὶ Ματθαῖον, καὶ Θωμᾶν, καὶ Ἰάκωβον τὸν υἱὸν τοῦ Ἀλφαίυ, καὶ Θαδδαῖον, καὶ Σίμωνα τὸν Κανανίτην,

19 Καὶ Ἰὺδαν τὸν Ἰσκαριώτην, ὁ ὁποῖος τὸν ἐπαράδωκε· καὶ ἀπέκει ἦλθαν εἰς τὸ σπῆτι.

20 Καὶ πάλιν ἐμαζώχθηκεν

ὄχλος, ὥστε μὴ δύνασθαι αὐτοὺς μήτε ἄρτον φαγεῖν.

21 Καὶ ἀκούσαντες οἱ παρ' αὐτοῦ, ἐξῆλθον κρατῆσαι αὐτόν· ἔλεγον γάρ· Ὅτι ἐξέστη.

22 Καὶ οἱ γραμματεῖς οἱ ἀπὸ Ἱεροσολύμων καταβάντες, ἔλεγον· Ὅτι Βεελζεβοὺλ ἔχει, καὶ ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.

23 Καὶ προσκαλεσάμενος αὐτοὺς, ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς· Πῶς δύναται σατανᾶς σατανᾶν ἐκβάλλειν;

24 Καὶ ἐὰν βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ βασιλεία ἐκείνη·

25 Καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ οἰκία ἐκείνη·

26 Καὶ εἰ ὁ σατανᾶς ἀνέστη ἐφ' ἑαυτὸν καὶ μεμέρισται, οὐ δύναται σταθῆναι, ἀλλὰ τέλος ἔχει.

27 Οὐ δύναται οὐδεὶς τὰ σκεύη τοῦ ἰσχυροῦ, εἰσελθὼν εἰς τὴν οἰκίαν αὐτοῦ, διαρπάσαι, ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ· καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει.

28 Ἀμὴν λέγω ὑμῖν, ὅτι πάντα ἀφεθήσεται τὰ ἁμαρτήματα τοῖς υἱοῖς τῶν ἀνθρώπων, καὶ βλασφημίαι ὅσας ἂν βλασφημήσωσιν·

πολὺς ὄχλος, τόσον ὁποῦ δὲν ἠμποροῦσαν μήτε νὰ φᾶσι ψωμί.

21 Καὶ ὡσὰν τὸ ἄκουσαν οἱ ἐδικοί του, εὐγῆκαν ἔξω νὰ τὸν πιάσουν· διατὶ ἔλεγαν· Πῶς εὐγῆκεν ἀπὸ τὸν νοῦν του.

22 Καὶ οἱ γραμματεῖς, ὁποῦ ἐκατέβηκαν ἀπὸ τὴν Ἱερουσαλὴμ, ἔλεγαν· Ὅτι Βεελζεβοὺλ ἔχει· καὶ ὅτι μὲ τὸν ἄρχοντα τῶν δαιμόνων εὐγάνει τὰ δαιμόνια.

23 Καὶ προσκαλῶντάς τους, τοὺς ἔλεγε μὲ παραβολαῖς· Πῶς ἠμπορεῖ νὰ διώξῃ ὁ σατανᾶς τὸν σατανᾶν;

24 Καὶ ἐὰν μία βασιλεία μοιρασθῇ εἰς τοῦ λόγου της, δὲν ἠμπορεῖ νὰ σταθῇ ἡ βασιλεία ἐκείνη.

25 Καὶ ἐὰν ἕνα σπῆτι μοιρασθῇ εἰς τοῦ λόγου του, δὲν ἠμπορεῖ νὰ σταθῇ τὸ σπῆτι ἐκεῖνο.

26 Καὶ ἐὰν ὁ σατανᾶς ἐσηκώθη ἐναντίος εἰς τοῦ λόγου του, καὶ ἐδιαμοιράσθη, δὲν δύνεται νὰ σταθῇ, ἀλλὰ τέλος ἔχει·

27 Κανένας δὲν δύνεται νὰ πάρῃ τὰ πράγματα τοῦ ἀνδρειωμένου, ἐμβαίνωντας εἰς τὸ σπῆτί του, ἂν δὲν δέσῃ πρῶτον τὸν ἀνδρειωμένον· καὶ τότε νὰ κουρσέψῃ τὸ σπῆτί του.

28 Βέβαια σᾶς λέγω, ὅτι ὅλα τὰ ἁμαρτήματα τῶν ἀνθρώπων θέλουσι τοὺς συγχωρεθῇ, καὶ ἡ βλασφημίαις ὅσαις βλασφημήσουσιν.

29 Ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα, ἀλλ' ἔνοχός ἐστιν αἰωνίου κρίσεως.

30 Ὅτι ἔλεγον· Πνεῦμα ἀκάθαρτον ἔχει.

31 Ἔρχονται οὖν οἱ ἀδελφοὶ καὶ ἡ μήτηρ αὐτοῦ· καὶ ἔξω ἑστῶτες ἀπέστειλαν πρὸς αὐτὸν, φωνοῦντες αὐτόν.

32 Καὶ ἐκάθητο ὄχλος περὶ αὐτόν· εἶπον δὲ αὐτῷ· Ἰδοὺ, ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ζητοῦσί σε.

34 Καὶ ἀπεκρίθη αὐτοῖς, λέγων· Τίς ἐστιν ἡ μήτηρ μου ἢ οἱ ἀδελφοί μου;

34 Καὶ περιβλεψάμενος κύκλῳ τοὺς περὶ αὐτὸν καθημένους, λέγει· Ἴδε ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου.

35 Ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ Θεοῦ, οὗτος ἀδελφός μου καὶ ἀδελφή μου καὶ μήτηρ ἐστί.

29 Ἀμὴ ὅποιος βλασφημήσει εἰς τὸ Πνεῦμα τὸ ἅγιον, δὲν τοῦ συγχωρᾶται εἰς τὸν αἰῶνα, ἀλλὰ κατακρίνεται αἰωνίως.

30 Διατὶ ἔλεγαν· Ὅτι ἔχει πνεῦμα ἀκάθαρτον.

31 Ἔρχονται λοιπὸν οἱ ἀδελφοί του, καὶ ἡ μητέρα του· καὶ στεκόμενοι ἔξω ἔστειλαν εἰς αὐτὸν, καὶ τὸν ἐλαλοῦσαν.

32 Καὶ ὄχλος πολὺς ἐκάθουνταν τριγύρω του· καὶ λέγουν του· Νὰ, ἡ μάνα σου καὶ τὰ ἀδέλφιά σου σὲ γυρεύουν ἔξω.

33 Καὶ ἀπεκρίθη καὶ λέγει τους· Τίς εἶναι ἡ μάνα μου ἢ οἱ ἀδελφοί μου;

34 Καὶ βλέπωντας ἐκείνους, ὅπου ἐκάθουνταν τριγύρω του, λέγει· Νὰ ἡ μάνα μου καὶ τὰ ἀδέλφιά μου.

35 Διατὶ ὅποιος κάμνει τὸ θέλημα τοῦ Θεοῦ, ἐτοῦτος εἶναι ἀδελφός μου καὶ ἀδελφή μου καὶ μάνα μου.

Κεφ. δ' 4.

ΚΑΙ` πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν· καὶ συνήχθη πρὸς αὐτὸν ὄχλος πολὺς, ὥστε αὐτὸν ἐμβάντα εἰς τὸ πλοῖον, καθῆσθαι ἐν τῇ θαλάσσῃ· καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν θάλασσαν ἐπὶ τῆς γῆς ἦν.

2 Καὶ ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς πολλὰ, καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ·

ΚΑΙ` πάλιν ἄρχισε νὰ διδάσκῃ σιμὰ εἰς τὴν θάλασσαν, καὶ ἐμαζώχθηκεν πολὺς ὄχλος εἰς αὐτὸν, τόσον ὅπου ἐμβῆκε μέσα εἰς τὸ μονόξυλον, καὶ ἐκάθισεν εἰς τὴν θάλασσαν· καὶ ὅλος ὁ λαὸς ἐστέκουνταν εἰς τὸ περιγιάλι εἰς τὴν γῆν.

2 Καὶ τοὺς ἐδίδασκε πολλὰ μὲ παραβολαῖς, καὶ ἔλεγέν τους εἰς τὴν διδαχήν του·

3 Ἀκούετε· Ἰδοὺ, ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι.

4 Καὶ ἐγένετο ἐν τῷ σπείρειν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν, καὶ ἦλθε τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτό.

5 Ἄλλο δὲ ἔπεσεν ἐπὶ τὸ πετρῶδες, ὅπου οὐκ εἶχε γῆν πολλήν· καὶ εὐθέως ἐξανέτειλε, διὰ τὸ μὴ ἔχειν βάθος γῆς·

6 Ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη.

7 Καὶ ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας· καὶ ἀνέβησαν αἱ ἄκανθαι, καὶ συνέπνιξαν αὐτὸ, καὶ καρπὸν οὐκ ἔδωκε.

8 Καὶ ἄλλο ἔπεσεν εἰς τὴν γῆν τὴν καλήν· καὶ ἐδίδου καρπὸν ἀναβαίνοντα καὶ αὐξάνοντα· καὶ ἔφερεν, ἓν τριάκοντα, καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν.

9 Καὶ ἔλεγεν αὐτοῖς· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

10 Ὅτε δὲ ἐγένετο καταμόνας, ἠρώτησαν αὐτὸν οἱ περὶ αὐτὸν σὺν τοῖς δώδεκα τὴν παραβολήν.

11 Καὶ ἔλεγεν αὐτοῖς· Ὑμῖν δέδοται γνῶναι τὸ μυστήριον τῆς βασιλείας τοῦ Θεοῦ· ἐκείνοις δὲ τοῖς ἔξω, ἐν παραβολαῖς τὰ πάντα γίνεται.

12 Ἵνα βλέποντες βλέπωσι, καὶ μὴ ἴδωσι· καὶ ἀκούοντες

3 Ἀκούετε· Νὰ, ὁποῦ εὐγῆκεν ὁ σπορεὺς νὰ σπείρῃ.

4 Καὶ ἐκεῖ ὁποῦ ἔσπερνεν, ἄλλο ἔπεσεν εἰς τὴν στράτα, καὶ ἦλθαν τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὸ ἐκατάφαγαν.

5 Καὶ ἄλλο ἔπεσεν εἰς τόπον πετρώδη, ὁποῦ δὲν εἶχε πολλὴν γῆν· καὶ εὐθὺς ἐφύτρωσε μὲ τὸ νὰ μὴν ἔχῃ πολλὴν γῆν·

6 Καὶ ὡσὰν ἀνέτειλεν ὁ ἥλιος, ἐκαυματίσθη καὶ μὲ τὸ νὰ μὴν ἔχῃ ῥίζαν, ἐξεράνθη.

7 Καὶ ἄλλο ἔπεσεν εἰς τὰ ἀγκάθια· καὶ ἀνέβηκαν τὰ ἀγκάθια, καὶ τὸ ἔπνιξαν, καὶ δὲν ἔκαμε καρπόν.

8 Καὶ ἄλλο ἔπεσεν εἰς τὴν γῆν τὴν καλήν· καὶ ἔκαμε καρπὸν καὶ ἀνέβη καὶ αὔξανε· καὶ ἄλλο ἔκαμε τὸ ἕνα τριάντα, καὶ ἄλλο ἔκαμε τὸ ἕνα ἑξῆντα, καὶ ἄλλο τὸ ἕνα ἑκατόν.

9 Καὶ ἔλεγεν τους· Ὁποῖος ἔχει αὐτία νὰ ἀκούῃ, ἂς ἀκούῃ.

10 Καὶ ὅταν ἀπόμεινε μοναχὸς, τὸν ἐρώτησαν τὴν παραβολὴν ἐκεῖνοι, ὁποῦ ἦταν τρυγύρω του, μαζὺ μὲ τοὺς δώδεκα μαθητάδες.

11 Καὶ τοὺς εἶπεν· Ἐσᾶς ἐδόθη νὰ γνωρίσετε τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ· ἀμὴ εἰς ἐκείνους ὁποῦ εἶναι ἀπέξω, γίνονται ὅλα μὲ παραβολαῖς·

12 Ἵνα βλέποντες βλέπουσι, καὶ νὰ μὴν καταλαμβά-

ἀκούωσι, καὶ μὴ συνῶσι· μήποτε ἐπιςρέψωσι, καὶ ἀφεθῇ αὐτοῖς τὰ ἁμαρτήματα.

13 Καὶ λέγει αὐτοῖς· Οὐκ οἴδατε τὴν παραβολὴν ταύτην; καὶ πῶς πάσας τὰς παραβολὰς γνώσεσθε;

14 Ὁ σπείρων, τὸν λόγον σπείρει.

15 Οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδὸν, ὅπου σπείρεται ὁ λόγος· καὶ ὅταν ἀκούσωσιν, εὐθέως ἔρχεται ὁ σατανᾶς, καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον ἐν ταῖς καρδίαις αὐτῶν.

16 Καὶ οὗτοί εἰσιν ὁμοίως οἱ ἐπὶ τὰ πετρώδη σπειρόμενοι, οἳ, ὅταν ἀκούσωσι τὸν λόγον, εὐθέως μετὰ χαρᾶς λαμβάνουσιν αὐτόν·

17 Καὶ οὐκ ἔχουσι ῥίζαν ἐν ἑαυτοῖς, ἀλλὰ πρόσκαιροί εἰσιν· εἶτα γενομένης θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθέως σκανδαλίζονται.

18 Καὶ οὗτοί εἰσιν οἱ εἰς τὰς ἀκάνθας σπειρόμενοι, οὗτοί εἰσιν οἱ τὸν λόγον ἀκούοντες·

19 Καὶ αἱ μέριμναι τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου, καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι εἰσπορευόμεναι συμπνίγουσι τὸν λόγον, καὶ ἄκαρπος γίνεται.

νουσι· καὶ ἀκούοντες νὰ ἀκούουσι καὶ νὰ μὴν γροικοῦσι· μήπως καὶ μετανοήσουν, καὶ τοὺς συγχωρεθοῦν τὰ ἁμαρτήματά τους.

13 Καὶ λέγει τους· Ἐτούτην τὴν παραβολὴν δὲν ἰξεύρετε; καὶ πῶς θέλετε γνωρίσει ὅλαις ταῖς παραβολαῖς;

14 Ἐκεῖνος ὁποῦ σπέρνει, σπέρνει, τὸν λόγον.

15 Καὶ ἐτοῦτοι εἶναι ἐκεῖνοι, ὁποῦ εἶναι σπαρμένοι εἰς τὴν ςράταν, εἰς τοὺς ὁποίους δηλονότι σπέρνεται ὁ λόγος· καὶ ὅταν τὸν ἀκούσουσι, παρευθὺς ἔρχεται ὁ σατανᾶς, καὶ σηκώνει τὸν λόγον, ὁποῦ εἶναι ἐσπαρμένος μέσα εἰς ταῖς καρδίαις τους.

16 Ὁμοίως καὶ ἐτοῦτοι εἶναι ἐκεῖνοι, ὁποῦ σπέρνουνται εἰς τὰ πετρώδη, οἱ ὁποῖοι, ὅταν ἀκούσουν τὸν λόγον, εὐθὺς μετὰ χαρᾶς τὸν πέρνουσι·

17 Ἀμὴ δὲν ἔχουσι ῥίζαν εἰς τοῦ λόγου τους, ἀλλὰ εἶναι πρόσκαιροι· καὶ ἀπέκει ὡσὰν γένῃ θλίψις ἢ διωγμὸς διὰ τὸν λόγον, παρευθὺς σκανδαλίζονται.

18 Καὶ ἐκεῖνοι εἶναι πάλιν, ὁποῦ σπέρνουνται εἰς τὰ ἀγκάθια, ὁποῦ ἀκούουσι τὸν λόγον·

19 Καὶ ἡ φροντίδες τοῦ κόσμου ἐτούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου, καὶ ἡ ἄλλαις ἐπιθυμίαις, ὁποῦ ἐμβαίνουσι μέσα τους, πνίγουσι τὸν λόγον, καὶ γίνεται ἄκαρπος.

20 Καὶ οὗτοί εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες, οἵτινες ἀκούουσι τὸν λόγον, καὶ παραδέχονται· καὶ καρποφοροῦσιν, ἓν τριάκοντα, καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν.

21 Καὶ ἔλεγεν αὐτοῖς· Μήτι ὁ λύχνος ἔρχεται, ἵνα ὑπὸ τὸν μόδιον τεθῇ, ἢ ὑπὸ τὴν κλίνην; οὐχ ἵνα ἐπὶ τὴν λυχνίαν ἐπιτεθῇ;

22 Οὐ γάρ ἐστί τι κρυπτὸν, ὃ ἐὰν μὴ φανερωθῇ· οὐδὲ ἐγένετο ἀπόκρυφον, ἀλλ' ἵνα εἰς φανερὸν ἔλθῃ.

23 Εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω.

24 Καὶ ἔλεγεν αὐτοῖς· Βλέπετε τί ἀκούετε· ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν, καὶ προστεθήσεται ὑμῖν τοῖς ἀκούουσιν·

25 Ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ.

26 Καὶ ἔλεγεν· Οὕτως ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, ὡς ἐὰν ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς.

27 Καὶ καθεύδῃ, καὶ ἐγείρηται νύκτα καὶ ἡμέραν· καὶ ὁ σπόρος βλαστάνῃ, καὶ μηκύνηται ὡς οὐκ οἶδεν αὐτός.

20 Καὶ ἐκεῖνοι εἶναι πάλιν ὁποῦ ἐσπάρθηκαν εἰς τὴν γῆν τὴν καλὴν, ὁποῦ ἀκούουν τὸν λόγον, καὶ τὸν δέχονται· καὶ καρποφορεῖ, τὸ ἕνα τριάντα, καὶ τὸ ἄλλο ἑξῆντα, καὶ τὸ ἄλλο ἑκατόν.

21 Καὶ τοὺς ἔλεγε· Μῆνα ὁ λύχνος ἔρχεται, νὰ βαλθῇ ἀπὸ κάτω εἰς τὸ μόδι, ἢ εἰς τὸ κρεββάτι; καὶ ὄχι νὰ βαλθῇ ἀπάνω εἰς τὸν λυχνοστάτη;

22 Διατὶ δὲν εἶναι κανένα κρυφὸν· ὁποῦ νὰ μὴν φανερωθῇ· οὐδὲ ἔγινε κανένα ἀπόκρυφον, ὁποῦ νὰ μὴν ἔλθῃ εἰς τὸ φανερόν.

23 Ὁποιος ἔχει αὐτία νὰ ἀκούῃ, ἂς ἀκούῃ.

24 Καὶ ἔλεγέν τους· Ἔχετε τὸν νοῦν σας εἰς ἐκεῖνα ὁποῦ ἀκούετε· μὲ τὸ μέτρον ἐκεῖνο, ὁποῦ μετρᾶτε, θέλει σᾶς μετρηθῇ, καὶ θέλει βαλθῇ παραπάνω εἰς ἐσᾶς ὁποῦ ἀκούετε·

25 Ὁποιος ἔχει, θέλει τοῦ δοθῇ καὶ ἄλλο· καὶ ἐκεῖνος ὁποῦ δὲν ἔχει, καὶ ἐκεῖνο ὁποῦ ἔχει, θέλει παρθῇ ἀπ' αὐτόν.

26 Καὶ ἔλεγε· Τέτοιας λογῆς εἶναι ἡ βασιλεία τοῦ Θεοῦ, ὡσὰν ἕνας ἄνθρωπος, ὁποῦ νὰ ῥίξῃ τὸν σπόρον εἰς τὴν γῆν.

27 Καὶ νὰ κοιμᾶται, καὶ σηκώνεται νύκτα καὶ ἡμέραν· καὶ ὁ σπόρος βλαστάνει, καὶ μακρύνει μὲ τρόπον ὁποῦ αὐτὸς δὲν ἰξεύρει.

28 Αὐτομάτη γὰρ ἡ γῆ
καρποφορεῖ, πρῶτον χόρτον,
εἶτα στάχυν, εἶτα πλήρη
σῖτον ἐν τῷ στάχυϊ.

29 Ὅταν δὲ παραδῷ ὁ
καρπὸς, εὐθέως ἀποστέλλει τὸ
δρέπανον, ὅτι παρέστηκεν ὁ
θερισμός.
30 Καὶ ἔλεγε· Τίνι ὁμοιώ-
σωμεν τὴν βασιλείαν τοῦ Θεοῦ;
ἢ ἐν ποίᾳ παραβολῇ παρα-
βάλωμεν αὐτήν;
31 Ὡς κόκκῳ σινάπεως,
ὃς, ὅταν σπαρῇ ἐπὶ τῆς γῆς,
μικρότερος πάντων τῶν σπερ-
μάτων ἐστὶ τῶν ἐπὶ τῆς
γῆς·
32 Καὶ ὅταν σπαρῇ, ἀνα-
βαίνει, καὶ γίνεται πάντων
τῶν λαχάνων μείζων, καὶ
ποιεῖ κλάδους μεγάλους, ὥστε
δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ
τὰ πετεινὰ τοῦ οὐρανοῦ κατα-
σκηνοῦν.
33 Καὶ τοιαύταις παρα-
βολαῖς πολλαῖς ἐλάλει αὐτοῖς
τὸν λόγον, καθὼς ἠδύναντο
ἀκούειν.
34 Χωρὶς δὲ παραβολῆς
οὐκ ἐλάλει αὐτοῖς· κατ' ἰδίαν
δὲ τοῖς μαθηταῖς αὐτοῦ ἐπέλυε
πάντα.
35 Καὶ λέγει αὐτοῖς ἐν ἐκ-
είνῃ τῇ ἡμέρᾳ, ὀψίας γενομέ-
νης· Διέλθωμεν εἰς τὸ πέραν.
36 Καὶ ἀφέντες τὸν ὄχλον
παραλαμβάνουσιν αὐτὸν ὡς ἦν

28 Διατὶ ἡ γῆ ἀπατήτης
κάμνει τὸν καρπὸν, πρῶτα
χορτάρι, καὶ ὕστερα στάχυ,
μετέπειτα γεμάτον σιτάρι τὸ
στάχυ.
29 Καὶ ὅταν ψωμώσῃ,
παρευθὺς στέλλει τὸ δρεπάνι,
διατὶ ἔφθασε τὸ θέρος.

30 Καὶ ἔλεγε· Μὲ τίνα
ὁμοιάσωμεν τὴν βασιλείαν τοῦ
Θεοῦ; ἢ μὲ ποῖαν παραβολὴν
νὰ τὴν συγκρίνωμεν;
31 Ὡσὰν τὸ κοκκὶ τοῦ
συναπίου, τὸ ὁποῖον, ὅταν
σπαρθῇ εἰς τὴν γῆν, εἶναι
μικρότερον ἀπὸ ὅλα τὰ σπέρ-
ματα ὁποῦ εἶναι εἰς τὴν γῆν·
32 Καὶ ὡσὰν σπαρθῇ,
ἀνεβαίνει, καὶ γίνεται μεγαλί-
τερον ἀπὸ ὅλα τὰ λάχανα,
καὶ κάμνει κλαδία μεγάλα,
εἰς τόσον ὁποῦ ἠμποροῦν, τὰ
πουλία τοῦ οὐρανοῦ νὰ φωλεύουν
εἰς τὸν ἴσκιόν του.
33 Καὶ μὲ τέτοιας λογῆς
πολλαῖς παραβολαῖς τοὺς ἐλά-
λει τὸν λόγον, καθὼς ἐδύνουνταν
νὰ ἀκούουν.
34 Καὶ χωρὶς παραβολὴν
δὲν τοὺς ἐλάλει· καὶ καταμόνας
τοὺς μαθητάδες του τῶν τὰ
ἐξεδιάλυνεν ὅλα.
35 Καὶ λέγει τους ἐκείνην
τὴν ἡμέραν, ὡσὰν ἐβραδίασε·
Ἂς περάσωμεν πέρα.
36 Καὶ οἱ μαθητάδες ἄφη-
σαν τὸ πλῆθος, καὶ τὸν ἐπῆραν

ἐν τῷ πλοίῳ· καὶ ἄλλα δὲ πλοιάρια ἦν μετ᾽ αὐτȣ̃.

καθὼς ἦτον μέσα εἰς τὸ μονόξυλον· καὶ ἦταν μαζύ τȣ καὶ ἄλλα μονόξυλα.

37 Καὶ γίνεται λαῖλαψ ἀνέμȣ μεγάλη· τὰ δὲ κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον, ὥστε αὐτὸ ἤδη γεμίζεσθαι.

37 Καὶ ἔγινεν ἀνεμοταραχὴ μεγάλη· καὶ τὰ κύματα ἐκτυπȣ̃σαν καὶ ἔμβαιναν μέσα εἰς τὸ καράβι, εἰς τόσον ὁπȣ̃ ἐκόντεψεν νὰ γεμίσῃ.

38 Καὶ ἦν αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύδων· καὶ διεγείρȣσιν αὐτὸν, καὶ λέγȣσιν αὐτῷ· Διδάσκαλε, ȣ̓ μέλει σοι, ὅτι ἀπολλύμεθα;

38 Καὶ αὐτὸς ἦτον εἰς τὴν πρύμνην, καὶ ἐκοιμᾶτον εἰς τὸ προσκέφαλον· καὶ τὸν ἐξύπνισαν, καὶ λέγȣν τȣ· Διδάσκαλε, δὲν σὲ μέλει, ὁπȣ̃ χανόμεσθε;

39 Καὶ διεγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ, καὶ εἶπε τῇ θαλάσσῃ· Σιώπα, πεφίμωσο. Καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ ἐγένετο γαλήνη μεγάλη.

39 Καὶ ἐσηκώθη καὶ ἐπρόσταξε μὲ φοβερισμὸν τὸν ἄνεμον, καὶ τῆς θαλάσσης εἶπε· Σιώπα, ἀποστομώθητι· Καὶ ὁ ἄνεμος ἔπαυσε, καὶ ἔγινε γαλήνη μεγάλη.

40 Καὶ εἶπεν αὐτοῖς· Τί δειλοί ἐστε οὕτω; πῶς οὐκ ἔχετε πίστιν;

40 Καὶ λέγει τȣς· Διατί εἶσθεν ἔτζι φοβητζιάρηδες; πῶς δὲν ἔχετε πίστιν;

41 Καὶ ἐφοβήθησαν φόβον μέγαν, καὶ ἔλεγον πρὸς ἀλλήλȣς· Τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα ὑπακȣ́ȣσιν αὐτῷ;

41 Καὶ ἐφοβήθησαν φόβον μεγάλον, καὶ ἔλεγαν ἕνας εἰς τὸν ἄλλον· Τάχα τίς νὰ εἶναι ἐτȣ̃τος, ὁπȣ̃ τοῦ ὑπακούȣσι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα;

Κεφ. έ. 5.

ΚΑΙ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης, εἰς τὴν χώραν τῶν Γαδαρηνῶν.

2 Καὶ ἐξελθόντι αὐτῷ ἐκ τοῦ πλοίȣ, εὐθέως ἀπήντησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ.

ΚΑΙ ὡσὰν ἐπέρασαν πέρα τῆς θαλάσσης εἰς τὴν χώραν τῶν Γαδαρηνῶν.

2 Εὐθὺς ὁπȣ̃ εὐγῆκεν ἀπὸ τὸ μονόξυλον, τȣς ἀπάντησεν ἕνας ἄνθρωπος ὁπȣ̃ ἤρχετον ἀπὸ τὰ μνήματα, μὲ πνεῦμα ἀκάθαρτον·

3 Ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνημείοις, καὶ οὔτε ἀλύσεσιν οὐδεὶς ἠδύνατο αὐτὸν δῆσαι·

4 Διὰ τὸ αὐτὸν πολλάκις πέδαις καὶ ἀλύσεσι δεδέσθαι, καὶ διεσπᾶσθαι ὑπ' αὐτοῦ τὰς ἁλύσεις, καὶ τὰς πέδας συντετρίφθαι· καὶ οὐδεὶς αὐτὸν ἴσχυε δαμάσαι.

5 Καὶ διαπαντὸς νυκτὸς καὶ ἡμέρας ἐν τοῖς ὄρεσι καὶ ἐν τοῖς μνήμασιν ἦν κράζων, καὶ κατακόπτων ἑαυτὸν λίθοις·

6 Ἰδὼν δὲ τὸν Ἰησοῦν ἀπὸ μακρόθεν, ἔδραμε, καὶ προσεκύνησεν αὐτῷ·

7 Καὶ κράξας φωνῇ μεγάλῃ, εἶπε· Τί ἐμοὶ καὶ σοὶ Ἰησοῦ υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; ὁρκίζω σε τὸν Θεὸν, μή με βασανίσῃς.

8 (Ἔλεγε γὰρ αὐτῷ· Ἔξελθε τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐκ τοῦ ἀνθρώπου·)

9 Καὶ ἐπηρώτα αὐτόν· Τί σοι ὄνομα; Καὶ ἀπεκρίθη, λέγων· Λεγεὼν ὄνομά μοι· ὅτι πολλοί ἐσμεν.

10 Καὶ παρεκάλει αὐτὸν πολλὰ, ἵνα μὴ αὐτοὺς ἀποστείλῃ ἔξω τῆς χώρας.

11 Ἦν δὲ ἐκεῖ πρὸς τὰ ὄρη ἀγέλη χοίρων μεγάλη βοσκομένη.

12 Καὶ παρεκάλεσαν αὐτὸν πάντες οἱ δαίμονες, λέ-

3 Ὁ ὁποῖος ἐκατοίκαν εἰς τὰ μνήματα, καὶ κανεὶς δὲν ἠμπόρειε να τὸν ἐδέσῃ, οὐδὲ μὲ ἁλυσίδες·

4 Διατὶ πολλαῖς φοραῖς καὶ μὲ ταῖς κλάπαις καὶ μὲ ταῖς ἁλυσίδες τὸν ἔδεσαν, καὶ αὐτὸς καὶ ταῖς ἁλυσίδες ἔκοψε, καὶ ταῖς κλάπαις ἐσύντριψεν· καὶ κανένας δὲν ἠμπόρειε νὰ τὸν δαμάσῃ.

5 Καὶ πάντοτε νύκτα καὶ ἡμέρα ἐφώναξεν εἰς τὰ μνήματα καὶ εἰς τὰ ὄρη, καὶ ἐκατάκοπτε τοῦ λόγου του μὲ ταῖς πέτραις·

6 Καὶ ὡσὰν εἶδε τὸν Ἰησοῦν ἀπὸ μακρὰ, ἔδραμε, καὶ τὸν ἐπροσκύνησε·

7 Καὶ κράξας μεγαλοφώνως, εἶπε· Τί ἔχεις ἐσὺ νὰ κάμῃς μετ' ἐμένα Ἰησοῦ υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; ὁρκίζω σε εἰς τὸν Θεὸν, μὴ μὲ βασανίσῃς.

8 (Διατὶ τοῦ ἔλεγε· Ἐσὺ πνεῦμα ἀκάθαρτον, εὔγα ἀπὸ τὸν ἄνθρωπον ἐτοῦτον·)

9 Καὶ τὸ ἐρώτησε· Τί εἶναι τὸ ὄνομά σου; Καὶ ἀπεκρίθη, καὶ εἶπε· Λεγεὼν εἶναι τὸ ὄνομά μου· ὅτι εἴμεσθε πολλοί.

10 Καὶ τὸν ἐπαρακάλει πολλὰ, νὰ μὴν τοὺς στείλῃ ἔξω ἀπὸ τὴν χώραν.

11 Καὶ ἦτον ἐκεῖ εἰς τὰ ὄρη μεγάλη ἀγέλη τῶν χοίρων, ὁποῦ ἔβοσκε.

12 Καὶ τὸν ἐπαρακάλεσαν ὅλοι οἱ δαίμονες, λέγοντες·

γοντες· Πέμψον ἡμᾶς εἰς τοὺς χοίρους, ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν. Καὶ ἐπέτρεψεν αὐτοῖς εὐθέως ὁ Ἰησοῦς.

13 Καὶ ἐξελθόντα τὰ πνεύματα τὰ ἀκάθαρτα, εἰσῆλθον εἰς τοὺς χοίρους· καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, (ἦσαν δὲ ὡς δισχίλιοι,) καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ.

14 Οἱ δὲ βόσκοντες τοὺς χοίρους ἔφυγον, καὶ ἀνήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς.

15 Καὶ ἐξῆλθον ἰδεῖν τί ἐστι τὸ γεγονός. Καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν, καὶ θεωροῦσι τὸν δαιμονιζόμενον καθήμενον καὶ ἱματισμένον, καὶ σωφρονοῦντα, τὸν ἐσχηκότα τὸν λεγεῶνα· καὶ ἐφοβήθησαν.

16 Καὶ διηγήσαντο αὐτοῖς οἱ ἰδόντες, πῶς ἐγένετο τῷ δαιμονιζομένῳ, καὶ περὶ τῶν χοίρων.

17 Καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελθεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν.

18 Καὶ ἐμβάντος αὐτοῦ εἰς τὸ πλοῖον, παρεκάλει αὐτὸν ὁ δαιμονισθεὶς, ἵνα ᾖ μετ᾽ αὐτοῦ.

19 Ὁ δὲ Ἰησοῦς οὐκ ἀφῆκεν αὐτὸν, ἀλλὰ λέγει αὐτῷ· Ὕ-

Πέμψε μας εἰς τοὺς χοίρους, νὰ ἐμβοῦμεν εἰς αὐτούς. Καὶ παρευθὺς ὁ Ἰησοῦς τοὺς ἔδωσεν ἄδειαν.

13 Καὶ ὡσὰν εὐγῆκαν τὰ ἀκάθαρτα πνεύματα, ἐμβῆκαν εἰς τοὺς χοίρους· καὶ ὥρμησεν ἡ ἀγέλη ἀπὸ τὸν ἐγκρεμνὸν εἰς τὴν θάλασσαν, (καὶ ἦταν ἕως δύο χιλιάδες,) καὶ ἐπνίγονταν εἰς τὴν θάλασσαν.

14 Καὶ ἐκεῖνοι, ὁποῦ ἐβόσκαν τοὺς χοίρους, ἔφυγαν καὶ ἐπῆγαν, καὶ τὸ εἶπαν εἰς τὴν πόλιν καὶ εἰς τὰ χωράφια.

15 Καὶ οἱ ἄνθρωποι, ὡσὰν τὸ ἤκουσαν, εὐγῆκαν νὰ εἰδοῦσι τί εἶναι ἐκεῖνο ὁποῦ ἔγινε. Καὶ ἦλθαν εἰς τὸν Ἰησοῦν, καὶ βλέπουσι τὸν δαιμονισμένον, ὁποῦ εἶχε τὸν λεγεῶνα, καὶ ἐκάθετον ἐνδυμένος, καὶ σωφρονισμένος· καὶ ἐφοβήθηκαν.

16 Καὶ ἐκεῖνοι ὁποῦ τὸ εἶδασι, τοὺς τὸ ἐδιηγήθηκαν, πῶς ἔγινεν εἰς τὸν δαιμονισμένον, καὶ διὰ τοὺς χοίρους.

17 Καὶ ἄρχισαν νὰ τὸν παρακαλοῦσι, νὰ παγένῃ ἀπὸ τὰ σύνορά τους.

18 Καὶ ὡσὰν ἐμβῆκε μέσα εἰς τὸ μονόξυλον, τὸν ἐπαρακάλει ἐκεῖνος, ὁποῦ ἦτον προτίτερα δαιμονισμένος, νὰ εἶναι μαζύ του.

19 Καὶ ὁ Ἰησοῦς δὲν τὸν ἀφῆκεν, ἀλλὰ τοῦ εἶπε· Σύρε εἰς τὸ

παγε εἰς τὸν οἶκόν σου πρὸς τοὺς
σοὺς, καὶ ἀνάγγειλον αὐτοῖς
ὅσα σοι ὁ Κύριος ἐποίησε,
καὶ ἠλέησέ σε.
20 Καὶ ἀπῆλθε, καὶ ἤρ-
ξατο κηρύσσειν ἐν τῇ Δεκαπό-
λει, ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰη-
σοῦς· καὶ πάντες ἐθαύμαζον.
21 Καὶ διαπεράσαντος
τοῦ Ἰησοῦ ἐν τῷ πλοίῳ πάλιν
εἰς τὸ πέραν, συνήχθη ὄχλος
πολὺς ἐπ' αὐτόν· καὶ ἦν παρὰ
τὴν θάλασσαν.
22 Καὶ ἰδοὺ, ἔρχεται εἷς
τῶν ἀρχισυναγώγων, ὀνόματι
Ἰάειρος· καὶ ἰδὼν αὐτὸν,
πίπτει πρὸς τοὺς πόδας
αὐτοῦ·
23 Καὶ παρεκάλει αὐτὸν
πολλὰ, λέγων· Ὅτι τὸ θυγά-
τριόν μου ἐσχάτως ἔχει· ἵνα
ἐλθὼν ἐπιθῇς αὐτῇ τὰς χεῖρας,
ὅπως σωθῇ· καὶ ζήσεται.

24 Καὶ ἀπῆλθε μετ' αὐτοῦ·
καὶ ἠκολούθει αὐτῷ ὄχλος πο-
λὺς, καὶ συνέθλιβον αὐτόν.
25 (Καὶ γυνή τις οὖσα ἐν
ῥύσει αἵματος ἔτη δώδεκα,

26 Καὶ πολλὰ παθοῦσα
ὑπὸ πολλῶν ἰατρῶν, καὶ
δαπανήσασα τὰ παρ' ἑαυτῆς
πάντα, καὶ μηδὲν ὠφεληθεῖσα,
ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον
ἐλθοῦσα·
27 Ἀκούσασα περὶ τοῦ

σπῆτί σου, καὶ εἰς τοὺς ἰδικούς
σου, καὶ εἰπέ τους ὅσα σοῦ
ἔκαμεν ὁ Κύριος, καὶ σὲ
ἐλυπήθη.
20 Καὶ ἐδιέβη, καὶ ἄρχισε
νὰ κηρύττῃ εἰς τὴν Δεκάπολιν,
ὅσα τοῦ ἔκαμεν ὁ Ἰησοῦς· καὶ
ὅλοι ἐθαύμαζαν.
21 Καὶ ὡσὰν ἐπέρασεν ὁ
Ἰησοῦς πέρα μὲ τὸ καράβι,
ἐμαζώχθη πολὺς λαὸς εἰς
αὐτόν· καὶ ἐκεῖνος ἦτον εἰς
τὸ παραθαλάσσιον.
22 Καὶ νὰ, καὶ ἔρχεται
ἕνας ἀπὸ τοὺς ἀρχισυναγώγους,
τὸ ὄνομά του Ἰάειρος· καὶ
ὡσὰν τὸν εἶδεν, ἔπεσεν εἰς τὰ
ποδάριά του·
23 Καὶ τὸν ἐπαρακάλει
πολλὰ, λέγωντας· Ὅτι ἡ θηγα-
τέρα μου εἶναι εἰς τὰ λοίσθια·
καὶ νὰ ἔλθῃς νὰ βάλλῃς τὰ
χέριά σου ἀπάνω της, διὰ νὰ
ἰατρευθῇ· καὶ θέλει ζήσῃ.
24 Καὶ ἐπῆγε μαζύ του·
καὶ τοῦ ἀκολούθαν πολὺς
ὄχλος, καὶ τὸν ἐστεναχωροῦσαν.
25 (Καὶ κάποια γυναῖκα,
ὁποῦ ἦτον αἱμοῤῥοοῦσα δώδεκα
χρόνους,
26 Καὶ ἔπαθε πολλὰ ἀπὸ
πολλοὺς ἰατροὺς, καὶ ἐξοδίασε
τὰ ὑπάρχοντά της ὅλα, καὶ
δὲν ὠφελήθη τίποτες, ἀλλὰ
περισσότερον ἐπήγενεν εἰς τὸ
χειρότερον·
27 Ἔστωντας νὰ ἀκούσῃ διὰ

Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ ἱματίου αὐτοῦ·

28 Ἔλεγε γάρ· Ὅτι κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσομαι.

29 Καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς· καὶ ἔγνω τῷ σώματι, ὅτι ἴαται ἀπὸ τῆς μάστιγος.

30 Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ, ἔλεγε· Τίς μου ἥψατο τῶν ἱματίων;

31 Καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις· Τίς μου ἥψατο;

32 Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν·

33 Ἡ δὲ γυνὴ, φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ' αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν.

34 Ὁ δὲ εἶπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.)

35 Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώγου, λέγοντες· Ὅτι ἡ θυγάτηρ σου, ἀπέθανε· τί ἔτι σκύλλεις τὸν διδάσκαλον;

36 Ὁ δὲ Ἰησοῦς, εὐθέως ἀκούσας τὸν λόγον λαλούμενον,

τὸν Ἰησοῦν, ἦλθε μέσα εἰς τὸ πλῆθος ὀπίσω του, καὶ ἐπίασε τὸ φόρεμά του·

28 Διατὶ ἔλεγεν· Ὅτι κἂν μόνον τὸ φόρεμά του νὰ πιάσω, θέλω ἰατρευθῆ.

29 Καὶ παρευθὺς ἐστάθη τὸ τρέξιμον τοῦ αἵματός της· καὶ ἐγνώρισεν εἰς τὸ κορμί της, ὅτι ἰατρεύθη τὸ βάσανον ἐκεῖνον.

30 Καὶ εὐθὺς ὁ Ἰησοῦς ἐγνωρίζωντας εἰς τοῦ λόγου του, ὅτι δύναμις εὐγῆκεν ἀπ' αὐτὸν, ἐγύρισεν εἰς τὸ πλῆθος, καὶ εἶπε· Τίς ἐπίασε τὰ φορέματά μου;

31 Καὶ λέγουν του οἱ μαθητάδες του· Τὸν ὄχλον βλέπεις, ὅπου σε στεναχωρεῖ, καὶ λέγεις· Τίς με ἐπίασε;

32 Καὶ ἔβλεπε τριγύρω του νὰ εἰδῇ ἐκείνην, ὅπου τὸ ἔκαμε·

33 Καὶ ἡ γυναῖκα ἐφοβήθη καὶ ἔτρεμε, ἰξεύροντας ἐκεῖνο ὅπου ἔγινεν εἰς τοῦ λόγου της, ἦλθε καὶ τοῦ ἐπρόσπεσε, καὶ εἶπέν του ὅλην τὴν ἀλήθειαν.

34 Καὶ ὁ Ἰησοῦς τῆς λέγει· Ὦ θύγατερ, ἡ πίστις σου σὲ ἔσωσε· καὶ σύρε εἰς τὸ καλὸν, καὶ ἂς εἶσαι γερρὴ ἀπὸ τὸ βάσανόν σου.)

35 Καὶ ἀκόμι αὐτὸς ἐλάλει, καὶ ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώγου, καὶ λέγουν του· Ἡ θυγατέρα σου ἀπέθανε· καὶ τί πειράζεις πλέον τὸν διδάσκαλον;

36 Καὶ ὁ Ἰησοῦς παρευθὺς ὡσὰν ἄκουσε τὸν λόγον ὅπου ἔλε-

λέγει τῷ ἀρχισυναγώγῳ· Μὴ φοβȣ̃, μόνον πίστευε.

37 Καὶ οὐκ ἀφῆκεν ȣ̓δένα αὐτῷ συνακολȣθῆσαι, εἰ μὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν Ἰακώβȣ.

38 Καὶ ἔρχεται εἰς τὸν οἶκον τȣ̃ ἀρχισυναγώγȣ, καὶ θεωρεῖ θόρυβον, κλαίοντας καὶ ἀλαλάζοντας πολλά.

39 Καὶ εἰσελθὼν λέγει αὐτοῖς· Τί θορυβεῖσθε καὶ κλαίετε; τὸ παιδίον οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει.

40 Καὶ κατεγέλων αὐτȣ̃· Ὁ δὲ, ἐκβαλὼν ἅπαντας, παραλαμβάνει τὸν πατέρα τοῦ παιδίȣ καὶ τὴν μητέρα, καὶ τȣ̀ς μετ᾽ αὐτȣ̃, καὶ εἰσπορεύεται ὅπȣ ἦν τὸ παιδίον ἀνακείμενον.

41 Καὶ κρατήσας τῆς χειρὸς τȣ̃ παιδίȣ, λέγει αὐτῇ· Ταλιθὰ κȣ̃μι· ὅ ἐστι μεθερμηνευόμενον· Τὸ κοράσιον (σοὶ λέγω) ἔγειραι.

42 Καὶ εὐθέως ἀνέστη τὸ κοράσιον, καὶ περιεπάτει· ἦν γὰρ ἐτῶν δώδεκα· καὶ ἐξέστησαν ἐκστάσει μεγάλῃ.

43 Καὶ διεστείλατο αὐτοῖς πολλὰ, ἵνα μηδεὶς γνῷ τȣ̃το· καὶ εἶπε δοθῆναι αὐτῇ φαγεῖν.

γαν, λέγει εἰς τὸν ἀρχισυνάγωγον· Μὴν φοβᾶσαι, μόνον πίστευε.

37 Καὶ δὲν ἄφησε κανένα νὰ τοῦ ἀκολȣθήσῃ, παρὰ τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβȣ·

38 Καὶ ἔρχεται εἰς τὸ σπῆτι τȣ̃ ἀρχισυναγώγȣ, καὶ βλέπει σύγχυσιν, καὶ τȣ̀ς ἀνθρώπȣς ὁπȣ̃ ἔκλαιαν καὶ ἐμοιρολογȣ̃σαν πολλά.

39 Καὶ ὡσὰν ἐμβῆκε μέσα, τȣ̀ς εἶπε· Τί συγχίζεσθε καὶ κλαίετε; τὸ παιδίον δὲν ἀπέθανεν, ἀμὴ κοιμᾶται.

40 Καὶ τὸν ἐγελȣ̃σαν· Καὶ ὁ Ἰησȣ̃ς τȣ̀ς εὔγαλεν ἔξω, καὶ πέρνει τὸν πατέρα τȣ̃ παιδίȣ καὶ τὴν μητέρα τȣ, καὶ ἐκείνȣς ὁπȣ̃ ἦταν μαζύ τȣ, καὶ ὑπάγει ἐκεῖ ὁπȣ̃ ἐκείτετον τὸ κορίτζη.

41 Καὶ πιάνωντάς το ἀπὸ τὸ χέρι, τȣ̃ λέγει· Ταλιθὰ κȣ̃μι· τὸ ὁποῖον θέλει νὰ εἰπῇ· Κοράσιον (ἐσένα λέγω) σήκω ἀπάνω.

42 Καὶ παρευθὺς ἐσηκώθη ἀπάνω τὸ κοράσιον, καὶ ἐπεριπάτει· Διατὶ ἦτον δώδεκα χρονῶν· καὶ ἔγιναν ἐξεστηκοὶ ἀπὸ τὸ μεγάλον θαῦμα.

43 Καὶ τȣ̀ς ἐπαράγγειλε πολλὰ, κανεὶς νὰ μὴν τὸ ἰξεύρῃ· καὶ εἶπε, νὰ τῆς δώσȣν νὰ φάγῃ·

Κεφ. ς'. 6.

ΚΑΙ' ἐξῆλθεν ἐκεῖθεν, καὶ ἦλθεν εἰς τὴν πατρίδα αὐτοῦ· καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ.

2 Καὶ γενομένου σαββάτου ἤρξατο ἐν τῇ συναγωγῇ διδάσκειν· καὶ πολλοὶ ἀκούοντες ἐξεπλήσσοντο, λέγοντες· Πόθεν τούτῳ ταῦτα; καὶ τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ, ὅτι καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται;

3 Οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ υἱὸς Μαρίας, ἀδελφὸς δὲ Ἰακώβου καὶ Ἰωσῆ καὶ Ἰούδα καὶ Σίμωνος; καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς; Καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ.

4 Ἔλεγε δὲ αὐτοῖς ὁ Ἰησοῦς· Ὅτι οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τοῖς συγγενέσι, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.

5 Καὶ οὐκ ἠδύνατο ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆσαι, εἰ μὴ ὀλίγοις ἀῤῥώστοις ἐπιθεὶς τὰς χεῖρας, ἐθεράπευσε.

6 Καὶ ἐθαύμαζε διὰ τὴν ἀπιστίαν αὐτῶν· Καὶ περιῆγε τὰς κώμας κύκλῳ, διδάσκων.

7 Καὶ προσκαλεῖται τοὺς δώδεκα, καὶ ἤρξατο αὐτοὺς

ΚΑΙ' ἀπ' ἐκεῖ εὐγῆκε, καὶ ἐπῆγεν εἰς τὴν πατρίδα του· καὶ οἱ μαθητάδες του τὸν ἀκολουθοῦσαν.

2 Καὶ ὡσὰν ἦλθε τὸ σάββατον, ἄρχισε νὰ διδάσκῃ εἰς τὴν συναγωγήν· καὶ πολλοὶ ἀκούοντές τον ἐξεπλήττουνταν, καὶ ἔλεγαν· Ἀπὸ ποῦ τοῦ ἦλθαν ἐτοῦτα ἐτουτουνοῦ; καὶ τί εἶναι ἐτούτη ἡ σοφία ὁποῦ τοῦ ἐδόθη, ὅτι καὶ τέτοιας λογῆς δυνάμεις γίνονται διὰ μέσου τῶν χειρῶν του;

3 Δὲν εἶναι ἐτοῦτος ὁ τέκτων, ὁ υἱὸς τῆς Μαρίας, καὶ ἀδελφὸς τοῦ Ἰακώβου καὶ τοῦ Ἰωσῆ καὶ τοῦ Ἰούδα καὶ τοῦ Σίμωνος; καὶ δὲν εἶναι αἱ ἀδελφαῖς του ἐδῶ εἰς ἐμᾶς; Καὶ ἐσκανδαλίζουνταν εἰς αὐτόν.

4 Καὶ ὁ Ἰησοῦς τοὺς ἔλεγεν· Ὅτι δὲν εἶναι κανένας προφήτης ἄτιμος, παρὰ εἰς τὴν πατρίδα του, καὶ εἰς τοὺς ἐδικούς του, καὶ εἰς τὸ σπῆτί του.

5 Καὶ δὲν ἠμπόρει ἐκεῖ νὰ κάμῃ καμίαν ἐνέργειαν, παρὰ εἰς ὀλίγους ἀῤῥώστους ἔβανε τὰ χέριά του ἀπάνω τους, καὶ τοὺς ἰάτρευσε.

6 Καὶ ἐθαύμαζε διὰ τὴν ἀπιστίαν τους. Καὶ ἐγύριζε ταῖς τρυγύρω χώραις, διδάσκοντας.

7 Καὶ ἐκάλεσε τοὺς δώδεκα, καὶ ἄρχισε νὰ τοὺς στέλλῃ δύο

ἀποστέλλειν δύο δύο· καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων.

8 Καὶ παρήγγειλεν αὐτοῖς ἵνα μηδὲν αἴρωσιν εἰς ὁδὸν, εἰ μὴ ῥάβδον μόνον, μὴ πήραν, μὴ ἄρτον, μὴ εἰς τὴν ζώνην χαλκόν·

9 Ἀλλ' ὑποδεδεμένους σανδάλια· καὶ μὴ ἐνδύσασθαι δύο χιτῶνας.

10 Καὶ ἔλεγεν αὐτοῖς· Ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε ἐκεῖθεν.

11 Καὶ ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς, μηδὲ ἀκούσωσιν ὑμῶν, ἐκπορευόμενοι ἐκεῖθεν, ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν, εἰς μαρτύριον αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόῤῥοις ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ.

12 Καὶ ἐξελθόντες ἐκήρυσσον ἵνα μετανοήσωσι·

13 Καὶ δαιμόνια πολλὰ ἐξέβαλλον· καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀῤῥώστους, καὶ ἐθεράπευον.

14 Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρώδης, (φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ,) καὶ ἔλεγεν· Ὅτι Ἰωάννης ὁ βαπτίζων ἐκ νεκρῶν

δύο· καὶ ἔδιδέν τους ἐξουσίαν εἰς τὰ πνεύματα τὰ ἀκάθαρτα.

8 Καὶ ἐπαράγγειλέν τους, νὰ μὴ σηκώνουσι τίποτες εἰς τὴν στράταν, παρὰ μοναχὰ ῥαβδὶ, μήτε δισάκκι, μηδὲ ψωμὶ, μηδὲ ἄσπρα εἰς τὰ ζωνάριά τους·

9 Ἀλλ' ὑποδημένους ὑποδήματα· καὶ νὰ μὴν ἐνδύνονται δύο φορέματα.

10 Καὶ ἔλεγέν τους· Εἰς ὅποιον σπῆτι καὶ ἂν ἐμβῆτε, ἐκεῖ μένετε ἕως, ὅπου νὰ εὐγῆτε ἀπ' ἐκεῖ.

11 Καὶ ὅσοι δέν σας δεχθοῦσι, μηδὲ σᾶς ἀκούσουν, εὐγένοντες ἀπ' ἐκεῖ, τινάξετε τὸν κονιορκτὸν, ὅπου εἶναι ἀπὸ κάτω εἰς τὰ πηδάριά σας, διὰ μαρτυρίαν αὐτῶν· βέβαια σᾶς λέγω, ὅτι ἐλαφροτέρα κόλασις θέλει εἶσθαι τὴν ἡμέραν τῆς κρίσεως εἰς τὰ Σόδομα καὶ εἰς τὰ Γόμοῤῥα, παρὰ εἰς τὴν πόλιν ἐκείνην.

12 Καὶ ὡσὰν εὐγῆκαν ἔξω, ἐκήρυτταν νὰ μετανοήσουσι·

13 Καὶ δαιμόνια πολλὰ εὐγάνασι· καὶ πολλοὺς ἀῤῥώστους ἄλειφαν λάδι, καὶ τοὺς ἰάτρευαν.

14 Καὶ ἄκουσέν το ὁ Ἡρώδης ὁ βασιλεὺς, (διατὶ ἐφανερώθη τὸ ὄνομά του,) καὶ ἔλεγεν· Ὅτι ὁ Ἰωάννης ὁ βαπτιστὴς ἀνεστάθη

ἠγέρθη, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ.

15 Ἄλλοι ἔλεγον· Ὅτι Ἠλίας ἐστίν· Ἄλλοι δὲ ἔλεγον· Ὅτι προφήτης ἐστὶν, ἢ ὡς εἷς τῶν προφητῶν.

16 Ἀκούσας δὲ ὁ Ἡρώδης, εἶπεν· Ὅτι ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτός ἐστιν, αὐτὸς ἠγέρθη ἐκ νεκρῶν·

17 Αὐτὸς γὰρ ὁ Ἡρώδης, ἀποστείλας ἐκράτησε τὸν Ἰωάννην, καὶ ἔδησεν αὐτὸν ἐν τῇ φυλακῇ, διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν.

18 Ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ Ἡρώδῃ· Ὅτι οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.

19 Ἡ δὲ Ἡρωδιὰς ἐνεῖχεν αὐτῷ καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι· καὶ οὐκ ἠδύνατο.

20 Ὁ γὰρ Ἡρώδης ἐφοβεῖτο τὸ Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον· καὶ συνετήρει αὐτόν· καὶ ἀκούσας αὐτοῦ, πολλὰ ἐποίει, καὶ ἡδέως αὐτοῦ ἤκουε.

21 Καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρώδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ τοῖς χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας·

22 Καὶ εἰσελθούσης τῆς θυ-

ἀπὸ τοὺς νεκροὺς, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμαις εἰς αὐτόν.

15 Ἄλλοι ἔλεγαν· Ὅτι Ἠλίας εἶναι· Καὶ ἄλλοι ἔλεγαν· Ὅτι προφήτης εἶναι, ἢ ὡσὰν ἕνας ἀπὸ τοὺς προφήτας.

16 Ἀμὴ ὡσὰν τὸ ἄκουσεν ὁ Ἡρώδης, εἶπεν· Ὅτι τὸν Ἰωάννην ἐκεῖνον ὁποῦ ἐγὼ ἀπεκεφάλισα, ἐτοῦτος εἶναι, αὐτὸς ἀνεστάθη ἀπὸ τοὺς νεκρούς·

17 Διατὶ αὐτὸς ὁ Ἡρώδης ἔστειλε καὶ ἐπίασε τὸν Ἰωάννην, καὶ τὸν ἔδεσε μέσα εἰς τὴν φυλακὴν, διὰ τὴν Ἡρωδιάδα τὴν γυναῖκα τοῦ Φιλίππου τοῦ ἀδελφοῦ του, ὁποῦ τὴν ἐπανδρεύθη.

18 Διατὶ ὁ Ἰωάννης ἔλεγε τοῦ Ἡρώδη· Δὲν εἶναι δίκαιον νὰ ἔχῃς τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.

19 Καὶ ἡ Ἡρωδιάδα τὸν ἐχθρεύουντον, καὶ ἤθελε νὰ τὸν φονεύσῃ· ἀμὴ δὲν ἠμπόρει·

20 Διατὶ ὁ Ἡρώδης ἐφοβοῦντο τὸν Ἰωάννην, ἰξεύροντάς τον ἄνδρα δίκαιον καὶ ἅγιον· καὶ τὸν εὐλαβοῦνταν· καὶ ἀκούωντάς τον, ἔκαμνε πολλὰ, καὶ τοῦ ἤκουε μετὰ χαρᾶς.

21 Καὶ ὅταν ἐγίνετο μία ἡμέρα ἐπιτηδεία, καὶ ὁ Ἡρώδης εἰς τὰ γενέθλια ἔκαμε φιλίαν, καὶ ἐκάλεσε τοὺς αὐθεντάδες του καὶ τοὺς χιλιάρχους καὶ τοὺς πρώτους τῆς Γαλιλαίας·

22 Ἦλθε καὶ ἡ θυγατέρα τῆς

γατρὸς αὐτῆς τῆς Ἡρωδιάδος,
καὶ ὀρχησαμένης, καὶ ἀρεσάσης
τῷ Ἡρώδῃ καὶ τοῖς συνανακει-
μένοις, εἶπεν ὁ βασιλεὺς τῷ
κορασίῳ· Αἴτησόν με ὃ ἐὰν
θέλῃς, καὶ δώσω σοί.
23 Καὶ ὤμοσεν αὐτῇ·
Ὅτι ὃ ἐάν με αἰτήσῃς, δώσω
σοὶ, ἕως ἡμίσους τῆς βασι-
λείας μου.
24 Ἡ δὲ ἐξελθοῦσα, εἶπε τῇ
μητρὶ αὐτῆς· Τί αἰτήσομαι;
Ἡ δὲ εἶπε· Τὴν κεφαλὴν Ἰω-
άννου τοῦ Βαπτιστοῦ.
25 Καὶ εἰσελθοῦσα εὐθέως
μετὰ σπουδῆς πρὸς τὸν βασι-
λέα, ᾐτήσατο, λέγουσα· Θέλω
ἵνα μοι δῷς ἐξ αὐτῆς ἐπὶ
πίνακι τὴν κεφαλὴν Ἰωάννου
τοῦ Βαπτιστοῦ.
26 Καὶ περίλυπος γενό-
μενος ὁ βασιλεὺς, διὰ τοὺς
ὅρκους καὶ τοὺς συνανακειμέ-
νους οὐκ ἠθέλησεν αὐτὴν ἀθε-
τῆσαι.

27 Καὶ εὐθέως ἀποστείλας
ὁ βασιλεὺς σπεκουλάτωρα,
ἐπέταξεν ἐνεχθῆναι τὴν κε-
φαλὴν αὐτοῦ.
28 Ὁ δὲ ἀπελθὼν ἀπεκε-
φάλισεν αὐτὸν ἐν τῇ φυλακῇ·
καὶ ἤνεγκε τὴν κεφαλὴν αὐτοῦ
ἐπὶ πίνακι, καὶ ἔδωκεν αὐτὴν
τῷ κορασίῳ· καὶ τὸ κοράσιον
ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς.

Ἡρωδιάδος, καὶ ἐχόρευψε, καὶ
ἄρεσε τοῦ Ἡρώδη καὶ ἐκεινῶν
ὁποῦ ἐκάθουνταν εἰς τὸ τραπέζι,
καὶ εἶπεν ὁ βασιλεὺς εἰς τὸ
κοράσιον· Ζήτησέ μου εἴτι
θέλεις, καὶ νὰ σοῦ τὸ δώσω.
23 Καὶ τῆς ὤμωσεν· Ὅτι
εἴ τι καὶ ἂν μοῦ ζητήσῃς, νὰ
σοῦ τὸ δώσω, ἕως τὸ ἥμισυ
τῆς βασιλείας μου.
24 Καὶ ἐκείνη εὐγῆκεν ἔξω, καὶ
εἶπεν τῆς μάνας της· Τίνὰ ζη-
τήσω; Καὶ ἐκείνη τῆς εἶπεν· Τὴν
κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ.
25 Καὶ παρευθὺς ἐμβῆκε
μέσα μὲ σπουδὴν εἰς τὸν βασι-
λέα, καὶ ἐζήτησε, λέγουσα· Νὰ
μοῦ δώσῃς ἐτούτην τὴν ὥραν εἰς
ἕνα πινάκι τὴν κεφαλὴν Ἰω-
άννου τοῦ βαπτιστοῦ.
26 Καὶ ὁ βασιλεὺς ἐλυπή-
θη πολλὰ, ἀμὴ διὰ τοὺς ὅρ-
κους ὁποῦ ἔκαμε, καὶ διὰ τοὺς
καλεσμένους, ὁποῦ ἐκάθουνταν
μαζύ του, δὲν ἠθέλησε νὰ τὴν
ἀποβάλλῃ.
27 Καὶ παρευθὺς ἔστειλε ὁ
βασιλεὺς δήμιον, καὶ ἐπρόσταξε
νὰ φερθῇ ἡ κεφαλή του.

28 Καὶ αὐτὸς ἐπῆγε, καὶ
ἀπεκεφάλισέ τον μέσα εἰς τὴν
φυλακήν· καὶ ἔφερε τὴν κε-
φαλήν του μέσα εἰς ἕνα πινάκι,
καὶ ἔδωκέν την τοῦ κορασίου·
καὶ τὸ κοράσιον τὴν ἔδωκεν τῆς
μάνας της.

29 Καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ, ἦλθον καὶ ἦραν τὸ πτῶμα αὐτοῦ, καὶ ἔθηκαν αὐτὸ ἐν τῷ μνημείῳ.

30 Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα καὶ ὅσα ἐποίησαν καὶ ὅσα ἐδίδαξαν.

31 Καὶ εἶπεν αὐτοῖς· Δεῦτε ὑμεῖς αὐτοὶ κατ᾽ ἰδίαν εἰς ἔρημον τόπον, καὶ ἀναπαύεσθε ὀλίγον· Ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί· καὶ οὐδὲ φαγεῖν ηὐκαίρουν.

32 Καὶ ἀπῆλθον εἰς ἔρημον τόπον τῷ πλοίῳ κατ᾽ ἰδίαν.

33 Καὶ εἶδον αὐτοὺς ὑπάγοντας οἱ ὄχλοι· καὶ ἐπέγνωσαν αὐτὸν πολλοί· καὶ πεζῇ ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ, καὶ προῆλθον αὐτούς, καὶ συνῆλθον πρὸς αὐτόν.

34 Καὶ ἐξελθὼν εἶδεν ὁ Ἰησοῦς πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ᾽ αὐτοῖς, ὅτι ἦσαν ὡς πρόβατα μὴ ἔχοντα ποιμένα· καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά.

35 Καὶ ἤδη ὥρας πολλῆς γενομένης, προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγουσιν· Ὅτι ἔρημός ἐστιν ὁ τόπος, καὶ ἤδη ὥρα πολλή·

36 Ἀπόλυσον αὐτούς, ἵνα ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀ-

29 Καὶ ὡσὰν τὸ ἄκουσαν οἱ μαθητάδες του, ἦλθαν καὶ ἐσήκωσαν τὸ κορμί του, καὶ τὸ ἔβαλλαν μέσα εἰς τὸ μνῆμα.

30 Καὶ ἐμαζώχθησαν οἱ ἀπόστολοι εἰς τὸν Ἰησοῦν, καὶ εἶπάν του ὅλα ὅσα καὶ ἂν ἔκαμαν καὶ ὅσα ἐδίδαξαν.

31 Καὶ λέγει τους· Ἀμέτε ἐσεῖς ἀτοίσας χωριάσας εἰς ἔρημον τόπον, καὶ ἀναπαυθῆτε ὀλίγον· Διατὶ ἦταν πολλοὶ ἐκεῖνοι ὁποῦ ἐπάγεναν καὶ ὁποῦ ἤρχουνταν· καὶ μηδὲ κἂν νὰ φάγωσιν ἀδειάζασι.

32 Καὶ ἐπῆγαν εἰς ἕνα ἔρημον τόπον μὲ καράβι ξεχωριστά.

33 Καὶ οἱ ὄχλοι τοὺς εἶδαν ὁποῦ ἐπάγεναν· καὶ πολλοὶ ἐγνώρισαν τὸν Χριστόν· καὶ ἔτρεξαν πεζοὶ ἀπὸ ὅλαις ταῖς πόλαις ἐκεῖ, καὶ ἐπῆγαν εἰς αὐτούς, καὶ ἐμαζώχθηκαν εἰς αὐτόν.

34 Καὶ εὐγένοντας ἔξω ὁ Ἰησοῦς εἶδε πολὺν ὄχλον, καὶ τοὺς ἐσπλαγχνίσθη, ὅτι ἦταν ὡσὰν πρόβατα ὁποῦ δὲν ἔχουν ποιμένα· καὶ ἄρχισε νὰ τοὺς διδάσκῃ πολλά.

35 Καὶ ὡσὰν ἐπέρασε πολλὴ ὥρα, ἐπῆγαν κοντὰ οἱ μαθητάδες του, καὶ λέγουν του· Ὁ τόπος εἶναι ἔρημος, καὶ ἡ ὥρα εἶναι πολλή·

36 Ἀπόλυσέ τους, νὰ πᾶσι τρυγύρω εἰς τὰ χωράφια καὶ

γροὺς καὶ κώμας, ἀγοράσωσιν
ἑαυτοῖς ἄρτους· τί γὰρ φάγω-
σιν οὐκ ἔχουσιν.
37 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν
αὐτοῖς· Δότε αὐτοῖς ὑμεῖς
φαγεῖν. Καὶ λέγουσιν αὐτῷ·
Ἀπελθόντες ἀγοράσωμεν δια-
κοσίων δηναρίων ἄρτους, καὶ
δῶμεν αὐτοῖς φαγεῖν;
38 Ὁ δὲ λέγει αὐτοῖς·
Πόσους ἄρτους ἔχετε; ὑπάγετε
καὶ ἴδετε. Καὶ γνόντες, λέ-
γουσι· Πέντε, καὶ δύο ἰχθύας.
39 Καὶ ἐπέταξεν αὐτοῖς
ἀνακλῖναι πάντας συμπόσια
συμπόσια ἐπὶ τῷ χλωρῷ
χόρτῳ.
40 Καὶ ἀνέπεσον πρασιαὶ
πρασιαὶ, ἀνὰ ἑκατὸν καὶ ἀνὰ
πεντήκοντα.
41 Καὶ λαβὼν τοὺς πέντε
ἄρτους καὶ τοὺς δύο ἰχθύας,
ἀναβλέψας εἰς τὸν οὐρανὸν,
εὐλόγησε, καὶ κατέκλασε τοὺς
ἄρτους, καὶ ἐδίδου τοῖς μαθη-
ταῖς αὐτοῦ, ἵνα παραθῶσιν
αὐτοῖς· καὶ τοὺς δύο ἰχθύας
ἐμέρισε πᾶσι.
42 Καὶ ἔφαγον πάντες,
καὶ ἐχορτάσθησαν.
43 Καὶ ἦραν κλασμάτων
δώδεκα κοφίνους πλήρεις, καὶ
ἀπὸ τῶν ἰχθύων.
44 Καὶ ἦσαν οἱ φαγόντες
τοὺς ἄρτους, ὡσεὶ πεντακισχί-
λιοι ἄνδρες.
45 Καὶ εὐθέως ἠνάγκασε

εἰς ταῖς χώραις, νὰ ἀγοράσουν
ψωμὶ διὰ λόγου τους· διατὶ δὲν
ἔχουν τί νὰ φάγωσι.
37 Καὶ ὁ Ἰησοῦς ἀπεκρίθη,
καὶ λέγει τους· Δότε τους ἐσεῖς
νὰ φάγωσι. Καὶ λέγουν του·
Νὰ πᾶμε νὰ ἀγοράσωμεν
διακοσίων δηναρίων ψωμὶ, νὰ
τοὺς δώσωμεν νὰ φάγωσι.
38 Καὶ ὁ Ἰησοῦς τοὺς εἶπε·
Πόσα ψωμία ἔχετε; σύρτε,
εἰδεῖτε. Ἐπῆγαν καὶ εἶδαν, καὶ
λέγουν του· Πέντε, καὶ δύο ψάρια.
39 Καὶ ἐπρόσταξέν τους νὰ
τοὺς βάλλουν ὅλους νὰ καθίσουν
εἰς τὰ χλωρὰ χορτάρια, τρα-
πέζια τραπέζια.
40 Καὶ ἐκάθισαν πρα-
σίαις πρασίαις, ἄλλοι ἀπὸ
ἑκατὸν, ἄλλοι ἀπὸ πενῆντα.
41 Καὶ ἐπῆρε τὰ πέντε
ψωμία καὶ τὰ δύο ψάρια, καὶ
ἀτένισεν εἰς τὸν οὐρανὸν, καὶ
εὐλόγησε, καὶ κατέκοψε τὰ
ψωμία, καὶ ἔδωκέν τα εἰς τοὺς
μαθητάδες του, νὰ τοὺς τὰ βάλ-
λουσιν ὀμπροστά τους· καὶ τὰ δύο
ψάρια τὰ ἐμοίρασεν εἰς ὅλους.
42 Καὶ ἔφαγαν ὅλοι, καὶ
ἐχόρτασαν.
43 Καὶ ἐσήκωσαν κομμά-
τια δώδεκα κοφίνια γεμάτα·
καὶ ἀπὸ ψάρια.
44 Καὶ ἦταν ἐκεῖνοι ὁποῦ
ἔφαγαν τὰ ψωμία, σχεδὸν
πέντε χιλιάδες ἄνδρες.
45 Καὶ εὐθὺς ἀνάγκασε

τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν εἰς τὸ πέραν πρὸς Βηθσαϊδὰν, ἕως αὐτὸς ἀπολύσῃ τὸν ὄχλον.

46 Καὶ ἀποταξάμενος αὐτοῖς, ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι.

47 Καὶ ὀψίας γενομένης ἦν τὸ πλοῖον ἐν μέσῳ τῆς θαλάσσης, καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς.

48 Καὶ εἶδεν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν· (ἦν γὰρ ὁ ἄνεμος ἐναντίος αὐτοῖς) καὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρχεται πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης· καὶ ἤθελε παρελθεῖν αὐτούς.

49 Οἱ δὲ, ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, ἔδοξαν φάντασμα εἶναι, καὶ ἀνέκραξαν·

50 (Πάντες γὰρ αὐτὸν εἶδον, καὶ ἐταράχθησαν.) Καὶ εὐθέως ἐλάλησε μετ' αὐτῶν, καὶ λέγει αὐτοῖς· Θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε.

51 Καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον· καὶ ἐκόπασεν ὁ ἄνεμος· καὶ λίαν ἐκ περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο, καὶ ἐθαύμαζον·

52 Οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις· ἦν γὰρ ἡ καρδία αὐτῶν πεπωρωμένη.

τοὺς μαθητάδες του νὰ ἐμβοῦσιν εἰς τὸ καράβι, νὰ περάσουν πέρα εἰς τὴν Βηθσαϊδὰν, ἕως ὁποῦ νὰ ἀπολύσῃ τὸν ὄχλον.

46 Καὶ ἐκεῖνος ἀφίνωντάς τους, ἐπῆγεν εἰς τὸ ὄρος νὰ προσευχηθῇ.

47 Καὶ ὡσὰν ἐβράδιασε, τὸ καράβι ἦτον εἰς τὴν μέσην τῆς θαλάσσης, καὶ αὐτὸς ἦτον μοναχὸς εἰς τὴν γῆν.

48 Καὶ εἶδέ τους ὁποῦ ἐβασανίζουνταν νὰ λάμνουν· (διατὶ ὁ ἄνεμος ἦτον ἐναντίος τους) καὶ τὴν τετάρτην βίγλαν τῆς νυκτὸς ἐπῆγεν εἰς ἐκείνους περιπατῶντας ἀπάνω εἰς τὴν θάλασσαν· καὶ ἤθελε νὰ τοὺς περάσῃ.

49 Καὶ ἐκεῖνοι, ὡσὰν τὸν εἶδαν ὁποῦ ἐπεριπάτει ἀπάνω εἰς τὴν θάλασσαν, ἐλογίαζαν πῶς νὰ εἶναι φάντασμα, καὶ ἐφώναζαν·

50 (Διατὶ ὅλοι τὸν εἶδαν, καὶ ἐσυγχίσθηκαν.) Καὶ παρευθὺς τοὺς ἐσύντυχε, καὶ λέγει τους· Ἔχετε θάῤῥος, ἐγὼ εἶμαι, μὴν φοβᾶσθε.

51 Καὶ ἀνέβη ἀπάνω εἰς τὸ καράβι· καὶ ὁ ἄνεμος ἔπαυσε· καὶ πολλὰ περισσὰ ἐτρόμαξαν μέσα τους, καὶ ἐθαύμαζαν·

52 Διατὶ δὲν ἐκατάλαβαν τὸ πρᾶγμα τῶν ψωμίων· ὅτι ἡ καρδία τους ἦτον τραχεῖα.

53 Καὶ διαπεράσαντες ἦλθον ἐπὶ τὴν γῆν Γεννησαρέτ· καὶ προσωρμίσθησαν.

54 Καὶ ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου, εὐθέως ἐπιγνόντες αὐτὸν,

55 Περιδραμόντες ὅλην τὴν περίχωρον ἐκείνην, ἤρξαντο ἐπὶ τοῖς κραββάτοις τοὺς κακῶς ἔχοντας περιφέρειν, ὅπου ἤκουον ὅτι ἐκεῖ ἐστι.

56 Καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας, ἢ πόλεις, ἢ ἀγροὺς, ἐν ταῖς ἀγοραῖς ἐτίθουν τοὺς ἀσθενοῦντας, καὶ παρεκάλουν αὐτὸν ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται· καὶ ὅσοι ἂν ἥπτοντο αὐτοῦ, ἐσώζοντο.

53 Καὶ ἐπέρασαν καὶ ἐπῆγαν εἰς τὴν γῆν τῆς Γεννησαρέτ· καὶ ἔῤῥαξαν εἰς τὸν λιμένα.

54 Καὶ ὡσὰν εὐγῆκαν αὐτοὶ ἀπὸ τὸ καράβι, εὐθὺς (ὁ λαὸς) τὸν ἐγνώρισε,

55 Καὶ ἔτρεξαν εἰς ὅλα τὰ περίχωρα ἐκεῖνα, καὶ ἄρχισαν νὰ φέρνουν ἀπάνω εἰς τὰ κρεββάτια ὅλους τοὺς ἀῤῥωστημένους, ὅπου ἄκουαν ὅτι ἐκεῖ εἶναι.

56 Καὶ ὅπου ἤθελε πάγῃ εἰς χωρία, ἢ εἰς πόλαις, ἢ εἰς χωράφια, εἰς τοὺς φόρους τους ἔβαναν τοὺς ἀσθενημένους, καὶ τὸν ἐπαρακαλοῦσαν, κἂν τὴν ἄκραν τοῦ φορέματός του νὰ πιάσουν· καὶ ὅσοι ἤθελαν τὸν πιάσῃ, ἐγλίτωναν ἀπὸ τὴν ἀσθένειαν·

Κεφ. ζ'. 7.

ΚΑΙ' συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι, καί τινες τῶν γραμματέων, ἐλθόντες ἀπὸ Ἱεροσολύμων·

2 Καὶ ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ κοιναῖς χερσὶ (τοῦτ' ἔστιν ἀνίπτοις) ἐσθίοντας ἄρτους, ἐμέμψαντο.

3 (Οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων.

ΚΑΙ' ἐμαζώχθηκαν εἰς αὐτὸν οἱ Φαρισαῖοι, καὶ κάποιοι ἀπὸ τοὺς γραμματεῖς, ὅπου ἦλθαν ἀπὸ τὰ Ἱεροσόλυμα·

2 Καὶ ὡσὰν εἶδαν κάποιους ἀπὸ τοὺς μαθητάδες του, ὅπου ἔτρωγαν μὲ μολυσμένα χέρια, (τουτέστι μὲ ἄνιπτα) τοὺς ἔψεξαν.

3 (Διατὶ οἱ Φαρισαῖοι καὶ ὅλοι οἱ Ἰουδαῖοι, ἂν δὲν νίπτουσι καλὰ ἕως τὸν ἀγκῶνα, δὲν τρώγουσι, βαστῶντες τὴν παράδοσιν τῶν πρεσβυτέρων.

4 Καὶ ἀπὸ ἀγορᾶς, ἐὰν μὴ βαπτίσωνται, οὐκ ἐσθίουσι· καὶ ἄλλα πολλά ἐστιν ἃ παρέλαβον κρατεῖν, βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν καὶ χαλκίων καὶ κλινῶν.)

5 Ἔπειτα ἐπερωτῶσιν αὐτὸν οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς· Διατί οἱ μαθηταί σου οὐ περιπατοῦσι κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀλλὰ ἀνίπτοις χερσὶν ἐσθίουσι τὸν ἄρτον;

6 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Ὅτι καλῶς προεφήτευσεν Ἡσαΐας περὶ ὑμῶν τῶν ὑποκριτῶν· ὡς γέγραπται· Οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ.

7 Μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων·

8 Ἀφέντες γὰρ τὴν ἐντολὴν τοῦ Θεοῦ, κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων, βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων· καὶ ἄλλα παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε.

9 Καὶ ἔλεγεν αὐτοῖς· Καλῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ Θεοῦ, ἵνα τὴν παράδοσιν ὑμῶν τηρήσητε.

10 Μωσῆς γὰρ εἶπε· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· καὶ, Ὁ κακολογῶν πατέ-

4 Καὶ ὅταν γυρίζουν ἀπὸ τὸν φόρον, δὲν τρώγουσιν, ἂν δὲν εἶναι τὰ χέριά τους πλυμένα καλά· καὶ ἄλλα πολλὰ εἶναι ὁποῦ τὰ ἐπαράλαβαν νὰ τὰ κρατοῦσι· πλυσίματα ποτηρίων καὶ λαγηνίων καὶ χαλκωμάτων καὶ κρεββατιῶν.)

5 Μετὰ ταῦτα τὸν ἐρωτοῦσιν οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς· Διατί οἱ μαθητάδες σου δὲν περιπατοῦσι κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀμὴ τρώγουσι ψωμὶ ἄνιπτα τὰ χέριά τους;

6 Καὶ αὐτὸς ἀπεκρίθη, καὶ λέγει τους· Καλὰ ἐπροφήτευσεν ὁ Ἡσαΐας διατ' ἐσᾶς τοὺς ὑποκριτάς· καθὼς εἶναι γεγραμμένον· Ἐτοῦτος ὁ λαὸς μὲ τὸ στόμα μὲ τιμᾷ, ἀμὴ ἡ καρδία του εἶναι μακρὰ ἀπὸ μένα.

7 Εὔκαιρα μὲ τιμοῦσι, μὲ τὸ νὰ διδάσκουσι διδασκαλίαις, παραγγελίαις ἀνθρώπων.

8 Διατὶ ἀφίνοντες τὴν ἐντολὴν τοῦ Θεοῦ, βαστᾶτε τὴν παράδοσιν τῶν ἀνθρώπων, πλυσίματα λαγηνίων καὶ ποτηρίων· καὶ ἄλλα παρόμοια τέτοιας λογῆς πολλὰ κάμνετε.

9 Καὶ ἔλεγέν τους· Καλὰ χαλνᾶτε τὴν παραγγελίαν τοῦ Θεοῦ, διὰ νὰ φυλάξετε τὴν παράδοσιν τὴν ἐδικήν σας.

10 Διατὶ ὁ Μωϋσῆς εἶπε· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· καὶ, Ὁποῖος κακο-

ρα ἢ μητέρα, θανάτῳ τελευ-
τάτω.
11 Ὑμεῖς δὲ λέγετε· Ἐὰν
εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ
μητρί· Κορβᾶν (ὅ ἐστι, δῶρον)
ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς.

12 Καὶ οὐκέτι ἀφίετε αὐ-
τὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ
αὐτοῦ ἢ τῇ μητρὶ αὐτοῦ.
13 Ἀκυροῦντες τὸν λόγον
τοῦ Θεοῦ τῇ παραδόσει ὑμῶν,
ᾗ παρεδώκατε· καὶ παρόμοια
τοιαῦτα πολλὰ ποιεῖτε.

14 Καὶ προσκαλεσάμενος
πάντα τὸν ὄχλον, ἔλεγεν
αὐτοῖς· Ἀκούετέ μου πάντες,
καὶ συνίετε.
15 Οὐδέν ἐστιν ἔξωθεν τοῦ
ἀνθρώπου εἰσπορευόμενον εἰς
αὐτὸν, ὃ δύναται αὐτὸν κοινῶ-
σαι· ἀλλὰ τὰ ἐκπορευόμενα
ἀπ' αὐτοῦ, ἐκεῖνά ἐστι τὰ κοι-
νοῦντα τὸν ἄνθρωπον.

16 Εἴ τις ἔχει ὦτα ἀκούειν,
ἀκουέτω.
17 Καὶ ὅτε εἰσῆλθεν εἰς
οἶκον ἀπὸ τοῦ ὄχλου, ἐπηρώτων
αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ
τῆς παραβολῆς.
18 Καὶ λέγει αὐτοῖς· Οὕ-
τω καὶ ὑμεῖς ἀσύνετοί ἐστε;
οὐ νοεῖτε ὅτι πᾶν τὸ ἔξωθεν
εἰσπορευόμενον εἰς τὸν ἄνθρω-

λογεῖ τὸν πατέρα ἢ τὴν μητέ-
ρα του, νὰ τὸν θανατώνουσι.
11 Καὶ ἐσεῖς λέγετε· Ἂν
εἰπῇ ἄνθρωπος εἰς τὸν πατέρα
του, ἢ εἰς τὴν μάνα του· Κορ-
βᾶν (τὸ ὁποῖον θέλει νὰ εἰπῇ,
δῶρον) εἶναι ἐκεῖνο, ὁποῦ θέλεις
ὠφεληθῇ ἀπὸ μένα.
12 Καὶ δὲν τὸν ἀφίνετε
πλέον νὰ κάμῃ εἰς τὸν πατέρα
του ἢ εἰς τὴν μητέρα του τίποτες.
13 Κάμνοντες τὸν λόγον
τοῦ Θεοῦ ἄκυρον διὰ τὴν παρά-
δοσιν τὴν ἐδικήν σας, ὁποῦ ἐπα-
ραδώκετε· καὶ ἄλλα πολλὰ
παρόμοια ὡσὰν αὐτὰ κάμνετε.
14 Καὶ ἐπροσκάλεσε τὸ
πλῆθος ὅλον, καὶ τοὺς ἔλεγεν·
Ἀκούετέ μου ὅλοι, καὶ κατα-
λαμβάνετε.
15 Δὲν εἶναι κανένα πρᾶ-
γμα, ὁποῦ νὰ ἐμβαίνῃ ἀπέξω
μέσα εἰς τὸν ἄνθρωπον, τὸ
ὁποῖον νὰ ἠμπορῇ νὰ τὸν μο-
λύνῃ· ἀλλὰ ἐκεῖνα ὁποῦ εὐγένου-
σιν ἀπ' αὐτὸν, ἐκεῖνα εἶναι
ὁποῦ μολύνουσι τὸν ἄνθρωπον.
16 Ὁποῖος ἔχει αὐτία
νὰ ἀκούῃ, ἂς ἀκούῃ.
17 (Καὶ ὅταν ἐχώρισεν ἀπὸ
τὸ πλῆθος) καὶ ἐπῆγεν εἰς
τὸ σπῆτι, τὸν ἐρωτοῦσαν οἱ
ἀπόστολοι διὰ τὴν παραβολήν.
18 Καὶ λέγει τους· Ἔτζι εἶ-
σθε καὶ ἐσεῖς ἄγνωστοι; δὲν γροι-
κᾶτε, ὅτι κάθε πρᾶγμα ὁποῦ
ἐμβαίνει ἀπέξω μέσα εἰς τὸν

πον, ὃ δύναται αὐτὸν κοινῶσαι;

19 Ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ' εἰς τὴν κοιλίαν· καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται, καθαρίζον πάντα τὰ βρώματα.

20 Ἔλεγε δὲ, ὅτι τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον.

21 Ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται, μοιχεῖαι, πορνεῖαι, φόνοι,

22 Κλοπαὶ, πλεονεξίαι, πονηρίαι, δόλος, ἀσέλγεια, ὀφθαλμὸς πονηρὸς, βλασφημία, ὑπερηφανία, ἀφροσύνη.

23 Πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται, καὶ κοινοῖ τὸν ἄνθρωπον.

24 Καὶ ἐκεῖθεν ἀναστὰς ἀπῆλθεν εἰς τὰ μεθόρια Τύρου καὶ Σιδῶνος· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν, οὐδένα ἤθελε γνῶναι· καὶ οὐκ ἠδυνήθη λαθεῖν.

25 Ἀκούσασα γὰρ γυνὴ περὶ αὐτοῦ, ἧς εἶχε τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον, ἐλθοῦσα προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ,

26 (Ἦν δὲ ἡ γυνὴ Ἑλληνὶς, Συροφοίνισσα τῷ γένει) καὶ ἠρώτα αὐτὸν ἵνα τὸ δαιμόνιον ἐκβάλλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς.

ἄνθρωπον, δὲν ἠμπορεῖ νὰ τὸν μολύνῃ;

19 Διατὶ δὲν πάγει εἰς τὴν καρδίαν του, ἀλλὰ εἰς τὴν κοιλίαν του· καὶ εὐγένει εἰς τὸν ἀφεδρῶνα, καὶ καθαρίζει ὅλα τὰ φαγητά.

20 Καὶ ἔλεγεν, ὅτι ἐκεῖνο ὅπου εὐγένει ἀπὸ τὸν ἄνθρωπον, ἐκεῖνο μολύνει τὸν ἄνθρωπον.

21 Διατὶ ἀπὸ μέσα ἀπὸ τὴν καρδίαν τῶν ἀνθρώπων εὐγένουσι κακοὶ διαλογισμοὶ, μοιχείαις, πορνείαις, φόνοι,

22 Κλεψίαις, πλεονεξίαις, πονηρίαις, δόλος, ἐπιθυμία, φθόνος, βλασφημία, ὑπερηφάνεια, ἀγνωσία.

23 Ὅλα ἐτοῦτα τὰ κακὰ ἀπὸ μέσα εὐγένουσι, καὶ μολύνουσι τὸν ἄνθρωπον.

24 Καὶ ἀπ' ἐκεῖ ἐσηκώθη, καὶ ἐπῆγεν εἰς τὰ σύνορα τῆς Τύρου καὶ τῆς Σιδῶνος· καὶ ἐμβαίνωντας εἰς ἕνα σπῆτι, δὲν ἤθελε νὰ τὸν ἰξεύρῃ κανείς· ἀλλὰ δὲν ἠμπόρεσε νὰ τοὺς λανθάσῃ.

25 Διατὶ ὡσὰν τὸ ἄκουσε μία γυναῖκα, τῆς ὁποίας ἡ θυγατέρα εἶχε πνεῦμα ἀκάθαρτον, ἦλθε καὶ ἐπρόσπεσεν εἰς τὰ ποδάριά του,

26 (Καὶ ἡ γυναῖκα ἦτον Ἑλλήνισσα, τὸ γένος Συροφοίνισσα) καὶ τὸν ἐπαρακάλει, νὰ εὐγάλλῃ τὸ δαιμόνιον ἀπὸ τὴν θυγατέρα της.

27 Ὁ δὲ Ἰησȣ̃ς εἶπεν αὐτῇ· Ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα· ȣ̓ γὰρ καλόν ἐςι λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις.

28 Ἡ δὲ ἀπεκρίθη, καὶ λέγει αὐτῷ· Ναὶ Κύριε· καὶ γὰρ τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν παιδίων.

29 Καὶ εἶπεν αὐτῇ· Διὰ τοῦτον τὸν λόγον ὕπαγε· ἐξελήλυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σȣ.

30 Καὶ ἀπελθȣ̃σα εἰς τὸν οἶκον αὐτῆς, εὗρε τὸ δαιμόνιον ἐξεληλυθὸς, καὶ τὴν θυγατέρα βεβλημένην ἐπὶ τῆς κλίνης.

31 Καὶ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων Τύρȣ καὶ Σιδῶνος, ἦλθε πρὸς τὴν θάλασσαν τῆς Γαλιλαίας ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως.

32 Καὶ φέρȣσιν αὐτῷ κωφὸν μογιλάλον· καὶ παρακαλȣ̃σιν αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα.

33 Καὶ ἀπολαβόμενος αὐτὸν ἀπὸ τοῦ ὄχλȣ κατ' ἰδίαν, ἔβαλε τȣ̀ς δακτύλȣς αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ· καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ.

34 Καὶ ἀναβλέψας εἰς τὸν ȣ̓ρανὸν, ἐςέναξε, καὶ λέ-

27 Ἀμὴ ὁ Ἰησȣ̃ς τῆς εἶπεν· Ἄφησε πρῶτον νὰ χορτάσȣν τὰ παιδία· δὲν εἶναι καλὸν νὰ πάρῃ τινὰς τὸ ψωμὶ τῶν παιδίων, νὰ τὸ ῥίξῃ εἰς τὰ σκυλάκια.

28 Καὶ ἐκείνη ἀπεκρίθη, καὶ λέγει τȣ· Ναὶ, Κύριε· διατὶ καὶ τὰ σκυλάκια ἀπὸ κάτω ἀπὸ τὸ τραπέζι τρώγȣν ἀπὸ ταῖς τριμμόψιχαις τῶν παιδίων.

29 Καὶ λέγει της· Διὰ ἐτȣ̃τον τὸν λόγον σύρε· εὐγῆκε τὸ δαιμόνιον ἀπὸ τὴν θυγατέρα σȣ.

30 Καὶ ὡσὰν ἐπῆγεν εἰς τὸ σπῆτί της, εὐρῆκε τὸ δαιμόνιον ὁπȣ̃ εὐγῆκε, καὶ τὴν θυγατέρα της ὁπȣ̃ ἦτον βαλμένη ἀπάνω εἰς τὸ κρεββάτι.

31 Καὶ πάλιν (ὁ Ἰησȣ̃ς) εὐγῆκεν ἀπὸ τὰ σύνορα τῆς Τύρȣ καὶ τῆς Σιδῶνος, καὶ ἦλθεν εἰς τὴν θάλασσαν τῆς Γαλιλαίας, ἀνάμεσα εἰς τὰ σύνορα τῆς Δεκαπόλεως.

32 Καὶ τοῦ ἔφεραν ἕνα κȣφὸν, ὁπȣ̃ μόλις ἐσυντύχαινε· καὶ ἐπαρακάλεσάν τον, νὰ βάλλῃ τὸ χέρι τȣ ἀπάνω τȣ.

33 Καὶ ξεχωρίζωντάς τον ἀπὸ τὸ πλῆθος κατὰ μόνας, ἔβαλλε τὰ δάκτυλά τȣ εἰς τὰ αὐτία τȣ· καὶ ἔπτυσε καὶ ἐπίασε τὴν γλῶσσάν τȣ.

34 Καὶ ἀτένισεν εἰς τὸν ȣ̓ρανὸν, καὶ ἀνεςέναξε, καὶ λέγει

γει αὐτῷ· Ἐφφαθὰ, ὅ ἐστι,
διανοίχθητι.
35 Καὶ εὐθέως διηνοίχθη-
σαν αὐτοῦ αἱ ἀκοαί· καὶ
ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης
αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς.
36 Καὶ διεστείλατο αὐτοῖς
ἵνα μηδενὶ εἴπωσιν· ὅσον δὲ
αὐτὸς αὐτοῖς διεστέλλετο, μᾶλ-
λον περισσότερον ἐκήρυσσον.
37 Καὶ ὑπερπερισσῶς ἐξε-
πλήσσοντο, λέγοντες· Καλῶς
πάντα πεποίηκε· καὶ τοὺς
κωφοὺς ποιεῖ ἀκούειν, καὶ τοὺς
ἀλάλους λαλεῖν.

του· Ἐφφαθὰ, τὸ ὁποῖον θέλει
νὰ εἰπῇ, ἄνοιξε.
35 Καὶ παρευθὺς ἄνοιξεν
ἡ ἀκοή του· καὶ ἐλύθη τὸ
δέσιμον τῆς γλώσσης του, καὶ
ἐσύντυχεν ὀρθά.
36 Καὶ (ὁ Ἰησοῦς) τοὺς ἐπα-
ράγγειλε, νὰ μὴν εἰποῦσι κανε-
νὸς τίποτες· καὶ ὅσον ἐκεῖνος
τοὺς ἐπαράγγειλε, τόσον ἐκεῖνοι
περισσότερον ἐκήρυτταν.
37 Καὶ πολλὰ περισσό-
τερον ἐξεπλήττουνταν, καὶ
ἔλεγαν· Καλὰ τὰ ἔκαμεν
ὅλα· καὶ τοὺς κουφοὺς κάμνει
νὰ ἀκούουν, καὶ τοὺς βουβοὺς νὰ
συντυχαίνουν.

Κεφ. η΄. 8.

ἘΝ ἐκείναις ταῖς ἡμέραις,
παμπόλλου ὄχλου ὄντος,
καὶ μὴ ἐχόντων τί φάγωσι,
προσκαλεσάμενος ὁ Ἰησοῦς
τοὺς μαθητὰς αὐτοῦ, λέγει
αὐτοῖς·
2 Σπλαγχνίζομαι ἐπὶ τὸν
ὄχλον· ὅτι ἤδη ἡμέρας τρεῖς
προσμένουσί μοι, καὶ οὐκ ἔχουσι
τί φάγωσι.
3 Καὶ ἐὰν ἀπολύσω αὐ-
τοὺς νήστεις εἰς οἶκον αὐτῶν,
ἐκλυθήσονται ἐν τῇ ὁδῷ· τινὲς
γὰρ αὐτῶν μακρόθεν ἥκασι.
4 Καὶ ἀπεκρίθησαν αὐτῷ
οἱ μαθηταὶ αὐτοῦ· Πόθεν
τούτους δυνήσεταί τις ὧδε χορ-

Ἐκείναις ταῖς ἡμέραις, ἔ-
στωντας νὰ ἦταν πολλὰ
πολὺ πλῆθος, καὶ νὰ μὴν
ἔχουσι τί νὰ φᾶσιν, ἐπρο-
σκάλεσεν ὁ Ἰησοῦς τοὺς μαθη-
τάδες του, καὶ λέγει τους·
2 Σπλαγχνίζομαι τὸν
ὄχλον· ὅτι σχεδὸν εἶναι τρεῖς
ἡμέραις ὁποῦ μὲ καρτεροῦσι,
καὶ δὲν ἔχουσι τί νὰ φᾶσι.
3 Καὶ ἂν τοὺς ἀφήσω νηστι-
κοὺς νὰ πᾶσιν εἰς τὸ σπῆτί
τους, θέλουσιν ἀποκάμει εἰς τὴν
στράταν· διατὶ κάποιοι ἀπ᾽
αὐτοὺς ἦλθασιν ἀπὸ μακρά.
4 Καὶ ἀπεκρίθηκάν του οἱ
μαθητάδες του, καὶ λέγουν του·
Καὶ ἀπὸ ποῦ ἠμπορεῖ τινὰς νὰ

τάσαι ἄρτων ἐπ᾽ ἐρημίας;

5 Καὶ ἐπηρώτα αὐτούς· Πόσους ἔχετε ἄρτους; Οἱ δὲ εἶπον· Ἑπτά.

6 Καὶ παρήγγειλε τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς· καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους, εὐχαριστήσας ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παραθῶσι· καὶ παρέθηκαν τῷ ὄχλῳ.

7 Καὶ εἶχον ἰχθύδια ὀλίγα· καὶ εὐλογήσας, εἶπε παραθεῖναι καὶ αὐτά.

8 Ἔφαγον δὲ, καὶ ἐχορτάσθησαν· καὶ ἦραν περισσεύματα κλασμάτων, ἑπτὰ σπυρίδας.

9 Ἦσαν δὲ οἱ φαγόντες, ὡς τετρακισχίλιοι· καὶ ἀπέλυσεν αὐτούς.

10 Καὶ εὐθέως ἐμβὰς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ, ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά.

11 Καὶ ἐξῆλθον οἱ Φαρισαῖοι, καὶ ἤρξαντο συζητεῖν αὐτῷ, ζητοῦντες παρ᾽ αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ, πειράζοντες αὐτόν.

12 Καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ, λέγει· Τί ἡ γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ; ἀμὴν λέγω ὑμῖν, εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον.

τοὺς χορτάσῃ ἐτούτους ψωμὶ ἐδῶ εἰς τὴν ἐρημίαν;

5 Καὶ ἐρώταν τους· Πόσα ψωμία ἔχετε; καὶ λέγουν του· Ἑπτά.

6 Καὶ ἐπρόσταξε τὸν λαὸν νὰ καθίσουν ἀπάνω εἰς τὴν γῆν· καὶ ἐπῆρε τὰ ἑπτά ψωμία, καὶ εὐχαρίστησε καὶ ἔκοψέν τα, καὶ τὰ ἔδιδεν εἰς τοὺς μαθητάδες του, νὰ τὰ βάλλουν ὀμπροστὰ· καὶ ἔβαλλάν τα ὀμπροστὰ εἰς τὸν ὄχλον.

7 Καὶ εἶχαν καὶ ψαράκια ὀλίγα· καὶ εὐλόγησε, καὶ εἶπε νὰ τὰ βάλλουν καὶ αὐτὰ ὀμπροστὰ.

8 Καὶ ἔφαγαν, καὶ ἐχόρτασαν· καὶ ἐσήκωσαν τὰ κομμάτια ὁποῦ ἐπερίσσευσαν, ἑπτὰ σεμπίλια.

9 Καὶ ἐκεῖνοι ὁποῦ ἔφαγαν, ἦτουν ἕως τέσσαρες χιλιάδες· καὶ ὕστερα τοὺς ἀπόλυσε.

10 Καὶ παρευθὺς ἐμβῆκεν εἰς τὸ καράβι μὲ τοὺς μαθητάδες του, καὶ ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά.

11 Καὶ εὐγῆκαν οἱ Φαρισαῖοι, καὶ ἄρχισαν νὰ τὸν προβάλλουσι, ζητοῦντες ἀπ᾽ αὐτὸν σημεῖον ἀπὸ τὸν οὐρανὸν, δοκιμάζοντές τον.

12 Καὶ ὁ Ἰησοῦς ἀναστενάξας εἰς τὸ πνεῦμά του, λέγει· Διατὶ ἡ γενεὰ αὕτη γυρεύει σημεῖον; βέβαια σᾶς λέγω, πῶς δὲν θέλει δοθῇ εἰς τὴν γενεὰν ἐτούτην σημάδι.

13 Καὶ ἀφεὶς αὐτοὺς, ἐμβὰς πάλιν εἰς τὸ πλοῖον, ἀπῆλθεν εἰς τὸ πέραν.

14 Καὶ ἐπελάθοντο λαβεῖν ἄρτους, καὶ εἰ μὴ ἕνα ἄρτον οὐκ εἶχον μεθ' ἑαυτῶν ἐν τῷ πλοίῳ.

15 Καὶ διεστέλλετο αὐτοῖς, λέγων· Ὁρᾶτε, βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ τῆς ζύμης Ἡρώδου.

16 Καὶ διελογίζοντο πρὸς ἀλλήλους, λέγοντες· Ὅτι ἄρτους οὐκ ἔχομεν.

17 Καὶ γνοὺς ὁ Ἰησοῦς, λέγει αὐτοῖς· Τί διαλογίζεσθε ὅτι ἄρτους οὐκ ἔχετε; οὔπω νοεῖτε, οὐδὲ συνίετε; ἔτι πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν;

18 Ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε; καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε; καὶ οὐ μνημονεύετε;

19 Ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισχιλίους, πόσους κοφίνους πλήρεις κλασμάτων ἤρατε; Λέγουσιν αὐτῷ· Δώδεκα.

20 Ὅτε δὲ τοὺς ἑπτὰ εἰς τοὺς τετρακισχιλίους πόσων σπυρίδων πληρώματα κλασμάτων ἤρατε; Οἱ δὲ εἶπον· Ἑπτά.

21 Καὶ ἔλεγεν αὐτοῖς· Πῶς οὐ συνίετε;

13 Καὶ ἄφησέν τους, καὶ ἐσέβη πάλιν εἰς τὸ καράβι, καὶ ἐπέρασε πέρα.

14 Καὶ ἀλησμόνησαν νὰ πάρουν ψωμία οἱ μαθητάδες, καὶ δὲν εἶχαν μαζύ τους παρὰ ἕνα ψωμὶ εἰς τὸ καράβι.

15 Καὶ τοὺς ἐπαράγγελνε, λέγωντας· Βλέπετε, ἔχετε τὸν νοῦν σας ἀπὸ τὴν ζύμην τῶν Φαρισαίων, καὶ ἀπὸ τὴν ζύμην τοῦ Ἡρώδου.

16 Καὶ ἐδιαλογίζουνταν ἀνάμεσά τους, λέγοντες· Ὅτι ψωμία δὲν ἔχομεν.

17 Καὶ γνωρίζωντάς το ὁ Ἰησοῦς, τοὺς λέγει· Τί διαλογίζεσθε, ὅτι δὲν ἔχετε ψωμία; ἀκόμι δὲν γροικᾶτε, οὐδὲ καταλαμβάνετε; ἀκόμι ἀναίσθητον ἔχετε τὴν καρδίαν σας;

18 Μάτια ἔχετε καὶ δὲν βλέπετε; καὶ αὐτία ἔχετε, καὶ δὲν ἀκούετε; καὶ δὲν ἐνθυμᾶσθε;

19 Ὅταν ἔκοψα τὰ πέντε ψωμία εἰς πέντε χιλιάδες ἀνθρώπους, πόσα κοφίνια γεμάτα κομμάτια ἐσηκώσετε; Καὶ λέγουν του· Δώδεκα.

20 Καὶ ὅταν ἔκοψα τοὺς ἑπτὰ ἄρτους εἰς τοὺς τέσσαρες χιλιάδες, πόσα σελπίλια γεμάτα κομμάτια ἐσηκώσετε; Καὶ ἐκεῖνοι τοῦ εἶπαν· Ἑπτά.

21 Καὶ ἐκεῖνος τοὺς ἔλεγε· Πῶς δὲν τὸ βάνετε εἰς τὸν νοῦν σας;

22 Καὶ ἔρχεται εἰς Βηθσαϊδάν· καὶ φέρουσιν αὐτῷ τυφλὸν, καὶ παρακαλοῦσιν αὐτὸν ἵνα αὐτοῦ ἅψηται.

23 Καὶ ἐπιλαβόμενος τῆς χειρὸς τοῦ τυφλοῦ, ἐξήγαγεν αὐτὸν ἔξω τῆς κώμης· καὶ πτύσας εἰς τὰ ὄμματα αὐτοῦ, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἐπηρώτα αὐτὸν εἴ τι βλέπει.

24 Καὶ ἀναβλέψας, ἔλεγε· Βλέπω τοὺς ἀνθρώπους ὡς δένδρα περιπατοῦντας.

25 Εἶτα πάλιν ἐπέθηκε τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι· καὶ ἀποκαλεστάθη καὶ ἐνέβλεψε τηλαυγῶς ἅπαντες.

26 Καὶ ἀπέστειλεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ, λέγων· Μηδὲ εἰς τὴν κώμην εἰσέλθῃς, μηδὲ εἴπῃς τινὶ ἐν τῇ κώμῃ.

27 Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας Καισαρείας τῆς Φιλίππου· καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων αὐτοῖς· Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι;

28 Οἱ δὲ ἀπεκρίθησαν· Ἰωάννην τὸν Βαπτιστήν· καὶ ἄλλοι, Ἠλίαν· ἄλλοι δὲ, ἕνα τῶν προφητῶν.

29 Καὶ αὐτὸς λέγει αὐτοῖς·

22 Καὶ ἔρχεται εἰς τὴν Βηθσαϊδάν· καὶ φέρνουσίν του ἕνα τυφλὸν, καὶ παρακαλοῦντον, νὰ τὸν πιάσῃ.

23 Καὶ πιάνωντας τὸ χέρι τοῦ τυφλοῦ, εὔγαλέν τον ἔξω ἀπὸ τὴν χώραν· καὶ ἔπτυσε εἰς τὰ μάτιά του, καὶ ἔβαλλε τὰ χέριά του ἀπάνω, καὶ τὸν ἐρώτα, ἂν βλέπῃ τίποτες.

24 Καὶ ἔστωντας νὰ εἴδῃ ἀπάνω, ἔλεγε· Βλέπω τοὺς ἀνθρώπους ὡσὰν δένδρα περιπατοῦντας.

25 Καὶ πάλιν ἔβαλλε τὰ χέριά του ἀπάνω εἰς τὰ μάτιά του, καὶ ἔκαμέν τον νὰ ξαναιδῇ· καὶ ἐκαταστάθη καὶ εἶδε καθάρια ὅλους.

26 Καὶ ἔστειλέν τον εἰς τὸ σπῆτί του, καὶ τοῦ εἶπε· Νὰ μὴν ἐμβῇς μέσα εἰς τὴν χώραν, μηδὲ νὰ τὸ εἴπῃς κανενὸς μέσα εἰς τὴν χώραν.

27 Καὶ εὐγῆκεν ὁ Ἰησοῦς καὶ οἱ μαθητάδες του εἰς ταῖς χώραις τῆς Καισαρείας τοῦ Φιλίππου· καὶ εἰς τὴν στράταν ἐρώταν τοὺς μαθητάδες του, λέγοντάς τους· Ποῖον μὲ λέγουσιν οἱ ἄνθρωποι νὰ εἶμαι;

28 Καὶ αὐτοὶ ἀπεκρίθηκαν· (τινὲς λέγουσι) Ἰωάννην τὸν βαπτιστήν· καὶ ἄλλοι, Ἠλίαν καὶ ἄλλοι, ἕνα ἀπὸ τοὺς προφήτας.

29 Καὶ ὁ Χριστὸς τοὺς λέγει·

Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ ὁ Πέτρος, λέγει αὐτῷ· Σὺ εἶ ὁ Χριστός.

30 Καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ.

31 Καὶ ἤρξατο διδάσκειν αὐτοὺς, ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ ἀποκτανθῆναι καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι.

32 Καὶ παῤῥησίᾳ τὸν λόγον ἐλάλει. Καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος, ἤρξατο ἐπιτιμᾷν αὐτῷ.

33 Ὁ δὲ ἐπιστραφεὶς, καὶ ἰδὼν τοὺς μαθητὰς αὐτοῦ, ἐπετίμησε τῷ Πέτρῳ, λέγων· Ὕπαγε ὀπίσω μου σατανᾶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.

34 Καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ, εἶπεν αὐτοῖς· Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.

35 Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν.

Ἀμὴ ἐσεῖς τίνα μὲ λέγετε νὰ εἶμαι; καὶ ἀπεκρίθη ὁ Πέτρος, καὶ λέγει του· Ἐσὺ εἶσαι ὁ Χριστός.

30 Καὶ ἐκεῖνος τοὺς ἐπρόπηρε μὲ φοβερισμὸν, νὰ μὴν εἴπουσι κανενὸς τίποτες δι' αὐτόν.

31 Καὶ ἄρχισε νὰ τοὺς διδάσκῃ, πῶς κάμνει χρεία ὁ υἱὸς τοῦ ἀνθρώπου νὰ πάθῃ πολλὰ, καὶ νὰ κατακριθῇ ἀπὸ τοὺς πρεσβύτερους καὶ ἀρχιερεῖς καὶ γραμματεῖς, καὶ νὰ σκοτωθῇ· καὶ μετὰ τρεῖς ἡμέρας νὰ ἀνασταθῇ.

32 Καὶ ἐδίδασκε παῤῥησίᾳ τὸν λόγον· Καὶ πιάνωντάς τον ὁ Πέτρος ἄρχισε νὰ τὸν ἐπιτιμᾷ.

33 Καὶ ὁ Ἰησοῦς γυρίζωντας, καὶ βλέπωντας τοὺς μαθητάδες του, ὠνείδισε τὸν Πέτρον, καὶ λέγει του· Σύρε ὀπίσω μου σατανᾶ· ὅτι δὲν φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.

34 Καὶ ἐπροσκάλεσε τὸ πλῆθος μὲ τοὺς μαθητάδες του, καὶ λέγει τους· Ὅποιος θέλει νὰ μὲ ἀκολουθᾷ, ἂς ἀρνηθῇ τοῦ λόγου του, καὶ ἂς πάρῃ τὸν σταυρόν του, καὶ ἂς μὲ ἀκολουθήσῃ.

35 Διατὶ ὅποιος θέλει νὰ φυλάξῃ τὴν ζωήν του, θέλει τὴν χάσει· καὶ ὅποιος χάσει τὴν ζωήν του διὰ λόγου μου καὶ διὰ τὸ εὐαγγέλιον, ἐτοῦτος θέλει τὴν φυλάξει.

36 Τί γὰρ ὠφελήσει ἄνθρωπον, ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτῦ;

37 Ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτῦ;

38 Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τὰς ἐμοὺς λόγυς ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τῦ ἀνθρώπυ ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τῦ πατρὸς αὐτῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων.

36 Διατὶ τί θέλει ὠφελθῆ ἄνθρωπος, ἂν κερδέσῃ ὅλον τὸν κόσμον, καὶ νὰ χάσῃ τὴν ψυχήν τυ;

37 Ἢ τί νὰ δώσῃ ἄνθρωπος ἀλλαξίαν διὰ τὴν ψυχήν τυ.

38 Διατὶ ὅποιος ἐντραπῆ εἰς ἐμένα καὶ εἰς τὰς λόγυς μυ εἰς τὴν γενεὰν ἐτύτην τὴν μοιχαλίδα καὶ ἁμαρτωλὴν, καὶ ὁ υἱὸς τῦ ἀνθρώπυ θέλει ἐντραπῆ νὰ τὸν ὁμολογήσῃ, ὅταν ἔλθῃ εἰς τὴν δόξαν τοῦ πατρός τυ μαζὺ μὲ τὰς ἁγίυς ἀγγέλυς.

Κεφ. θ'. 9.

ΚΑΙ' ἔλεγεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες ὐ μὴ γεύσωνται θανάτυ, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεῦ ἐληλυθυῖαν ἐν δυνάμει.

2 Καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησῦς τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην, καὶ ἀναφέρει αὐτὰς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν μόνυς· καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν.

3 Καὶ τὰ ἱμάτια αὐτῦ ἐγένετο στίλβοντα, λευκὰ λίαν ὡς χιὼν, οἷα γναφεὺς ἐπὶ τῆς γῆς ὐ δύναται λευκᾶναι.

4 Καὶ ὤφθη αὐτοῖς Ἠλίας

ΚΑΙ' ἔλεγεν τυς· Βέβαια σᾶς λέγω, ὅτι εἶναι κάποιοι ἀπ' αὐτὰς ὁπῦ στέκονται ἐδῶ, οἱ ὁποῖοι δὲν θέλυσι γευθῆ θάνατον, ἕως ὁπῦ νὰ εἰδῦσι τὴν βασιλείαν τοῦ Θεῦ, πῶς ἦλθε μὲ δύναμιν.

2 Καὶ ὕστερον ἀπὸ ἓξ ἡμέραις ἐπῆρεν ὁ Ἰησῦς τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ ἀνέβασέν τυς εἰς ἕνα ὄρος ὑψηλὸν ξεχωριστὰ μοναχύς· καὶ ἐμεταμορφώθη ὀμπροστά τυς.

3 Καὶ τὰ φορέματά τυ ἔγιναν λαμπρὰ, καὶ ἄσπρα κατὰ πολλὰ ὡσὰν τὸ χιόνι, ὁπῦ βαφέας δὲν ἠμπορεῖ ἀπάνω εἰς τὴν γῆν νὰ τὰ λευκάνῃ.

4 Καὶ ἐφάνη εἰς αὐτὰς ὁ

σὺν Μωσεῖ· καὶ ἦσαν συλλα-
λȣ̃ντες τῷ Ἰησȣ̃.
5 Καὶ ἀποκριθεὶς ὁ Πέ-
τρος, λέγει τῷ Ἰησȣ̃· Ῥαβ-
βί, καλόν ἐςιν ἡμᾶς ὧδε εἶναι·
καὶ ποιήσωμεν σκηνὰς τρεῖς,
σοὶ μίαν, καὶ Μωσεῖ μίαν,
καὶ Ἠλίᾳ μίαν.
6 Οὐ γὰρ ᾔδει τί λαλήσῃ·
ἦσαν γὰρ ἔκφοβοι.
7 Καὶ ἐγένετο νεφέλη ἐπι-
σκιάζȣσα αὐτοῖς· καὶ ἦλθε
φωνὴ ἐκ τῆς νεφέλης, λέγȣσα·
Οὗτός ἐςιν υἱός μȣ ὁ ἀγα-
πητὸς, αὐτȣ̃ ἀκȣ́ετε.
8 Καὶ ἐξάπινα περιβλε-
ψάμενοι, ȣ̓κέτι ȣ̓δένα εἶδον,
ἀλλὰ τὸν Ἰησȣ̃ν μόνον μεθ᾽
ἑαυτῶν.
9 Καταβαινόντων δὲ αὐτῶν
ἀπὸ τοῦ ὄρȣς, διεςείλατο αὐ-
τοῖς, ἵνα μηδενὶ διηγήσωνται
ἃ εἶδον, εἰ μὴ ὅταν ὁ υἱὸς τοῦ
ἀνθρώπȣ ἐκ νεκρῶν ἀναςῇ.
10 Καὶ τὸν λόγον ἐκράτη-
σαν πρὸς ἑαυτȣ̀ς, συζητȣ̃ντες
τί ἐςι τὸ ἐκ νεκρῶν ἀναςῆναι.
11 Καὶ ἐπηρώτων αὐτὸν,
λέγοντες· Ὅτι λέγȣσιν οἱ
γραμματεῖς, ὅτι Ἠλίαν δεῖ
ἐλθεῖν πρῶτον;
12 Ὁ δὲ ἀποκριθεὶς, εἶ-
πεν αὐτοῖς· Ἠλίας μὲν ἐλθὼν

Ἠλίας μὲ τὸν Μωϋσῆν· καὶ
ἐσυντύχαιναν μὲ τὸν Ἰησȣ̃ν.
5 Καὶ ἀπεκρίθη ὁ Πέτρος,
καὶ λέγει εἰς τὸν Ἰησȣ̃ν· Διδάσ-
καλε, καλὸν εἶναι νὰ εἴμεσθαν
ἐμεῖς ἐδῶ· καὶ ἂς κάμωμεν
τρεῖς καλύβαις, διὰ ἐσένα
μίαν, καὶ διὰ τὸν Μωϋσῆν
μίαν, καὶ διὰ τὸν Ἠλίαν μίαν.
6 Διατὶ δὲν ἤξευρεν τί νὰ εἰ-
πῇ· διατὶ ἦταν τρομασμένοι.
7 Καὶ ἔγινεν ἕνα σύννεφον
καὶ τȣ̀ς ἐσκέπασε· καὶ ἦλθε
καὶ φωνὴ ἀπὸ τὸ σύννεφον,
ὁπȣ̃ ἔλεγεν· Ἐτȣ̃τος εἶναι ὁ
υἱός μȣ ὁ ἠγαπημένος, αὐτȣ̃
ἀκȣ́ετε.
8 Καὶ ἔξαφνα βλέποντες
τριγύρω, πλέον δὲν εἶδασι κα-
νένα, παρὰ μοναχὰ τὸν Ἰησȣ̃ν
μαζὺ μὲ τȣ̃ λόγȣ τȣς.
9 Καὶ ὅταν ἐκατέβαιναν
ἀπὸ τὸ βȣνὸ, τȣ̀ς ἐπαράγγειλε,
νὰ μὴν εἰπȣ̃σι κανενὸς ἐκεῖνα
ὁπȣ̃ εἶδαν, παρὰ μοναχὰ ὅταν
ἀναςαθῇ ἐκ νεκρῶν ὁ υἱὸς τȣ̃
ἀνθρώπȣ.
10 Καὶ ἐφύλαξαν τὸν λό-
γον, καὶ ἀνάμεσά τȣς ἐζητȣ̃-
σαν, τί θέλει νὰ εἰπῇ τὸ ἐκ
νεκρῶν ἀναςῆναι.
11 Καὶ ἐρωτȣ̃σάν τον, λέ-
γοντες· Διατὶ λέγȣσιν οἱ γραμ-
ματεῖς, πῶς κάμνει χρεία νὰ
ἔλθῃ ὁ Ἠλίας πρῶτον;
12 Καὶ ὁ Ἰησȣ̃ς ἀπεκρίθη,
καὶ εἶπέν τȣς· Ὁ Ἠλίας ἔρχεται

πρῶτον ἀποκαθιστᾷ πάντα· καὶ πῶς γέγραπται ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πολλὰ πάθῃ, καὶ ἐξουδενωθῇ.

13 Ἀλλὰ λέγω ὑμῖν ὅτι καὶ Ἠλίας ἐλήλυθε, καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν, καθὼς γέγραπται ἐπ᾽ αὐτόν.

14 Καὶ ἐλθὼν πρὸς τοὺς μαθητὰς, εἶδεν ὄχλον πολὺν περὶ αὐτοὺς, καὶ γραμματεῖς συζητοῦντας αὐτοῖς.

15 Καὶ εὐθέως πᾶς ὁ ὄχλος ἰδὼν αὐτὸν ἐξεθαμβήθη, καὶ προστρέχοντες ἠσπάζοντο αὐτόν.

16 Καὶ ἐπηρώτησε τοὺς γραμματεῖς· Τί συζητεῖτε πρὸς αὐτούς;

17 Καὶ ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου, εἶπε· Διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρός σε, ἔχοντα πνεῦμα ἄλαλον·

18 Καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτόν· καὶ ἀφρίζει, καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ, καὶ ξηραίνεται· καὶ εἶπον τοῖς μαθηταῖς σου ἵνα αὐτὸ ἐκβάλωσι, καὶ οὐκ ἴσχυσαν.

19 Ὁ δὲ ἀποκριθεὶς αὐτῷ, λέγει· Ὦ γενεὰ ἄπιστος, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι; ἕως πότε ἀνέξομαι ὑμῶν; φέρετε αὐτὸν πρός με.

πρῶτον, νὰ ἀποκαταστήσῃ ὅλα (τὰ πράγματα·) καὶ καθὼς εἶναι γεγραμμένον διὰ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἔτζι πρέπει νὰ πάθῃ πολλὰ, καὶ νὰ καταφρονεθῇ.

13 Ἀλλὰ λέγω σας, ὅτι καὶ ὁ Ἠλίας ἦλθε καὶ ἔκαμάν του ὅσα ἤθελαν, καθὼς εἶναι γεγραμμένον δι᾽ αὐτόν.

14 Καὶ παγένωντας εἰς τοὺς μαθητάδες του, εἶδεν ὄχλον πολὺν τριγύρω τους, καὶ τοὺς γραμματεῖς ὁποῦ τοὺς ἐπροβάλλασι ζητήματα.

15 Καὶ παρευθὺς ὡσὰν τὸν εἶδαν ὅλος ὁ ὄχλος, ἐξυπάσθη, καὶ ἔτρεχαν καὶ τὸν ἐχαιρετοῦσαν.

16 Καὶ ἐρώτησε τοὺς γραμματεῖς· Τί τοὺς προβάλλετε;

17 Καὶ ἀπεκρίθη ἕνας ἀπὸ τὸ πλῆθος, καὶ εἶπε· Διδάσκαλε, ἤφερα τὸν υἱόν μου εἰς ἐσένα, ὁ ὁποῖος ἔχει πνεῦμα ἄλαλον·

18 Καὶ ὅπου τὸν φθάσει, τὸν κάμνει καὶ ξεσχίζεται· καὶ ἀφρίζει, καὶ τρίζει τὰ δόντιά του, καὶ ξηραίνεται· καὶ εἶπα εἰς τοὺς μαθητάδες σου, νὰ τὸ εὐγάλουν, καὶ δὲν ἠμπόρεσαν.

19 Καὶ ἀπεκρίθη ὁ Ἰησοῦς καὶ λέγει τους· Ὦ γενεὰ ἄπιστε, ἕως πότε θέλω εἶσθαι μετ᾽ ἐσᾶς; ἕως πότε νὰ σᾶς ὑπομένω; φέρετέ τον εἰς ἐμένα.

20 Καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν· καὶ ἰδὼν αὐτὸν, εὐθέως, τὸ πνεῦμα ἐσπάραξεν αὐτόν· καὶ πεσὼν ἐπὶ τῆς γῆς, ἐκυλίετο ἀφρίζων.

21 Καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ· Πόσος χρόνος ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ; Ὁ δὲ εἶπε· Παιδιόθεν.

22 Καὶ πολλάκις αὐτὸν καὶ εἰς πῦρ ἔβαλε καὶ εἰς ὕδατα, ἵνα ἀπολέσῃ αὐτόν· ἀλλ' εἴ τι δύνασαι, βοήθησον ἡμῖν, σπλαγχνισθεὶς ἐφ' ἡμᾶς.

23 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Τὸ εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι.

24 Καὶ εὐθέως κράξας ὁ πατὴρ τοῦ παιδίου, μετὰ δακρύων ἔλεγε· Πιστεύω Κύριε· Βοήθει μου τῇ ἀπιστίᾳ.

25 Ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπισυντρέχει ὄχλος, ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ, λέγων αὐτῷ· Τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφὸν, ἐγώ σοι ἐπιτάσσω· Ἔξελθε ἐξ αὐτοῦ, καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν.

26 Καὶ κράξαν, καὶ πολλὰ σπαράξαν αὐτὸν, ἐξῆλθε· καὶ ἐγένετο ὡσεὶ νεκρὸς, ὥστε πολλοὺς λέγειν, ὅτι ἀπέθανεν.

20 Καὶ ἔφεράν τον εἰς τὸν (Χριστόν·) καὶ ὡσὰν τὸν εἶδε (τὸ παιδίον,) παρευθὺς τὸ δαιμόνιον τὸ ἐσπάραξε· καὶ ἔπεσε κάτω εἰς τὴν γῆν, καὶ ἐκυλίετον ἀφρίζων.

21 Καὶ (ὁ Χριστὸς) ἐρώτησε τὸν πατέρα του· Πόσος καιρὸς εἶναι ὁποῦ τὸ ἔπαθε; Καὶ λέγει του· Ἀπὸ μικρὸν παιδίον.

22 Καὶ πολλαῖς φοραῖς τὸν ἔρριξεν εἰς τὴν φωτία καὶ εἰς τὰ νερὰ, διὰ νὰ τὸν χαλάσῃ· ἀλλὰ ἂν δύνεσαι τίποτες, βοήθησέ μας, σπλαγχνιζόμενός μας.

23 Καὶ ὁ Ἰησοῦς τοῦ λέγει· ἂν δύνεσαι νὰ πιστεύσῃς, ὅλα εἶναι δυνατὰ εἰς ἐκεῖνον ὁποῦ πιστεύει.

24 Καὶ παρευθὺς κράζοντας ὁ πατὴρ τοῦ παιδίου, μὲ δάκρυα ἔλεγε· Πιστεύω, Κύριε, Βοήθησέ με εἰς τὴν ἀπιστίαν.

25 Καὶ ὁ Ἰησοῦς ὡσὰν εἶδεν ὅτι συντρέχει ὁ λαὸς, μὲ ὀργὴν καὶ φοβερισμὸν ἐπρόσταξε τὸ πνεῦμα τὸ ἀκάθαρτον, λέγοντάς του· Τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφὸν, ἐγώ σε προστάζω· Εὔγα ἀπ' αὐτὸν, καὶ πλέον μὴν ἔμβῃς εἰς αὐτόν.

26 Καὶ (τὸ δαιμόνιον) ἔκραξε, καὶ πολλὰ τὸν ἐσπάραξε, καὶ εὐγῆκε· καὶ (ὁ ἄνθρωπος) ἔγινεν ὡσὰν νεκρὸς, ὁποῦ πολλοὶ ἔλεγαν, ὅτι ἀπέθανε.

27 Ὁ δὲ Ἰησοῦς κρατήσας αὐτὸν τῆς χειρὸς, ἤγειρεν αὐτόν· καὶ ἀνέστη.

28 Καὶ εἰσελθόντα αὐτὸν εἰς οἶκον οἱ μαθηταὶ αὐτοῦ ἐπηρώτων αὐτὸν κατ' ἰδίαν· Ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό;

29 Καὶ εἶπεν αὐτοῖς· Τοῦτο τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

30 Καὶ ἐκεῖθεν ἐξελθόντες παρεπορεύοντο διὰ τῆς Γαλιλαίας· καὶ οὐκ ἤθελεν ἵνα τὶς γνῷ.

31 Ἐδίδασκε γὰρ τοὺς μαθητὰς αὐτοῦ, καὶ ἔλεγεν αὐτοῖς· Ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν· καὶ ἀποκτανθεὶς, τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

32 Οἱ δὲ ἠγνόουν τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι.

33 Καὶ ἦλθεν εἰς Καπερναούμ· καὶ ἐν τῇ οἰκίᾳ γενόμενος, ἐπηρώτα αὐτούς· Τί ἐν τῇ ὁδῷ πρὸς ἑαυτοὺς διελογίζεσθε;

34 Οἱ δὲ ἐσιώπων· πρὸς ἀλλήλους γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ, τίς μείζων.

35 Καὶ καθίσας ἐφώνησε

27 Ἀμὴ ὁ Ἰησοῦς τὸν ἐπίασεν ἀπὸ τὸ χέρι, καὶ ἐσήκωσέν τον· καὶ ἐσηκώθη.

28 Καὶ ὡσὰν ἐμβῆκεν (ὁ Ἰησοῦς) μέσα εἰς τὸ σπῆτι, τὸν ἐρωτοῦσαν οἱ μαθητάδες του κατὰ μόνας· Διατί ἐμεῖς δὲν ἐδυνηθήκαμεν νὰ εὐγάλωμεν αὐτό (τὸ δαιμόνιον;)

29 Καὶ λέγει τους· Ἐτοῦτο τὸ γένος μὲ ἄλλον τρόπον δὲν ἠμπορεῖ νὰ εὔγῃ, παρὰ μὲ προσευχὴν καὶ μὲ νηστείαν.

30 Καὶ ὡσὰν εὐγῆκαν ἀπ' ἐκεῖ, ἐπερνοῦσαν ἀπὸ τὴν μέσην τῆς Γαλιλαίας· καὶ δὲν ἤθελε, νὰ τὸν γνωρίσῃ τινάς.

31 Διατὶ ἐδίδασκε τοὺς μαθητάδες του, καὶ τοὺς ἔλεγεν· Ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χέρια ἀνθρώπων, καὶ θέλουσι τὸν θανατώσει· καὶ ὡσὰν θανατωθῇ, τὴν τρίτην ἡμέραν θέλει ἀνασταθῇ.

32 Καὶ ἐκεῖνοι δὲν ἐγνώριζαν τὸν λόγον, καὶ ἐφοβοῦνταν νὰ τὸν ἐρωτήσουν.

33 Καὶ ἦλθεν εἰς τὴν Καπερναούμ· καὶ ὡσὰν ἐμβῆκεν εἰς τὸ σπῆτι, τοὺς ἐρώτησε· Τί ἐδιαλέγουσθαν εἰς τὴν στράταν ἀνάμεσά σας;

34 Καὶ ἐκεῖνοι ἐσιώπαιναν· διατὶ ἐδιαλέχθησαν εἰς τὴν στράταν ἀνάμεσά τους, ποῖος εἶναι μεγαλίτερος.

35 Καὶ ὡσὰν ἐκάθισεν,

τοὺς δώδεκα, καὶ λέγει αὐτοῖς·
Εἴτις θέλει πρῶτος εἶναι,
ἔσται πάντων ἔσχατος, καὶ
πάντων διάκονος.

36 Καὶ λαβὼν παιδίον,
ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν·
καὶ ἐναγκαλισάμενος αὐτὸ,
εἶπεν αὐτοῖς·
37 Ὃς ἐὰν ἓν τῶν τοιούτων
παιδίων δέξηται ἐπὶ τῷ ὀνό-
ματί μου, ἐμὲ δέχεται· καὶ ὃς
ἐὰν ἐμὲ δέξηται, οὐκ ἐμὲ δέχε-
ται, ἀλλὰ τὸν ἀποστείλαντά
με.
38 Ἀπεκρίθη δὲ αὐτῷ ὁ
Ἰωάννης, λέγων· Διδάσκαλε,
εἴδομέν τινα ἐν τῷ ὀνόματί σου
ἐκβάλλοντα δαιμόνια, ὃς οὐκ
ἀκολουθεῖ ἡμῖν· καὶ ἐκωλύσα-
μεν αὐτὸν, ὅτι οὐκ ἀκολουθεῖ
ἡμῖν.
39 Ὁ δὲ Ἰησοῦς εἶπε· Μὴ
κωλύετε αὐτόν· οὐδεὶς γάρ ἐστιν
ὃς ποιήσει δύναμιν ἐπὶ τῷ
ὀνόματί μου, καὶ δυνήσεται
ταχὺ κακολογῆσαί με·

40 Ὃς γὰρ οὐκ ἔστι καθ'
ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν.

41 Ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς
ποτήριον ὕδατος ἐν τῷ ὀνό-
ματί μου, ὅτι Χριστοῦ ἐστε, ἀμὴν
λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν
μισθὸν αὐτοῦ.
42 Καὶ ὃς ἂν σκανδαλίσῃ

ἐκάλεσε τοὺς δώδεκα, καὶ λέγει
τους· Ὅποιος θέλει νὰ εἶναι
πρῶτος, θέλει εἶσθαι ὑστερότε-
ρος ἀπὸ ὅλους, καὶ ὁλονῶν
ὑπηρέτης.
36 Καὶ πιάνωντας ἕνα
παιδίον, τὸ ἔστησεν εἰς τὴν μέ-
σην τους· καὶ ἀγκαλιάζωντάς
το, τοὺς λέγει·
37 Ὅποιος δεχθῇ ἕνα μι-
κρὸν παιδίον ὡσὰν ἐτοῦτο διὰ
τὸ ὄνομά μου, ἐμένα δέχεται;
καὶ ὅποιος δεχθῇ ἐμένα, δὲν
δέχεται ἐμένα, ἀλλὰ ἐκεῖνον,
ὁποῦ μὲ ἔστειλεν.
38 Καὶ ὁ Ἰωάννης τοῦ ἀπε-
κρίθη, λέγωντας· Διδάσκαλε,
εἴδαμεν κάποιον ὁποῦ εἰς τὸ
ὄνομά σου εὔγανε δαιμόνια, ὁ
ὁποῖος δὲν μᾶς ἀκολουθᾷ· καὶ
ἐμποδίσαμέν τον, ὅτι δὲν μᾶς
ἀκολουθᾷ.
39 Καὶ ὁ Ἰησοῦς εἶπε· Μὴν
τὸν ἐμποδίζετε· διατὶ δὲν εἶναι
κανένας ὁποῦ νὰ κάμῃ τίποτες
δύναμιν εἰς τὸ ὄνομά μου, καὶ
νὰ δυνηθῇ εὐθὺς νὰ μὲ κακο-
λογήσῃ·
40 Διατὶ ἐκεῖνος, ὁποῦ
δὲν εἶναι ἐναντίος μας, εἶναι
διὰ λόγου μας.
41 Καὶ ὅποιος σᾶς ποτίσει
ἕνα ποτήρι νερὸ διὰ ὄνομά μου,
ὅτι εἶσθε τοῦ Χριστοῦ, βέβαια
σᾶς λέγω, δὲν θέλει χάσει τὴν
πληρωμήν του.
42 Καὶ ὅποιος σκανδαλί-

ἕνα τῶν μικρῶν τῶν πιστευόντων εἰς ἐμὲ, καλόν ἐστιν αὐτῷ μᾶλλον εἰ περίκειται λίθος μυλικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ βέβληται εἰς τὴν θάλασσαν.

43 Καὶ ἐὰν σκανδαλίζῃ σε ἡ χείρ σου, ἀπόκοψον αὐτήν· καλόν σοι ἐστὶ κυλλὸν εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ τὰς δύο χεῖρας ἔχοντα, ἀπελθεῖν εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον·

44 Ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται.

45 Καὶ ἐὰν ὁ πούς σου σκανδαλίζῃ σε, ἀπόκοψον αὐτόν· καλόν ἐστί σοι εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν, ἢ τοὺς δύο πόδας ἔχοντα βληθῆναι εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον·

46 Ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται.

47 Καὶ ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔκβαλε αὐτόν· καλόν σοι ἐστὶ μονόφθαλμον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός·

48 Ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται.

49 Πᾶς γὰρ πυρὶ ἁλισθήσεται· καὶ πᾶσα θυσία ἁλὶ ἁλισθήσεται.

σει ἕνα ἀπὸ τοὺς μικροὺς ἐτούτους, ὅπου πιστεύουν εἰς ἐμένα, καλλίτερόν του εἶναι, νὰ βαλθῇ μία μυλόπετρα εἰς τὸν λαιμόν του, καὶ νὰ ῥιφθῇ εἰς τὴν θάλασσαν.

43 Καὶ ἐάν σε σκανδαλίζῃ τὸ χέρι σου, κόψε το· καλλίτερόν σου εἶναι μὲ ἕνα χέρι νὰ πάγῃς εἰς τὴν ζωὴν, παρὰ νὰ ἔχῃς δύο χέρια, καὶ νὰ πάγῃς εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον·

44 Ἐκεῖ ὅπου ὁ σκώληξ αὐτῶν δὲν ἔχει τέλος, καὶ ἡ φωτία δὲν σβεῖ.

45 Καὶ ἐάν σε σκανδαλίζῃ τὸ ποδάρι σου, κόψε το· καλλίτερόν σου εἶναι νὰ πάγῃς εἰς τὴν ζωὴν κουτζὸς, παρὰ νὰ ἔχῃς δύο ποδάρια, καὶ νὰ πάγῃς εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον·

46 Ἐκεῖ ὅπου ὁ σκώληξ αὐτῶν δὲν τελειώνει, καὶ ἡ φωτία δὲν σβεῖ.

47 Καὶ ἐάν σε σκανδαλίζῃ τὸ μάτι σου, εὔγαλέ το· διατὶ καλλίτερόν σου εἶναι μὲ ἕνα μάτι νὰ ἔμβῃς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, παρὰ νὰ ἔχῃς δύο μάτια, καὶ νὰ ἔμβῃς εἰς τὴν γέενναν τοῦ πυρός·

48 Ἐκεῖ ὅπου ὁ σκώληξ αὐτῶν δὲν ἀποθνήσκει, καὶ ἡ φωτία δὲν σβεῖ.

49 Διατὶ καθ' ἕνας μὲ φωτίαν θέλει ἁλατισθῇ· καὶ κάθε θυσία μὲ τὸ ἅλας θέλει ἁλατισθῇ.

50 Καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται, ἐν τίνι αὐτὸ ἀρτύσετε; ἔχετε ἐν ἑαυτοῖς ἅλας, καὶ εἰρηνεύετε ἐν ἀλλήλοις.

50 Καλὸν εἶναι τὸ ἅλας· ἀμὴ ἂν τὸ ἅλας γένη ἄναλον, μὲ τί νὰ ἁλατισθῇ αὐτό; ἔχετε εἰς τῦ λόγυ σας ἅλας, καὶ εἰρηνεύετε ἀνάμεσά σας.

Κεφ. ί. 10.

Κἀκεῖθεν ἀναςὰς ἔρχεται εἰς τὰ ὅρια τῆς Ἰυδαίας, διὰ τοῦ πέραν τοῦ Ἰορδάνυ· καὶ συμπορεύονται πάλιν ὄχλοι πρὸς αὐτόν· καὶ, ὡς εἰώθει, πάλιν ἐδίδασκεν αὐτύς.

2 Καὶ προσελθόντες οἱ φαρισαῖοι, ἐπηρώτησαν αὐτόν· εἰ ἔξεςιν ἀνδρὶ γυναῖκα ἀπολῦσαι; πειράζοντες αὐτόν.

3 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Τί ὑμῖν ἐνετείλατο Μωσῆς;

4 Οἱ δὲ εἶπον· Μωσῆς ἐπέτρεψε βιβλίον ἀποςασίυ γράψαι, καὶ ἀπολῦσαι.

5 Καὶ ἀποκριθεὶς ὁ Ἰησῦς, εἶπεν αὐτοῖς· Πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν ἐντολὴν ταύτην·

6 Ἀπὸ δὲ ἀρχῆς κτίσεως, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτὺς ὁ Θεός.

7 Ἕνεκεν τύτυ καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτῦ.

8 Καὶ ἔσονται οἱ δύο εἰς σάρ-

ΚΑΙ᾽ ἀπ᾽ ἐκεῖ ἐσηκώθη καὶ ἦλθεν εἰς τὰ σύνορα τῆς Ἰυδαίας, διὰ μέσυ τῆς χώρας ὁπῦ εἶναι πέραν τοῦ Ἰορδάνυ· καὶ πάλιν οἱ ὄχλοι ἐπαγένασι μαζὺ εἰς αὐτὸν· καὶ, καθὼς εἶχε συνήθειαν, πάλιν τὺς ἐδίδασκε.

2 Καὶ ἔςωντας νὰ ἔλθυν εἰς αὐτὸν οἱ φαρισαῖοι, τὸν ἐρωτῦσαν· ἂν ἔχει ἐξυσίαν ἄνδρας νὰ ἀφήσῃ τὴν γυναῖκά τυ; δοκιμάζοντές τον.

3 Καὶ ὁ Ἰησῦς ἀπεκρίθη, καὶ εἶπέν τυς· Τί σᾶς ἐπαράγγειλεν ὁ Μωϋσῆς;

4 Καὶ ἐκεῖνοι εἶπαν· Ὁ Μωϋσῆς ἔδωκεν ἄδειαν νὰ γράψῃ διαζύγιον, καὶ νὰ τὴν ἀφίνῃ.

5 Καὶ ἀπεκρίθη ὁ Ἰησῦς, καὶ τὺς εἶπεν· Διὰ τὴν σκληροκαρδίαν σας σᾶς ἔγραψε τὴν ἐντολὴν αὐτήν·

6 Ἀμὴ ἀπό τὴν ἀρχὴν τῆς κτίσεως, ἄρσεν καὶ θῆλυ τὺς ἔκαμεν ὁ Θεός.

7 Καὶ εἶπε· Διὰ τῦτο θέλει ἀφήσει ἄνθρωπος τὸν πατέρα τυ καὶ τὴν μητέρα τυ, καὶ θέλει προσκολληθῇ μὲ τὴν γυναῖκά τυ.

8 Καὶ θέλυσιν εἶσθαι οἱ δύο

κα μίαν· ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ μία σάρξ.

9 Ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

10 Καὶ ἐν τῇ οἰκίᾳ πάλιν οἱ μαθηταὶ αὐτοῦ περὶ τοῦ αὐτοῦ ἐπηρώτησαν αὐτόν.

11 Καὶ λέγει αὐτοῖς· Ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται ἐπ' αὐτήν.

12 Καὶ ἐὰν γυνὴ ἀπολύσῃ τὸν ἄνδρα αὐτῆς, καὶ γαμηθῇ ἄλλῳ, μοιχᾶται.

13 Καὶ προσέφερον αὐτῷ παιδία, ἵνα ἅψηται αὐτῶν· οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν.

14 Ἰδὼν δὲ ὁ Ἰησοῦς ἠγανάκτησε, καὶ εἶπεν αὐτοῖς· Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ.

15 Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.

16 Καὶ ἐναγκαλισάμενος αὐτὰ, τιθεὶς τὰς χεῖρας ἐπ' αὐτὰ, ηὐλόγει αὐτά.

17 Καὶ ἐκπορευομένου αὐτοῦ εἰς ὁδὸν, προσδραμὼν εἷς καὶ γονυπετήσας αὐτὸν, ἐπη-

εἰς μίαν σάρκα· εἰς τόσον ὁποῦ δὲν εἶναι πλέον δύο, ἀλλὰ μία σάρκα.

9 Ἐκεῖνο λοιπὸν ὁποῦ ὁ Θεὸς ἔσμιξεν, ἄνθρωπος ἂς μὴν τὸ χωρίζῃ.

10 Καὶ εἰς τὸ σπῆτι πάλιν οἱ μαθητάδες του τὸν ἐρώτησαν διὰ τοῦτο.

11 Καὶ λέγει τους· Κάθε ἄνθρωπος ὁποῦ νὰ ἀφήσῃ τὴν γυναῖκά του, καὶ νὰ ὑπανδρευθῇ ἄλλην, γίνεται μοιχὸς εἰς αὐτήν.

12 Καὶ ἐὰν ἡ γυναῖκα ἀπολύσῃ τὸν ἄνδρα της, καὶ ὑπανδρευθῇ μὲ ἄλλον, εἶναι μοιχή.

13 Καὶ ἔφεράν του παιδία, διὰ νὰ τὰ πιάσῃ· καὶ οἱ μαθητάδες ὀνείδιζαν ἐκείνους ὁποῦ τὰ ἔφερναν.

14 Καὶ ὁ Ἰησοῦς ὡσὰν τὸ εἶδεν, ἀδημόνησε, καὶ λέγει τους· Ἀφῆτε τὰ παιδία νὰ ἔρχωνται εἰς ἐμένα, καὶ μὴν τα ἐμποδίζετε· διατὶ τῶν τοιούτων εἶναι ἡ βασιλεία τοῦ Θεοῦ.

15 Βέβαια σᾶς λέγω, ὅτι ὅποιος δὲν θέλει δεχθῇ τὴν βασιλείαν τοῦ Θεοῦ ὡσὰν παιδίον, δὲν θέλει ἔμβει εἰς αὐτήν.

16 Καὶ ἀγκαλιάζωντάς τα, ἔβαλλε τὰ χέριά του ἀπάνω εἰς αὐτὰ, καὶ τὰ εὐλόγησε.

17 Καὶ εὐγένωντας αὐτὸς εἰς τὴν στράτα, ἔτρεξεν ἕνας, καὶ γονατίζωντας, τὸν ἐρώτα· Δι-

ρώτα αὐτόν· Διδάσκαλε ἀγαθὲ, τί ποιήσω ἵνα ζωὴν αἰώνιον κληρονομήσω;

18 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς, ὁ Θεός.

19 Τὰς ἐντολὰς οἶδας· Μὴ μοιχεύσῃς· Μὴ φονεύσῃς· Μὴ κλέψῃς. Μὴ ψευδομαρτυρήσῃς· Μὴ ἀποστερήσῃς· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα.

20 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτῷ· Διδάσκαλε, ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου.

21 Ὁ δὲ Ἰησοῦς ἐμβλέψας αὐτῷ, ἠγάπησεν αὐτὸν, καὶ εἶπεν αὐτῷ· Ἕν σοι ὑστερεῖ· ὕπαγε, ὅσα ἔχεις πώλησον, καὶ δὸς τοῖς πτωχοῖς· καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο, ἀκολούθει μοι, ἄρας τὸν σταυρόν.

22 Ὁ δὲ, στυγνάσας ἐπὶ τῷ λόγῳ, ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά.

23 Καὶ περιβλεψάμενος ὁ Ἰησοῦς λέγει τοῖς μαθηταῖς αὐτοῦ· Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελεύσονται;

24 Οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ. Ὁ δὲ Ἰησοῦς πάλιν ἀποκριθεὶς,

δάσκαλε ἀγαθὲ, τί νὰ κάμω διὰ νὰ κληρονομήσω την ζωὴν τὴν αἰώνιον;

18 Καὶ ὁ Ἰησοῦς τοῦ εἶπε· Τί με λέγεις ἀγαθόν; οὐδένας εἶναι ἀγαθὸς, παρὰ ἕνας, ὁ Θεός.

19 Ταῖς παραγγελίαις ταῖς ἰξεύρεις· Μὴν μοιχεύσῃς· Μὴν φονεύσῃς· Μὴν κλέψῃς. Μὴν ψευδομαρτυρεύσῃς· Μὴν κάμῃς ζημίαν τινός· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου.

20 Ἐκεῖνος ἀπεκρίθη, καὶ τοῦ εἶπε· Διδάσκαλε, ἐτοῦτα ὅλα τὰ ἐφύλαξα ἀπὸ τὴν νεότητά μου.

21 Καὶ ὁ Ἰησοῦς βλέποντάς τον, τὸν ἀγάπησε, καὶ εἶπέ του· Ἕνα ἀκόμι σοῦ λείπει· σύρε, καὶ ὅσα ἔχεις πούλησέ τα, καὶ δὸς τα εἰς τοὺς πτωχούς· καὶ θέλεις ἔχει θησαυρὸν εἰς τὸν οὐρανόν· καὶ ἔλα, ἀκολούθα μου, σηκώνοντας τὸν σταυρόν.

22 Καὶ ἐκεῖνος ἔστωντας νὰ πικραθῇ εἰς τὸν λόγον ἐκεῖνον, ἐδιέβη λυπημένος· διατὶ εἶχε πολλὰ πράγματα.

23 Καὶ ὁ Ἰησοῦς ἐγύρισε καὶ εἶδε τριγύρω, καὶ λέγει εἰς τοὺς μαθητάδες του· Πῶς δύσκολα ἐκεῖνοι ὁποῦ ἔχουν τὸν πλοῦτον, θέλουν ἔμβει εἰς τὴν βασιλείαν τοῦ Θεοῦ;

24 Καὶ οἱ μαθητάδες ἐξεπλήττουνταν εἰς τὰ λόγιά του. Καὶ ὁ Ἰησοῦς πάλιν ἀπεκρίθη,

λέγει αὐτοῖς· Τέκνα, πῶς δύσκολόν ἐστι τοὺς πεποιθότας ἐπὶ τοῖς χρήμασιν, εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν;

25 Εὐκοπώτερόν ἐστι κάμηλον διὰ τῆς τρυμαλιᾶς τῆς ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν.

26 Οἱ δὲ περισσῶς ἐξεπλήσσοντο, λέγοντες πρὸς ἑαυτούς· Καὶ τίς δύναται σωθῆναι;

27 Ἐμβλέψας δὲ αὐτοῖς ὁ Ἰησοῦς, λέγει· Παρὰ ἀνθρώποις ἀδύνατον, ἀλλ' οὐ παρὰ τῷ Θεῷ· πάντα γὰρ δυνατά ἐστι παρὰ τῷ Θεῷ.

28 Καὶ ἤρξατο ὁ Πέτρος λέγειν αὐτῷ· Ἰδού, ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι.

29 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν, ἢ ἀδελφοὺς ἢ ἀδελφάς, ἢ πατέρα ἢ μητέρα, ἢ γυναῖκα ἢ τέκνα, ἢ ἀγρούς, ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου,

30 Ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα νῦν ἐν τῷ καιρῷ τούτῳ, οἰκίας, καὶ ἀδελφοὺς καὶ ἀδελφάς, καὶ μητέρας καὶ τέκνα, καὶ ἀγρούς, μετὰ διωγμῶν, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.

καὶ λέγει τους· Ὦ παιδία, πῶς δύσκολον εἶναι ἐκεῖνοι ὅπου ἔχουν τὸ θάῤῥος τους εἰς τὰ ἄσπρα νὰ ἐμβοῦσιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

25 Εὐκολώτερον εἶναι νὰ περάσῃ καμήλα ἀπὸ τὴν τρύπα τῆς βελόνας, παρὰ ὁ πλούσιος νὰ ἔμβῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

26 Καὶ ἐκεῖνοι περισσὰ ἐξεπλήττουνταν, καὶ ἔλεγαν ἀνάμεσά τους· Και ποῖος δύνεται να σωθῇ;

27 Καὶ ἀτενίσας ὁ Ἰησοῦς εἰς αὐτούς, τοὺς εἶπεν· Εἰς τοὺς ἀνθρώπους εἶναι ἀδύνατον, ἀμὴ ὄχι εἰς τὸν Θεόν· διατὶ ὅλα εἶναι δυνατὰ σιμὰ εἰς τὸν Θεόν.

28 Καὶ ἄρχισεν ὁ Πέτρος νὰ τοῦ λέγῃ· Νά, ἐμεῖς ὅπου ἀφήκαμεν ὅλα, καὶ σὲ ἀκολουθήσαμεν.

71 Καὶ ἄρχισε νὰ ἀναθεματίζῃ καὶ νὰ ὀμώνῃ· Ὅτι δὲν ἰξεύρω τὸν ἄνθρωπον ἐτοῦτον ὁποῦ λέγετε.

72 Καὶ ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησε· καὶ ἀνεμνήσθη ὁ Πέτρος τοῦ ῥήματος οὗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ὅτι πρὶν ἀλέκτορα φωνῆσαι δὶς, ἀπαρνήσῃ με τρίς. Καὶ ἐπιβαλὼν, ἔκλαιε.

72 Καὶ ὁ πετεινὸς ἐλάλησε δεύτερον· καὶ ἀνεθυμήθη ὁ Πέτρος τὸν λόγον ὁποῦ τοῦ εἶπεν ὁ Ἰησοῦς· Ὅτι πρὸ τοῦ νὰ λαλήσῃ ὁ πετεινὸς δύο φοραῖς, θέλεις μὲ ἀρνηθῆ τρεῖς. Καὶ ἄρχισε νὰ κλαίγῃ.

Κεφ. ιέ. 15.

ΚΑΙ᾽ εὐθέως ἐπὶ τὸ πρωῒ συμβούλιον ποιήσαντες οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων, καὶ ὅλον τὸ συνέδριον, δήσαντες τὸν Ἰησοῦν ἀπήνεγκαν, καὶ παρέδωκαν τῷ Πιλάτῳ.

ΚΑΙ᾽ παρευθὺς ἀπὸ ταχὺ ἐσυμβουλεύθηκαν οἱ ἀρχιερεῖς μὲ τοὺς πρεσβυτέρους καὶ γραμματεῖς, καὶ ὅλον τὸ συνέδριον, καὶ ἔδεσαν τὸν Ἰησοῦν καὶ ἐπῆγάν τον, καὶ ἐπαράδωκάν τον εἰς τὸν Πιλάτον.

2 Καὶ ἐπηρώτησεν αὐτὸν ὁ Πιλάτος· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτῷ· Σὺ λέγεις.

2 Καὶ ὁ Πιλάτος τὸν ἐρώτησεν· Ἐσὺ εἶσαι ὁ βασιλεὺς τῶν Ἰουδαίων; Καὶ ὁ Ἰησοῦς ἀπεκρίθη, καὶ εἶπεν τοῦ· Ἐσὺ τὸ λέγεις.

3 Καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά.

3 Καὶ ἐκατηγοροῦσάν τον οἱ ἀρχιερεῖς πολλά. (καὶ αὐτὸς δὲν ἀπεκρίθη τίποτες.)

4 Ὁ δὲ Πιλάτος πάλιν ἐπηρώτησεν αὐτὸν, λέγων· Οὐκ ἀποκρίνῃ οὐδέν; ἴδε πόσα σου καταμαρτυροῦσιν.

4 Καὶ ὁ Πιλάτος πάλιν τὸν ἐμετερώτησε, λέγωντας· Δὲν ἀποκρίνεσαι τίποτες; γιὰ ἰδὲς πόσα σοῦ κακομαρτυροῦν.

5 Ὁ δὲ Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη, ὥστε θαυμάζειν τὸν Πιλάτον.

6 Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον, ὅνπερ ᾐτοῦντο.

7 Ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ τῶν συστασιαστῶν δεδεμένος, οἵτινες ἐν τῇ στάσει φόνον πεποιήκεισαν.

8 Καὶ ἀναβοήσας ὁ ὄχλος, ἤρξατο αἰτεῖσθαι, καθὼς ἀεὶ ἐποίει αὐτοῖς.

9 Ὁ δὲ Πιλάτος ἀπεκρίθη αὐτοῖς, λέγων· Θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων;

10 (Ἐγίνωσκε γὰρ ὅτι διὰ φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς·)

11 Οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον ἵνα μᾶλλον τὸν Βαραββᾶν ἀπολύσῃ αὐτοῖς.

12 Ὁ δὲ Πιλάτος ἀποκριθεὶς, πάλιν εἶπεν αὐτοῖς· Τί οὖν θέλετε ποιήσω ὃν λέγετε βασιλέα τῶν Ἰουδαίων;

13 Οἱ δὲ πάλιν ἔκραξαν· Σταύρωσον αὐτόν.

14 Ὁ δὲ Πιλάτος ἔλεγεν αὐτοῖς· Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσοτέρως ἔκραξαν. Σταύρωσον αὐτόν.

15 Ὁ δὲ Πιλάτος βουλόμενος

5 Καὶ ὁ Ἰησοῦς πλέον δὲν ἀπεκρίθη τίποτες, εἰς τόσον ὁποῦ ἐθαύμαζεν ὁ Πιλάτος.

6 Καὶ κάθε ἑορτὴν τοὺς ἐλευθέρωνεν ἕνα δεμένον, ὁποῖον ἤθελαν ζητήσῃ.

7 Καὶ ἦτον ἕνας, ὁποῦ τὸν ἔλεγαν Βαραββᾶν, δεμένος μαζὺ μὲ ἐκείνους ὁποῦ ἐσήκωσαν κεφάλι μαζύ του, οἱ ὁποῖοι εἰς τὴν ἀποστασίαν εἶχαν κάμει φόνον.

8 Καὶ ὁ ὄχλος ἐβόησε, καὶ ἄρχισαν νὰ ζητοῦσι, (νὰ τοὺς κάμῃ,) καθὼς τοὺς ἔκαμε πάντα.

9 Καὶ ὁ Πιλάτος τοὺς ἀπεκρίθη, λέγωντας· Θέλετε νὰ σᾶς ἀπολύσω τὸν βασιλέα τῶν Ἰουδαίων;

10 (Διατὶ ἤξευρεν ὅτι διὰ φθόνον τὸν ἐπαράδωκαν οἱ ἀρχιερεῖς·)

11 Ἀμὴ οἱ ἀρχιερεῖς ἐπαρακίνησαν τὸν ὄχλον, νὰ τοὺς ἀπολύσῃ τὸν Βαραββᾶν καλλίτερα.

12 Καὶ ὁ Πιλάτος ἀπεκρίθη πάλιν, καὶ λέγει τους· Λοιπὸν τί θέλετε νὰ κάμω ἐκεῖνον ὁποῦ λέγετε βασιλέα τῶν Ἰουδαίων;

13 Καὶ ἐκεῖνοι πάλιν ἔκραξαν· Σταύρωσον αὐτόν.

14 Καὶ ὁ Πιλάτος τοὺς ἔλεγε· Καὶ τί κακὸν ἔκαμε; Καὶ ἐκεῖνοι περισσότερον ἔκραζαν· Σταύρωσέ τον.

15 Καὶ ὁ Πιλάτος θέλων-

τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι, ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, καὶ παρέδωκε τὸν Ἰησοῦν φραγελλώσας, ἵνα σταυρωθῇ.

16 Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς, ὅ ἐστι πραιτώριον· καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν.

17 Καὶ ἐνδύουσιν αὐτὸν πορφύραν, καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον.

18 Καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν· Χαῖρε βασιλεῦ τῶν Ἰουδαίων.

19 Καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ, καὶ ἐνέπτυον αὐτῷ, καὶ τιθέντες τὰ γόνατα προσεκύνουν αὐτῷ.

20 Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ ἐξέδυσαν αὐτὸν τὴν πορφύραν, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια· καὶ ἐξάγουσιν αὐτὸν ἵνα σταυρώσωσιν αὐτόν.

21 Καὶ ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον, (ἐρχόμενον ἀπ' ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου,) ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.

22 Καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθᾶ τόπον· ὅ ἐστι μεθερμηνευόμενον, κρανίου τόπος.

23 Καὶ ἐδίδουν αὐτῷ πιεῖν

τας νὰ κάμῃ ἐκεῖνο ὁποῦ ἄρεσε τοῦ λαοῦ, ἀπόλυσέν τους τὸν Βαραββᾶν, καὶ τὸν Ἰησοῦν δέρνωντας τοὺς τὸν ἐπαράδωκε, νὰ σταυρωθῇ.

16 Καὶ οἱ στρατιῶται τὸν ἐπῆραν καὶ τὸν ἐπῆγαν μέσα εἰς τὴν αὐλὴν, ὁποῦ εἶναι τὸ πραιτώριον· καὶ ἐμάζωξαν ὅλον τὸ τάγμα.

17 Καὶ ἔνδυσάν τον κόκκινον φόρεμα, καὶ ἔπλεξαν στεφάνι ἀκάνθινον, καὶ τὸ ἔβαλλαν εἰς τὸ κεφάλι του.

18 Καὶ ἄρχισαν νὰ τὸν χαιρετοῦν, νὰ τοῦ λέγουν· Χαῖρε, ὦ βασιλεὺς τῶν Ἰουδαίων.

19 Καὶ τὸν ἐκτυποῦσαν εἰς τὸ κεφάλι μὲ καλάμι, καὶ τὸν ἐπτυοῦσαν, καὶ ἐγονάτιζαν καὶ τὸν ἐπροσκυνοῦσαν.

20 Καὶ ὡσὰν τὸν ἔπαιξαν, τὸν ἔκδυσαν τὸ κόκκινον φόρεμα, καὶ τὸν ἔνδυσαν τὰ φορέματα τὰ ἐδικά του· καὶ εὔγαλάν τον (νὰ τὸν ὑπᾶν) νὰ τὸν σταυρώσουν.

21 Καὶ ἀγγάρευσαν κάποιον Σίμωνα Κυρηναῖον, ὁποῦ ἐπέρνα (ἀπ' ἐκεῖ) καὶ ἤρχουντον ἀπὸ τὸ χωράφι, τὸν πατέρα τοῦ Ἀλεξάνδρου καὶ Ῥούφου) διὰ νὰ σηκώσῃ τὸν σταυρόν του.

22 Καὶ ἔφεραν τὸν (Ἰησοῦν) εἰς τὸν τόπον τοῦ Γολγοθᾶ· ὁ ὁποῖος ἑρμηνεύεται, τόπος κρανίου.

23 Καὶ τοῦ ἔδιδαν νὰ πίῃ

ἐσμυρνισμένον οἶνον· ὁ δὲ οὐκ ἔλαβε.

24 Καὶ σαυρώσαντες αὐτὸν, διεμέριζον τὰ ἱμάτια αὐτῦ, βάλλοντες κλῆρον ἐπ᾽ αὐτὰ, τίς τί ἄρῃ.

25 Ἦν δὲ ὥρα τρίτη, καὶ ἐσαύρωσαν αὐτόν.

26 Καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτῦ ἐπιγεγραμμένη· Ὁ ΒΑΣΙΛΕΥ͂Σ ΤΩ͂Ν ἸΟΥΔΑΙΏΝ.

27 Καὶ σὺν αὐτῷ σαυρῦσι δύο λῃςάς· ἕνα ἐκ δεξιῶν, καὶ ἕνα ἐξ εὐωνύμων αὐτῦ.

28 Καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγυσα· Καὶ μετὰ ἀνόμων ἐλογίσθη.

29 Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμυν αὐτὸν, κινῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες· Οὐὰ, ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν·

30 Σῶσον σεαυτὸν, καὶ κατάβα ἀπὸ τοῦ σαυρῦ.

31 Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλυς μετὰ τῶν γραμματέων, ἔλεγον· Ἄλλυς ἔσωσεν, ἑαυτὸν ὐ δύναται σῶσαι.

32 Ὁ Χριςὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τῦ σαυρῦ, ἵνα ἴδωμεν καὶ πιςεύσωμεν. Καὶ οἱ συνεσαυρωμένοι αὐτῷ ὠνείδιζον αὐτόν.

κρασὶ ἀνακατωμένον μὲ σμύρναν, ἀμὴ ἐκεῖνος δὲν τὸ ἐπῆρε.

24 Καὶ ὡσὰν τὸν ἐσαύρωσαν, ἐμοίραζαν τὰ φορέματά τυ, καὶ ἔῤῥιχναν λαχνὺς, ποῖον νὰ πάρῃ καθε ἕνας ἀπ᾽ αὐτά.

25 Καὶ ἦτον ὥρα τρίτη, ὅταν τὸν ἐσαύρωσαν.

26 Καὶ ἡ ἐπιγραφὴ τῆς αἰτίας τυ ἦτον ἀπάνω γεγραμμένη· Ὁ ΒΑΣΙΛΕΥ͂Σ ΤΩ͂Ν ἸΟΥΔΑΙΏΝ.

27 Καὶ μαζὺ μετ᾽ αὐτὸν ἐσαύρωσαν δύο λῃςάς· ἕνα ἀπὸ τὴν δεξιὰν, καὶ ἄλλον ἀπὸ τὴν ζερβιάν τυ.

28 Καὶ ἐτελειώθη ἡ γραφὴ ὁπῦ λέγει· Καὶ ἐλογαριάσθη μαζὺ μὲ τὺς ἀνόμυς.

29 Καὶ ἐκεῖνοι ὁπῦ ἐπερνῦσαν (ἀπὸ τὴν σράταν) τὸν ἐβλασφημῦσαν, κυνῦντες τὰ κεφάλιά τυς, καὶ λέγοντες· Οὐαὶ, ἐσὺ ὁπῦ χαλᾷς τὸν ναὸν, καὶ εἰς τρεῖς ἡμέραις τὸν οἰκοδομεῖς·

30 Σῶσε τοῦ λόγυ συ, καὶ κατέβα ἀπὸ τὸν σαυρόν.

31 Ὁμοίως καὶ οἱ ἀρχιερεῖς παίζοντες ἀνάμεσά τυς μὲ τὺς γραμματεῖς, ἔλεγαν· Ἄλλυς ἐγλύτωσε, καὶ τοῦ λόγυ τυ δὲν δύνεται νὰ γλυτώσῃ.

32 Ὁ Χριςὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ, ἂς κατέβῃ τώρα ἀπὸ τὸν σαυρὸν, νὰ εἰδῦμεν καὶ νὰ πιςεύσωμεν. Καὶ ἐκεῖνοι ὁπῦ ἦταν μαζὺ μετ᾽ αὐτὸν σαυρωμένοι, τὸν ὠνείδιζαν.

33 Γενομένης δὲ ὥρας ἕκτης, σκότος ἐγένετο ἐφ᾽ ὅλην τὴν γῆν ἕως ὥρας ἐννάτης.

34 Καὶ τῇ ὥρᾳ τῇ ἐννάτῃ ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων· Ἐλωῒ, Ἐλωῒ, λαμμᾶ σαβαχθανί; ὅ ἐστι μεθερμηνευόμενον· Ὁ Θεός μου, ὁ Θεός μου, εἰς τί με ἐγκατέλιπες;

35 Καί τινες τῶν παρεστηκότων ἀκούσαντες, ἔλεγον· Ἰδοὺ, Ἠλίαν φωνεῖ.

36 Δραμὼν δὲ εἷς, καὶ γεμίσας σπόγγον ὄξους, περιθείς τε καλάμῳ, ἐπότιζεν αὐτὸν, λέγων· Ἄφετε· ἴδωμεν εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν.

37 Ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην, ἐξέπνευσε.

38 Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ ἄνωθεν ἕως κάτω.

39 Ἰδὼν δὲ ὁ κεντυρίων ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕτως κράξας ἐξέπνευσεν, εἶπεν· Ἀληθῶς ὁ ἄνθρωπος οὗτος υἱὸς ἦν Θεοῦ.

40 Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι· ἐν αἷς ἦν καὶ Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου τοῦ μικροῦ, καὶ Ἰωσῆ μήτηρ, καὶ Σαλώμη·

33 Καὶ ὅταν ἔγινεν ἕκτη ὥρα, ἐσκοτείνιασεν ἡ γῆ ὅλη, ἕως τὴν ἐννάτην ὥραν.

34 Καὶ τὴν ἐννάτην ὥραν ἐβόησεν ὁ Ἰησοῦς μεγάλην φωνὴν, καὶ εἶπεν· Ἐλωῒ, Ἐλωῒ, λαμμᾶ σαβαχθανί; τὸ ὁποῖον μεθερμηνευόμενον (θέλει νὰ εἰπῇ·) Ὁ Θεὸς, ὁ Θεός μου, διατί μὲ ἐγκατέλιπες;

35 Καὶ κάποιοι ἀπὸ ἐκείνους ὁποῦ ἐπαραστέκουνταν ἐκεῖ, ὡσὰν τὸ ἤκουσαν, εἶπαν· Νὰ, ὁποῦ φωνάζει τὸν Ἠλίαν.

36 Καὶ τρέχωντας ἕνας ἐγέμισεο ξύδι ἕνα σφογγάρι, καὶ τὸ ἔβαλλεν εἰς καλάμι, καὶ τὸν ἐπότιζε, καὶ ἔλεγεν· Ἀφῆτε, νὰ εἴδουμεν ἐὰν ἔρχεται ὁ Ἠλίας νὰ τὸν καταβάσῃ.

37 Καὶ ὁ Ἰησοῦς ἀφίνωντας μεγάλην φωνὴν, ἐξεψύχησε.

38 Καὶ τὸ βημόθυρον τοῦ ναοῦ ἐσχίσθη εἰς δύο (κομμάτια) ἀπὸ πάνω ἕως κάτω.

39 Καὶ ὡσὰν τὸ εἶδεν ὁ ἑκατόνταρχος, ὁποῦ ἐπαραστέκουνταν ἀπὸ ἀγνάντιά του, ὅτι τέτοιας λογῆς κράζωντας ἐξεψύχησεν, εἶπεν· Ἀληθινὰ ὁ ἄνθρωπος ἐτοῦτος Θεοῦ υἱὸς ἦτον.

40 Ἦταν καὶ γυναῖκαις ὁποῦ ἐβλέπασιν ἀπὸ μακρὰ· ἀνάμεσα εἰς τὰς ὁποίας ἦταν ἡ Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ μήτηρ τοῦ Ἰακώβου τοῦ μικροῦ, καὶ τοῦ Ἰωσῆ, καὶ ἡ Σαλώμη·

41 Αἳ καὶ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ, ἠκολούθουν αὐτῷ, καὶ διηκόνουν αὐτῷ· καὶ ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα.

42 Καὶ ἤδη ὀψίας γενομένης, (ἐπεὶ ἦν παρασκευὴ, ὅ ἐστι προσάββατον)

43 Ἦλθεν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, εὐσχήμων βουλευτὴς, ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, τολμήσας εἰσῆλθε πρὸς Πιλάτον, καὶ ἠτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ.

44 Ὁ δὲ Πιλάτος ἐθαύμασεν εἰ ἤδη τέθνηκε· καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα, ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανε.

45 Καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος, ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ.

46 Καὶ ἀγοράσας σινδόνα, καὶ καθελὼν αὐτὸν ἐνείλησε τῇ σινδόνι· καὶ κατέθηκεν αὐτὸν ἐν μνημείῳ ὃ ἦν λελατομημένον ἐκ πέτρας· καὶ προσεκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου.

47 Ἡ δὲ Μαρία ἡ Μαγ-

41 Αἱ ὁποίαις τὸν ἀκολουθοῦσαν, καὶ ὅταν ἦτον εἰς τὴν Γαλιλαίαν, καὶ τὸν ὑπηρετοῦσαν· καὶ ἄλλαις πολλαῖς ὁποῦ ἀνέβηκαν μαζὺ μετ' αὐτὸν εἰς τὰ Ἱεροσόλυμα.

42 Καὶ ὡσὰν ἐβραδίασεν ὡραμάη, (ἐπειδὴ ἦτον παρασκευὴ, ἡ ὁποῖα εἶναι προτίτερα ἀπὸ τὸ σάββατον)

43 Ἦλθεν ὁ Ἰωσὴφ (ὁ ὁποῖος ἦτον) ἀπὸ τὴν Ἀριμαθαίαν, τίμιος βουλευτὴς, ὁ ὁποῖος καὶ αὐτὸς ἐκδέχετον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἔστωντας νὰ ἀποκοτήσῃ ἐμβῆκε εἰς τὸν Πιλάτον, καὶ ἐζήτησε τὸ κορμὶ τοῦ Ἰησοῦ.

44 Καὶ ὁ Πιλάτος ἐθαύμασεν ἂν ἐκείνην τὴν ὥραν ἀπέθανε· καὶ καλῶντας τὸν ἑκατόνταρχον, τὸν ἐρώτησεν ἂν ἀπέθανεν ἀπὸ πολλὴν ὥραν.

45 Καὶ ὡσάν τὸ ἔμαθεν ἀπὸ τὸν ἑκατόνταρχον, (πῶς ἀπέθανε) ἐχάρισεν εἰς τὸν Ἰωσὴφ τὸ κορμί.

46 Καὶ ἐκεῖνος ἀγόρασεν ἕνα σενδόνιον, καὶ ἐκατέβασε τὸ κορμὶ τοῦ Ἰησοῦ ἀπὸ τὸν σταυρὸν, καὶ τὸ ἐνετύλιξε μὲ σενδόνι· καὶ τὸ ἔβαλλεν μέσα εἰς τὸ μνῆμα, τὸ ὁποῖον μνῆμα ἦτον πελεκημένον ἀπὸ πέτραν· καὶ ἐκύλισε μίαν πέτραν μεγάλην καὶ ἔφραξε τὸ στόμα τοῦ μνημείου.

47 Καὶ ἡ Μαρία ἡ Μαγ-

δαληνὴ καὶ Μαρία Ἰωσῆ ἐθεώρουν πῦ τίθεται.

δαληνὴ καὶ ἡ Μαρία ἡ τοῦ Ἰωσὴφ ἔβλεπαν πῦ βάνεται.

Κεφ. ιϛ'. 16.

ΚΑΙ` διαγενομένου τοῦ σαββάτου, Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Σαλώμη ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν.

2 Καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου.

3 Καὶ ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου;

4 Καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα.

5 Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκήν· καὶ ἐξεθαμβήθησαν.

6 Ὁ δὲ λέγει αὐταῖς· Μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε, ὁ τόπος ὅπου ἔθηκαν αὐτόν.

7 Ἀλλ' ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν.

8 Καὶ ἐξελθοῦσαι ταχὺ,

ΚΑΙ` ὡσὰν ἐπέρασε τὸ σάββατον, Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία (ἡ μήτηρ) τοῦ Ἰακώβου καὶ ἡ Σαλώμη ἀγόρασαν μυρίσματα, διὰ νὰ ὑπᾶσι νὰ τὸν ἀλείψουν.

2 Καὶ πολλὰ ταχὺ ἀπὸ τὴν πρώτην τῆς ἑβδομάδος ἦλθασιν εἰς τὸ μνῆμα, ὅταν εὔγενε ὁ ἥλιος.

3 Καὶ ἔλεγαν ἀνάμεσά τους· Τίς νὰ μᾶς κυλίσῃ τὴν πέτραν ἀπὸ τὴν θύραν τοῦ μνημείου;

4 Καὶ ἔστωντας νὰ ἀναντρανίσουν βλέπουσιν ὅτι ὁ λίθος εἶναι κυλισμένος· διατὶ ἦτον πολλὰ μεγάλος.

5 Καὶ ἐμβαίνοντες εἰς τὸ μνῆμα εἶδαν ἕνα νέον ὁποῦ ἐκάθετον εἰς τὴν δεξιὰν (μερίαν) ἐνδυμένος φορεσίαν ἄσπρην· καὶ ἐξετρόμαξαν.

6 Καὶ ἐκεῖνος ταῖς εἶπε· Μὴν φοβᾶσθε· τὸν Ἰησοῦν ζητᾶτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἀναστάθη, δὲν εἶναι ἐδῶ· νά, ὁ τόπος ὁποῦ τὸν ἔβαλλαν.

7 Ἀμὴ σύρτε, εἰπέτε εἰς τοὺς μαθητάδες του, καὶ εἰς τὸν Πέτρον, ὅτι ὑπάγει προτίτερά σας εἰς τὴν Γαλιλαίαν· ἐκεῖ θέλετε τὸν εἰδῆ, καθὼς σᾶς εἶπε.

8 Καὶ ἔστωντας νὰ εὔγουσιν

ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

9 Ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια.

10 Ἐκείνη πορευθεῖσα ἀπήγγειλε τοῖς μετ' αὐτοῦ γενομένοις, πενθοῦσι καὶ κλαίουσι·

11 Κἀκεῖνοι, ἀκούσαντες ὅτι ζῇ, καὶ ἐθεάθη ὑπ' αὐτῆς, ἠπίστησαν.

12 Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν.

13 Κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις ἐπίστευσαν.

14 Ὕστερον, ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν, καὶ σκληροκαρδίαν· ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν.

15 Καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει.

16 Ὁ πιστεύσας καὶ βαπτι-

ἔξω, ἔφυγαν ἀπὸ τὸ μνῆμα· διατὶ ταῖς ἐπίασε τρομάρα καὶ ἔκστασις· καὶ δὲν εἶπαν κανενὸς τίποτες· διατὶ ἐφοβοῦνταν.

9 Καὶ ἔστωντας νὰ ἀνασταθῇ τὸ ταχὺ τὴν πρώτην τῆς ἑβδομάδος, ἐφάνη πρῶτον εἰς τὴν Μαρίαν τὴν Μαγδαληνήν, ἀπὸ τὴν ὁποῖαν εὔγαλεν ἑπτὰ δαιμόνια.

10 Ἐκείνη ἐπῆγε καὶ τὸ εἶπεν εἰς ἐκείνους ὅπου ἦταν (προτίτερα) μαζύ του, οἱ ὁποῖοι ἐλυποῦνταν καὶ ἔκλαιαν·

11 Καὶ ἐκεῖνοι, ὡσὰν τὸ ἄκουσαν, ὅτι πῶς ζῇ, καὶ τὸν εἶδεν αὐτή, δὲν ἐπίστευσαν.

12 Καὶ ὕστερον ἀπὸ τοῦτα ἐφανερώθη εἰς ἄλλον εἶδος εἰς δύο ἀπ' αὐτούς, ὅπου ἐπεριπατοῦσαν καὶ ἐπαγένασιν εἰς τὸ χωράφι.

13 Καὶ ἐκεῖνοι παγένοντες τὸ εἶπαν καὶ εἰς τοὺς ἄλλους· καὶ οὐδὲ ἐκείνους ἐπίστευσαν.

14 Ὕστερον, ὅταν ἐκάθουνταν οἱ ἕνδεκα ἐφανερώθη εἰς αὐτούς, καὶ ὠνείδισε τὴν ἀπιστίαν, καὶ τὴν σκληροκαρδίαν τους· πῶς δὲν ἐπίστευσαν ἐκείνους ὅπου τὸν εἶδαν ἀναστεμένον.

15 Καὶ τοὺς εἶπε· Σύρτε εἰς ὅλον τὸν κόσμον, κηρύξετε τὸ εὐαγγέλιον εἰς ὅλην τὴν κτίσιν.

16 Ὅποιος πιστεύσει καὶ

σθεὶς σωθήσεται· ὁ δὲ ἀπιστήσας, κατακριθήσεται.

βαπτισθῆ, θέλει σωθῆ· καὶ ὅποιος δὲν πιστεύσει, θέλει κατακριθῆ.

17 Σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει· Ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς·

17 Καὶ ἐκείνους ὁποῦ πιστεύουσιν, ἐτοῦτα τὰ σημάδια θέλουν τοὺς ἀκολουθήσει· Εἰς τὸ ὄνομά μου θέλουσιν εὐγάλει δαιμόνια· γλώσσαις θέλουν συντύχει καινουρίαις·

18 Ὄφεις ἀροῦσι· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει· ἐπὶ ἀῤῥώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν.

18 Φίδια θέλουν πιάσει· κἂν φαρμάκι θανάσιμον πιοῦσι, δὲν θέλει τοὺς βλάψει· ἀπάνω εἰς ἀῤῥώστους θέλουσι βάλλει τὰ χέριά τους, καὶ θέλουσιν ἰατρευθῆ.

19 Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανὸν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ.

19 Ὁ Κύριος λοιπὸν ἀφόντις τοὺς ἐσύντυχε τὰ λόγια ἐτοῦτα, ἀνελήφθη εἰς τὸν οὐρανὸν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ.

20 Ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων.

20 Καὶ ἐκεῖνοι εὐγένοντες ἐκήρυξαν εἰς κάθε τόπον τὸν λόγον, συνεργοῦντος τοῦ Κυρίου, καὶ βεβαιῶντος τὸν λόγον διὰ μέσου τῶν σημείων ὁποῦ τοὺς ἀκολουθοῦσαν.

ΤῸ ΚΑΤᾺ ΛΟΥΚΑ͂Ν

ΕΥ̓ΑΓΓΈΛΙΟΝ.

Κεφ. α. 1.

Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων,

Ἐπειδὴ πολλοὶ ἐπιχειρήσθηκαν νὰ βάλλουσιν εἰς τάξιν τὴν διήγησιν τῶν πραγμάτων ὁποῦ ἐπληροφορηθήκαμεν,

2 Καθὼς παρέδοσαν ἡμῖν

2 Καθὼς μᾶς τὰ ἐπαράδω-

οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ
ὑπηρέται γενόμενοι τοῦ λόγου·

3 Ἔδοξε κἀμοὶ, παρηκο-
λουθηκότι ἄνωθεν πᾶσιν ἀκρι-
βῶς, καθεξῆς σοι γράψαι,
κράτιστε Θεόφιλε·

4 Ἵνα ἐπιγνῷς περὶ ὧν κα-
τηχήθης λόγων τὴν ἀσφά-
λειαν.

5 Ἐγένετο ἐν ταῖς ἡμέ-
ραις Ἡρώδου τοῦ
βασιλέως τῆς Ἰουδαίας, ἱερεύς
τις ὀνόματι Ζαχαρίας, ἐξ
ἐφημερίας Ἀβιά· καὶ ἡ γυνὴ
αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀα-
ρὼν, καὶ τὸ ὄνομα αὐτῆς
Ἐλισάβετ.

6 Ἦσαν δὲ δίκαιοι ἀμφότε-
ροι ἐνώπιον τοῦ Θεοῦ, πορευόμε-
νοι ἐν πάσαις ταῖς ἐντολαῖς
καὶ δικαιώμασι τοῦ Κυρίου
ἄμεμπτοι.

7 Καὶ οὐκ ἦν αὐτοῖς τέκνον,
καθότι ἡ Ἐλισάβετ ἦν στεῖρα,
καὶ ἀμφότεροι προβεβηκότες
ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν.
8 Ἐγένετο δὲ ἐν τῷ ἱερατεύ-
ειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφη-
μερίας αὐτοῦ ἔναντι τοῦ Θεοῦ,
9 Κατὰ τὸ ἔθος τῆς ἱερα-
τείας, ἔλαχε τοῦ θυμιάσαι,
εἰσελθὼν εἰς τὸν ναὸν τοῦ
Κυρίου.
10 Καὶ πᾶν τὸ πλῆθος τοῦ

καὶ ἐκεῖνοι ὁποῦ τὰ εἶδαν μὲ τὰ
μάτιά τους ἀπὸ τὴν ἀρχὴν καὶ
ἔγιναν ὑπηρέται τοῦ λόγου·
3 Ἐφάνη καὶ ἐμένα, ὁποῦ
ἀκολούθησα ἀπὸ τὴν ἀρχὴν
εἰς ὅλα, ὦ κράτιστε Θεόφιλε,
νὰ σοῦ τὰ γράψω καταλεπ-
τῶς κατατάξιν·
4 Διὰ νὰ γνωρίσῃς τὸ βέ-
βαιον ἐκεινῶν τῶν πραγμάτων
ὁποῦ ἐδιδάχθης.
5 ΕΙΣ ταῖς ἡμέραις
Ἡρώδου τοῦ βασι-
λέως τῆς Ἰουδαίας, ἦτον κά-
ποιος ἱερεὺς, τὸ ὄνομά του
Ζαχαρίας, ἀπὸ τὴν ἐφημερίαν
τοῦ Ἀβιά· καὶ ἡ γυναῖκά του
ἦτον ἀπὸ ταῖς θυγατέραις τοῦ
Ἀαρὼν, καὶ τὸ ὄνομά της
ἦτον Ἐλισάβετ.
6 Καὶ ἦταν καὶ οἱ δύο τους
δίκαιοι ὀμπροστὰ εἰς τὸν Θεὸν,
καὶ ἐπερνοῦσαν εἰς ὅλαις ταῖς
παραγγελίαις καὶ εἰς τὰ
δικαιώματα τοῦ Κυρίου χωρὶς
καμίαν κατηγορίαν.
7 Καὶ δὲν εἶχαν παιδίον,
διατὶ ἡ Ἐλισάβετ ἦτον στεῖρα·
καὶ οἱ δύο τους ἦταν περασμέ-
νοι ἀπὸ τὸν καιρόν τους.
8 Καὶ ἐκεῖ ὁποῦ αὐτὸς ἱερά-
τευεν εἰς τὴν τάξιν τῆς ἐφημε-
ρίας του ὀμπροστὰ εἰς τὸν Θεὸν,
9 Κατὰ τὴν συνήθειαν τῆς
ἱερατείας, ἔλαχε νὰ θυμιάσῃ,
ἐμβαίνωντας εἰς τὸν ναὸν τοῦ
Κυρίου.
10 Καὶ ὅλον τὸ πλῆθος τοῦ

λαοῦ ἦν προσευχόμενον ἔξω τῇ
ὥρᾳ τοῦ θυμιάματος.

11 Ὤφθη δὲ αὐτῷ ἄγγε-
λος Κυρίου, ἑστὼς ἐκ δεξιῶν
τοῦ θυσιαστηρίου τοῦ θυμιά-
ματος.
12 Καὶ ἐταράχθη Ζαχα-
ρίας ἰδὼν, καὶ φόβος ἐπέ-
πεσεν ἐπ' αὐτόν.
13 Εἶπε δὲ πρὸς αὐτὸν ὁ
ἄγγελος· Μὴ φοβοῦ Ζαχαρία·
διότι εἰσηκούσθη ἡ δέησίς σου·
καὶ ἡ γυνή σου Ἐλισάβετ γεν-
νήσει υἱόν σοι, καὶ καλέσεις
τὸ ὄνομα αὐτοῦ Ἰωάννην.

14 Καὶ ἔσται χαρά σοι
καὶ ἀγαλλίασις, καὶ πολλοὶ
ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρή-
σονται.
15 Ἔσται γὰρ μέγας ἐνώ-
πιον τοῦ Κυρίου· καὶ οἶνον καὶ
σίκερα οὐ μὴ πίῃ· καὶ Πνεύμα-
τος ἁγίου πλησθήσεται ἔτι
ἐκ κοιλίας μητρὸς αὐτοῦ.

16 Καὶ πολλοὺς τῶν υἱῶν
Ἰσραὴλ ἐπιστρέψει ἐπὶ Κύριον
τὸν Θεὸν αὐτῶν.
17 Καὶ αὐτὸς προελεύσεται
ἐνώπιον αὐτοῦ ἐν πνεύματι
καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι
καρδίας πατέρων ἐπὶ τέκνα,
καὶ ἀπειθεῖς ἐν φρονήσει δι-
καίων, ἑτοιμάσαι Κυρίῳ λαὸν
κατεσκευασμένον.

λαοῦ ἦτον ἔξω ὅπου ἐπροσεύχε-
τον εἰς τὴν ὥραν τοῦ θυμιά-
ματος.
11 Καὶ ἐφάνη εἰς αὐτὸν
ἄγγελος Κυρίου, στεκάμενος
ἀπὸ τὴν δεξιὰν μεριὰν τοῦ
θυσιαστηρίου τοῦ θυμιάματος.
12 Καὶ ὡσὰν τὸν εἶδεν ὁ
Ζαχαρίας, ἐταράχθη, καὶ φό-
βος μεγάλος τὸν ἐπλάκωσε.
13 Καὶ ὁ ἄγγελος τοῦ
εἶπε· Μὴν φοβᾶσαι Ζαχαρία·
διατὶ ἀκούσθη ἡ δέησίς σου· καὶ
ἡ γυναῖκά σου ἡ Ἐλισάβετ
θέλει σοῦ γεννήσει υἱὸν, καὶ
θέλεις καλέσει τὸ ὄνομά του
Ἰωάννην.
14 Καὶ θέλει σοῦ εἶσθαι
χαρὰ καὶ ἀγαλλίασις, καὶ
πολλοὶ θέλουν χαρεῖ εἰς τὴν
γέννησίν του.
15 Διατὶ θέλει εἶσθαι μέ-
γας ὀμπροστὰ εἰς τὸν Θεόν·
καὶ κρασὶ καὶ σίκερα νὰ μὴν
πιῇ· καὶ θέλει γεμίσει ἀπὸ
Πνεῦμα ἅγιον, ἀκόμι ἀπὸ τὴν
κοιλίαν τῆς μάνας του.
16 Καὶ θέλει γυρίσει πολ-
λοὺς ἀπὸ τοὺς υἱοὺς τοῦ Ἰσραὴλ
εἰς τὸν Αὐθέντην τὸν Θεόν τους.
17 Καὶ αὐτὸς θέλει ὑπά-
γει ὀμπροστά του μὲ πνεῦμα καὶ
δύναμιν Ἠλίου, καὶ θέλει γυρί-
σει ταῖς καρδίαις τῶν πατέρων
εἰς τὰ παιδία, καὶ τοὺς ἀπειθεῖς
εἰς τὴν φρονημάδα τῶν δικαίων,
νὰ κατασκευάσῃ λαὸν ἕτοιμον
εἰς τὸν Αὐθέντην τὸν Θεόν.

18 Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον· Κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς.

19 Καὶ ἀποκριθεὶς ὁ ἄγγελος, εἶπεν αὐτῷ· Ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ· καὶ ἀπεστάλην λαλῆσαι πρός σε, καὶ εὐαγγελίσασθαί σοι ταῦτα.

20 Καὶ ἰδού, ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα· ἀνθ᾽ ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν.

21 Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν· καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ ναῷ.

22 Ἐξελθὼν δὲ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς· καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ· καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς· καὶ διέμενε κωφός.

23 Καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

24 Μετὰ δὲ ταύτας τὰς ἡμέρας συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ· καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα·

25 Ὅτι οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις αἷς ἐπεῖ-

18 Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον· Καὶ πῶς νὰ τὸ γνωρίσω τοῦτο; διατὶ ἐγὼ εἶμαι γέροντας, καὶ ἡ γυναῖκά μου περασμένη ἀπὸ τὸν καιρόν της.

19 Καὶ ἀπεκρίθη ὁ ἄγγελος, καὶ εἶπέν του· Ἐγὼ εἶμαι ὁ Γαβριὴλ ὁποῦ παραστέκομαι ὀμπροστὰ εἰς τὸν Θεόν· καὶ ἐστάλθηκα νὰ λαλήσω εἰς ἐσένα, καὶ νὰ σὲ εὐαγγελίσω ἐτοῦτα.

20 Καὶ νά, ὁποῦ θέλεις εἶσθαι βουβός, καὶ νὰ μὴν ἠμπορῇς νὰ συντύχῃς, ἕως τὴν ἡμέραν ἐκείνην ὁποῦ νὰ γένουν ἐτοῦτα· διατὶ δὲν ἐπίστευσες τὰ λόγιά μου, τὰ ὁποῖα θέλουν τελειωθῆ εἰς τὸν καιρόν τους.

21 Καὶ ὁ λαὸς ἐστέκετον καὶ ἀνάμενε τὸν Ζαχαρίαν· καὶ ἐθαύμαζαν πῶς ἀργοῦσε μέσα εἰς τὸν ναόν.

22 Καὶ ὡσὰν εὐγῆκε δὲν ἠμπόρουσε νὰ τοὺς συντύχῃ· καὶ ἐγνώρισαν ὅτι ὀπτασίαν εἶδε μέσα εἰς τὸν ναόν· καὶ αὐτὸς τοὺς ἔννευε· καὶ ἀπόμεινε βουβός.

23 Καὶ ὡσὰν ἐτελειώθησαν αἱ ἡμέραι τῆς λειτουργίας του, ἐπῆγεν εἰς τὸ σπῆτί του.

24 Καὶ ὕστερον ἀπ᾽ ἐκείναις ταῖς ἡμέραις συνέλαβεν ἡ Ἐλισάβετ ἡ γυναῖκά του· καὶ ἔκρυβε τοῦ λόγου της πέντε μῆνες, καὶ ἔλεγεν.

25 Ὅτι τέτοιας λογῆς μὲ ἔκαμεν ὁ Αὐθέντης μου εἰς ταῖς

δεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις.

26 Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας ᾗ ὄνομα Ναζαρὲτ,

27 Πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ ᾧ ὄνομα Ἰωσὴφ, ἐξ οἴκου Δαβίδ· καὶ τὸ ὄνομα τῆς παρθένου, Μαριάμ.

28 Καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτὴν, εἶπε· Χαῖρε κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξίν.

29 Ἡ δὲ ἰδοῦσα διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ· καὶ διελογίζετο, ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος.

30 Καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ· Μὴ φοβοῦ Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ.

31 Καὶ ἰδοὺ, συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱόν· καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.

32 Οὗτος ἔσται μέγας, καὶ υἱὸς ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ.

33 Καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.

ἡμέραις ταῖς ὁποίαις ἐπέβλεψεν εἰς ἐμένα νὰ εὐγάλῃ τὸ ὄνειδός μου ἀπὸ τοὺς ἀνθρώπους.

26 Καὶ εἰς τὸν ἕκτον μῆνα ἀπεστάλθη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, τῆς ὁποίας τὸ ὄνομα εἶναι Ναζαρὲτ,

27 Εἰς μίαν παρθένον ἀῤῥαβωνιασμένην μὲ ἄνδρα, τὸ ὄνομά του Ἰωσὴφ, ἀπὸ τὸ σπῆτι τοῦ Δαβίδ· καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ.

28 Καὶ ὡσὰν ἐμβῆκεν ὁ ἄγγελος πρὸς αὐτὴν, εἶπε· Χαῖρε κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ· ἐσὺ εἶσαι εὐλογημένη ἀνάμεσα εἰς ταῖς γυναῖκες.

29 Καὶ ἐκείνη ὡσὰν τὸν εἶδεν ἐσυγχύσθη εἰς τὰ λόγιά του· καὶ ἐσυλλογίζετον, τί λογῆς εἶναι ἐτοῦτος ὁ χαιρετισμός.

30 Καὶ λέγει τῆς ὁ ἄγγελος· Μὴν φοβᾶσαι Μαριάμ· διατὶ ηὗρες χάριν σιμὰ εἰς τὸν Θεόν.

31 Καὶ θέλεις ἐγγαστρωθῆ, καὶ θέλεις γεννήσει υἱόν· καὶ νὰ καλέσῃς τὸ ὄνομά του Ἰησοῦν.

32 Ἐτοῦτος θέλει εἶσθαι μέγας, καὶ θέλει καλεσθῆ υἱὸς ὑψίστου· καὶ ὁ Αὐθέντης ὁ Θεὸς θέλει τοῦ δώσει τὸν θρόνον τοῦ Δαβὶδ τοῦ πατρός του.

33 Καὶ θέλει βασιλεύσει εἰς τὸ σπῆτι τοῦ Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ ἡ βασιλεία του δὲν θέλει ἔχει τέλος.

34 Εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον· Πῶς ἔσαι τῦτο, ἐπεὶ ἄνδρα ὖ γινώσκω;

35 Καὶ ἀποκριθεὶς ὁ ἄγγελ☉ εἶπεν αὐτῇ· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπί σε, καὶ δύναμις ὑψίςυ ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἐκ σῦ ἅγιον, κληθήσεται υἱὸς Θεῦ.

36 Καὶ ἰδῦ, Ἐλισάϐετ ἡ συγγενής σῦ, καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρᾳ αὐτῆς· καὶ ὗτ☉ μὴν ἕκτ☉ ἐςὶν αὐτῇ τῇ καλυμένῃ ςείρᾳ.

37 Ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα.

38 Εἶπε δὲ Μαριάμ· Ἰδῦ ἡ δῦλη Κυρίυ· γένοιτό μοι κατὰ τὸ ῥῆμά σῦ. Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελ☉.

39 Ἀναςᾶσα δὲ Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπυδῆς, εἰς πόλιν Ἰῦδα.

40 Καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίυ, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ.

41 Καὶ ἐγένετο ὡς ἤκυσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφ☉ ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματ☉ ἁγίυ ἡ Ἐλισάβετ·

34 Καὶ ἡ Μαριὰμ εἶπε πρὸς τὸν ἄγγελον· Πῶς θέλει εἶσθαι ἐτῦτο, ὁπῦ ἐγὼ ἄνδρα δὲν γνωρίζω;

35 Καὶ ἀπεκρίθη ὁ ἄγγελ☉, καὶ εἶπέν της· Πνεῦμα ἅγιον θέλει ἔλθῃ εἰς ἐσένα, καὶ δύναμις τοῦ ὑψίςυ θέλει σε ἐπισκιάσει· διὰ τῦτο καὶ ἐκεῖνο ὁπῦ μέλλει νὰ γεννηθῇ ἀπὸ σένα ἅγιον, θέλει καλεσθῇ υἱὸς Θεῦ.

36 Καὶ νὰ, καὶ ἡ Ἐλισάβετ ἡ συγγενής σῦ, ὁπῦ συνέλαϐεν καὶ αὐτὴ υἱὸν εἰς τὸ γῆράς της· καὶ μὲ τῦτον τὸν μῆνα ἔχει ἓξ μῆνες ἐγγαςρωμένη, αὐτὴ ὁπῦ ἦτον ςεῖρα.

37 Διατὶ σημὰ εἰς τὸν Θεὸν κανένα πρᾶγμα δὲν εἶναι ἀδύνατον.

38 Καὶ εἶπε Μαριάμ· Νὰ, ἡ δῦλη τῦ Κυρίυ· καὶ ἂς μῦ γένῃ κατὰ τὸν λόγον σῦ· Καὶ ἐδιέβη ἀπ' αὐτὴν ὁ ἄγγελ☉.

39 Καὶ ταῖς ἡμέραις ἐκείναις ἐσηκώθη ἡ Μαριὰμ, καὶ ἐπῆγεν εἰς τὴν ὀρεινὴν μὲ σπυδὴν, εἰς πόλιν τοῦ Ἰῦδα.

40 Καὶ ἐμβῆκε μέσα εἰς τὸ σπῆτι τοῦ Ζαχαρίυ, καὶ ἐχαιρέτησε τὴν Ἐλισάβετ.

41 Καὶ ὡσὰν ἤκυσεν ἡ Ἐλισάβετ τὸν χαιρετισμὸν τῆς Μαρίας, ἐπήδησε τὸ βρέφ☉ μέσα εἰς τὴν κοιλίαν της· καὶ ἐπλήσθη Πνεύματ☉ ἁγίυ ἡ Ἐλισάϐετ·

42 Καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σȣ.

43 Καὶ πόθεν μοι τȣ̃το, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίȣ μȣ πρός με;

44 Ἰδȣ̀ γὰρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμȣ̃ σȣ εἰς τὰ ὦτά μȣ, ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ μȣ.

45 Καὶ μακαρία ἡ πιςεύσασα· ὅτι ἔςαι τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίȣ.

46 Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μȣ τὸν Κύριον·

47 Καὶ ἠγαλλίασε τὸ πνεῦμά μȣ ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μȣ·

48 Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δȣ́λης αὐτοῦ· Ἰδȣ̀ γὰρ, ἀπὸ τοῦ νῦν μακαριȣ̃σί με πᾶσαι αἱ γενεαί·

49 Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ·

50 Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς γενεῶν τοῖς φοβȣμένοις αὐτόν·

51 Ἐποίησε κράτος ἐν βραχίονι αὐτȣ̃· διεσκόρπισεν ὑπερηφάνȣς διανοίᾳ καρδίας αὐτῶν.

42 Καὶ ἐξεφώνησε φωνὴν μεγάλην, καὶ εἶπεν· Εὐλογημένη εἶσαι ἐσὺ μέσα εἰς ταῖς γυναῖκαις, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σȣ.

43 Καὶ ἀπὸ πȣ̃ μȣ̃ εἶναι ἐτȣ̃το, νὰ ἔλθῃ ἡ μήτηρ τοῦ Αὐθέντη μȣ εἰς ἐμένα;

44 Διατὶ εὐθὺς ὁπȣ̃ ἦλθεν ἡ φωνὴ τοῦ χαιρετισμȣ̃ σȣ εἰς τὰ αὐτία μȣ, τὸ βρέφος ἐπήδησεν ἀπὸ τὴν χαράν τȣ μέσα εἰς τὴν κοιλίαν μȣ.

45 Καὶ καλότυχη εἶναι ἐκείνη ὁπȣ̃ ἐπίςευσεν· ὅτι θέλȣσι τελειωθῆ ἐκεῖνα ὁπȣ̃ ἐλαλήθηκαν εἰς αὐτὴν ἀπὸ τὸν Κύριον.

46 Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μȣ τὸν Κύριον·

47 Καὶ τὸ πνεῦμά μȣ ἠγαλλίασεν ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μȣ.

48 Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δȣ́λης αὐτοῦ· Καὶ νὰ, ἀπὸ τῶρα καὶ ὀμπροςὰ θέλȣν μὲ καλοτυχήσει ὅλαις αἱ γενεαῖς·

49 Διατὶ ὁ δυνατὸς ἔκαμεν εἰς ἐμένα μεγάλα θαύματα, καὶ τὸ ὄνομά τȣ εἶναι ἅγιον·

50 Καὶ ἡ ἐλεημοσύνη τȣ εἶναι εἰς γενεὰν εἰς ἐκείνȣς ὁπȣ̃ τὸν φοβȣ̃νται.

51 Ἔκαμε δύναμιν μὲ τὸ χέρι τȣ· διεσκόρπισεν ὑπερηφάνȣς μὲ τὴν διάνοιαν τῆς καρδίας των.

52 Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς.

53 Πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς·

54 Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους,

55 (Καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ, καὶ τῷ σπέρματι αὐτοῦ) εἰς τὸν αἰῶνα.

56 Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς· καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

57 Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν· καὶ ἐγέννησεν υἱόν.

58 Καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς, ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ᾽ αὐτῆς· καὶ συνέχαιρον αὐτῇ.

59 Καὶ ἐγένετο ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ παιδίον· καὶ ἐκάλουν αὐτὸ, ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ, Ζαχαρίαν.

60 Καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ, εἶπεν· Οὐχί· ἀλλὰ κληθήσεται Ἰωάννης.

61 Καὶ εἶπον πρὸς αὐτήν· Ὅτι οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου ὃς καλεῖται τῷ ὀνόματι τούτῳ.

52 Ἐκατέβασε δυνάστα, ἀπὸ τὰ θρονιά τους, καὶ ὕψωσε ταπεινούς·

53 Τοὺς πεινασμένους ἐχόρτασεν ἀγαθὰ, καὶ τοὺς πλουσίους εὔγαλε καὶ τοὺς ἔστειλεν εὐκαίρους·

54 Ἐβοήθησε τὸν Ἰσραὴλ τὸ παιδί του, νὰ ἐνθυμηθῇ τὴν ἐλεημοσύνην του,

55 (Καθὼς τὸ ἔταξε εἰς τοὺς πατέρας μας, εἰς τὸν Ἀβραὰμ καὶ εἰς τὸ σπέρμα του) εἰς τὸν αἰῶνα.

56 Καὶ ἡ Μαριὰμ ἔμεινε μαζὺ μὲ τὴν Ἐλισάβετ ἕως τρεῖς μῆνες· καὶ ὕστερον ἐγύρισεν εἰς τὸ σπῆτί της.

57 Καὶ ἐπλήρωσεν ὁ καιρὸς τῆς Ἐλισάβετ νὰ γεννήσῃ· καὶ ἐγέννησεν υἱόν.

58 Καὶ ἀκουσάντο οἱ γειτόνοι της καὶ οἱ συγγενεῖς της, ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεός του μετ᾽ αὐτήν· καὶ τὴν ἐσυγχαίρουνταν.

59 Καὶ εἰς ταῖς ὀκτὼ ἡμέραις ἦλθαν νὰ περιτμήσουσι τὸ παιδίον, καὶ τὸ ἔκραζαν εἰς τὸ ὄνομα τοῦ πατρός του Ζαχαρίαν.

60 Καὶ ἀπεκρίθη ἡ μάνα του, καὶ εἶπεν· Ὄχι Ζαχαρίας· ἀλλὰ Ἰωάννης θέλει καλεσθῇ.

61 Καὶ λέγουν της· Ὅτι κανεὶς δὲν εἶναι εἰς τὴν γενεάν σου, ὅπου νὰ καλῆται μὲ τὸ ὄνομα τοῦτο.

62 Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτόν·

63 Καὶ αἰτήσας πινακίδιον, ἔγραψε, λέγων· Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ. Καὶ ἐθαύμασαν πάντες.

64 Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἡ γλῶσσα αὐτοῦ· καὶ ἐλάλει εὐλογῶν τὸν Θεόν.

65 Καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτούς· καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα.

66 Καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες· Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται; Καὶ χεὶρ Κυρίου ἦν μετ' αὐτοῦ.

67 Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη Πνεύματος ἁγίου· καὶ προεφήτευσε, λέγων·

68 Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ·

69 Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ·

70 Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ,

71 Σωτηρίαν ἐξ ἐχθρῶν

62 Καὶ ἔννευαν καὶ τὸν πατέρα του, τί θέλει νὰ τὸν καλέσουν.

63 Καὶ ἐζήτησε πινακίδα, καὶ ἔγραψε, λέγωντας· Ἰωάννης εἶναι τὸ ὄνομά του. Καὶ ἐθαύμασαν ὅλοι.

64 Καὶ παρευθὺς ἀνοίχθη τὸ στόμα τοῦ Ζαχαρίου, καὶ ἡ γλῶσσά του· καὶ ἐλάλει καὶ ὕμνει τὸν Θεόν.

65 Καὶ φόβος ἦλθεν εἰς ὅλους ὅπου ἐκατοικοῦσαν τρυγύρω τους· καὶ εἰς ὅλα τὰ ὅρια τῆς Ἰουδαίας ἐδιαλαλοῦνταν ὅλα τὰ λόγια ἐτοῦτα.

66 Καὶ ὅλοι τὰ ἔβαλλαν μέσα εἰς τὴν καρδίαν τους ὅσοι τὰ ἤκουσαν, καὶ ἔλεγαν· Τί ἄρα θέλει εἶσθαι τὸ παιδίον ἐτοῦτο; Καὶ τὸ χέρι τοῦ Κυρίου ἦτον μετ' αὐτό.

67 Καὶ Ζαχαρίας ὁ πατήρ του ἐπληρώθη Πνεῦμα ἅγιον· καὶ ἐπροφήτευσε, λέγωντας·

68 Ἂς εἶναι εὐλογημένος Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἔκαμε λύτρωσιν εἰς τὸν λαόν του·

69 Καὶ ἐσήκωσε δύναμιν σωτηρίας εἰς τὸ σπῆτι τοῦ Δαβὶδ τοῦ παιδός του·

70 Καθὼς τὸ εἶπε διὰ μέσου τοῦ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος τῶν προφητῶν του,

71 Σωτηρίαν ἀπὸ τοὺς ἐχ-

ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς·

72 Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ·

73 Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν,

74 Ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας, λατρεύειν αὐτῷ,

75 Ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

76 Καὶ σὺ, παιδίον, προφήτης ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ,

77 Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν.

78 Διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν, ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους·

79 Ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

80 Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι· καὶ ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέ-

θροὺς μας, καὶ ἀπὸ τὸ χέρι ὅλονων ἐκεινῶν ὁποῦ μᾶς μισοῦσι·

72 Νὰ κάμῃ ἔλεος μετὰ τῶν πατέρων μας, καὶ νὰ ἐνθυμηθῇ τῆς ἁγίας του διαθήκης·

73 Τὸν ὅρκον ἐκεῖνον ὁποῦ ὤμοσεν εἰς τὸν Ἀβραὰμ τὸν πατέρα μας, νὰ μᾶς δώσῃ,

74 Νὰ ἐλευθερωθοῦμεν ἐμεῖς χωρὶς φόβον ἀπὸ τὰ χέρια τῶν ἐχθρῶν μας, νὰ τὸν λατρεύωμεν,

75 Μὲ ἁγιωσύνην καὶ δικαιοσύνην ὀμπροστὰ του, εἰς ὅλαις ταῖς ἡμέραις τῆς ζωῆς μας.

76 Καὶ ἐσὺ, παιδίον, θέλεις καλεσθῇ προφήτης τοῦ ὑψίστου· διατὶ θέλεις ὑπάγει ὀμπροστὰ εἰς τὸ πρόσωπον τοῦ Κυρίου, νὰ ἑτοιμάσῃς ταῖς στράταις του,

77 Νὰ δώσῃς γνῶσιν σωτηρίας εἰς τὸν λαόν του, εἰς ἄφεσιν τῶν ἁμαρτιῶν τους·

78 Διὰ τὴν εὐσπλαγχνίαν τῆς ἐλεημοσύνης Θεοῦ ἡμῶν, μὲ τὰ ὁποῖα μᾶς ἐπίσκεψεν ἡ ἀνατολὴ ἀπὸ ὑψηλά·

79 Νὰ φέγξῃ εἰς ἐκείνους ὁποῦ κάθουνται εἰς τὸ σκότος καὶ εἰς τὴν σκιὰν τοῦ θανάτου, νὰ σιάσῃ τοὺς πόδας μας εἰς τὴν στράταν τῆς εἰρήνης.

80 Καὶ τὸ παιδίον ηὔξανε, καὶ ἐδυναμώνετον κατὰ τὸ πνεῦμα· καὶ ἦτον εἰς ταῖς ἐρημίαις

ρας ἀναδείξεως αὐτῦ πρὸς τὸν Ἰσραήλ.

ἕως τὴν ἡμέραν ὁπῦ ἔπρεπε νὰ φανερωθῇ εἰς τὸν Ἰσραήλ.

Κεφ. β΄. 2.

ΕΓένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγύςυ, ἀπογράφεσθαι πᾶσαν τὴν οἰκυμένην.

2 (Αὕτη ἡ ἀπογραφὴ πρώτη, ἐγένετο ἡγεμονεύοντ☉ τῆς Συρίας Κυρηνίυ.)

3 Καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαςος εἰς τὴν ἰδίαν πόλιν.

4 Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρὲτ, εἰς τὴν Ἰυδαίαν, εἰς πόλιν Δαβὶδ ἥτις καλεῖται Βηθλεὲμ, (διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκυ καὶ πατριᾶς Δαβὶδ,)

5 Ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηςευμένῃ αὐτῷ γυναικὶ, ὔσῃ ἐγκύῳ.

6 Ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν.

7 Καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν, καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ· διότι οὐκ ἦν αὐτοῖς τόπ☉ ἐν τῷ καταλύματι.

ΚΑΙ ἔγινεν εἰς ταῖς ἡμέραις ἐκείναις, καὶ εὐγῆκεν ὁρισμὸς ἀπὸ τὸν Καίσαρα τὸν Αὔγυςον, νὰ ἀπογραφῇ ὅλη ἡ οἰκυμένη.

2 (Ἐτῦτη ἡ ἀπογραφὴ ἔγινε πρώτη, αὐθεντεύωντ☉ τῦ Κυρηνίυ τὴν Συρίαν.)

3 Καὶ ἐπήγεναν ὅλοι νὰ ἀπογράφωνται, πᾶσα ἕνας εἰς τὴν ἐδικήν τυ πόλιν.

4 Καὶ ἀνέβη καὶ ὁ Ἰωσὴφ ἀπὸ τὴν Γαλιλαίαν, ἀπὸ τὴν πόλιν τὴν Ναζαρὲτ, εἰς τὴν Ἰυδαίαν, εἰς τὴν πόλιν τῦ Δαβὶδ ἡ ὁποῖα καλεῖται Βηθλεὲμ (μὲ τὸ νὰ εἶναι αὐτὸς ἀπὸ τὸ σπῆτι καὶ ἀπὸ τὴν φαμελίαν τῦ Δαβὶδ,)

5 Νὰ ἀπογραφῇ μαζὺ μὲ τὴν Μαριὰμ ὁπῦ τὴν εἶχεν ἀῤῥαβωνιασμένην διὰ γυναῖκά τυ, ἡ ὁποῖα ἦτον ἐγγαςρωμένη.

6 Καὶ ὅταν ἦταν αὐτοὶ ἐκεῖ, ἐτελειώθησαν αἱ ἡμέραις νὰ γεννήσῃ αὐτή.

7 Καὶ ἐγέννησε τὸν υἱόν της τὸν πρωτότοκον, καὶ τὸν ἐτύλιξε, καὶ τὸν ἐπλαγίασεν εἰς τὸ παχνί· διατὶ δὲν εἶχαν αὐτοὶ τόπον εἰς τὸ κονάκι.

8 Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες, καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν.

9 Καὶ ἰδοὺ, ἄγγελος Κυρίου ἐπέστη αὐτοῖς, καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς· καὶ ἐφοβήθησαν φόβον μέγαν.

10 Καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος· Μὴ φοβεῖσθε· ἰδοὺ γὰρ, εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ·

11 Ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ, ὅς ἐστι Χριστὸς Κύριος, ἐν πόλει Δαβίδ.

12 Καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· Εὑρήσετε βρέφος ἐσπαργανωμένον, κείμενον ἐν τῇ φάτνῃ.

13 Καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου, αἰνούντων τὸν Θεὸν, καὶ λεγόντων·

14 Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

15 Καὶ ἐγένετο, ὡς ἀπῆλθον ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, καὶ οἱ ἄνθρωποι οἱ ποιμένες εἶπον πρὸς ἀλλήλους· Διέλθωμεν δὴ ἕως Βηθλεὲμ, καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς, ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν.

8 Καὶ ἦταν καὶ ποιμένες εἰς τὴν χώραν ἐκείνην, ὁποῦ ἐμένασιν ἔξω εἰς τὰ χωράφια, καὶ ἐφύλαγαν τὴν νύκτα τὸ κοπάδι τους.

9 Καὶ παρευθὺς ἄγγελος Κυρίου ἦλθεν εἰς αὐτοὺς, καὶ δόξα Κυρίου ἔλαμψε τριγύρω τους· καὶ ἐφοβήθηκαν μέγαν φόβον.

10 Καὶ ὁ ἄγγελος Κυρίου τοὺς εἶπε· Μὴν φοβᾶσθε· διατὶ σᾶς εὐαγγελίζω χαρὰν μεγάλην, ἡ ὁποῖα θέλει εἶσθαι εἰς ὅλον τὸν λαόν·

11 Ὅτι σᾶς ἐγεννήθη σήμερον σωτὴρ, ὁ ὁποῖος εἶναι Χριστὸς Αὐθέντης, εἰς τὴν πόλιν τοῦ Δαβίδ.

12 Καὶ τοῦτο εἶναι τὸ σημάδι· Ὅτι θέλετε εὕρει βρέφος τυλιγμένον, νὰ κείτεται μέσα εἰς τὸ παχνί.

13 Καὶ παρευθὺς μαζὺ μὲ τὸν ἄγγελον εὑρέθη πλῆθος στρατεύματος οὐρανίου, ὁποῦ ὑμνοῦσαν τὸν Θεὸν, καὶ ἔλεγαν·

14 Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

15 Καὶ ὡσὰν ἐπέρασαν ἀπ' αὐτοὺς οἱ ἄγγελοι καὶ ἐπῆγαν εἰς τὸν οὐρανὸν, οἱ ποιμένες εἶπαν ἀνάμεσά τους· Γιὰ ἂς πᾶμεν λοιπὸν ἕως τὴν Βηθλεὲμ, νὰ εἰδοῦμεν τὸ πρᾶγμα τοῦτο ὁποῦ ἔγινε, τὸ ὁποῖον ὁ Κύριος ἔκαμε νὰ γνωρίσωμεν.

16 Καὶ ἦλθον σπεύσαντες, καὶ ἀνεῦρον τήν τε Μαριὰμ καὶ τὸν Ἰωσὴφ, καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ.

17 Ἰδόντες δὲ διεγνώρισαν περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου.

18 Καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς.

19 Ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα, συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς.

20 Καὶ ἐπέστρεψαν οἱ ποιμένες, δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς.

21 Καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν τὸ παιδίον, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ.

22 Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῆς, κατὰ τὸν νόμον Μωσέως, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα, παραστῆσαι τῷ Κυρίῳ,

23 (Καθὼς γέγραπται ἐν νόμῳ Κυρίου· Ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται·)

24 Καὶ τοῦ δοῦναι θυσίαν,

16 Καὶ ἐπῆγαν γλίγωρα, καὶ εὕρηκαν τὴν Μαριὰμ καὶ τὸν Ἰωσὴφ, καὶ τὸ βρέφος ὁποῦ ἐκείτετον εἰς τὸ παχνί.

17 Καὶ ὡσὰν εἶδαν εὐφήμησαν τὸν λόγον ὁποῦ τοὺς εἶπαν διὰ τὸ παιδὶ ἐτοῦτο.

18 Καὶ ὅλοι ὅσοι τὸ ἤκουσαν ἐθαύμασαν εἰς ἐκεῖνα ὁποῦ τοὺς εἶπαν οἱ ποιμένες.

19 Καὶ ἡ Μαριὰμ ἐφύλαττεν ἐτοῦτα ὅλα τὰ λόγια, βάλλοντάς τα μέσα εἰς τὴν καρδίαν της.

20 Καὶ οἱ ποιμένες ἐγύρισαν, δοξάζοντες καὶ ὑμνοῦντες τὸν Θεὸν εἰς ὅλα ὅσα ἤκουσαν καὶ εἶδαν, καθὼς τοὺς ἐλαλήθη.

21 Καὶ ὡσὰν ἐτελειώθησαν ὀκτὼ ἡμέραις νὰ περιτμήσουσι τὸ παιδίον, καὶ τὸ ὠνόμασαν Ἰησοῦν, καθὼς τὸ ὠνόμασεν ὁ ἄγγελος, πρὸ τοῦ νὰ συλληφθῇ αὐτὸ εἰς τὴν κοιλίαν.

22 Καὶ ὅταν ἐτελειώθησαν αἱ ἡμέραις τοῦ καθαρισμοῦ της, κατὰ τὸν νόμον τοῦ Μωϋσέως, τὸν ἀνέβασαν εἰς τὰ Ἱεροσόλυμα, νὰ τὸν παραστήσουν εἰς τὸν Θεὸν,

23 (Καθὼς εἶναι γεγραμμένον εἰς τὸν νόμον τοῦ Κυρίου· ὅτι κάθε ἀρσενικὸν ὁποῦ ἀνοίγει μήτραν, θέλει καλεσθῇ ἅγιον εἰς τὸν Θεόν·)

24 Καὶ νὰ δώσουν θυσίαν,

κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίȣ, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσȣ̀ς περιςερῶν·
25 Καὶ ἰδȣ̀, ἦν ἄνθρωπ⊕ ἐν Ἱερȣσαλὴμ ᾧ ὄνομα Συμεὼν· καὶ ὁ ἄνθρωπ⊕ ȣ̃τ⊕ δίκαι⊕ καὶ εὐλαβὴς, προσδεχόμεν⊕ παράκλησιν τοῦ Ἰσραὴλ· καὶ Πνεῦμα ἅγιον ἦν ἐπ᾽ αὐτόν.

26 Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματ⊕ τοῦ ἁγίȣ, μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἴδῃ τὸν Χριςὸν Κυρίȣ.
27 Καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τȣ̀ς γονεῖς τὸ παιδίον Ἰησȣ̃ν, τȣ̃ ποιῆσαι αὐτȣ̀ς κατὰ τὸ εἰθισμένον τοῦ νόμȣ περὶ αὐτοῦ,
28 Καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν Θεὸν, καὶ εἶπε·
29 Νῦν ἀπολύεις τὸν δȣ̃λόν σȣ, Δέσποτα, κατὰ τὸ ῥῆμά σȣ, ἐν εἰρήνῃ·
30 Ὅτι εἶδον οἱ ὀφθαλμοί μȣ τὸ σωτήριόν σȣ,
31 Ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν·

32 Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαȣ̃ σȣ Ἰσραήλ.
33 Καὶ ἦν Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλȣμένοις περὶ αὐτοῦ.

καθὼς τὸ λέγει εἰς τὸν νόμον τοῦ Θεȣ̃, ἕνα ζευγάρι τρυγόνια, ἢ δύο περιςεροπȣ̈λια.
25 Καὶ τότε ἐκεῖνον τὸν καιρὸν ἦτον ἕνας ἄνθρωπ⊕ εἰς τὴν Ἱερȣσαλὴμ τὸ ὄνομά τȣ Συμεών· καὶ ὁ ἄνθρωπ⊕ ἐτȣ̃τ⊕ ἦτον δίκαι⊕ καὶ εὐλαβὴς, καὶ ἀπαντέχαινε παρηγορίαν τοῦ Ἰσραήλ· καὶ Πνεῦμα ἅγιον ἦτον εἰς αὐτόν.
26 Καὶ ἦτον εἰς αὐτὸν προφητευμένον ἀπὸ τὸ Πνεῦμα τὸ ἅγιον, νὰ μὴν εἰδῇ θάνατον, πρὸ τοῦ νὰ εἰδῇ τὸν Χριςὸν Κυρίȣ.
27 Καὶ ἦλθεν εἰς τὸ ἱερὸν κινȣ́μεν⊕ ἀπὸ τὸ Πνεῦμα· καὶ ἐκεῖ ὁπȣ̃ ἐμβάζασιν οἱ γονεῖς τὸ παιδίον τὸν Ἰησȣ̃ν, νὰ κάμȣν αὐτοὶ κατὰ τὴν συνήθειαν τοῦ νόμȣ δἰ αὐτὸ,
28 Καὶ αὐτὸς τὸ ἐδέχθη μέσα εἰς ταῖς ἀγκάλαις τȣ, καὶ εὐχαρίςησε τὸν Θεὸν, καὶ εἶπε·
29 Τῶρα ἐλευθερώνεις τὸν δȣ̃λόν σȣ, Αὐθέντη, μὲ εἰρήνην, κατὰ τὸν λόγον σȣ·
30 Διατὶ τὰ μάτιά μȣ εἶδαν τὸ σωτήριόν σȣ,
31 Τὸ ὁποῖον ἑτοίμασες ὀμπρὸς εἰς τὸ πρόσωπον ὅλων τῶν λαῶν·
32 Φῶς νὰ φωτίσῃ τὰ ἔθνη, καὶ δόξαν τȣ̃ λαȣ̃ σȣ τȣ̃ Ἰσραήλ.
33 Καὶ ὁ Ἰωσὴφ καὶ ἡ μητέρα τȣ ἐθαύμαζαν εἰς ἐκεῖνα ὁπȣ̃ ἐλέγȣνταν δἰ αὐτό.

34 Καὶ εὐλόγησεν αὐτὺς Συμεὼν, καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ· Ἰδὺ, ὗτ⊕ κεῖται εἰς πτῶσιν καὶ ἀνάςασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον·

35 (Καὶ σῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία·) ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.

36 Καὶ ἦν Ἄννα προφῆτις, θυγάτηρ Φανυὴλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς.

37 Καὶ αὕτη χήρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων, ἣ οὐκ ἀφίςατο ἀπὸ τοῦ ἱερῦ, νηςείαις καὶ δεήσεσι λατρεύυσα νύκτα καὶ ἡμέραν·

38 Καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιςᾶσα ἀνθωμολογεῖτο τῷ Κυρίῳ, καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερυσαλήμ.

39 Καὶ ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νόμον Κυρίυ, ὑπέςρεψαν εἰς τὴν Γαλιλαίαν, εἰς τὴν πόλιν αὐτῶν Ναζαρέτ.

40 Τὸ δὲ παιδίον ηὔξανε,

34 Καὶ ὁ Συμεὼν τὺς εὐλόγησε, καὶ εἶπεν εἰς τὴν Μαριὰμ τὴν μητέρα τυ· Νὰ, ἐτῦτ⊕ κεῖται εἰς πέσιμον καὶ ἀνάςασιν πολλῶν ἀνθρώπων εἰς τὸ γέν⊕ τοῦ Ἰσραὴλ, καὶ εἰς σημεῖον ὁπῦ ἐναντιεῖται·

35 (Ἀμὴ ἐσένα, καὶ μέσα εἰς αὐτὴν τὴν ψυχήν συ θέλει περάσει σπαθί·) διὰ νὰ ξεσκεπασθῦσι διαλογισμοὶ πολλῶν καρδιῶν.

36 Καὶ (τότε) ἦτον καὶ ἡ Ἄννα ἡ προφῆτις ἡ θυγατέρα τοῦ Φανυὴλ, ἀπὸ τὴν φυλὴν τοῦ Ἀσήρ· καὶ αὐτὴ περασμένη πολλῶν χρονῶν, ἔςωντας νὰ ζήσῃ ἑπτὰ χρόνυς μὲ τὸν ἄνδρα ἀφόντις ἐπανδρεύθη.

37 Καὶ ἐτύτη ἦτον χήρα ἕως ὀγδοήκοντα τεσσάρων χρονῶν, ἡ ὁποῖα ποτὲ δὲν ἐμάκρυνεν ἀπὸ τὸ ἱερὸν, ἔςωντας νὰ λατρεύῃ τὸν Θεὸν νύκτα καὶ ἡμέραν μὲ νηςείαις καὶ μὲ δέησες·

38 Καὶ ἐτύτη ἔςωντας νὰ ἔλθῃ ἐκείνην τὴν ὥραν ἀνταποκρινομένη ἐδόξαζε τὸν Θεὸν, καὶ ἐλάλει διὰ τὸ παιδίον εἰς ὅλυς ἐκείνυς ὁπῦ ἀναμένασιν ἐλευθερίαν εἰς τὴν Ἱερυσαλήμ.

39 Καὶ ὡσὰν ἐτελείωσαν ὅλα ἐκεῖνα ὁπῦ εἶναι κατὰ τὸν νόμον τοῦ Κυρίυ, ἐγύρισαν ὀπίσω εἰς τὴν Γαλιλαίαν, εἰς τὴν πόλιν τυς τὴν Ναζαρέτ.

40 Καὶ τὸ παιδίον ηὔξανε,

καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας· καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτό.

41 Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα.

42 Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς·

43 Καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτοὺς, ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ· καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ.

44 Νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι, ἦλθον ἡμέρας ὁδόν· καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι καὶ ἐν τοῖς γνωστοῖς.

45 Καὶ μὴ εὑρόντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, ζητοῦντες αὐτόν.

46 Καὶ ἐγένετο, μεθ' ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων, καὶ ἀκούοντα αὐτῶν, καὶ ἐπερωτῶντα αὐτούς.

47 Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ, ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ.

48 Καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν· καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπε· Τέκνον, τί

καὶ ἐδυναμώνετον κατὰ τὸ πνεῦμα, καὶ ἐπληροῦτο σοφίας· καὶ χάρις τοῦ Θεοῦ ἦτον εἰς αὐτό.

41 Καὶ ἐπήγεναν οἱ γονεῖς του κάθε χρόνον εἰς τὴν Ἱερουσαλὴμ εἰς τὴν ἑορτὴν τοῦ πάσχα.

42 Καὶ ὅταν ἔγινε δώδεκα χρονῶν, ἀνέβηκαν εἰς τὴν Ἱερουσαλὴμ κατὰ τὴν συνήθειαν τῆς ἑορτῆς·

43 Καὶ τελειώνοντες ταῖς ἡμέραις, ἐκεῖ ὅπου ἐγύριζαν ἐκεῖνοι, ἀπόμεινε τὸ παιδίον ὁ Ἰησοῦς εἰς τὴν Ἱερουσάλήμ· καὶ ὁ Ἰωσὴφ καὶ ἡ μητέρα του δὲν τὸ ἤξευραν.

44 Ἀμὴ λογιάζοντες πῶς νὰ εἶναι μὲ τὴν συνοδίαν, ἦλθαν μιᾶς ἡμέρας στράταν· καὶ τὸν ἀναζήτησαν εἰς τοὺς συγγενεῖς καὶ εἰς τοὺς γνωρίμους.

45 Καὶ μὲ τὸ νὰ μὴν τὸν εὕρουν, ἐγύρισαν εἰς τὴν Ἱερουσαλὴμ, γυρεύοντές τον.

46 Καὶ ὡσὰν ἐπέρασαν τρεῖς ἡμέραις, τὸν εὑρῆκαν μέσα εἰς τὸ ἱερὸν ὅπου ἐκάθετον ἀνάμεσα εἰς τοὺς διδασκάλους, καὶ τοὺς ἄκουε, καὶ τοὺς ἐρώτα.

47 Καὶ ἐθαύμαζαν ὅλοι ὅσοι τὸν ἤκουσαν, εἰς τὴν γνῶσιν του καὶ εἰς ταῖς ἀπόκρισές του.

48 Καὶ ὡσὰν τὸν εἶδαν ἐξεπλάγησαν· καὶ λέγει του ἡ μητέρα του· Παιδί μου, διατί μας

ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε.

49 Καὶ εἶπε πρὸς αὐτούς· Τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με;

50 Καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς.

51 Καὶ κατέβη μετ' αὐτῶν, καὶ ἦλθεν εἰς Ναζαρέτ· καὶ ἦν ὑποτασσόμενος αὐτοῖς· καὶ ἡ μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς.

52 Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ, καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

ἔκαμες ἔτζι; νά, ὁ πατήρ σου καὶ ἐγὼ λυπούμενοι σὲ ἐγυρεύαμεν.

49 Καὶ εἶπέν τους· Διατί μὲ γυρεύετε; δὲν ἠξεύρετε πῶς κάμνει χρεία νὰ εἶμαι εἰς τὰ πράγματα τοῦ πατρός μου;

50 Καὶ ἐτοῦτοι δὲν ἐγροίκησαν τὸν λόγον ὅπου τοὺς εἶπε.

51 Καὶ ἐκατέβη μαζύ τους, καὶ ἦλθεν εἰς τὴν Ναζαρέτ· καὶ τοὺς ὑποτάσσετον· καὶ ἡ μητέρα του ἐφύλαττεν ὅλα τὰ λόγια ἐτοῦτα μέσα εἰς τὴν καρδίαν της.

52 Καὶ ὁ Ἰησοῦς ἐπρόκοπτε καὶ αὔξανεν καὶ εἰς τὴν σοφίαν καὶ εἰς τὴν ἡλικίαν, καὶ εἰς τὴν χάριν σημὰ εἰς τὸν Θεὸν καὶ εἰς τοὺς ἀνθρώπους.

Κεφ. γ'. 3.

ΕΝ ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρώδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος,

2 Ἐπ' ἀρχιερέων Ἄννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα Θεοῦ ἐπὶ Ἰωάννην τὸν τοῦ Ζαχαρίου υἱὸν, ἐν τῇ ἐρήμῳ.

ΚΑῚ εἰς τοὺς δεκαπέντε χρόνους τῆς αὐθεντείας τοῦ Τιβερίου Καίσαρος, ὅταν αὐθέντευεν ὁ Πόντιος ὁ Πιλάτος τὴν Ἰουδαίαν, καὶ ὅταν ὁ Ἡρώδης ἦτον τετράρχης τῆς Γαλιλαίας καὶ ὁ ἀδελφός του ὁ Φίλιππος τετράρχης τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίας τετράρχης τῆς Ἀβιληνῆς,

2 Εἰς τὸν καιρὸν τῶν ἀρχιερέων Ἄννα καὶ Καϊάφα, ἦλθε λόγος Θεοῦ εἰς τὸν Ἰωάννην τὸν υἱὸν τοῦ Ζαχαρίου μέσα εἰς τὴν ἔρημον.

3 Καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνȣ, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν·

4 Ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἡσαΐȣ τοῦ προφήτȣ, λέγοντος· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίȣ, εὐθείας ποιεῖτε τὰς τρίβȣς αὐτοῦ.

5 Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βȣνὸς ταπεινωθήσεται· καὶ ἔσαι τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδȣ̀ς λείας·

6 Καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεȣ͂.

7 Ἔλεγεν ȣ͂ν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ· Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλȣ́σης ὀργῆς;

8 Ποιήσατε ȣ͂ν καρπȣ̀ς ἀξίȣς τῆς μετανοίας· καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς· Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τȣ́των ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.

9 Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν ȣ͂ν δένδρον μὴ ποιȣ͂ν καρπὸν

3 Καὶ ἐπῆγεν εἰς ὅλην τὴν περίχωρον τοῦ Ἰροδάνȣ, καὶ ἐκήρυττε βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν·

4 Καθὼς εἶναι γεγραμμένον εἰς τὸ βιβλίον τῶν λόγων τοῦ Ἡσαΐȣ τοῦ προφήτȣ, ὁπȣ͂ λέγει· Φωνὴ ἐκείνȣ ὁπȣ͂ βοᾷ μέσα εἰς τὴν ἔρημον· Ἑτοιμάσετε τὴν ςράταν τοῦ Κυρίȣ, κάμετε ἴσȣς τȣ̀ς δρόμȣς τȣ.

5 Κάθε λαγκάδι θέλει γεμίσει, καὶ κάθε ὄρος καὶ βȣνὸ θέλει ταπεινωθῇ· καὶ τὰ ςραβὰ θέλȣσιν ἰσιάσει, καὶ ἡ κακοπεριπάτηταις ςράταις θέλȣν γένει ἴσαις·

6 Καὶ κάθε ἄνθρωπος θέλει εἰδῆ τὸ σωτήριον τοῦ Θεȣ͂.

7 Ἔλεγε λοιπὸν εἰς τȣ̀ς ὄχλȣς ὁπȣ͂ εὔγεναν νὰ βαπτισθȣ͂σιν ἀπ' αὐτόν· Παιδία τῆς ὄχεντρας, τίς σᾶς ἔδειξε νὰ φύγετε ἀπὸ τὴν ὀργὴν ὁπȣ͂ μέλλει νὰ ἔλθῃ;

8 Κάμετε τὸ λοιπὸν καρπȣ̀ς ὁπȣ͂ νὰ εἶναι ἄξιοι μετανοίας· καὶ μὴν ἀρχίσετε νὰ λέγετε ἀνάμεσά σας· Ἐμεῖς ἔχομεν πατέρα τὸν Ἀβραάμ· διατὶ σᾶς λέγω, ὅτι ὁ Θεὸς δύνεται ἀπὸ ταῖς πέτραις ἐτȣ́ταις νὰ ἐξαναςήσῃ παιδία εἰς τὸν Ἀβραάμ.

9 Καὶ νὰ καὶ τὸ πελέκι ὁπȣ͂ κεῖται εἰς τὴν ῥίζαν τȣ͂ δένδρȣ· κάθε δένδρον ὁπȣ͂ δὲν κάμνει

καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.

10 Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι, λέγοντες· Τί οὖν ποιήσομεν;

11 Ἀποκριθεὶς δὲ λέγει αὐτοῖς· Ὁ ἔχων δύο χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι· καὶ ὁ ἔχων βρώματα, ὁμοίως ποιείτω.

12 Ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι, καὶ εἶπον πρὸς αὐτόν· Διδάσκαλε, τί ποιήσομεν;

13 Ὁ δὲ εἶπε πρὸς αὐτούς· Μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε.

14 Ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι, λέγοντες· Καὶ ἡμεῖς τί ποιήσομεν; καὶ εἶπε πρὸς αὐτούς· Μηδένα διασείσητε, μηδὲ συκοφαντήσητε· καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν.

15 Προσδοκῶντος δὲ τοῦ λαοῦ, καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστὸς,

16 Ἀπεκρίνατο ὁ Ἰωάννης, ἅπασι λέγων· Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς

καλὸν καρπὸν, κόπτεται, καὶ βάνεται εἰς τὴν φωτία.

10 Καὶ οἱ ὄχλοι τὸν ἐρωτοῦσαν καὶ τοῦ ἔλεγαν· Τί νὰ κάμωμεν λοιπόν;

11 Καὶ ὁ Ἰωάννης ἀπεκρίθη, καὶ λέγει τους· Ἐκεῖνος ὁποῦ ἔχει δύο φορέματα, ἂς δώσῃ τὸ ἕνα ἐκείνου ὁποῦ δὲν ἔχει· τὸ αὐτὸ ἂς κάμῃ καὶ ἐκεῖνος, ὁποῦ ἔχει φαγητά.

12 Καὶ ἦλθαν καὶ οἱ τελῶναι νὰ βαπτισθοῦσι, καὶ λέγουν του· Διδάσκαλε, τί νὰ κάμωμεν;

13 Καὶ τους εἶπε· Τίποτες περισσότερον μὲν ζητᾶτε ἔξω ἀπὸ τὸ διατεταγμένον σας.

14 Ἐρωτοῦσάν τον καὶ οἱ στρατιῶται, καὶ ἔλεγαν· Ἀμὴ ἐμεῖς τί νὰ κάμωμεν; καὶ εἶπέν τους· Κανένα νὰ μὴν διασείσετε, μηδὲ νὰ συκοφαντήσετε· καὶ νὰ εἶσθε εὐχαριστημένοι εἰς τὴν ῥόγαν σας.

15 Καὶ ἐλπίζωντας ὁ λαὸς, καὶ διαλογιζόμενοι ὅλοι μέσα τους διὰ τὸν Ἰωάννην, μήπως καὶ ἤθελεν εἶσθαι αὐτὸς ὁ Χριστὸς,

16 Ἀπεκρίθη ὁ Ἰωάννης εἰς ὅλους, καὶ εἶπεν· Ἐγὼ σᾶς βαπτίζω μὲ νερόν· ἀμὴ ἔρχεται ὁ δυνατώτερός μου, τοῦ ὁποίου ἐγὼ δὲν εἶμαι ἄξιος νὰ λύσω τὸ λουρίον τῶν ὑποδημάτων του· αὐ-

βαπτίσει ἐν Πνεύματι ἁγίῳ,
καὶ πυρί.
17 Οὗ τὸ πτύον ἐν τῇ
χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ
τὴν ἅλωνα αὐτοῦ· καὶ συνάξει
τὸν σῖτον εἰς τὴν ἀποθήκην
αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύ-
σει πυρὶ ἀσβέστῳ.

18 Πολλὰ μὲν οὖν καὶ
ἕτερα παρακαλῶν εὐηγγελίζε-
το τὸν λαόν.
19 Ὁ δὲ Ἡρώδης ὁ τετράρ-
χης, ἐλεγχόμενος ὑπ' αὐτοῦ,
περὶ Ἡρωδιάδος τῆς γυναικὸς
Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ,
καὶ περὶ πάντων ὧν ἐποίησε
πονηρῶν ὁ Ἡρώδης,
20 Προσέθηκε καὶ τοῦτο
ἐπὶ πᾶσι, καὶ κατέκλεισε τὸν
Ἰωάννην ἐν τῇ φυλακῇ.

21 Ἐγένετο δὲ ἐν τῷ βαπ-
τισθῆναι ἅπαντα τὸν λαὸν,
καὶ Ἰησοῦ βαπτισθέντος, καὶ
προσευχομένου, ἀνεῳχθῆναι τὸν
οὐρανόν·
22 Καὶ καταβῆναι τὸ
Πνεῦμα τὸ ἅγιον σωματικῷ
εἴδει, ὡσεὶ περιστερὰν, ἐπ'
αὐτόν· καὶ φωνὴν ἐξ οὐρανοῦ
γενέσθαι, λέγουσαν· Σὺ εἶ ὁ
υἱός μου ὁ ἀγαπητὸς, ἐν σοὶ
ηὐδόκησα.
23 Καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς
ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμε-
νος, ὢν (ὡς ἐνομίζετο) υἱὸς
Ἰωσὴφ, τοῦ Ἡλὶ,

τὸς θέλει σᾶς βαπτίσει μὲ
Πνεῦμα ἅγιον, καὶ μὲ φωτίαν.
17 Εἰς τοῦ ὁποίου τὸ χέρι
εἶναι τὸ φτυάρι· καὶ θέλει
καθαρίσει τὸ ἁλώνι του· καὶ
θέλει μαζώξει τὸ σιτάρι εἰς τὸ
ἀμπάρι του· καὶ τὸ ἄχυρον
θέλει τὸ κατακαύσει μὲ
φωτίαν ὁποῦ δὲν σβεῖ ποτέ.
18 Καὶ ἄλλα πολλὰ
παρακινῶν εὐαγγέλιζε τὸν
λαόν.
19 Καὶ ὁ Ἡρώδης ὁ τετράρ-
χης, ἔστωντας νὰ ἐλέγχετον ἀπ'
αὐτὸν, διὰ τὴν Ἡρωδιάδα τὴν
γυναῖκα τοῦ ἀδελφοῦ του τοῦ
Φιλίππου, καὶ διὰ ὅλα ἐκεῖνα
τὰ κακὰ ὁποῦ ἔκαμεν ὁ Ἡρώδης,
20 Ἐπρόσθεσε καὶ τοῦτο
ἀπάνω εἰς ὅλα, καὶ ἐσφάλισε
τὸν Ἰωάννην μέσα εἰς τὴν
φυλακήν.
21 Καὶ ὅταν ἐβαπτίζετον
ὅλος ὁ λαὸς, ἐκεῖ ὁποῦ ἐβα-
πτίσθη ὁ Ἰησοῦς, καὶ ἐπροσεύ-
χετον, ἀνοίχθησαν οἱ οὐρανοί·
22 Καὶ τὸ Πνεῦμα τὸ ἅγιον
ἐκατέβη μὲ σωματικὸν εἶδος,
ὡσὰν περιστέρι, ἀπάνω εἰς
αὐτόν· καὶ νὰ, καὶ ἦλθε φωνὴ
ἀπὸ τὸν οὐρανὸν, ὁποῦ ἔλεγεν·
Ἐσὺ εἶσαι ὁ υἱός μου ὁ ἠγαπημέ-
νος, εἰς ἐσένα ἀναπαύομαι.
23 Καὶ αὐτὸς ὁ Ἰησοῦς
ἦτον ὡσὰν νὰ ἄρχιζε τριάντα
χρονῶν, καθὼς ἐλογιάζετον νὰ
εἶναι υἱὸς τοῦ Ἰωσήφ· καὶ ὁ
Ἰωσὴφ τοῦ Ἡλί.

24 Τοῦ Ματθὰτ, τοῦ Λευῒ, τοῦ Μελχὶ, τοῦ Ἰαννὰ, τοῦ Ἰωσὴφ,

25 Τοῦ Ματταθίου, τοῦ Ἀμὼς, τοῦ Ναοὺμ, τοῦ Ἐσλὶ, τοῦ Ναγγαὶ,

26 Τοῦ Μαὰθ, τοῦ Ματταθίου, τοῦ Σεμεῒ, τοῦ Ἰωσὴφ, τοῦ Ἰούδα,

27 Τοῦ Ἰωαννᾶ, τοῦ Ῥησὰ, τοῦ Ζοροβάβελ, τοῦ Σαλαθιὴλ, τοῦ Νηρὶ,

28 Τοῦ Μελχὶ, τοῦ Ἀδδὶ, τοῦ Κωσὰμ, τοῦ Ἐλμωδὰμ, τοῦ Ἢρ,

29 Τοῦ Ἰωσὴ, τοῦ Ἐλιέζερ, τοῦ Ἰωρεὶμ, τοῦ Ματθὰτ, τοῦ Λευῒ,

30 Τοῦ Συμεὼν, τοῦ Ἰούδα, τοῦ Ἰωσὴφ, τοῦ Ἰωνὰν, τοῦ Ἐλιακεὶμ,

31 Τοῦ Μελεᾶ, τοῦ Μαϊνὰν, τοῦ Ματταθὰ, τοῦ Ναθὰν, τοῦ Δαβὶδ,

32 Τοῦ Ἰεσσαὶ, τοῦ Ὠβὴδ,

24 Καὶ ὁ Ἡλὶ τοῦ Ματθάτ· καὶ ὁ Ματθὰτ τοῦ Λευΐ· καὶ ὁ Λευῒς τοῦ Μελχί· καὶ ὁ Μελχὶς τοῦ Ἰαννά· καὶ ὁ Ἰαννὰ τοῦ Ἰωσήφ.

25 Καὶ ὁ Ἰωσὴφ τοῦ Ματταθίου· καὶ ὁ Ματταθίας τοῦ Ἀμώς· καὶ Ἀμὼς τοῦ Ναούμ· καὶ Ναοὺμ τοῦ Ἐσλί· καὶ ὁ Ἐσλὶς τοῦ Ναγγαί.

26 Καὶ ὁ Ναγγαὶ τοῦ Μαάθ· καὶ Μαὰθ τοῦ Ματταθίου· καὶ Ματταθίας τοῦ Σεμεΐ· καὶ Σεμεῒς τοῦ Ἰωσήφ· καὶ Ἰωσὴφ τοῦ Ἰούδα.

27 Καὶ Ἰούδας τοῦ Ἰωαννᾶ· καὶ Ἰωαννᾶς τοῦ Ῥησά· καὶ Ῥησᾶς, τοῦ Ζοροβάβελ· καὶ Ζοροβάβελ τοῦ Σαλαθιήλ· καὶ Σαλαθιὴλ τοῦ Νηρί.

28 Καὶ Νηρὶς τοῦ Μελχί· καὶ Μελχὶς τοῦ Ἀδδί· καὶ Ἀδδὶς τοῦ Κωσάμ· καὶ Κωσὰμ τοῦ Ἐλμωδάμ· καὶ Ἐλμωδὰμ τοῦ Ἤρ.

29 Καὶ Ἢρ τοῦ Ἰωσή· καὶ Ἰωσὴ τοῦ Ἐλιέζερ· καὶ Ἐλιέζερ τοῦ Ἰωρείμ· καὶ Ἰωρεὶμ τοῦ Ματθάτ· καὶ Ματθὰτ τοῦ Λευΐ.

30 Καὶ Λευῒ τοῦ Συμεών· καὶ Συμεὼν τοῦ Ἰούδα· καὶ ὁ Ἰούδας τοῦ Ἰωσήφ· καὶ Ἰωσὴφ τοῦ Ἰωνάν· καὶ Ἰωνὰν τοῦ Ἐλιακείμ.

31 Καὶ Ἐλιακεὶμ τοῦ Μελεᾶ· καὶ Μελεᾶς τοῦ Μαϊνάν· καὶ Μαϊνὰν τοῦ Ματταθά· καὶ Ματταθὰς τοῦ Ναθάν· καὶ Ναθὰν τοῦ Δαβίδ.

32 Καὶ Δαβὶδ τοῦ Ἰεσσαί· καὶ Ἰεσσαὶ τοῦ Ὠβήδ· καὶ Ὠβὴδ

τȢ Βοὸζ, τȢ Σαλμὼν, τȢ Ναασσὼν,
33 ΤȢ Ἀμιναδὰϐ, τȢ Ἀρὰμ, τȢ Ἐσρὼμ, τȢ Φαρὲς, τȢ Ἰȣ̓́δα,
34 ΤȢ Ἰακὼβ, τȢ Ἰσαὰκ, τȢ Ἀβραὰμ, τȢ Θάρα, τȢ Ναχὼρ,
35 ΤȢ Σαροὺχ, τȢ Ῥαγαῦ, τȢ Φαλὲκ, τȢ Ἐβὲρ, τȢ Σαλὰ,
36 ΤȢ Καϊνὰν, τȢ Ἀρφαξὰδ, τȢ Σὴμ, τȢ Νῶε, τȢ Λάμεχ,
37 ΤȢ Μαθȣσάλα, τȢ Ἐνὼχ, τȢ Ἰαρὲδ, τȢ Μαλελεὴλ, τȢ Καϊνὰν,
38 ΤȢ Ἐνὼς, τȢ Σὴθ, τοῦ Ἀδὰμ, τȢ ΘεȢ.

τȢ Βοόζ· καὶ Βοὸζ τȢ Σαλμών. καὶ Σαλμὼν τȢ Ναασσών.
33 Καὶ Ναασσὼν τȢ Ἀμιναδάϐ· καὶ Ἀμιναδὰϐ τȢ Ἀράμ· καὶ Ἀρὰμ τȢ Ἐσρώμ· καὶ Ἐσρὼμ τȢ Φαρές· καὶ Φαρὲς τȢ Ἰȣ̓́δα.
34 Καὶ Ἰȣ̓́δας τȢ Ἰακώϐ· καὶ Ἰακὼϐ τȢ Ἰσαάκ· καὶ ὁ Ἰσαὰκ τȢ Ἀϐραάμ· καὶ Ἀϐραὰμ τȢ Θάῤῥα· καὶ Θάῤῥας τȢ Ναχώρ·
35 Καὶ Ναχὼρ τȢ Σαρȣ́χ· καὶ Σαρȣ̀χ τȢ Ῥαγαῦ· καὶ Ῥαγαῦ τȢ Φαλέκ· καὶ Φαλὲκ τȢ Ἔϐερ· καὶ Ἔϐερ τȢ Σαλά.
36 Καὶ Σαλὰ τȢ Καϊνάν· καὶ Καϊνὰν τῶ Ἀρφαξὰδ· καὶ Ἀρφαξὰδ τȢ Σήμ· καὶ Σὴμ τȢ Νῶε· καὶ Νῶε τοῦ Λάμεχ.
37 Καὶ Λάμεχ τȢ Μαθȣσάλα· καὶ Μαθȣσάλα τȢ Ἐνώχ· καὶ Ἐνὼχ τȢ Ἰάρεδ· καὶ Ἰάρεδ τȢ Μαλελεήλ· καὶ Μαλελεὴλ τȢ Καϊνάν.
38 Καὶ Καϊνὰν τȢ Ἐνώς· καὶ Ἐνὼς τοῦ Σήθ· καὶ Σὴθ τȢ Ἀδάμ· καὶ Ἀδὰμ τȢ ΘεȢ.

Κεφ. δ'. 4.

ἸΗΣΟΥ͂Σ δὲ Πνεύματος ἁγίȣ πλήρης ὑπέστρεψεν ἀπὸ τȢ Ἰορδάνȣ· καὶ ἤγετο ἐν τῷ Πνεύματι εἰς τὴν ἔρημον,
2 Ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλȣ· καὶ οὐκ ἔφαγεν ȣ̓δὲν ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ συντελε-

ΚΑῚ ὁ Ἰησȣ̃ς γεμάτος Πνεῦμα ἅγιον ἐγύρισεν ἀπὸ τὸν Ἰορδάνην· καὶ ἐφέρετον διὰ μέσα τȢ Πνεύματος εἰς τὴν ἔρημον,
2 Καὶ ἐπειράζετον ἀπὸ τὸν διάϐολον σαράντα ἡμέραις· καὶ τίποτες δὲν ἔφαγεν ἐκείναις ταῖς ἡμέραις· καὶ ὥσαν ἐτελειώθη-

σθεισῶν, αὐτῶν, ὕστερον ἐπεί-
νασε.
3 Καὶ εἶπεν αὐτῷ ὁ διάβο-
λος· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ τῷ
λίθῳ τούτῳ ἵνα γένηται ἄρτος.
4 Καὶ ἀπεκρίθη Ἰησοῦς
πρὸς αὐτὸν, λέγων· Γέγρα-
πται, ὅτι οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ
ζήσεται ὁ ἄνθρωπος, ἀλλ᾽ ἐπὶ
παντὶ ῥήματι Θεοῦ.
5 Καὶ ἀναγαγὼν αὐτὸν ὁ
διάβολος εἰς ὄρος ὑψηλὸν, ἔ-
δειξεν αὐτῷ πάσας τὰς βασι-
λείας τῆς οἰκουμένης ἐν στιγμῇ
χρόνου.
6 Καὶ εἶπεν αὐτὸ ὁ διάβο-
λος· Σοὶ δώσω τὴν ἐξουσίαν
ταύτην ἅπασαν, καὶ τὴν δό-
ξαν αὐτῶν· ὅτι ἐμοὶ παραδέ-
δοται καὶ ᾧ ἐὰν θέλω, δίδωμι
αὐτήν.
7 Σὺ οὖν ἐὰν προσκυνήσῃς
ἐνώπιόν μου, ἔσται σου πάντα.

8 Καὶ ἀποκριθεὶς αὐτῷ,
εἶπεν ὁ Ἰησοῦς· Ὕπαγε ὀπίσω
μου Σατανᾶ· γέγραπται γάρ·
Προσκυνήσεις Κύριον τὸν Θεόν
σου, καὶ αὐτῷ μόνῳ λατρεύ-
σεις.
9 Καὶ ἤγαγεν αὐτὸν εἰς
Ἱερουσαλὴμ, καὶ ἔστησεν αὐτὸν
ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ· καὶ
εἶπεν αὐτῷ· Εἰ ὁ υἱὸς εἶ τοῦ
Θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν
κάτω·
10 Γέγραπται γάρ· Ὅτι τοῖς

σαν αὐταῖς αἱ ἡμέραις, ὕστερον
ἐπείνασε.
3 Καὶ λέγει του ὁ διάβολος·
Ἂν εἶσαι υἱὸς τοῦ Θεοῦ, εἰπὲ τῆς
πέτρας ἐτούτης νὰ γένῃ ψωμί.
4 Καὶ ὁ Ἰησοῦς ἀπεκρίθη,
καὶ εἶπεν εἰς αὐτόν· Εἶναι γε-
γραμμένον, ὅτι ὄχι μόνον μέ
ψωμὶ νὰ ζῇ ὁ ἄνθρωπος, ἀλ-
λὰ μὲ κάθε λόγον Θεοῦ.
5 Καὶ ἀνεβάζωντάς τον ὁ
διάβολος εἰς ἕνα ὑψηλὸν ὄρος,
τοῦ ἔδειξεν ὅλαις ταῖς βασι-
λείαις τοῦ κόσμου εἰς μίαν
στιγμὴν καιροῦ.
6 Καὶ εἶπέν του ὁ διάβο-
λος· Ἐσένα θέλω δώσει ἐτού-
την τὴν ἐξουσίαν ὅλην, καὶ
τὴν δόξαν τους· ὅτι ἐμένα
ἐπαραδόθη, καὶ οὗτινος θέλω,
τὴν δίδω.
7 Ἐὰν ἐσὺ λοιπὸν μὲ προσ-
κυνήσῃς ὀμπροστά μου, θέλουν
εἶσθαι ὅλα ἐδικά σου.
8 Καὶ ἀπεκρίθη ὁ Ἰησοῦς,
καὶ εἶπέν, του· Ὕπαγε ὀπίσω μου
Σατανᾶ· διατὶ εἶναι γεγραμ-
μένον· Θέλεις προσκυνήσει τὸν
Αὐθέντην τὸν Θεόν σου, καὶ
αὐτὸν μόνον θέλεις λατρεύσει.
9 Καὶ ἔφερέ τον εἰς τὴν Ἱε-
ρουσαλὴμ, καὶ ἔστησέν τον ἀπά-
νω εἰς τὴν ἄκρην τοῦ ἱεροῦ· καὶ
εἶπέν του· Ἐὰν εἶσαι υἱὸς τοῦ
Θεοῦ, ῥίξε τοῦ λόγου σου ἀπ᾽ ἐδῶ
κάτω·
10 Διατὶ εἶναι γεγραμμένον·

ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε.

11 Καὶ ὅτι ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

12 Καὶ ἀποκριθεὶς, εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ὅτι εἴρηται· Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου.

13 Καὶ συντελέσας πάντα πειρασμὸν, ὁ διάβολος, ἀπέστη ἀπ᾽ αὐτοῦ ἄχρι καιροῦ.

14 Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ Πνεύματος εἰς τὴν Γαλιλαίαν· καὶ φήμη ἐξῆλθε καθ᾽ ὅλης τῆς περιχώρου περὶ αὐτοῦ.

15 Καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ πάντων.

16 Καὶ ἦλθεν εἰς τὴν Ναζαρὲτ, οὗ ἦν τεθραμμένος· καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ, ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, εἰς τὴν συναγωγήν· καὶ ἀνέστη ἀναγνῶναι.

17 Καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ προφήτου· καὶ ἀναπτύξας τὸ βιβλίον, εὗρε τὸν τόπον οὗ ἦν γεγραμμένον·

18 Πνεῦμα Κυρίου ἐπ᾽ ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με· εὐαγγελίζεσθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμα-

Ὅτι θέλει προστάξει τοὺς ἀγγέλους του διὰ λόγου σου, νὰ σὲ διαφυλάξουν.

11 Καὶ νὰ σὲ φέρουν ἀπάνω εἰς τὰ χέρια τους, διὰ νὰ μὴν σκοντάψῃ εἰς τὴν πέτραν τὸ ποδάρι σου.

12 Καὶ ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ λέγει του· Ἐλαλήθη· Δὲν θέλεις δοκιμάσει Κύριον τὸν Θεόν σου.

13 Καὶ τελειώνωντας κάθε πειρασμὸν, ὁ διάβολος ἐμάκρυνεν ἀπ᾽ αὐτὸν ἕως καιρόν.

14 Καὶ ἐγύρισεν ὁ Ἰησοῦς μὲ τὴν δύναμιν τοῦ Πνεύματος εἰς τὴν Γαλιλαίαν· καὶ ἡ φήμη εὐγῆκεν εἰς ὅλην τὴν Γαλιλαίαν διὰ λόγου του.

15 Καὶ αὐτὸς ἐδίδασκεν εἰς ταῖς συναγωγαῖς τους, δοξαζόμενος ἀπὸ ὅλους.

16 Καὶ ἦλθεν εἰς τὴν Ναζαρὲτ, ἐκεῖ ὁποῦ ἦτον ἀναθρεμμένος· καὶ ἐμβῆκε κατὰ τὴν συνήθειάν του τὴν ἡμέραν τοῦ σαββάτου εἰς τὴν συναγωγήν· καὶ ἐσηκώθη νὰ διαβάσῃ.

17 Καὶ τοῦ ἔδωκαν τὸ βιβλίον τοῦ Ἡσαΐου τοῦ προφήτου· καὶ ἀνοίγωντας τὸ βιβλίον, εὑρῆκε τὸν τόπον ὁποῦ ἦτον γεγραμμένον·

18 Τὸ πνεῦμα τοῦ Κυρίου ἀπάνω εἰς ἐμὲ, καὶ διὰ τοῦτο μὲ ἔχρισε· καὶ μὲ ἔστειλε διὰ νὰ εὐαγγελίσω τοὺς πτωχοὺς, νὰ ἰατρεύσω ἐκείνους ὁποῦ ἔχουν καρ-

λώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποϛεῖλαι τεθραυσμένους ἐν ἀφέσει,

19 Κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν.

20 Καὶ πτύξας τὸ βιβλίον, ἀποδοὺς τῷ ὑπηρέτῃ, ἐκάθισε· καὶ πάντων ἐν τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν ἀτενίζοντες αὐτῷ.

21 Ἤρξατο δὲ λέγειν πρὸς αὐτούς· Ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.

22 Καὶ πάντες ἐμαρτύρουν αὐτῷ, καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ ϛόματος αὐτοῦ, καὶ ἔλεγον· Οὐχ οὗτός ἐϛιν ὁ υἱὸς Ἰωσήφ;

23 Καὶ εἶπε πρὸς αὐτούς· Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην· Ἰατρὲ, θεράπευσον σεαυτόν· ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ Καπερναοὺμ, ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου.

24 Εἶπε δέ· Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδεὶς προφήτης δεκτός ἐϛιν ἐν τῇ πατρίδι αὐτοῦ.

25 Ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν, πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλίου ἐν τῷ Ἰσραὴλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς

δίαν ῥαγισμένην, νὰ κηρύξω ἐλευθερίαν εἰς τοὺς σκλαβωμένους, καὶ ξανάβλεψιν εἰς τοὺς τυφλοὺς, νὰ πέμψω μὲ συγχώρησιν τοὺς πληγωμένους,

19 Νὰ κηρύξω χρόνον Κυρίου ϛερκτόν.

20 Καὶ σφαλῶντας τὸ βιβλίον, καὶ δίδωντάς το τοῦ ὑπηρέτου, ἐκάθισε· καὶ τὰ μάτια ὅλωνῶν ὅπου ἦταν εἰς τὸ συναγώγι ἀτένιζαν εἰς αὐτόν·

21 Καὶ ἄρχισε νὰ τοὺς λέγῃ· Ὅτι σήμερον ἐτελειώθη ἡ γραφὴ ἐτοῦτη εἰς τὰ αὐτία σας.

22 Καὶ ὅλοι ἐμαρτυροῦσαν εἰς αὐτὸν, καὶ ἐθαύμαζαν εἰς τὰ λόγια τὰ χαριτωμένα, ὅπου εὔγεναν ἀπὸ τὸ ϛόμα του, καὶ ἔλεγαν· Δὲν εἶναι ἐτοῦτος ὁ υἱὸς τοῦ Ἰωσήφ;

23 Καὶ εἶπεν εἰς αὐτούς· Ἐξάπαντως θέλετε μοῦ εἰπεῖ τὴν παραβολὴν ἐτοῦτην· Ἰατρὲ, θέραπευσε τοῦ λόγου σου· ὅσα ἀκούσαμεν ὅπου ἔγιναν εἰς τὴν Καπερναοὺμ, κάμε τα καὶ ἐδῶ εἰς τὴν πατρίδα σου.

24 Καὶ εἶπε· Βέβαια σᾶς λέγω, ὅτι οὐδὲ κανένας προφήτης εἶναι δεκτὸς εἰς τὴν πατρίδα του.

25 Καὶ ἐπ' ἀληθείας σᾶς λέγω, πολλαῖς χῆραις ἦταν εἰς τὸν καιρὸν τοῦ Ἠλίου εἰς τὸ γένος τοῦ Ἰσραὴλ, ὅταν ἐσφάλησεν

ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν·

26 Καὶ πρὸς ȣδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας, εἰ μὴ εἰς Σάρεπτα τῆς Σιδῶνος, πρὸς γυναῖκα χήραν.

27 Καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ Ἐλισσαίȣ τοῦ προφήτȣ ἐν τῷ Ἰσραήλ· καὶ ȣδεὶς αὐτῶν ἐκαθαρίσθη, εἰ μὴ Νεεμὰν ὁ Σύρος.

28 Καὶ ἐπλήσθησαν πάντες θυμȣ̃ ἐν τῇ συναγωγῇ, ἀκȣ́οντες ταῦτα.

29 Καὶ ἀναστάντες ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως· καὶ ἤγαγον αὐτὸν ἕως τῆς ὀφρύος τȣ̃ ὄρȣς, ἐφ' ȣ̃ ἡ πόλις αὐτῶν ᾠκοδόμητο, εἰς τὸ κατακρημνίσαι αὐτόν.

30 Αὐτὸς δὲ διελθὼν διὰ μέσȣ αὐτῶν, ἐπορεύετο.

31 Καὶ κατῆλθεν εἰς Καπερναȣ̀μ πόλιν τῆς Γαλιλαίας· καὶ ἦν διδάσκων αὐτȣ̀ς ἐν τοῖς σάββασι.

32 Καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτȣ̃· ὅτι ἐν ἐξȣσίᾳ ἦν ὁ λόγος αὐτȣ̃.

33 Καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίȣ ἀκαθάρτȣ, καὶ ἀνέκραξε φωνῇ μεγάλῃ,

34 Λέγων· Ἔα, τί ἡμῖν καὶ σοὶ Ἰησȣ̃ Ναζαρηνέ; ἦλθες ἀ-

ὁ ȣρανὸς τρεῖς ἥμισυ χρόνȣς, εἰς τόσον ὅπȣ ἔγινε μεγάλη πεῖνα εἰς ὅλην τὴν γῆν.

26 Καὶ εἰς ȣδὲ καμίαν ἀπ' αὐταῖς ἐστάλθη ὁ Ἠλίας, παρὰ εἰς Σάρεπτα τῆς Σιδῶνος, εἰς γυναῖκα χήρα.

27 Καὶ πολλοὶ λεπροὶ ἦσαν εἰς ταῖς ἡμέραις τȣ̃ Ἐλισσαίȣ τȣ̃ προφήτȣ εἰς τὸ γένος τȣ̃ Ἰσραήλ· καὶ κανένας ἀπ' αὐτȣ̀ς δὲν ἐκαθαρίσθη, παρὰ Νεεμὰν ὁ Σύρος.

28 Καὶ ὅλοι ἐγέμισαν θυμὸν εἰς τὸ συναγώγι, ἀκȣ́οντες τὰ λόγια ἐτȣ̃τα.

29 Καὶ ἐσηκώθηκαν καὶ ἐδίωξάν τον ἔξω ἀπὸ τὴν πόλιν· καὶ ἐπῆγάν τον ἕως εἰς τὸ ὀφρύδι τȣ̃ ὄρȣς, εἰς τὸ ὁποῖον ἦτον ἡ πόλις των κτισμένη, διὰ νὰ τὸν ξεκρημνίσȣν.

30 Ἀμὴ αὐτὸς ἐπέρασεν ἀπὸ τὴν μέσην τȣς, καὶ ἐδιέβη.

31 Καὶ ἐκατέβη εἰς τὴν Καπερναȣ̀μ ἡ ὁποῖα εἶναι πόλις τῆς Γαλιλαίας· καὶ τȣ̀ς ἐδίδασκε εἰς τὰ σάββατα.

32 Καὶ ἐξεπλήττȣνταν εἰς τὴν διδαχήν τȣ· ὅτι τὰ λόγιά τȣ ἦταν ἐξȣσιαστικά.

33 Καὶ εἰς τὴν συναγωγὴν ἦτον ἕνας ἄνθρωπος ὁπȣ̃ εἶχε πνεῦμα δαιμονίȣ ἀκαθάρτȣ, καὶ ἐφώναξε μὲ μεγάλην φωνήν,

34 Καὶ εἶπεν· Ἄφες ὦ Ἰησȣ̃ Ναζαρηνὲ, τί ἔχεις νὰ κάμῃς

πολέσαι ἡμᾶς; οἶδά σε τίς
εἶ· ὁ ἅγιος τοῦ Θεοῦ.

35 Καὶ ἐπετίμησεν αὐτῷ
ὁ Ἰησοῦς, λέγων· Φιμώθητι,
καὶ ἔξελθε ἐξ αὐτοῦ. Καὶ
ῥίψαν αὐτὸν τὸ δαιμόνιον εἰς
τὸ μέσον, ἐξῆλθεν ἀπ' αὐτοῦ,
μηδὲν βλάψαν αὐτόν.
36 Καὶ ἐγένετο θάμβος
ἐπὶ πάντας· καὶ συνελάλουν
πρὸς ἀλλήλους, λέγοντες· Τίς
ὁ λόγος οὗτος, ὅτι ἐν ἐξουσίᾳ
καὶ δυνάμει ἐπιτάσσει τοῖς
ἀκαθάρτοις πνεύμασι, καὶ
ἐξέρχονται;
37 Καὶ ἐξεπορεύετο ἦχος
περὶ αὐτοῦ εἰς πάντα τόπον
τῆς περιχώρου.
38 Ἀναστὰς δὲ ἐκ τῆς συ-
ναγωγῆς, εἰσῆλθεν εἰς τὴν οἰ-
κίαν Σίμωνος· ἡ πενθερὰ δὲ
τοῦ Σίμωνος ἦν συνεχομένη
πυρετῷ μεγάλῳ· καὶ ἠρώτησαν
αὐτὸν περὶ αὐτῆς.
39 Καὶ ἐπιστὰς ἐπάνω αὐ-
τῆς, ἐπετίμησε τῷ πυρετῷ,
καὶ ἀφῆκεν αὐτήν· παραχρῆ-
μα δὲ ἀναστᾶσα διηκόνει αὐ-
τοῖς.
40 Δύνοντος δὲ τοῦ ἡλίου,
πάντες ὅσοι εἶχον ἀσθενοῦντας
νόσοις ποικίλαις, ἤγαγον αὐ-
τοὺς πρὸς αὐτόν· ὁ δὲ ἑνὶ ἑκάστῳ
αὐτῶν τὰς χεῖρας ἐπιθεὶς,
ἐθεράπευσεν αὐτούς.
41 Ἐξήρχετο δὲ καὶ δαιμό-

μὲ τοῦ λόγου μας; ἦλθες νὰ
μᾶς χαλάσῃς; ἰξεύρω ποῖος
εἶσαι· ὁ ἅγιος τοῦ Θεοῦ.
35 Καὶ ὁ Ἰησοῦς τοῦ εἶπεν·
Ἀποστομώσου, καὶ εὔγα ἀπ'
αὐτόν. Καὶ τὸ δαιμόνιον τὸν
ἔῤῥιξεν εἰς τὴν μέσην, καὶ εὐ-
γῆκεν ἀπ' αὐτὸν, καὶ δὲν τὸν
ἔβλαψε τίποτες.
36 Καὶ μεγάλη τρομάρα
τοὺς ἐπίασεν ὅλους· καὶ ἐσυν-
τύχαιναν ἀνάμεσά τους, καὶ
ἔλεγαν· Τί εἶναι ἐτοῦτο τὸ
πρᾶγμα, ὅτι μὲ ἐξουσίαν καὶ
δύναμιν προστάσσει τὰ ἀκά-
θαρτα πνεύματα, καὶ εὐγένουσι;
37 Καὶ ἡ φήμη του εὐγῆ-
κεν εἰς ὅλον τὸν τόπον τῆς
περιχώρου.
38 Καὶ σηκωνώμενος ἀπὸ
τὴν συναγωγὴν, ἐμβῆκεν εἰς τὸ
σπῆτι τοῦ Σίμωνος· καὶ ἡ
πενθερὰ τοῦ Σίμωνος ἐκρατειέτο
ἀπὸ μεγάλην θέρμην· καὶ ἐπα-
ρακάλεσάν τον δι' αὐτήν.
39 Καὶ ἔστωντας νὰ πάγῃ
ἀπάνω της νὰ σταθῇ, ἐπρόσταξε
τὴν θέρμην, καὶ ἄφησέν την·
καὶ παρευθὺς ἐσηκώθη καὶ
τοὺς ὑπηρέτα.
40 Καὶ ὅταν ἐβασίλευεν ὁ
ἥλιος, ὅλοι ὅσοι εἶχαν ἀσθε-
νημένους ἀπὸ διάφοραις ἀσθένει-
αις, τοὺς ἔφεραν εἰς αὐτόν· καὶ
αὐτὸς βάνωντας ἀπάνω εἰς κα-
θένα τὸ χέρι του, τοὺς ἰάτρευε.
41 Καὶ εὔγαιναν καὶ πολλὰ

νια ἀπὸ πολλῶν, κράζοντα καὶ λέγοντα· Ὅτι σὺ εἶ ὁ Χριςὸς ὁ υἱὸς τοῦ Θεοῦ. Καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι ᾔδεισαν τὸν Χριςὸν αὐτὸν εἶναι.

42 Γενομένης δὲ ἡμέρας ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον τόπον, καὶ οἱ ὄχλοι ἐζήτουν αὐτὸν, καὶ ἦλθον ἕως αὐτοῦ· καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ᾽ αὐτῶν.

43 Ὁ δὲ εἶπε πρὸς αὐτοὺς· Ὅτι καὶ ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσασθαί με δεῖ τὴν βασιλείαν τοῦ Θεοῦ· ὅτι εἰς τοῦτο ἀπέςαλμαι.

44 Καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς τῆς Γαλιλαίας.

δαιμόνια ἀπὸ πολλοὺς, ὁποῦ ἔκραζαν καὶ ἔλεγαν· Ὅτι ἐσὺ εἶσαι ὁ Χριςὸς ὁ υἱὸς τοῦ Θεοῦ. Καὶ μὲ ὀργὴν τὰ ἐπρόςαξε, καὶ δὲν τὰ ἄφινε νὰ λαλοῦσιν, ὅτι ἤξευραν πῶς εἶναι αὐτὸς ὁ Χριςός.

42 Καὶ ὡσὰν ἐξημέρωσεν εὐγῆκε καὶ ἐδιέβη εἰς ἕνα ἔρημον τόπον, καὶ τὸ πλῆθος τὸν ἐγύρευε, καὶ ἐπῆγαν ἕως ἐκεῖ· καὶ τὸν ἐμπόδιζαν νὰ μὴν παγένῃ ἀπ᾽ αὐτούς.

43 Καὶ ὁ Ἰησοῦς τοὺς εἶπεν· Ὅτι καὶ εἰς ταῖς ἄλλαις πόλαις κάμνει χρεία νὰ εὐαγγελίσω τὴν βασιλείαν τοῦ Θεοῦ· ὅτι διὰ τοῦτο ἐςάλθηκα.

44 Καὶ ἐκήρυττεν εἰς ταῖς συναγωγαῖς τῆς Γαλιλαίας.

Κεφ. έ. 5.

Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ τοῦ ἀκούειν τὸν λόγον τοῦ Θεοῦ, καὶ αὐτὸς ἦν ἑςὼς παρὰ τὴν λίμνην Γεννησαρέτ·

2 Καὶ εἶδε δύο πλοῖα ἑςῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς ἀποβάντες ἀπ᾽ αὐτῶν ἀπέπλυναν τὰ δίκτυα.

3 Ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον· καὶ καθίσας ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους.

ΚΑΙ ὅταν ὁ ὄχλος τὸν ἐπλάκωσε νὰ ἀκούῃ τὸν λόγον τοῦ Θεοῦ, καὶ αὐτὸς ἐςέκετον εἰς τὴν λίμνην τῆς Γεννησαρέτ·

2 Καὶ εἶδε δύο μονόξυλα ὁποῦ ἐςέκουνταν εἰς τὴν λίμνην· καὶ οἱ ψαράδες εὐγένοντες ἀπὸ τὰ μονόξυλα ἐξέπλυναν τὰ δίκτυα.

3 Καὶ ὁ Ἰησοῦς ἐμβῆκεν εἰς ἕνα ἀπὸ τὰ μονόξυλα, τὸ ὁποῖον ἦτον τοῦ Σίμωνος, καὶ τὸν ἐπαρακάλεσε νὰ τὸν μακρύνῃ ὀλίγον ἀπὸ τὴν γῆν· καὶ ἐκάθισε καὶ ἐδίδασκε τοὺς ὄχλους ἀπὸ τὸ μονόξυλον.

4 Ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα· Ἐπανάγαγε εἰς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν.

5 Καὶ ἀποκριθεὶς ὁ Σίμων, εἶπεν αὐτῷ· Ἐπιστάτα, δι' ὅλης τῆς νυκτὸς κοπιάσαντες, οὐδὲν ἐλάβομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον.

6 Καὶ τοῦτο ποιήσαντες, συνέκλεισαν ἰχθύων πλῆθος πολύ· διεῤῥήγνυτο δὲ τὸ δίκτυον αὐτῶν.

7 Καὶ κατένευσαν τοῖς μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ, τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ ἦλθον, καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά.

8 Ἰδὼν δὲ Σίμων Πέτρος, προσέπεσε τοῖς γόνασι τοῦ Ἰησοῦ, λέγων· Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε·

9 Θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν αὐτῷ, ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ᾗ συνέλαβον·

10 Ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην, υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι· Καὶ εἶπε πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς· Μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν.

4 Καὶ ὡσὰν ἔπαυσε νὰ λαλῇ, εἶπεν εἰς τὸν Σίμωνα· Πάγενε βαθύτερα, καὶ ῥίζετε τὰ δικτυά σας νὰ ψαρέψετε.

5 Καὶ ἀπεκρίθη ὁ Σίμων, καὶ λέγει του· Διδάσκαλε, ὅλην τὴν νύκτα ἐκοπιάσαμεν, καὶ δὲν ἐπιάσαμεν τίποτες· ἀμὴ τώρα μὲ τὸν λόγον σου νὰ ῥίξω τὸ δίκτυ.

6 Καὶ ὡσὰν ἔκαμαν ἐτοῦτο, ἐσφάλισαν πολὺ πλῆθος ψαρίων, ὁποῦ τὸ δίκτυ τους ἐσχίζουνταν.

7 Καὶ ἔννεψαν τοὺς συντρόφους τους ὁποῦ ἦταν εἰς τὸ ἄλλο μονόξυλον, νὰ ἔλθουν νὰ τοὺς βοηθήσουν· καὶ ἦλθαν, καὶ ἐγέμισαν καὶ τὰ δύο μονόξυλα, τόσον ὁποῦ ἤθελαν νὰ βολίσουν.

8 Καὶ ὡσὰν εἶδεν ἐτοῦτο ὁ Σίμων Πέτρος, ἔπεσεν εἰς τὰ γόνατα τοῦ Ἰησοῦ, λέγοντας· Αὐθέντη, εὔγα ἀπὸ μένα, ὅτι ἐγὼ εἶμαι ἄνθρωπος ἁμαρτωλός·

9 Διατὶ τοὺς ἐπίασε τρομάρα, καὶ αὐτὸν τὸν Πέτρον καὶ τοὺς ἄλλους ὅλους ὁποῦ ἦταν μαζύ του, διὰ τὸ κυνήγι τῶν ψαρίων ὁποῦ ἐπίασαν·

10 Ὁμοίως καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην, τοὺς υἱοὺς τοῦ Ζεβεδαίου, οἱ ὁποῖοι ἦταν σύντροφοι μὲ τὸν Σίμωνα· Καὶ λέγει ὁ Ἰησοῦς εἰς τὸν Σίμωνα· Μὴν φοβᾶσαι· ἀπὸ τώρα καὶ ὀμπροστὰ θέλεις πιάνει ἀνθρώπους ζωντανούς.

11 Καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες ἅπαντα, ἠκολούθησαν αὐτῷ.

12 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων, καὶ ἰδοὺ, ἀνὴρ πλήρης λέπρας· καὶ ἰδὼν τὸν Ἰησοῦν, πεσὼν ἐπὶ πρόσωπον, ἐδεήθη αὐτοῦ, λέγων· Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.

13 Καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, εἰπών· Θέλω, καθαρίσθητι. Καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ' αὐτοῦ.

14 Καὶ αὐτὸς παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν· ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου, καθὼς προσέταξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς.

15 Διήρχετο δὲ μᾶλλον ὁ λόγος περὶ αὐτοῦ· καὶ συνήρχοντο ὄχλοι πολλοὶ ἀκούειν, καὶ θεραπεύεσθαι ὑπ' αὐτοῦ ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν.

16 Αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν ταῖς ἐρήμοις, καὶ προσευχόμενος.

17 Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἦν διδάσκων· καὶ ἦσαν καθήμενοι Φαρισαῖοι καὶ νομοδιδάσκαλοι, οἳ ἦσαν ἐληλυθότες ἐκ πάσης κώμης τῆς Γαλιλαίας καὶ Ἰουδαίας καὶ Ἰε-

11 Καὶ ὡσὰν εὔγαλαν τὰ μονόξυλα εἰς τὴν γῆν, τὰ ἄφηκαν ὅλα, καὶ τοῦ ἀκολούθησαν.

12 Καὶ μίαν φορὰν εὑρισκόμενος εἰς μίαν πόλιν, ἦλθεν ἕνας ἄνθρωπος γεμάτος λέπρα· καὶ ὡσὰν εἶδε τὸν Ἰησοῦν, ἔπεσε κατὰ πρόσωπον, καὶ τὸν ἐπαρακάλει, λέγοντας· Αὐθέντη, ἐὰν θέλῃς, δύνεσαι νὰ μὲ καθαρίσῃς.

13 Καὶ ὁ Ἰησοῦς ἅπλωσε τὸ χέρι του, καὶ τὸν ἐπίασε, καὶ εἶπε· Θέλω, καθαρίσου. Καὶ παρευθὺς εὐγῆκεν ἀπ' αὐτὸν ἡ λέπρα.

14 Καὶ αὐτὸς τοῦ ἐπαράγγειλε νὰ μὴν εἰπῇ κανενὸς τίποτες· ἀλλὰ τοῦ εἶπε· Πάγαινε δεῖξε τοῦ λόγου σου εἰς τὸν ἱερέα, καὶ πρόσφερε τὸ δῶρόν σου διὰ τὸν καθαρισμόν σου, καθὼς ἐπρόσταξεν ὁ Μωϋσῆς, διὰ μαρτυρίαν αὐτονῶν.

15 Καὶ ἡ φήμη του περισσότερον ἐπάγαινε τριγύρω· καὶ ἐμαζώνουνταν ὄχλοι πολλοὶ νὰ ἀκούουν, καὶ νὰ ἰατρεύουνται ἀπ' αὐτὸν ἀπὸ ταῖς ἀσθένειαίς τους.

16 Ἀμὴ αὐτὸς ἐπαραμέριζεν εἰς ἐρημίαις, καὶ ἐπροσεύχουντον.

17 Καὶ ἔγινε μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἐδίδασκε· καὶ ἐκάθουνταν οἱ Φαρισαῖοι καὶ οἱ νομοδιδάσκαλοι, οἱ ὁποῖοι ἦλθασιν ἀπὸ κάθε τόπον τῆς Γαλιλαίας καὶ Ἰουδαίας καὶ Ἱερουσαλήμ·

ρυσαλὴμ· καὶ δύναμις Κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς.
18 Καὶ ἰδοὺ, ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος· καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν, καὶ θεῖναι ἐνώπιον αὐτοῦ.
19 Καὶ μὴ εὑρόντες διὰ ποίας εἰσενέγκωσιν αὐτὸν, διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ δῶμα, διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ.
20 Καὶ ἰδὼν τὴν πίστιν αὐτῶν, εἶπεν αὐτῷ· Ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.
21 Καὶ ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι, λέγοντες· Τίς ἐστιν οὗτος ὃς λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός;
22 Ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν, ἀποκριθεὶς εἶπε πρὸς αὐτούς· Τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν;
23 Τί ἐστιν εὐκοπώτερον, εἰπεῖν· Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· ἢ εἰπεῖν· Ἔγειραι καὶ περιπάτει;
24 Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς

καὶ δύναμις τοῦ Κυρίου ἦτον εἰς τὸ νὰ ἰατρεύωνται αὐτοί.
18 Καὶ νὰ, καὶ (ἔρχονται) ἄνδρες καὶ ἐσήκωναν ἄνθρωπον ἀπάνω εἰς κρεββάτι, ὁ ὁποῖος ἦτον παράλυτος· καὶ ἐγύρευαν νὰ τὸν ἐμβάσουν μέσα, καὶ νὰ τὸν βάλουν ὀμπροστά του.
19 Καὶ ἔστωντας νὰ μὴν εὕρουν ἀπὸ ποῦ νὰ τὸν ἐμβάσουν, διὰ τὸν ὄχλον, ἀνέβηκαν ἀπάνω εἰς τὸ δῶμα, καὶ ἀπὸ τὰ κεραμίδια τὸν ἐκατέβασαν μαζὺ μὲ τὸ κρεββάτι εἰς τὴν μέσην καὶ ἔβαλλάν τον ὀμπροστὰ εἰς τὸν Ἰησοῦν.
20 Καὶ ὁ Ἰησοῦς ὡσὰν εἶδε τὴν πίστιν αὐτῶν, εἶπεν εἰς τὸν παράλυτον· Ἄνθρωπε, σοῦ εἶναι συγχωρημέναις ἡ ἁμαρτίαις σου.
21 Καὶ ἄρχισαν οἱ γραμματεῖς καὶ Φαρισαῖοι νὰ διαλογίζουνται, καὶ νὰ λέγουν· Τίς εἶναι ἐτοῦτος ὁποῦ βλασφημᾷ; τίς δύνεται νὰ συγχωρέσῃ ἁμαρτίαις, παρὰ μόνος ὁ Θεός;
22 Καὶ ὁ Ἰησοῦς γνωρίζωντας τοὺς διαλογισμοὺς τους, ἀπεκρίθη, καὶ τοὺς εἶπε· Τί διαλογίζεσθε μέσα εἰς ταῖς καρδίαις σας;
23 Τί εἶναι εὐκολώτερον, νὰ εἰπῇ τινάς· Σοῦ εἶναι συγχωρημέναις ἡ ἁμαρτίαις σου· ἢ νὰ εἰπῇ· Σήκω ἀπάνω καὶ περιπάτει;
24 Ἀλλὰ διὰ νὰ εἰδῆτε ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου ἔχει ἐξουσίαν

γῆς ἀφιέναι ἁμαρτίας, (εἶπε τῷ παραλελυμένῳ·) Σοὶ λέγω, ἔγειραι, καὶ ἄρας τὸ κλινίδιόν σου, πορεύου εἰς τὸν οἶκόν σου.

25 Καὶ παραχρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν, ἄρας ἐφ' ᾧ κατέκειτο, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, δοξάζων τὸν Θεόν.

26 Καὶ ἔκστασις ἔλαβεν ἅπαντας, καὶ ἐδόξαζον τὸν Θεόν· καὶ ἐπλήσθησαν φόβου, λέγοντες· Ὅτι εἴδομεν παράδοξα σήμερον.

27 Καὶ μετὰ ταῦτα ἐξῆλθε, καὶ ἐθεάσατο τελώνην ὀνόματι Λευῒν, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ εἶπεν αὐτῷ· Ἀκολούθει μοι.

28 Καὶ καταλιπὼν ἅπαντα, ἀναστὰς ἠκολούθησεν αὐτῷ.

29 Καὶ ἐποίησε δοχὴν μεγάλην ὁ Λευῒς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ· καὶ ἦν ὄχλος τελωνῶν πολὺς, καὶ ἄλλων οἳ ἦσαν μετ' αὐτῶν κατακείμενοι.

30 Καὶ ἐγόγγυζον οἱ γραμματεῖς αὐτῶν καὶ οἱ Φαρισαῖοι πρὸς τοὺς μαθητὰς αὐτοῦ, λέγοντες· Διατί μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε;

31 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτούς· Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.

32 Οὐκ ἐλήλυθα καλέσαι

νὰ συγχωρῇ ἁμαρτίαις ἀπάνω εἰς τὴν γῆν, (λέγει εἰς τὸν παράλυτον·) Ἐσένα λέγω, σήκω, καὶ σηκώνωντας τὸ κρεββάτι σου, σύρε εἰς τὸ σπῆτί σου.

25 Καὶ παρευθὺς ἐσκώθη ὀμπροστά τους, καὶ ἐσήκωσεν ἐκεῖνα ὅπου ἐκείτετον μέσα, καὶ ἐπῆγεν εἰς τὸ σπῆτί του, εὐχαριστῶντας τὸν Θεόν.

26 Καὶ ἐτόμαξαν ὅλοι, καὶ ἐδόξασαν τὸν Θεόν· καὶ ἐγέμισαν ὅλοι φόβον, λέγοντες· Ὅτι σήμερον εἴδαμεν παράδοξα.

27 Καὶ ὕστερον εὐγῆκεν ἔξω, καὶ εἶδεν ἕνα κουμερκιάρην, τὸ ὄνομά του Λευῒ, ὅπου ἐκάθετον εἰς τὸ κουμέρκι, καὶ εἶπέν του· Ἀκολούθα με.

28 Καὶ ἐκεῖνος ἀφίνωντας ὅλα, ἐσηκώθη καὶ τὸν ἀκολούθησε.

29 Καὶ ὁ Λευῒς τοῦ ἔκαμε μεγάλην φιλίαν εἰς τὸ σπῆτί του· καὶ ἦταν ὄχλος πολὺς τῶν κουμερκιάρων, καὶ ἄλλων οἱ ὁποῖοι ἐκάθουνταν εἰς τὸ τραπέζι μετ' αὐτούς.

30 Καὶ ἐγόγγυζαν οἱ γραμματεῖς τους καὶ οἱ Φαρισαῖοι εἰς τοὺς μαθητάδες του, καὶ ἔλεγαν· Διατί τρώγετε καὶ πίνετε μὲ τοὺς τελῶνας καὶ ἁμαρτωλούς;

31 Καὶ ὁ Ἰησοῦς ἀπεκρίθη καὶ τοὺς εἶπεν· Ἐκεῖνοι ὅπου εἶναι γερροὶ δὲν χρειάζονται ἰατρὸν, ἀλλὰ οἱ ἀσθενημένοι.

32 Ἐγὼ δὲν ἦλθα νὰ καλέσω

δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς
μετάνοιαν.
33 Οἱ δὲ εἶπον πρὸς αὐτόν·
Διὰ τί οἱ μαθηταὶ Ἰωάννου
νηστεύουσι πυκνὰ, καὶ δεήσεις
ποιοῦνται, ὁμοίως καὶ οἱ τῶν
Φαρισαίων· οἱ δὲ σοὶ ἐσθίουσι
καὶ πίνουσιν;
34 Ὁ δὲ εἶπε πρὸς αὐτούς·
Μὴ δύνασθε τοὺς υἱοὺς τοῦ
νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος
μετ' αὐτῶν ἐστι, ποιῆσαι
νηστεύειν;
35 Ἐλεύσονται δὲ ἡμέραι
καὶ ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν
ὁ νυμφίος, τότε νηστεύσουσιν ἐν
ἐκείναις ταῖς ἡμέραις.
36 Ἔλεγε δὲ καὶ παραβο-
λὴν πρὸς αὐτούς· Ὅτι οὐδεὶς
ἐπίβλημα ἱματίου καινοῦ ἐπι-
βάλλει ἐπὶ ἱμάτιον παλαιόν· εἰ
δὲ μήγε, καὶ τὸ καινὸν σχίζει,
καὶ τῷ παλαιῷ οὐ συμφωνεῖ
ἐπίβλημα τὸ ἀπὸ τοῦ καινοῦ.
37 Καὶ οὐδεὶς βάλλει οἶνον
νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ
μήγε, ῥήξει ὁ νέος οἶνος τοὺς
ἀσκοὺς, καὶ αὐτὸς ἐκχυθήσε-
ται, καὶ οἱ ἀσκοὶ ἀπολοῦν-
ται.
38 Ἀλλὰ οἶνον νέον εἰς
ἀσκοὺς καινοὺς βλητέον· καὶ
ἀμφότεροι συντηροῦνται.
39 Καὶ οὐδεὶς πιὼν πα-
λαιὸν, εὐθέως θέλει νέον· λέγει
γάρ· Ὁ παλαιὸς χρηστότερός
ἐστιν.

τοὺς δικαίους, ἀλλὰ τοὺς ἁμαρ-
τωλοὺς, νὰ μετανοήσουν.
33 Καὶ ἐκεῖνοι τοῦ εἶπαν·
Διατί οἱ μαθητάδες τοῦ Ἰωάννου
νηστεύουσι πυκνὰ, καὶ κάμνουν
δέησες, καὶ οἱ μαθητάδες τῶν
Φαρισαίων ὁμοίως, καὶ οἱ ἐδι-
κοί σου τρώγουν καὶ πίνουν;
34 Καὶ ὁ Ἰησοῦς τοὺς εἶπε·
Μήνα ἠμπορεῖτε νὰ κάμετε νὰ
νηστεύουν οἱ υἱοὶ τοῦ νυμφῶνος,
ὅσον καιρὸν εἶναι ὁ νυμφίος
μετ' αὐτούς;
35 Ἀλλὰ θέλουσιν ἔλθη ἡμέ-
ραις ὅταν ἀπαρθῇ ἀπ' αὐτοὺς
ὁ νυμφίος, καὶ τότε ἐκείναις
ταῖς ἡμέραις θέλουν νηστεύσει.
36 Καὶ εἶπεν τους καὶ μίαν
παραβολήν· Ὅτι κανένας ἄν-
θρωπος δὲν βάνει μπάλωμα
καινούριον εἰς φόρεμα παλαιόν·
εἰ δὲ μὴ, καὶ τὸ καινούριον
σχίζει, καὶ εἰς τὸ παλαιὸν
δὲν συμφωνεῖ τὸ μπάλωμα
τὸ καινούριον.
37 Καὶ μηδὲ κανένας
βάλλει κρασὶ νέον εἰς ἀσκία
παλαιά· εἰ δὲ μὴ, τὸ νέον
κρασὶ καὶ τὰ ἀσκία θέλει
σπάσει, καὶ τὸ κρασὶ θέλει
χυθῇ, καὶ τὰ ἀσκία χαλοῦσι.
38 Ἀλλὰ τὸ νέον κρασὶ
κάμει χρεία νὰ τὸ βάλλωμεν
εἰς καινούρια ἀσκία· διὰ νὰ
φυλαχθοῦσι καὶ τὰ δύο.
39 Καὶ μηδὲ κανένας ὁποῦ
πίνει παλαιὸν κρασὶ, εὐθὺς
θέλει καινούριον· διατὶ λέγει·
Ὁ παλαιὸς εἶναι καλλίτερος.

Κεφ. ϛʹ. 6.

Ἐγένετο δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ διαπορεύεσθαι αὐτὸν διὰ τῶν σπορίμων· καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας, καὶ ἤσθιον, ψώχοντες ταῖς χερσί.

2 Τινὲς δὲ τῶν φαρισαίων εἶπον αὐτοῖς· Τί ποιεῖτε ὃ οὐκ ἔξεστι ποιεῖν ἐν τοῖς σάββασι;

3 Καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν ὁ Ἰησοῦς· Οὐδὲ τοῦτο ἀνέγνωτε ὃ ἐποίησε Δαβὶδ, ὁπότε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ ὄντες;

4 Ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔλαβε, καὶ ἔφαγε, καὶ ἔδωκε καὶ τοῖς μετ᾽ αὐτοῦ· οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς.

5 Καὶ ἔλεγεν αὐτοῖς· Ὅτι κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

6 Ἐγένετο δὲ καὶ ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν, καὶ διδάσκειν· καὶ ἦν ἐκεῖ ἄνθρωπος, καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά.

7 Παρετήρουν δὲ αὐτὸν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι εἰ ἐν τῷ σαββάτῳ θεραπεύσει·

ΚΑῚ τὸ πρῶτον σάββατον, ἀπὸ τὴν δεύτερην ἡμέραν τοῦ πάσχα, ἔτυχε καὶ ἐπερνοῦσαν ἀπὸ μέσα ἀπὸ τὰ σπαρτά· καὶ οἱ μαθητάδες του ἀνασποῦσαν στάχυα, καὶ τὰ ἔτριβαν μὲ τὰ χέριά τους, καὶ ἔτρωγαν.

2 Καὶ κάποιοι ἀπὸ τοὺς φαρισαίους τοὺς εἶπαν· Διατί κάμνετε ἐκεῖνο ὅπου δὲν πρέπει νὰ γίνεται τὸ σάββατον;

3 Καὶ ὁ Ἰησοῦς ἀπεκρίθη καὶ τοὺς εἶπεν· Οὐδὲ τοῦτο δὲν ἀνεγνώσετε, τὸ ὁποῖον ἔκαμεν ὁ Δαβὶδ, ὅταν ἐπείνασεν αὐτὸς καὶ ἐκεῖνοι ὅπου ἦταν μαζύ του;

4 Πῶς ἐμβῆκεν εἰς τὸ σπῆτι τοῦ Θεοῦ, καὶ ἐπῆρε καὶ ἔφαγε τὰ ψωμία τῆς προθέσεως, καὶ ἔδωκε καὶ εἰς ἐκείνους ὅπου ἦταν μαζύ του· τὰ ὁποῖα δὲν εἶχαν ἐξουσίαν νὰ τὰ φάσιν ἄλλοι παρὰ μοναχὰ οἱ ἱερεῖς.

5 Καὶ ἔλεγέν τους· Ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου εἶναι αὐθέντης καὶ του σαββάτου.

6 Καὶ πάλιν ἄλλο σάββατο ἔτυχε νὰ ἔμβῃ μέσα εἰς τὴν συναγωγὴν, καὶ ἐδίδασκε· καὶ ἦτον ἐκεῖ ἕνας ἄνθρωπος, καὶ τὸ ἕνα του τὸ χέρι, τὸ δεξιὸν, ἦτον ξηρόν.

7 Καὶ τὸν ἐπαραφύλαγαν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι, ἂν τὸν ἰατρεύσῃ τὸ σάββατο·

ἵνα εὕρωσι κατηγορίαν αὐτοῦ.

8 Αὐτὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν, καὶ εἶπε τῷ ἀνθρώπῳ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα· Ἔγειραι, καὶ στῆθι εἰς τὸ μέσον. Ὁ δὲ ἀναστὰς ἔστη.

9 Εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτούς· Ἐπερωτήσω ὑμᾶς τι· Ἔξεστι τοῖς σάββασιν ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι, ἢ ἀπολέσαι;

10 Καὶ περιβλεψάμενος πάντας αὐτούς, εἶπε τῷ ἀνθρώπῳ· Ἔκτεινον τὴν χεῖρά σου. Ὁ δὲ ἐποίησεν οὕτω· καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη.

11 Αὐτοὶ δὲ ἐπλήσθησαν ἀνοίας· καὶ διελάλουν πρὸς ἀλλήλους, τί ἂν ποιήσειαν τῷ Ἰησοῦ.

12 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις, ἐξῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι· καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ Θεοῦ.

13 Καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφώνησε τοὺς μαθητὰς αὐτοῦ· καὶ ἐκλεξάμενος ἀπ' αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους ὠνόμασε·

14 (Σίμωνα, ὃν καὶ ὠνόμασε Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, Ἰάκωβον

διὰ νὰ εὕρουν κατηγορίαν ἐναντία του.

8 Ἀμὴ αὐτὸς ἤξευρε τοὺς διαλογισμούς των, καὶ εἶπεν εἰς τὸν ἄνθρωπον ὅπου εἶχε τὸ χέρι του ξηρόν· Σήκω ἀπάνω, καὶ στάσου εἰς τὴν μέσην. Καὶ ἐκεῖνος σηκωνώμενος ἐστάθη.

9 Καὶ ὁ Ἰησοῦς λοιπὸν τοὺς εἶπε· Θέλω νὰ σᾶς ἐρωτήσω ἕνα λόγον· Τί πρέπει τὰ σάββατα, νὰ κάμνῃ κανεὶς, καλὸν, ἢ κακόν; νὰ σώσῃ ψυχὴν, ἢ νὰ τὴν χαλάσῃ;

10 Καὶ σηκώνωντας τὰ μάτιά του νὰ εἴδῃ ὅλους τρυγύρω, εἶπεν εἰς τὸν ἄνθρωπον ἐκεῖνον· Ἄπλωσε τὸ χέρι σου. Καὶ ἐκεῖνος τὸ ἄπλωσε· καὶ ἀπεκαταστάθη τὸ χέρι του γερρὸν ὡσὰν καὶ τὸ ἄλλον.

11 Καὶ αὐτοὶ ἐγέμισαν μανίαν· καὶ ἐσυντύχαιναν ἀνάμεσά τους, τί νὰ ἤθελαν κάμῃ τὸν Ἰησοῦν.

12 Καὶ ταῖς ἡμέραις ἐκείναις εὐγῆκεν εἰς τὸ ὄρος νὰ προσευχηθῇ· καὶ ἐνυκτέρευεν εἰς τὴν προσευχὴν τοῦ Θεοῦ.

13 Καὶ ὅταν ἐξημέρωσεν, ἐλάλησε τοὺς μαθητάδες του· καὶ ἐδιάλεξεν ἀπ' αὐτοὺς δώδεκα, τοὺς ὁποίους καὶ ἀποστόλους ὠνόμασε·

14 (Σίμωνα, τὸν ὁποῖον ὠνόμασε Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφόν του, Ἰάκωβον καὶ

καὶ Ἰωάννην, Φίλιππον καὶ Βαρθολομαῖον·

15 Ματθαῖον καὶ Θωμᾶν, Ἰάκωβον τὸν τοῦ Ἀλφαίου, καὶ Σίμωνα τὸν καλούμενον Ζηλωτήν.

16 Ἰούδαν Ἰακώβου, καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ ἐγένετο προδότης·)

17 Καὶ καταβὰς μετ᾽ αὐτῶν, ἔστη ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν·

18 Καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων καὶ ἐθεραπεύοντο.

19 Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ ὅτι δύναμις παρ᾽ αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας.

20 Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ, ἔλεγε· Μακάριοι οἱ πτωχοί· ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ.

21 Μακάριοι οἱ πεινῶντες νῦν· ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν· ὅτι γελάσετε.

Ἰωάννην, Φίλιππον καὶ Βαρθολομαῖον·

15 Ματθαῖον καὶ Θωμᾶν, Ἰάκωβον τὸν υἱὸν τοῦ Ἀλφαίου, καὶ Σίμωνα τὸν ὁποῖον ἔκραζαν Ζηλωτήν·

16 Ἰούδαν τὸν υἱὸν τοῦ Ἰακώβου, καὶ Ἰούδαν τὸν Ἰσκαριώτην, ὁ ὁποῖος ἔγινε προδότης·)

17 Καὶ καταβαίνωντας μετ᾽ αὐτοὺς, ἐστάθη εἰς ἕνα τόπον ὅπου ἦτον κάμπος· καὶ ὄχλος τῶν μαθητῶν του, καὶ πολὺ πλῆθος τοῦ λαοῦ ἀπὸ ὅλην τὴν Ἰουδαίαν καὶ τὴν Ἱερουσαλὴμ, καὶ ἀπὸ τὸ περιγιάλιον τῆς Τύρου καὶ τῆς Σιδῶνος, οἱ ὁποῖοι ἦλθαν νὰ τοῦ ἀκούσουν, καὶ νὰ ἰατρευθοῦσιν ἀπὸ ταῖς ἀῤῥωστίαις τους·

18 Καὶ ἐκεῖνοι ὅπου ἐπειράζουνταν ἀπὸ πνεύματα ἀκάθαρτα ἤρχουνταν καὶ ἐθεραπεύουνταν.

19 Καὶ ὅλος ὁ ὄχλος ἐζήτει νὰ τὸν πιάσῃ· ὅτι δύναμις εὔγενεν ἀπ᾽ αὐτὸν, καὶ ἰάτρευεν ὅλους.

20 Καὶ αὐτὸς σηκώνωντας τὰ μάτιά του εἰς τοὺς μαθητάδες του, ἔλεγε· Καλότυχοι ἐσεῖς οἱ πτωχοί· ὅτι ἐδική σας εἶναι ἡ βασιλεία τοῦ Θεοῦ.

21 Καλότυχοι εἶσθε ἐσεῖς ὅπου πεινᾶτε τώρα· ὅτι θέλετε χορτάσει. Καλότυχοι εἶσθε ἐσεῖς ὅπου κλαίετε τώρα· ὅτι θέλετε γελάσει.

22 Μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν, ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

23 Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ, ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ· κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν.

24 Πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις· ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν.

25 Οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι· ὅτι πεινάσετε· Οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν· ὅτι πενθήσετε καὶ κλαύσετε.

26 Οὐαὶ ὑμῖν ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι· κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν.

27 Ἀλλ᾽ ὑμῖν λέγω τοῖς ἀκούουσιν· Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς.

28 Εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν· καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς.

29 Τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην· καὶ ἀπὸ τοῦ αἴροντός σου

22 Καλότυχοι θέλετε εἶσθαι, ὅταν σᾶς μισοῦσιν οἱ ἄνθρωποι, καὶ ὅταν σᾶς ἀφορίσουν, καὶ σᾶς ὀνειδίσουν, καὶ εὐγάλουν τὸ ὄνομά σας ὡς κακὸν, διὰ τὸν υἱὸν τοῦ ἀνθρώπου.

23 Χαρεῖτε ἐκείνην τὴν ἡμέραν καὶ πηδᾶτε· διατὶ νὰ, ἡ πληρωμή σας εἶναι πολλὴ εἰς τὸν οὐρανόν· διατὶ τὰ ὅμοια ἔκαμαν οἱ πατέρες τους εἰς τοὺς προφήτας.

24 Ὅμως ἀειλύμονον εἰς ἐσᾶς τοὺς πλουσίους, ὅτι ἐπήρετε τὴν παρηγορίαν σας.

25 Ἀειλύμονον εἰς ἐσᾶς τοὺς χορτάτους· ὅτι θέλετε πεινάσει· Ἀειλύμονον εἰς ἐσᾶς ὁποῦ γελᾶτε τώρα· ὅτι θέλετε λυπηθῆ καὶ θέλετε κλαύσει.

26 Ἀειλύμονον εἰς ἐσᾶς ὅταν σᾶς καλολογοῦσιν ὅλοι οἱ ἄνθρωποι· διατὶ τὰ ὅμοια ἔκαμαν εἰς τοὺς ψευδοπροφήτας οἱ πατέρες τους.

27 Ἀλλὰ λέγω εἰς ἐσᾶς ὁποῦ ἀκούετε· Ἀγαπᾶτε τοὺς ἐχθρούς σας· κάμνετε καλὸν εἰς ἐκείνους ὁποῦ σᾶς μισοῦσιν.

28 Εὐλογεῖτε ἐκείνους ὁποῦ σᾶς καταροῦνται· παρακαλεῖτε διὰ ἐκείνους ὁποῦ σᾶς πειράζουν.

29 Ἐκεῖνος ὁποῦ σοῦ κτυπήσει εἰς τὸ ἕνα μάγουλον, γύρισέ του καὶ τὸ ἄλλον· καὶ ὁποῖος

τὸ ἱμάτιον, καὶ τὸν χιτῶνα μὴ κωλύσῃς.

30 Παντὶ δὲ τῷ αἰτῦντί σε, δίδυ· καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ, μὴ ἀπαίτει.

31 Καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως.

32 Καὶ εἰ ἀγαπᾶτε τὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐςί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὺς ἀγαπῶντας αὐτὺς ἀγαπῶσι.

33 Καὶ ἐὰν ἀγαθοποιῆτε τὺς ἀγαθοποιῦντας ὑμᾶς ποία ὑμῖν χάρις ἐςί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιῦσι.

34 Καὶ ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐςί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζυσιν, ἵνα ἀπολάβωσι τὰ ἴσα.

35 Πλὴν ἀγαπᾶτε τὺς ἐχθρὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε, καὶ δανείζετε μηδὲν ἀπελπίζοντες· καὶ ἔςαι ὁ μισθὸς ὑμῶν πολὺς, καὶ ἔσεσθε υἱοὶ τῦ ὑψίςυ· ὅτι αὐτὸς χρηςός ἐςιν ἐπὶ τὺς ἀχαρίςυς καὶ πονηρύς.

36 Γίνεσθε ὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐςί.

πάρει τὸ φόρεμά σῦ, ἄφησέ τυ καὶ τὸ ὑποκάμισόν σῦ.

30 Καὶ εἰς κάθ' ἕναν ὁπῦ σῦ ζητᾷ, δίδε· καὶ ἀπ' ἐκεῖνον ὁπῦ πέρνει τὰ ἐδικά σῦ, μὴν τὰ ζητᾷς ὀπίσω.

31 Καὶ καθὼς θέλετε διὰ νὰ σᾶς κάμυν οἱ ἄνθρωποι, ἔτζι κάμνετε καὶ ἐσεῖς εἰς ἐκείνυς.

32 Καὶ ἂν ἀγαπᾶτε ἐκείνυς ὁπῦ σᾶς ἀγαπῦσι, τί χάριν ἔχετε; διατὶ καὶ οἱ ἁμαρτωλοὶ ἀγαπῦσι ἐκείνυς ὁπῦ τὺς ἀγαπῦν.

33 Καὶ ἂν κάμνετε καλὸν εἰς ἐκείνυς ὁπῦ σᾶς κάμνυν καλὸν, τί χάριν ἔχετε; διατὶ καὶ οἱ ἁμαρτωλοὶ αὐτὸ κάμνυσι.

34 Καὶ ἐὰν δανείζητε εἰς ἐκείνυς ἀπὸ τὺς ὁποίυς ἔχετε θάῤῥος νὰ τὰ πάρετε πάλιν, τί χάριν ἔχετε; διατὶ καὶ οἱ ἁμαρτωλοὶ εἰς ἁμαρτωλὺς δανείζυσι, διὰ νὰ ἀπολαύσυν τὰ ἶσα.

35 Ἀλλὰ ἐσεῖς ἀγαπᾶτε τὺς ἐχθρύς σας, καὶ κάμνετέ τυς καλὸν, καὶ δανείζετε καὶ μὴν ἐλπίζετε τίποτες ἀπὸ τῦτο· καὶ θέλει εἶσθαι ἡ πληρομή σας πολλὴ, καὶ θέλετε γένει υἱοὶ τοῦ ὑψίςυ· ὅτι αὐτὸς εἶναι ἀγαθὸς εἰς τὺς ἀχαρίςυς καὶ πονηρύς.

36 Γίνεσθε λοιπὸν καὶ ἐσεῖς ἐλεήμονες, καθὼς εἶναι ἐλεήμων καὶ ὁ πατέρα σας.

37 Καὶ μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε· μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε· ἀπολύετε, καὶ ἀπολυθήσεσθε.

38 Δίδοτε, καὶ δοθήσεται ὑμῖν· μέτρον καλὸν πεπιεσμένον καὶ σεσαλευμένον καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν· τῷ γὰρ αὐτῷ μέτρῳ ᾧ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.

39 Εἶπε δὲ παραβολὴν αὐτοῖς· Μήτι δύναται τυφλὸς τυφλὸν ὁδηγεῖν; οὐχὶ ἀμφότεροι εἰς βόθυνον πεσοῦνται;

40 Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ· κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ.

41 Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου· τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς;

42 Ἢ πῶς δύνασαι λέγειν τῷ ἀδελφῷ σου· Ἀδελφὲ, ἄφες ἐκβάλω τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ σου· αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ βλέπων; Ὑποκριτὰ, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ

37 Μὴν κρίνετε, καὶ δὲν θέλετε κριθῆ· καὶ μὴν κατακρίνετε, καὶ δὲν θέλετε κατακριθῆ· συγχωρᾶτε, καὶ θέλετε συγχωρεθῆ.

38 Δίνετε, καὶ θέλει σᾶς δοθῆ· μέτρον καλὸν, καὶ πατημένον καὶ σεισμένον, καὶ ὁποῦ νὰ χύνεται θέλουν σᾶς δώσει εἰς τὸν κόρφον σας· διατὶ μὲ τὸ αὐτὸ μέτρον ὁποῦ μετρᾶτε, θέλει μετρηθῆ καὶ εἰς ἐσᾶς.

39 Καὶ εἶπέν τους καὶ μίαν παραβολήν· Μήνα ἠμπορεῖ ὁ τυφλὸς νὰ δείχνῃ τὴν στράτα τοῦ τυφλοῦ; δὲν θέλουσι πέσει καὶ οἱ δύο εἰς τὸν λάκκον;

40 Δὲν εἶναι μαθητὴς παραπάνω ἀπὸ τὸν διδάσκαλόν του· ἀμὴ κάθε μαθητὴς τελειωμένος, θέλει εἶσθαι ὡσὰν ὁ διδάσκαλός του.

41 Καὶ τί βλέπεις τὸ ξυλαράκι ὁποῦ εἶναι εἰς τὸ μάτι τοῦ ἀδελφοῦ σου· καὶ τὸ παλοῦκι ὁποῦ εἶναι εἰς τὸ μάτι σου δὲν τὸ βάνεις εἰς τὸν νοῦν σου;

42 Ἢ πῶς ἠμπορεῖς νὰ εἰπῇς τοῦ ἀδελφοῦ σου· Ἀδελφὲ, ἄφησέ με νὰ εὐγάλω τὸ ξυλαράκι ὁποῦ ἔχεις εἰς τὸ μάτι σου· καὶ ἐσὺ δὲν βλέπεις τὸ παλοῦκι ὁποῦ ἔχεις εἰς τὸ μάτι σου; Ὑποκριτὰ, εὔγαλε πρῶτα τὸ παλοῦκι ὁποῦ ἔχεις εἰς τὸ μάτι σου· καὶ

σου· καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου.

43 Οὐ γάρ ἐστι δένδρον καλὸν, ποιοῦν καρπὸν σαπρόν· οὐδὲ δένδρον σαπρὸν, ποιοῦν καρπὸν καλόν.

44 Ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται· οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσι σῦκα, οὐδὲ ἐκ βάτου τρυγῶσι σταφυλήν.

45 Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ ἀγαθόν· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ πονηρόν· ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ.

46 Τί δέ με καλεῖτε, Κύριε, Κύριε· καὶ οὐ ποιεῖτε ἃ λέγω;

47 Πᾶς ὁ ἐρχόμενος πρός με, καὶ ἀκούων μου τῶν λόγων, καὶ ποιῶν αὐτοὺς, ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος.

48 Ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν, ὃς ἔσκαψε καὶ ἐβάθυνε, καὶ ἔθηκε θεμέλιον ἐπὶ τὴν πέτραν· πλημμύρας δὲ γενομένης, προσέρρηξεν ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἴσχυσε σαλεῦσαι αὐτήν· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν.

ὕστερα θέλεις ἰδῆ νὰ εὐγάλῃς τὸ ξυλαράκι ὁποῦ εἶναι εἰς τὸ μάτι τοῦ ἀδελφοῦ σου.

43 Διατὶ δὲν εἶναι κανένα δένδρον καλὸν, ὁποῦ νὰ κάμνῃ καρπὸν σάπιον· μηδὲ δένδρον σάπιον, ὁποῦ νὰ κάμνῃ καλὸν καρπόν.

44 Διατὶ κάθε δένδρον ἀπὸ τὸν καρπόν του γνωρίζεται· διατὶ ἀπὸ τὰ ἀγκάθια δὲν μαζώνουσι σῦκα, οὐδὲ ἀπὸ τοὺς βάτους τρυγοῦσι σταφύλια.

45 Ὁ ἀγαθὸς ἄνθρωπος ἀπὸ τὸν καλὸν θησαυρὸν τῆς καρδίας του εὐγάνει τὸ ἀγαθόν· καὶ ὁ πονηρὸς ἄνθρωπος ἀπὸ τὸν πονηρὸν θησαυρὸν τῆς καρδίας του εὐγάνει τὸ πονηρόν· διατὶ ἀπὸ τὰ περισσεύματα τῆς καρδίας λαλεῖ τὸ στόμα.

46 Τί με κράζετε, Αὐθέντη, Αὐθέντη· καὶ ἐκεῖνα ὁποῦ λέγω δὲν κάμνετε;

47 Κάθε ἄνθρωπος ὁποῦ ἔρχεται εἰς ἐμένα, καὶ ἀκούει τὰ λόγιά μου, καὶ τὰ κάμνει, νὰ, σᾶς δείξω τίναν ὁμοιάζει.

48 Εἶναι ὅμοιος μὲ ἄνθρωπον ὁποῦ οἰκοδομᾷ σπῆτι, ὁ ὁποῖος ἔσκαψε καὶ ἐβάθυνε, καὶ ἔβαλλε θεμέλιον ἀπάνω εἰς τὴν πέτραν· καὶ ὅταν ἔγινε πλημμύρα, ἐκτύπησεν ὁ ποταμὸς τὸ σπῆτι ἐκεῖνο, καὶ δὲν ἠμπόρεσε νὰ τὸ σαλέψῃ· διατὶ ἦτον θεμελιωμένον εἰς τὴν πέτραν.

49 Ὁ δὲ ἀκούσας καὶ μὴ ποιήσας, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου· ᾗ προσέῤῥηξεν ὁ ποταμός· καὶ εὐθέως ἔπεσε, καὶ ἐγένετο τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα.

49 Ἀμὴ ἐκεῖνος ὁποῦ ἀκούσει καὶ δὲν κάμνει, ὁμοιάζει ἕνα ἄνθρωπον ὁποῦ ἔκτισε τὸ σπῆτί του ἀπάνω εἰς τὴν γῆν χωρὶς θεμέλιον· τὸ ὁποῖον τὸ ἐκτύπησεν ὁ ποταμός· καὶ παρευθὺς ἔπεσε, καὶ τὸ πέσιμον τοῦ σπητίου ἐκείνου ἔγινε μεγάλον.

Κεφ. ζ'. 7.

ΕΠΕΙ' δὲ ἐπλήρωσε πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς τοῦ λαοῦ, εἰσῆλθεν εἰς Καπερναούμ.

ΚΑΙ' ἐπειδὴ ἐτελείωσεν ὅλα του τὰ λόγια εἰς τὰς ἀκοὰς τοῦ λαοῦ, ἐμβῆκεν εἰς τὴν Καπερναούμ.

2 Ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς ἔχων, ἤμελλε τελευτᾷν, ὃς ἦν αὐτῷ ἔντιμος.

2 Καὶ κάποιου ἑκατοντάρχου δοῦλος ἦτον ἄῤῥωστος, καὶ ἔμελλε νὰ ἀποθάνῃ, τὸν ὁποῖον εἶχεν ὁ αὐθέντης του πολλὰ ἀκριβόν.

3 Ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ, ἀπέστειλε πρὸς αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων, ἐρωτῶν αὐτὸν, ὅπως ἐλθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ.

3 Καὶ ὡσὰν ἄκουσε διὰ τὸν Ἰησοῦν, ἔστειλεν εἰς αὐτὸν τοὺς πρεσβυτέρους τῶν Ἰουδαίων, νὰ τὸν παρακαλέσουν, διὰ νὰ ὑπάγῃ νὰ βοηθήσῃ τὸν δοῦλόν του.

4 Οἱ δὲ παραγενόμενοι πρὸς τὸν Ἰησοῦν, παρεκάλουν αὐτὸν σπουδαίως, λέγοντες, ὅτι ἄξιός ἐστιν ᾧ παρέξει τοῦτο·

4 Καὶ ἐκεῖνοι ὡσὰν ἐπῆγαν εἰς τὸν Ἰησοῦν, τὸν ἐπαρακάλουσαν μὲ μεγάλην σπουδὴν, λέγοντες, ὅτι εἶναι ἄξιος νὰ τοῦ κάμῃς τὴν καλωσύνην αὐτήν·

5 Ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν, καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν.

5 Διατὶ ἀγαπᾷ τὸ ἔθνος μας, καὶ τὸ συναγώγι μας αὐτὸς τὸ ἔκτισε.

6 Ὁ δὲ Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς· ἤδη δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας

6 Καὶ ὁ Ἰησοῦς ἐπάγενε μαζὺ μετ' αὐτούς· καὶ σχεδὸν δὲν ἦτον μακρὰ ἀπὸ τὸ σπῆτι, καὶ

ἔπεμψε πρὸς αὐτὸν ὁ ἑκατόνταρχος φίλȣς, λέγων αὐτῷ· Κύριε, μὴ σκύλλȣ· ȣ̓ γάρ εἰμι ἱκανὸς ἵνα ὑπὸ τὴν στέγην μȣ εἰσέλθῃς·

7 Διὸ ȣ̓δὲ ἐμαυτὸν ἠξίωσα πρός σε ἐλθεῖν· ἀλλὰ εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μȣ.

8 Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξȣσίαν τασσόμενος, ἔχων ὑπ᾽ ἐμαυτὸν στρατιώτας· καὶ λέγω τȣ́τῳ· Πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ· Ἔρχȣ, καὶ ἔρχεται· καὶ τῷ δȣ́λῳ μȣ· Ποίησον τȣ͂το, καὶ ποιεῖ.

9 Ἀκȣ́σας δὲ ταῦτα ὁ Ἰησȣ͂ς, ἐθαύμασεν αὐτόν· καὶ στραφεὶς, τῷ ἀκολȣθȣ͂ντι αὐτῷ ὄχλῳ εἶπε· Λέγω ὑμῖν, ȣ̓δὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον.

10 Καὶ ὑποστρέψαντες οἱ πεμφθέντης εἰς τὸν οἶκον, εὗρον τὸν ἀσθενȣ͂ντα δȣ͂λον ὑγιαίνοντα.

11 Καὶ ἐγένετο ἐν τῇ ἑξῆς, ἐπορεύετο εἰς πόλιν καλȣμένην Ναΐν· καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοὶ, καὶ ὄχλος πολύς.

12 Ὡς δὲ ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδȣ̀, ἐξεκομί-

ἔπεμψεν ἄλλȣς φίλȣς ὁ ἑκατόνταρχος, λέγωντάς τȣ· Αὐθέντη, μὴν πειράζεσαι· διατὶ δὲν εἶμαι ἄξιος νὰ ἔλθῃς εἰς τὸ σπῆτί μȣ·

7 Διὰ τȣ͂το ȣ̓δὲ τοῦ λόγȣ μȣ δὲν ἔκρινα ἄξιον νὰ ἔλθω εἰς ἐσένα· ἀλλὰ εἰπὲ μοναχὰ λόγον, καὶ θέλει ἰατρευθῇ ὁ δȣλευτής μȣ.

8 Διατὶ καὶ ἐγὼ εἶμαι ἄνθρωπος ὁπȣ͂ εἶμαι ἀπὸ κάτω εἰς ἐξȣσίαν ὑποτασσόμενος, καὶ ἔχω καὶ ἐγὼ ἀπὸ κάτω μȣ στρατιώτας ·καὶ λέγω εἰς τȣ͂τον· Σύρε, καὶ παγένει· καὶ εἰς ἄλλον· Ἔλα, καὶ ἔρχεται· καὶ εἰς τὸν δȣλευτήν μȣ· Κάμε τȣ͂το, καὶ τὸ κάμνει.

9 Καὶ ὡσὰν ἄκȣσεν ὁ Ἰησȣ͂ς ἐτȣ͂τα, τὸν ἐθαύμασε· καὶ ἐγύρισεν εἰς τὸ πλῆθος ὁπȣ͂ τοῦ ἀκολȣ́θα, καὶ εἶπεν· Λέγω σας, ὅτι ȣ̓δὲ εἰς τὸ γένος τȣ͂ Ἰσραὴλ δὲν εὕρηκα τόσην μεγάλην πίστιν.

10 Καὶ ἐγύρισαν ὀπίσω οἱ ἀπεσταλμένοι εἰς τὸ σπῆτι, καὶ εὑρῆκαν τὸν ἀσθενημένον δȣ͂λον γερρόν.

11 Καὶ τὴν ἄλλην ἡμέραν ἐπῆγεν εἰς μίαν πόλιν ὁπȣ͂ τὴν ἔλεγαν Ναΐν· καὶ μαζὺ μετ᾽ αὐτὸν ἐπάγεναν καὶ μαθητάδες ἀρκετοὶ, καὶ ὄχλος πολύς.

12 Καὶ ὡσὰν ἐσήμωσεν εἰς τὸν πυλῶνα τῆς πόλεως, νὰ, καὶ

ζετο τεθνηκὼς, υἱὸς μονογενὴς
τῇ μητρὶ αὐτοῦ, καὶ αὕτη
χήρα· καὶ ὄχλος τῆς πόλεως
ἱκανὸς ἦν σὺν αὐτῇ.

13 Καὶ ἰδὼν αὐτὴν ὁ Κύ-
ριος, ἐσπλαγχνίσθη ἐπ' αὐτῇ,
καὶ εἶπεν αὐτῇ· Μὴ κλαῖε.
14 Καὶ προσελθὼν ἥψατο
τῆς σοροῦ, (οἱ δὲ βαστάζοντες
ἔστησαν,) καὶ εἶπε· Νεανίσκε,
σοὶ λέγω, ἐγέρθητι.

15 Καὶ ἀνεκάθισεν ὁ νεκρὸς,
καὶ ἤρξατο λαλεῖν· καὶ ἔδωκεν
αὐτὸν τῇ μητρὶ αὐτοῦ.
16 Ἔλαβε δὲ φόβος ἅπαν-
τας, καὶ ἐδόξαζον τὸν Θεὸν,
λέγοντες· Ὅτι προφήτης μέ-
γας ἐγήγερται ἐν ἡμῖν, καὶ
ὅτι ἐπισκέψατο ὁ Θεὸς τὸν
λαὸν αὐτοῦ.
17 Καὶ ἐξῆλθεν ὁ λόγος
οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περὶ
αὐτοῦ, καὶ ἐν πάσῃ τῇ περι-
χώρῳ.
18 Καὶ ἀπήγγειλαν Ἰωάννῃ
οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων
τούτων.
19 Καὶ προσκαλεσάμενος
δύο τινὰς τῶν μαθητῶν αὐ-
τοῦ ὁ Ἰωάννης, ἔπεμψε πρὸς
τὸν Ἰησοῦν, λέγων· Σὺ εἶ ὁ
ἐρχόμενος, ἢ ἄλλον προσδοκῶ-
μεν;

εὐγάνασιν ἕνα ἀπεθαμμένον ὁ
ὁποῖος ἦτον υἱὸς μονογενὴς τῆς
μάνας του, καὶ ἐκείνη χήρα·
καὶ ὄχλος ἀρκετὸς τῆς πόλεως
ἦτον μαζὺ μετ' αὐτήν.
13 Καὶ ὡσὰν τὴν εἶδεν ὁ
Κύριος, τὴν ἐσπλαγχνίσθη,
καὶ λέγει της· Μὴν κλαίεις.
14 Καὶ ἐπῆγεν κοντὰ καὶ
ἐπίασε τὸ κρεββάτι, (καὶ ἐκεῖνοι
ὁποῦ τὸ ἐβαστοῦσαν ἐστάθηκαν)
καὶ εἶπε εἰς τὸν ἀπεθαμμένον·
Ὦ νεανίσκε, ἐσένα λέγω, σήκω
ἀπάνω.
15 Καὶ ὁ νεκρὸς ἐσηκώθη καὶ
ἐκάθισε, καὶ ἄρχισε νὰ λαλῇ
καὶ ἔδωκέν τον τῆς μάνας του.
16 Καὶ φόβος μεγάλος
τοὺς ἐπίασεν ὅλους, καὶ ἐδόξαζαν
τὸν Θεὸν, λέγοντες· Ὅτι μέγας
προφήτης ἐσηκώθη εἰς τὸ γέ-
νος μας, καὶ ὅτι ὁ Θεὸς ἐπε-
σκέψατο τὸν λαόν του.
17 Καὶ ἡ φήμη ἐτούτη
εὐγῆκεν εἰς ὅλην τὴν Ἰουδαίαν
διὰ λόγου του, καὶ εἰς ὅλα τὰ
περίχωρα.
18 Καὶ εἶπαν εἰς τὸν Ἰωάν-
νην οἱ μαθητάδες του διὰ ὅλα
ἐτοῦτα.
19 Καὶ ὁ Ἰωάννης ἐπροσκά-
λεσε δύο ἀπὸ τοὺς μαθητάδες του,
καὶ τοὺς ἔπεμψε εἰς τὸν Ἰησοῦν,
νὰ τοῦ εἰποῦν· Ἐσὺ εἶσαι ἐκεῖνος
ὁποῦ μέλλει νὰ ἔλθῃ, ἢ ἄλλον
ἀπαντέχομεν;

20 Παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες, εἶπον· Ἰωάννης ὁ βαπτιστὴς ἀπέσταλκεν ἡμᾶς πρός σε, λέγων· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσδοκῶμεν;

21 Ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς ἀπὸ νόσων καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν· καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο τὸ βλέπειν.

22 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε καὶ ἠκούσατε· ὅτι τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται πτωχοὶ εὐαγγελίζονται·

23 Καὶ μακάριός ἐστιν ὃ ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί.

24 Ἀπελθόντων δὲ τῶν ἀγγέλων Ἰωάννου, ἤρξατο λέγειν πρὸς τοὺς ὄχλους περὶ Ἰωάννου· Τί ἐξεληλύθατε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον;

25 Ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ, οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ τρυφῇ ὑπάρχοντες, ἐν τοῖς βασιλείοις εἰσίν.

26 Ἀλλὰ τί ἐξεληλύθατε

20 Καὶ παγένοντες οἱ ἄνδρες εἰς αὐτὸν, τοῦ εἶπαν· Ὁ Ἰωάννης ὁ βαπτιστὴς μᾶς ἔστειλεν εἰς ἐσένα, καὶ λέγει· Ἐσὺ εἶσαι ἐκεῖνος ὁποῦ μέλλει νὰ ἔλθῃ, ἢ ἄλλον ἀπαντέχομεν;

21 Καὶ εἰς αὐτὴν τὴν ὥραν ἰάτρευσε πολλοὺς ἀπὸ ἀσθένειαις καὶ ἀπὸ μάστιγας καὶ ἀπὸ πνεύματα ἀκάθαρτα· καὶ πολλοὺς τυφλοὺς τοὺς ἐχάρισε τὸ φῶς τους.

22 Καὶ ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπέν τους· Σύρτε καὶ εἰπέτε εἰς τὸν Ἰωάννην ἐκεῖνα ὁποῦ εἴδετε, καὶ ἐκεῖνα ὁποῦ ἀκούσετε· ὅτι τυφλοὶ βλέπουσι, κουτζοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κουφοὶ ἀκούουσι, νεκροὶ ἀνασταίνονται, πτωχοὶ εὐαγγελίζονται.

23 Καὶ καλότυχος εἶναι ἐκεῖνος ὁποῦ δὲν σκανδαλισθῇ εἰς ἐμένα.

24 Καὶ ὡσὰν ἐδιέβηκαν οἱ μαντατοφόροι τοῦ Ἰωάννου, ἄρχισε νὰ λέγῃ εἰς τὸν ὄχλον διὰ τὸν Ἰωάννην· Τί εὐγήκετε εἰς τὴν ἔρημον νὰ εἴδῆτε; καλάμι ὁποῦ κουνιέτον ἀπὸ τὸν ἄνεμον;

25 Ἀλλὰ τί εὐγήκετε νὰ εἴδῆτε; ἄνθρωπον ἐνδυμένον μὲ μαλακὰ φορέματα; νὰ, ἐκεῖνοι ὁποῦ φοροῦσιν ὄμορφα φορέματα καὶ τρυφοῦσιν, εἶναι εἰς τὰ σπήτια τῶν βασιλέων.

26 Ἀλλὰ τί εὐγήκετε νὰ εἰ-

ἰδεῖν; προφήτην; ναί, λέγω
ὑμῖν, καὶ περισσότερον προ-
φήτου.
27 Οὗτός ἐστι περὶ οὗ γέγρα-
πται· Ἰδού, ἐγὼ ἀποστέλλω τὸν
ἄγγελόν μου πρὸ προσώπου σου,
ὃς κατασκευάσει τὴν ὁδόν σου
ἔμπροσθέν σου.
28 Λέγω γὰρ ὑμῖν, μείζων
ἐν γεννητοῖς γυναικῶν προφή-
της Ἰωάννου τοῦ βαπτιστοῦ
οὐδείς ἐστιν· ὁ δὲ μικρότερος ἐν
τῇ βασιλείᾳ τοῦ Θεοῦ, μείζων
αὐτοῦ ἐστι.
29 Καὶ πᾶς ὁ λαὸς ἀκού-
σας, καὶ οἱ τελῶναι, ἐδικαίω-
σαν τὸν Θεόν, βαπτισθέντες
τὸ βάπτισμα Ἰωάννου·
30 Οἱ δὲ Φαρισαῖοι καὶ οἱ
νομικοὶ τὴν βουλὴν τοῦ Θεοῦ
ἠθέτησαν εἰς ἑαυτούς, μὴ
βαπτισθέντες ὑπ' αὐτοῦ.
31 Εἶπε δὲ ὁ Κύριος·
Τίνι οὖν ὁμοιώσω τοὺς ἀνθρώ-
πους τῆς γενεᾶς ταύτης; καὶ
τίνι εἰσὶν ὅμοιοι;
32 Ὅμοιοί εἰσι παιδίοις
τοῖς ἐν ἀγορᾷ καθημένοις,
καὶ προσφωνοῦσιν ἀλλήλοις,
καὶ λέγουσιν· Ηὐλήσαμεν ὑμῖν,
καὶ οὐκ ὠρχήσασθε· ἐθρηνή-
σαμεν ὑμῖν, καὶ οὐκ ἐκλαύσατε.
33 Ἐλήλυθε γὰρ Ἰωάννης ὁ

δῆτε; προφήτην; ναί, σᾶς
λέγω, καὶ περισσότερον προ-
φήτου.
27 Ἐτοῦτος εἶναι ἐκεῖνος
διὰ τὸν ὁποῖον ἐγράφη· Νά,
ἐγὼ ὁποῦ στέλλω τὸν ἄγγελόν
μου ὀμπροστὰ εἰς τὸ πρόσωπόν
σου, ὁ ὁποῖος θέλει κατασ-
κευάσει τὴν στράτα σου ὀμπροστὰ
σου.
28 Διατὶ σᾶς λέγω, ὅτι εἰς
ἐκείνους ὁποῦ ἐγεννήθηκαν ἀπὸ
γυναῖκαις μεγαλίτερος προ-
φήτης δὲν εἶναι κανένας, παρὰ
ὁ Ἰωάννης ὁ βαπτιστής· ἀμὴ ὁ
μικρότερος εἰς τὴν βασιλείαν
τοῦ Θεοῦ, εἶναι μεγαλίτερος
ἀπ' αὐτόν.
29 Καὶ ὅλος ὁ λαὸς ὡσὰν
τὸν ἤκουσαν, καὶ οἱ τελῶναι,
ἐδικαίωσαν τὸν Θεόν, με τὸ νὰ
ἐβαπτίσθηκαν τὸ βάπτισμα
τοῦ Ἰωάννου.
30 Ἀμὴ οἱ Φαρισαῖοι καὶ
οἱ νομικοὶ ἀθέτησαν τὴν βου-
λὴν τοῦ Θεοῦ εἰς τοὺ λόγου τους,
μὲ τὸ νὰ μὴν βαπτισθοῦσιν
ἀπ' αὐτόν.
31 Καὶ εἶπεν ὁ Ἰησοῦς· Μὲ
τί λοιπὸν θέλω ὁμοιάσει τοὺς
ἀνθρώπους τῆς γενεᾶς ἐτούτης;
καὶ τί ὁμοιάζουσιν;
32 Ὁμοιάζουσι παιδία ὁ-
ποῦ κάθουνται εἰς τὸν φόρον, καὶ
κράζουσιν ἕνας εἰς τὸν ἄλλον, καὶ
λέγουσιν· Σᾶς ἐπαίξαμεν, καὶ
δὲν ἐχορέψετε· σᾶς ἐμυρολογή-
σαμεν, καὶ δὲν ἐκλαύσετε.
33 Διατὶ ἦλθεν ὁ Ἰωάννης

βαπτιςὴς μήτε ἄρτον ἐσθίων, μήτε οἶνον πίνων· καὶ λέγετε· Δαιμόνιον ἔχει.

34 Ἐλήλυθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων· καὶ λέγετε· Ἰδοὺ, ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν.

35 Καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς πάντων.

36 Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ' αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου, ἀνεκλίθη.

37 Καὶ ἰδοὺ, γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλὸς, ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαςρον μύρου·

38 Καὶ ςᾶσα παρὰ τοὺς πόδας αὐτοῦ ὀπίσω, κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι· καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ, καὶ ἤλειφε τῷ μύρῳ.

39 Ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν, εἶπεν ἐν ἑαυτῷ, λέγων· Οὗτος, εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ· ὅτι ἁμαρτωλός ἐςι.

ὁ βαπτιςὴς, μηδὲ τρώγοντας ψωμὶ, μηδὲ πίνοντας κρασὶ καὶ λέγετε· Δαιμόνιον ἔχει.

34 Ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ τρώγει καὶ πίνει· καὶ λέγετε· Νὰ, ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος κουμερκιαρῶν καὶ ἁμαρτωλῶν.

35 Ἀλλὰ ἐδικαιώθη ἡ σοφία ἀπὸ ὅλα της τὰ παιδία.

36 Καὶ κάποιος ἀπὸ τοὺς Φαρισαίους τὸν ἐπαρακάλει νὰ φάγῃ μαζὺ μετ' αὐτόν· καὶ ἐπῆγεν εἰς τὸ σπῆτι τοῦ Φαρισαίου, καὶ ἐκάθισε.

37 Καὶ νὰ, καὶ μία γυναῖκα εἰς τὴν πόλιν ἐκείνην, ἡ ὁποῖα ἦτον ἁμαρτωλὴ, καὶ ἔμαθε πῶς ἐκάθετον εἰς τὴν τράπεζαν εἰς τὸ σπῆτι τοῦ Φαρισαίου, καὶ ἐπῆρε ἕνα κανὶ μῦρον·

38 Καὶ ἐςάθη ὀπίσω τοῦ Ἰησοῦ, καὶ ἔκλαιεν, καὶ ἄρχισε νὰ βρέχῃ τὰ ποδάρια τοῦ Ἰησοῦ μὲ τὰ δάκρυά της, καὶ μὲ τὰ μαλλία τῆς κεφαλῆς της τὰ ἐσφούγγιζε, καὶ ἐκαταφίλειε τὰ ποδάριά του, καὶ τὰ ἄλειφε μῦρον.

39 Καὶ ὁ Φαρισαῖος ἐκεῖνος ὁποῦ τὸν ἐκάλεσεν εἰς τὸ σπῆτί του, ὡσὰν εἶδεν, εἶπε μέσα του, λέγοντας· Ἐτοῦτος ὁ ἄνθρωπος, ἂν ἦτον προφήτης, ἤθελε γνωρίσῃ ποῖα εἶναι καὶ τί λογῆς γυναῖκα εἶναι ὁποῦ τὸν πιάνει· ὅτι εἶναι ἁμαρτωλή.

40 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτόν· Σίμων, ἔχω σοι τὶ εἰπεῖν. Ὁ δέ φησι· Διδάσκαλε, εἰπέ.

41 Δύο χρεωφειλέται ἦσαν δανειστῇ τινι· ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα.

42 Μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο· Τίς οὖν αὐτῶν, εἰπὲ, πλεῖον αὐτὸν ἀγαπήσει;

43 Ἀποκριθεὶς δὲ ὁ Σίμων, εἶπεν· Ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. Ὁ δὲ εἶπεν αὐτῷ· Ὀρθῶς ἔκρινας.

44 Καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι ἔφη· Βλέπεις ταύτην τὴν γυναῖκα; εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε.

45 Φίλημά μοι οὐκ ἔδωκας· αὕτη δὲ, ἀφ' ἧς εἰσῆλθον, οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πόδας.

46 Ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας.

47 Οὗ χάριν, λέγω σοι,

40 Καὶ ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ λέγει του· Ὦ Σίμων, κάτι ἔχω νὰ σοῦ εἰπῶ. Λέγει ὁ Σίμων· Διδάσκαλε, εἰπές.

41 Δύο χρεωφειλέται ἐχρεωστοῦσαν κάποιου δανειστοῦ· ὁ ἕνας ἐχρεώστει πεντακόσια δηνάρια· καὶ ὁ ἄλλος πενῆντα.

42 Καὶ διὰ νὰ μὴν ἔχουν καὶ οἱ δύο νὰ τὰ δώσουν, τὰ ἐχάρισε καὶ τῶν δύο· εἰπέ μου λοιπὸν, ποῖος ἀπὸ τοὺς δύο τους θέλει τὸν ἀγαπήσει περισσότερον;

43 Ἀπεκρίθη ὁ Σίμων, καὶ εἶπε· Λογιάζω ὅτι ἐκεῖνος τοῦ ὁποίου αὐτὸς ἐχάρισε τὸ περισσότερον. Καὶ ὁ Ἰησοῦς τοῦ εἶπε· Καλὰ τὸ ἔκρινες.

44 Καὶ γυρίζωντας εἰς τὴν γυναῖκα, λέγει εἰς τὸν Σίμωνα· Βλέπεις ἐτούτην τὴν γυναῖκα; ἐγὼ ἐμβῆκα εἰς τὸ σπῆτί σου, καὶ (κἂν) νερὸν εἰς τὰ ποδάριά μου δὲν ἔχυσες, καὶ ἐτούτη μὲ τὰ δάκρυά της ἔβρεξε τὰ ποδάριά μου, καὶ μὲ τα μαλία τῆς κεφαλῆς της τὰ ἐσφούγγισε.

45 Ἐσὺ δέν με ἐφίλησες· καὶ ἐτούτη, ἀπὸ τὴν ὥραν ὁποῦ ἐμβῆκα, δὲν ἔλειψε νὰ φιλῇ τὰ ποδάριά μου.

46 Ἐσὺ μὲ λάδι τὸ κεφάλι μου δὲν τὸ ἄλειψες· καὶ ἐτούτη ἄλειψε μὲ μῦρον τὰ ποδάριά μου.

47 Διὰ τούτην τὴν ἀφορ-

ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαὶ, ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ.

μὴν σȣ λέγω, εἶναι συγχωρημέναις αἱ ἁμαρτίαις της αἱ πολλαῖς, ὅτι ἀγάπησεν πολύ· ἀμὴ ὅποιος συγχωρᾶται ὀλίγον, ὀλίγον ἀγαπᾷ.

48 Εἶπε δὲ αὐτῇ· Ἀφέωνταί σȣ αἱ ἁμαρτίαι.

48 Καὶ εἶπέν της· Συγχωρημέναις εἶναι αἱ ἁμαρτίαις σȣ.

49 Καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς· Τίς ȣτός ἐςιν ὃς καὶ ἁμαρτίας ἀφίησιν;

49 Καὶ ἄρχισαν ἐκεῖνοι ὁπȣ ἐκάθȣνταν μαζὺ νὰ λέγȣν μέσα τȣς· Τίς ἄνθρωπος εἶναι ἐτȣτος ὁπȣ συγχωρᾷ ἁμαρτίαις;

50 Εἶπε δὲ πρὸς τὴν γυναῖκα· Ἡ πίςις σȣ σέσωκέ σε· πορεύȣ εἰς εἰρήνην.

50 Καὶ εἰς τὴν γυναῖκα εἶπεν· Ἡ πίςις σȣ σὲ ἔσωσε· σύρε εἰς τὸ καλόν.

Κεφ. η΄. 8.

ΚΑΙ ἐγένετο ἐν τῷ καθεξῆς, καὶ αὐτὸς διώδευε κατὰ πόλιν καὶ κώμην, κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ Θεȣ· καὶ οἱ δώδεκα σὺν αὐτῷ,

ΚΑΙ ὕςερον ἀπὸ τȣτο ἐπιριπάτει ἀπὸ πόλιν εἰς πόλιν, καὶ ἀπὸ χώραν εἰς χώραν, καὶ ἐκήρυττε καὶ εὐαγγέλιζε τὴν βασιλείαν τοῦ Θεȣ· καὶ οἱ δώδεκα μαθητάδες μαζύ τȣ,

2 Καὶ γυναῖκές τινες αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν· Μαρία ἡ καλȣμένη Μαγδαληνὴ, ἀφ᾽ ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει,

2 Καὶ κάποιαις γυναῖκες, αἱ ὁποίαις ἰατρεύθηκαν ἀπὸ πνεύματα πονηρὰ καὶ ἀσθένειαις· ἡ Μαρία ὁπȣ ἐκαλεῖτον Μαγδαληνὴ, ἀπὸ τὴν ὁποίαν εὐγήκασιν ἑπτὰ δαιμόνια,

3 Καὶ Ἰωάννα γυνὴ Χȣζᾶ ἐπιτρόπȣ Ἡρώδȣ, καὶ Σȣσάννα, καὶ ἕτεραι πολλαὶ, αἵτινες διηκόνȣν αὐτῷ ἀπὸ τῶν ὑπαρχόντων αὐταῖς.

3 Καὶ ἡ Ἰωάννα ἡ γυναῖκα Χȣζᾶ, ὁ ὁποῖος ἦτον ἐπίτροπος τοῦ Ἡρώδȣ, καὶ ἡ Σȣσάννα, καὶ ἄλλαις πολλαῖς, αἱ ὁποίαις τὸν ἐδιακονȣσαν ἀπὸ τὰ πράγματά τȣς.

4 Συνιόντος δὲ ὄχλου πολλοῦ, καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς αὐτὸν, εἶπε διὰ παραβολῆς·

5 Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ· καὶ ἐν τῷ σπείρειν αὐτὸν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν καὶ κατεπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό.

6 Καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν πέτραν, καὶ φυὲν ἐξηράνθη, διὰ τὸ μὴ ἔχειν ἰκμάδα·

7 Καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι αἱ ἄκανθαι ἀπέπνιξαν αὐτό·

8 Καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθὴν, καὶ φυὲν ἐποίησε καρπὸν ἑκατονταπλασίονα. Ταῦτα λέγων ἐφώνει· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

9 Ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες, τίς εἴη ἡ παραβολὴ αὕτη.

10 Ὁ δὲ εἶπεν· Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ· τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσιν.

11 Ἔστι δὲ αὕτη ἡ παραβολή. Ὁ σπόρος, ἐστὶν ὁ λόγος τοῦ Θεοῦ.

4 Καὶ ἔστωντας νὰ συντρέχῃ πολὺς ὄχλος, καὶ νὰ πηγένουσιν εἰς αὐτὸν ἀπὸ ἐκείνους ὅπου ἦταν εἰς ταῖς πόλαις, εἶπε μὲ παραβολήν·

5 Εὐγῆκεν ἔξω ὁ σπορεὺς διὰ νὰ σπείρῃ τὸν σπόρον του· καὶ ἐκεῖ ὅπου ἔσπερνεν, ἄλλο ἔπεσεν εἰς τὴν στράταν, καὶ ἐκαταπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ τὸ ἐκατάφαγαν·

6 Καὶ ἄλλο ἔπεσεν εἰς τὴν πέτραν, καὶ ἀφόντις ἐφύτρωσεν ἐξηράνθη, μὲ τὸ νὰ μὴν ἔχῃ ὑγράδαν·

7 Καὶ ἄλλο ἔπεσεν μέσα εἰς τὰ ἀγκάθια, καὶ μὲ τὸ νὰ φυτρώσουν μαζὺ τὰ ἀγκάθια τὸ ἔπνιξαν·

8 Καὶ ἄλλο ἔπεσε εἰς τὴν γῆν τὴν καλὴν, καὶ ἐφύτρωσε καὶ ἔκαμε καρπὸν ἑκατονταπλασίονα. Ἐτοῦτα διδάσκωντας ἐφώναζεν· Ὅποιος ἔχει αὐτία διὰ νὰ ἀκούῃ, ἂς ἀκούῃ.

9 Καὶ οἱ μαθητάδες του τὸν ἐρωτοῦσαν, καὶ ἔλεγαν· τί θέλει νὰ εἰπῇ ἡ παραβολὴ ἐτούτη;

10 Καὶ ὁ Ἰησοῦς εἶπεν· Ἐσᾶς ἐδόθη νὰ γνωρίζετε τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ· ἀμὴ εἰς τοὺς λοιποὺς λαλῶ μὲ παραβολαῖς διὰ νὰ τὴν βλέπουσιν βλέποντες, καὶ ἀκούοντες νὰ μὴν ἀκούουσι.

11 Καὶ ἡ παραβολὴ ἐτούτη εἶναι· Ὁ σπόρος, εἶναι ὁ λόγος τοῦ Θεοῦ.

12 Οἱ δὲ παρὰ τὴν ὁδὸν, εἰσὶν οἱ ἀκούοντες· εἶτα ἔρχεται ὁ διάβολος, καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν.

13 Οἱ δὲ ἐπὶ τῆς πέτρας, οἳ ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέχονται τὸν λόγον· καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς καιρόν πιστεύουσι, καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται.

14 Τὸ δὲ εἰς τὰς ἀκάνθας πεσὸν, οὗτοί εἰσιν οἱ ἀκούσαντες, καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι συμπνίγονται, καὶ οὐ τελεσφοροῦσι.

15 Τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ, ἀκούσαντες τὸν λόγον, κατέχουσι, καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ.

16 Οὐδεὶς δὲ λύχνον ἅψας, καλύπτει αὐτὸν σκεύει, ἢ ὑποκάτω κλίνης τίθησιν· ἀλλ' ἐπὶ λυχνίας ἐπιτίθησιν, ἵνα οἱ εἰσπορευόμενοι βλέπωσι τὸ φῶς·

12 Καὶ ἐκεῖνοι ὁποῦ εἶναι σπαρμένοι εἰς τὴν στράταν, εἶναι ἐκεῖνοι ὁποῦ ἀκούουν· ἔπειτα ἔρχεται ὁ διάβολος, καὶ σηκώνει τὸν λόγον ἀπὸ τὴν καρδίαν τους, διὰ νὰ μὴν πιστεύσουν καὶ σωθοῦσι.

13 Καὶ οἱ ἄλλοι ὁποῦ εἶναι ἐσπαρμένοι εἰς τὴν πέτραν, εἶναι ἐκεῖνοι οἱ ὁποῖοι ὅταν ἀκούσουν, μετὰ χαρᾶς δέχονται τὸν λόγον· ἀμὴ ἐτοῦτοι ῥίζαν δὲν ἔχουσιν, οἱ ὁποῖοι εἰς ὀλίγον καιρὸν πιστεύουσι, καὶ ὅταν ἔλθη πειρασμὸς μακρύνουσι.

14 Καὶ ἐκεῖνο ὁποῦ ἔπεσεν εἰς τὰ ἀγκάθια, εἶναι ἐκεῖνοι ὁποῦ ἄκουσαν τὸν λόγον, καὶ ἀπὸ ταῖς φροντίδες τοῦ κόσμου, καὶ ἀπὸ τὸν πλοῦτον, καὶ ἀπὸ ταῖς ἡδοναῖς τῆς ζωῆς πνίγονται, καὶ δὲν τελεσφοροῦσι.

15 Καὶ ἐκεῖνο ὁποῦ ἔπεσεν εἰς τὴν γῆν τὴν καλὴν, εἶναι ἐκεῖνοι, οἱ ὁποῖοι ἄκουσαν τὸν λόγον τοῦ Θεοῦ, καὶ τὸν κρατοῦσι μέσα εἰς τὴν καρδίαν τὴν καλὴν καὶ ἀγαθὴν, καὶ μὲ τὴν ὑπομονὴν καρποφοροῦσι.

16 Καὶ κανένας δὲν ἀνάπτει τὸν λύχνον, καὶ τὸν σκεπάζει μὲ ἀγγεῖον, ἢ τὸν βάνει ἀπὸ κάτω εἰς τὴν κλίνην· ἀλλὰ τὸν βάνει εἰς τὸν λυχνοστάτην, διὰ νὰ βλέπουν τὸ φῶς ἐκεῖνοι ὁποῦ ἐμβαίνουν·

17 Οὐ γάρ ἐστι κρυπτὸν ὃ οὐ φανερὸν γενήσεται· οὐδὲ ἀπόκρυφον ὃ οὐ γνωσθήσεται, καὶ εἰς φανερὸν ἔλθῃ.

17 Διατὶ δὲν εἶναι κανένα κρυφὸν ὁποῦ νὰ μὴν φανερωθῇ· οὐδὲ ἀπόκρυφον ὁποῦ νὰ μὴν γνωρισθῇ, καὶ νὰ εὔγῃ εἰς τὸ φανερόν.

18 Βλέπετε οὖν πῶς ἀκούετε· ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς ἂν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ' αὐτοῦ.

18 Βλέπετε λοιπὸν πῶς ἀκούετε· διατὶ ὅποιος ἔχει (τίποτες χάρισμα) θέλει τοῦ δοθῇ καὶ ἄλλο περισσότερον· καὶ ὅποιος δὲν ἔχει (χάρισμα) καὶ ἐκεῖνο ὁποῦ φαίνεται πῶς νὰ ἔχῃ, θέλει παρθῇ ἀπ' αὐτόν.

19 Παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον.

19 Καὶ ἐπήγασιν εἰς αὐτὸν ἡ μάνα του καὶ οἱ ἀδελφοί του, καὶ δὲν ἠμποροῦσαν νὰ τὸν σμίξουν ἀπὸ τὸ πλῆθος.

20 Καὶ ἀπηγγέλη αὐτῷ, λεγόντων· Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες.

20 Καὶ κάποιοι τοῦ εἶπαν· Ὅτι ἡ μάνα σου καὶ οἱ ἀδελφοί σου στέκουνται ἔξω, καὶ θέλουν νὰ σὲ εἰδοῦν.

21 Ὁ δὲ ἀποκριθεὶς, εἶπε πρὸς αὐτούς· Μήτηρ μου καὶ ἀδελφοί μου, οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούοντες, καὶ ποιοῦντες αὐτόν.

21 Καὶ ὁ Ἰησοῦς ἀπεκρίθη, καὶ εἶπέν τους· Ἡ μάνα μου καὶ οἱ ἀδελφοί μου, ἐτοῦτοι εἶναι ὁποῦ ἀκούουν τὸν λόγον τοῦ Θεοῦ, καὶ τὸν κάμνουν.

22 Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἐνέβη εἰς πλοῖον, καὶ οἱ μαθηταὶ αὐτοῦ· καὶ εἶπε πρὸς αὐτούς· Διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης. Καὶ ἀνήχθησαν.

22 Καὶ μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἐσέβη μέσα εἰς καράβι, καὶ οἱ μαθητάδες του μαζύ· καὶ εἶπέν τους· Ἄς περάσωμεν πέρα ἀπὸ τὴν λίμνην. Καὶ ἐσηκώθηκαν.

23 Πλεόντων δὲ αὐτῶν ἀφύπνωσε· καὶ κατέβη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην· καὶ συνεπληροῦντο, καὶ ἐκινδύνευον.

23 Καὶ ἐκεῖ ὁποῦ ἀρμένιζαν ὁ Ἰησοῦς ἐκοιμήθη· καὶ ἐκατέβη ἀνεμοστρόφιλος εἰς τὴν λίμνην· καὶ τὸ καράβι ἐγέμιζε, καὶ ἐκινδύνευαν.

24 Προσελθόντες δὲ διήγει-

24 Καὶ οἱ μαθητάδες ἐπῆ-

ραν αὐτὸν, λέγοντες· Ἐπιστάτα, ἐπιστάτα, ἀπολλύμεθα· Ὁ δὲ ἐγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος· καὶ ἐπαύσαντο, καὶ ἐγένετο γαλήνη.

25 Εἶπε δὲ αὐτοῖς· Ποῦ ἐστιν ἡ πίστις ὑμῶν; Φοβηθέντες δὲ ἐθαύμασαν, λέγοντες πρὸς ἀλλήλους· Τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ;

26 Καὶ κατέπλευσαν εἰς τὴν χώραν τῶν Γαδαρηνῶν, ἥτις ἐστὶν ἀντιπέραν τῆς Γαλιλαίας.

27 Ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν, ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως, ὃς εἶχε δαιμόνια ἐκ χρόνων ἱκανῶν, καὶ ἱμάτιον οὐκ ἐνεδιδύσκετο, καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν, ἀλλ' ἐν τοῖς μνήμασιν.

28 Ἰδὼν δὲ τὸν Ἰησοῦν, καὶ ἀνακράξας, προσέπεσεν αὐτῷ, καὶ φωνῇ μεγάλῃ εἶπε· Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; δέομαί σου μή με βασανίσῃς.

29 Παρήγγειλε γὰρ τῷ πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου· πολλοῖς γὰρ χρόνοις συνηρπάκει αὐτόν· καὶ ἐδεσμεῖτο ἁλύσεσι καὶ πέδαις φυλασσόμενος· καὶ

γαν κοντὰ καὶ τὸν ἐξύπνισαν, λέγοντες· Διδάσκαλε, διδάσκαλε, χανόμεσθε· Καὶ ὁ Ἰησοῦς ἐσηκώθη καὶ ἐπρόσταξε τὸν ἄνεμον καὶ τὴν ταραχὴν τοῦ νεροῦ· καὶ ἔπαυσαν, καὶ ἔγινε γαλήνη.

25 Καὶ εἶπέν τους· Ποῦ εἶναι ἡ πίστις σας; Καὶ ἀπὸ τὸν φόβον τους ἐθαύμασαν, λέγοντες ἀνάμεσά τους· Τίς εἶναι λοιπὸν ἐτοῦτος, ὁποῦ προστάσσει καὶ τοὺς ἀνέμους καὶ τὰ νερὰ, καὶ τοῦ ὑπακούουσι;

26 Καὶ ἐκατέπλευσαν εἰς τὴν χώραν τῶν Γαδαρηνῶν, ἡ ὁποῖα εἶναι ἀντίπερα τῆς Γαλιλαίας.

27 Καὶ ὡσὰν εὐγῆκεν ἔξω εἰς τὴν γῆν, τὸν ἀπάντησεν ἕνας ἄνθρωπος ἀπὸ τὴν πόλιν, ὁ ὁποῖος εἶχε δαιμόνια ἀπὸ πολλοὺς χρόνους, καὶ φόρεμα δὲν ἐνδύνετον, καὶ εἰς τὸ σπῆτι δὲν ἔμενεν, ἀλλὰ εἰς τὰ μνήματα.

28 Καὶ ὡσὰν εἶδε τὸν Ἰησοῦν, ἐφώναξε, καὶ ἐπῆγε καὶ ἔπεσεν εἰς τὰ ποδάριά του, καὶ μὲ μεγάλην φωνὴν εἶπεν· Ἰησοῦ υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου, τί ἔχεις νὰ κάμῃς μετ' ἐμένα; παρακαλῶ σε μή με βασανίσῃς.

29 Διατὶ ἐπαρήγγειλεν εἰς τὸ πνεῦμα τὸ ἀκάθαρτον νὰ εὔγῃ ἀπὸ τὸν ἄνθρωπον· διατὶ πολλοὺς χρόνους τὸν ἐκράτει· καὶ ἐδένουντον μὲ ἁλυσίδες καὶ μὲ κλάπαις τὸν ἐφύλαγαν·

διαῤῥήσσων τὰ δεσμὰ, ἠλαύ-
νετο ὑπὸ τοῦ δαίμονος εἰς τὰς
ἐρήμους.
30 Ἐπηρώτησε δὲ αὐτὸν ὁ
Ἰησοῦς, λέγων· Τί σοί ἐστιν
ὄνομα; Ὁ δὲ εἶπε· Λεγεών·
ὅτι δαιμόνια πολλὰ εἰσῆλθεν
εἰς αὐτόν.
31 Καὶ παρεκάλει αὐτὸν
ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν
ἄβυσσον ἀπελθεῖν.
32 Ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων
ἱκανῶν βοσκομένων ἐν τῷ ὄρει·
καὶ παρεκάλουν αὐτὸν ἵνα ἐπι-
τρέψῃ αὐτοῖς εἰς ἐκείνους εἰσελ-
θεῖν. Καὶ ἐπέτρεψεν αὐτοῖς.
33 Ἐξελθόντα δὲ τὰ δαιμό-
νια ἀπὸ τοῦ ἀνθρώπου, εἰσῆλθεν
εἰς τοὺς χοίρους· καὶ ὥρμησεν ἡ
ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς
τὴν λίμνην· καὶ ἀπεπνίγη.

34 Ἰδόντες δὲ οἱ βόσκοντες
τὸ γεγενημένον, ἔφυγον· καὶ
ἀπελθόντες ἀπήγγειλαν εἰς
τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς.
35 Ἐξῆλθον δὲ ἰδεῖν τὸ
γεγονός· καὶ ἦλθον πρὸς τὸν
Ἰησοῦν, καὶ εὗρον καθήμενον
τὸν ἄνθρωπον ἀφ᾽ οὗ τὰ δαι-
μόνια ἐξεληλύθει, ἱματισμένον
καὶ σωφρονοῦντα παρὰ τοὺς
πόδας τοῦ Ἰησοῦ· καὶ ἐφοβή-
θησαν.
36 Ἀπήγγειλαν δὲ αὐτοῖς
καὶ οἱ ἰδόντες, πῶς ἐσώθη ὁ
δαιμονισθείς.

ἀμὴ ἐκεῖνος ἔκοπτε τὰ δεσί-
ματα, καὶ ἐδιώχνετον ἀπὸ τὸν
δαίμονα εἰς τοὺς ἐρήμους (τόπους.)
30 Καὶ ὁ Ἰησοῦς τὸν
ἐρώτησε, καὶ εἶπε· Τί εἶναι τὸ
ὄνομά σου; Καὶ ἐκεῖνος εἶπε·
Λεγεών· ὅτι πολλὰ δαιμόνια
ἐμβῆκαν εἰς αὐτόν.
31 Καὶ τὸν ἐπαρακάλει
νὰ μὴν τοὺς προστάξῃ νὰ
πάσιν εἰς τὴν ἄβυσσον.
32 Καὶ ἐκεῖ εἰς τὸ ὄρος
ἦτον ἀγέλη τῶν χοίρων ὁποῦ
ἔβοσκε· καὶ τὸν ἐπαρακαλοῦ-
σαν νὰ τοὺς δώσῃ ἄδειαν νὰ
ἔμβουν εἰς ἐκείνους. Καὶ τοὺς
ἔδωσε.
33 Καὶ ὡσὰν εὐγῆκαν τὰ
δαιμόνια ἀπὸ τὸν ἄνθρωπον,
ἐμβῆκαν εἰς τοὺς χοίρους· καὶ
ἐκίνησεν ἡ ἀγέλη ἐκείνη ἀπὸ
τὸν ἐγκρεμνὸν εἰς τὴν λίμνην·
καὶ ἐπνίγη.
34 Καὶ ὡσὰν εἶδαν οἱ βοσ-
κοὶ ἐκεῖνο ὁποῦ ἔγινεν, ἔφυγαν·
καὶ ἐπῆγαν εἰς τὴν πόλιν καὶ
εἰς τὰ χωράφια καὶ εἶπάν το.
35 Καὶ οἱ ἄνθρωποι εὐγῆ-
καν νὰ εἰδοῦν ἐκεῖνο ὁποῦ ἔγινε·
καὶ ἦλθαν εἰς τὸν Ἰησοῦν, καὶ
εὑρῆκαν τὸν ἄνθρωπον ὁποῦ ἐκά-
θετον, ἀπὸ τὸν ὁποῖον εὐγῆκαν
τὰ δαιμόνια, ἐνδυμένον καὶ
σωφρονισμένον εἰς τὰ ποδάρια
τοῦ Ἰησοῦ· καὶ ἐφοβήθηκαν.
36 Καὶ ἐκεῖνοι ὁποῦ τὸ εἶδαν
τὸ εἶπαν εἰς αὐτουνοὺς, πῶς ὁ
δαιμονισμένος ἐλευθερώθη.

37 Καὶ ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώρου τῶν Γαδαρηνῶν, ἀπελθεῖν ἀπ' αὐτῶν, ὅτι φόβῳ μεγάλῳ συνείχοντο· αὐτὸς δὲ ἐμβὰς εἰς τὸ πλοῖον, ὑπέστρεψεν.

38 Ἐδέετο δὲ αὐτοῦ ὁ ἀνὴρ ἀφ' οὗ ἐξεληλύθει τὰ δαιμόνια, εἶναι σὺν αὐτῷ· ἀπέλυσε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων·

39 Ὑπόστρεφε εἰς τὸν οἶκόν σου, καὶ διηγοῦ ὅσα ἐποίησέ σοι ὁ Θεός. Καὶ ἀπῆλθε, καθ' ὅλην τὴν πόλιν κηρύσσων ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς.

40 Ἐγένετο δὲ ἐν τῷ ὑποστρέψαι τὸν Ἰησοῦν, ἀπεδέξατο αὐτὸν ὁ ὄχλος· ἦσαν γὰρ πάντες προσδοκῶντες αὐτόν.

41 Καὶ ἰδοὺ, ἦλθεν ἀνὴρ ᾧ ὄνομα Ἰάειρος, καὶ αὐτὸς ἄρχων τῆς συναγωγῆς ὑπῆρχε· καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, παρεκάλει αὐτὸν εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ·

42 Ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ ὡς ἐτῶν δώδεκα, καὶ αὕτη ἀπέθνησκεν. (Ἐν δὲ τῷ ὑπάγειν αὐτὸν οἱ ὄχλοι συνέπνιγον αὐτόν.

43 Καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις εἰς ἰατροὺς προσαναλώσα-

37 Καὶ το πλῆθος ὅλον τῆς περιχώρου τῶν Γαδαρηνῶν ἐπαρακάλεσαν τὸν Ἰησοῦν, νὰ εὔγῃ νὰ πάγῃ ἀπ' αὐτοὺς, ὅτι εἶχαν μεγάλον φόβον· καὶ αὐτὸς ἐμβῆκεν εἰς τὸ καράβι, καὶ ἐγύρισεν ὀπίσω.

38 Καὶ ὁ ἄνθρωπος ἐκεῖνος, ἀπὸ τὸν ὁποῖον εὐγῆκαν τὰ δαιμόνια, ἐπαρακάλει τὸν Ἰησοῦν, νὰ εἶναι μαζύ του· ἀμὴ ὁ Ἰησοῦς τὸν ἀπόλυσε, λέγωντας·

39 Γύρισε εἰς τὸ σπῆτί σου, καὶ διηγοῦ ὅσα σοῦ ἔκαμεν ὁ Θεός. Καὶ ἐπῆγεν εἰς ὅλην τὴν πόλιν καὶ ἐκήρυττεν ὅσα τοῦ ἔκαμεν ὁ Ἰησοῦς.

40 Καὶ ὅταν ἐγύρισεν ὁ Ἰησοῦς, τὸν ἐδέχθηκεν ὁ ὄχλος· διατὶ ὅλοι τὸν ἀνάμεναν.

41 Καὶ ἐκείνην τὴν ὥραν ἦλθεν ἕνας ἄνθρωπος τὸ ὄνομά του Ἰάειρος, καὶ αὐτὸς ἦτον ἄρχωντας τῆς συναγωγῆς· καὶ ἔπεσεν εἰς τὰ ποδάρια τοῦ Ἰησοῦ, καὶ τὸν ἐπαρακάλει νὰ πάγῃ εἰς τὸ σπῆτί του·

42 Ὅτι εἶχε μίαν θυγατέρα μονογενῆ, ἕως δώδεκα χρονῶν, καὶ ἐκείνη ἀπέθανε. (Καὶ ἐκεῖ ὁποῦ ἐπάγενεν ὁ Ἰησοῦς τὸ πλῆθος τοῦ λαοῦ τὸν ἐστενοχώρουσαν.

43 Καὶ μία γυναῖκα ἡ ὁποῖα εἶχε κίνησιν αἵματος δώδεκα χρόνους, καὶ ἐξοδίασιν

σα ὅλον τὸν βίον, οὐκ ἴσχυσεν
ὑπ' οὐδενὸς θεραπευθῆναι·

44 Προσελθοῦσα ὄπισθεν,
ἥψατο τοῦ κρασπέδυ τοῦ ἱμα-
τίυ αὐτοῦ· καὶ παραχρῆμα
ἔςη ἡ ῥύσις τῦ αἵματ@ αὐτῆς.
45 Καὶ εἶπεν ὁ Ἰησῦς· Τίς
ὁ ἁψάμενός μυ; Ἀρνυμένων δὲ
πάντων, εἶπεν ὁ Πέτρ@ καὶ
οἱ μετ' αὐτῦ· Ἐπιςάτα, οἱ
ὄχλοι συνέχυσί σε καὶ ἀπο-
θλίβυσι, καὶ λέγεις· Τίς ὁ
ἁψάμενός μυ;

46 Ὁ δὲ Ἰησῦς εἶπεν·
Ἥψατό μυ τις· ἐγὼ γὰρ
ἔγνων δύναμιν ἐξελθῦσαν ἀπ'
ἐμοῦ.
47 Ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι
οὐκ ἔλαθε, τρέμυσα ἦλθε, καὶ
προσπεσοῦσα αὐτῷ, δι' ἣν
αἰτίαν ἥψατο αὐτοῦ, ἀπήγ-
γειλεν αὐτῷ ἐνώπιον παντὸς
τοῦ λαῦ, καὶ ὡς ἰάθη παρα-
χρῆμα.
48 Ὁ δὲ εἶπεν αὐτῇ·
Θάρσει θύγατερ, ἡ πίςις
συ σέσωκέ σε· πορεύυ εἰς
εἰρήνην.)
49 Ἔτι αὐτοῦ λαλοῦντος,
ἔρχεταί τις παρὰ τοῦ ἀρχι-
συναγώγυ, λέγων αὐτῷ· Ὅτι
τέθνηκεν ἡ θυγάτηρ συ· μὴ
σκύλλε τὸν διδάσκαλον.

50 Ὁ δὲ Ἰησοῦς ἀκούσας
ἀπεκρίθη αὐτῷ, λέγων· Μὴ

ὅλον της τὸν βίον εἰς τὺς
ἰατρὺς, καὶ δὲν ἠμπόρεσεν
ἀπὸ κανένα νὰ ἰατρευθῇ·
44 Σημώνοντας ὀπίσω τυ,
ἐπίασε τὴν ἄκραν τοῦ φορέ-
ματός τυ· καὶ παρευθὺς ἐςά-
θη τὸ τρέξιμον τῦ αἵματός της.
45 Καὶ ὁ Ἰησῦς εἶπε· Ποῖος
εἶναι ἐκεῖν@ ὁπῦ μὲ ἐπίασε;
Καὶ ἐπειδὴ ὅλοι ἀρνῦνται, λέγει
ὁ Πέτρ@ καὶ ἐκεῖνοι ὁπῦ ἦταν
μὲ τὸν Πέτρον· Διδάσκαλε,
οἱ ὄχλοι σὲ σφίγγυν καὶ σὲ
ςενοχωρῦν, καὶ λέγεις· Ποῖ@
εἶναι ὁπῦ μὲ ἐπίασε;
46 Καὶ ὁ Ἰησῦς εἶπε·
Κάποι@ μὲ ἐπίασε· διατὶ
ἐγὼ ἐγροίκησα δύναμιν ὁπῦ
εὐγῆκεν ἀπὸ λόγυ μυ.
47 Καὶ ὡσὰν εἶδεν ἡ γυναῖ-
κα ὅτι δὲν τὸν ἔλαθεν, ἦλθε τρο-
μασμένη, καὶ ἔπεσεν εἰς τὰ πο-
δάρια τοῦ Ἰησῦ, καὶ διὰ ποῖαν
ἀφορμὴν τὸν ἐπίασε, τοῦ τὸ
εἶπεν ὀμπροςὰ εἰς ὅλον τὸν λαὸν,
καὶ πῶς ἰατρεύθη παρευθύς.
48 Καὶ ὁ Ἰησῦς τὴν εἶπεν·
Ὦ θύγατερ ἔχε θάῤῥ@, ἡ
πίςις συ σὲ ἐλευθέρωσε· σύρε
εἰς τὸ καλόν.)
49 Καὶ ὅταν ἀκόμι ὁ Ἰη-
σῦς ἔλεγε τὸν λόγον, ἔρχεται
ἕνας ἀπὸ τὸν ἀρχισυνάγωγον,
καὶ λέγει τυ· Ὅτι ἀπέθανεν
ἡ θυγατέρα συ· μὴν πειράζῃς
τὸν διδάσκαλον.
50 Καὶ ὁ Ἰησῦς ὡσὰν τὸ
ἤκυσεν, ἀπεκρίθη καὶ εἶπέν τυ·

φοβοῦ· μόνον πίστευε, καὶ σωθήσεται.

51 Εἰσελθὼν δὲ εἰς τὴν οἰκίαν, οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα, εἰ μὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν μητέρα.

52 Ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτήν. Ὁ δὲ εἶπε· Μὴ κλαίετε· οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει.

53 Καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανεν.

54 Αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας, καὶ κρατήσας τῆς χειρὸς αὐτῆς, ἐφώνησε, λέγων· Ἡ παῖς, ἐγείρου.

55 Καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆμα· καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν.

56 Καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς· ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός.

Μὴν φοβᾶσαι· μόνον πίστευε, καὶ θέλει γλυτώσει.

51 Καὶ ὡσὰν ἐμβῆκεν εἰς τὸ σπῆτι, δὲν ἄφηκε κανένα νὰ ἔμβῃ μέσα, παρὰ μόνον τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ τὸν πατέρα τῆς κορασίδας καὶ τὴν μητέρα.

52 Καὶ ἔκλαιον ὅλοι καὶ ἐλυποῦνταν. Καὶ ὁ Ἰησοῦς εἶπε· Μὴ κλαίετε· δὲν ἀπέθανεν, ἀλλὰ κοιμᾶται.

53 Καὶ τὸν ἐκαταγελοῦσαν, ἠξεύροντες πῶς ἀπέθανε.

54 Καὶ αὐτὸς εὐγάλωντάς τους ἔξω ὅλους, καὶ πιάνωντάς την ἀπὸ τὸ χέρι της, ἐφώναξεν· Ὦ κορασίδα, σήκω ἀπάνω.

55 Καὶ τὸ πνεῦμά της ἐγύρισεν εἰς αὐτὴν, καὶ παρευθὺς ἐστηκώθη· καὶ εἶπε νὰ τῆς δώσουν νὰ φάγῃ.

56 Καὶ οἱ γονεῖς της ἐτρόμαξαν· καὶ ὁ Ἰησοῦς τοὺς ἐπαράγγειλε νὰ μὴν εἰποῦσι κανενὸς ἐκεῖνο ὁποῦ ἔγινε.

Κεφ. Θ'. 9.

ΣΥγκαλεσάμενος δὲ τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν.

2 Καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας.

3 Καὶ εἶπε πρὸς αὐτούς·

ΚΑΙ ὁ Ἰησοῦς προσκαλῶντας τοὺς δώδεκα μαθητάδες του, τοὺς ἔδωκε δύναμιν καὶ ἐξουσίαν εἰς ὅλα τὰ δαιμόνια, καὶ νὰ ἰατρεύουν ἀσθένειαις.

2 Καὶ τοὺς ἔστειλε νὰ κηρύττουν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ νὰ ἰατρεύουν τοὺς ἀσθενημένους.

3 Καὶ λέγει τους· Μὴν σηκώ-

Μηδὲν αἴρετε εἰς τὴν ὁδὸν, μή-
τε ῥάβδους, μήτε πήραν, μήτε
ἄρτον, μήτε ἀργύριον· μήτε
ἀνὰ δύο χιτῶνας ἔχειν·
4 Καὶ εἰς ἣν ἂν οἰκίαν εἰσ-
έλθητε, ἐκεῖ μένετε, καὶ ἐκεῖθεν
ἐξέρχεσθε.
5 Καὶ ὅσοι ἂν μὴ δέξωνται
ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πό-
λεως ἐκείνης, καὶ τὸν κονιορτὸν
ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινά-
ξατε, εἰς μαρτύριον ἐπ' αὐτούς.
6 Ἐξερχόμενοι δὲ διήρχον-
το κατὰ τὰς κώμας, εὐαγγε-
λιζόμενοι καὶ θεραπεύοντες
πανταχοῦ.
7 Ἤκουσε δὲ Ἡρώδης ὁ τε-
τράρχης τὰ γινόμενα ὑπ' αὐ-
τοῦ πάντα· καὶ διηπόρει, διὰ
τὸ λέγεσθαι ὑπό τινων, ὅτι
Ἰωάννης ἐγήγερται ἐκ νεκρῶν·
8 Ὑπό τινων δὲ, ὅτι Ἠλίας
ἐφάνη· ἄλλων δὲ, ὅτι προφήτης
εἷς τῶν ἀρχαίων ἀνέστη.

9 Καὶ εἶπεν ὁ Ἡρώδης·
Ἰωάννην ἐγὼ ἀπεκεφάλισα·
τίς δέ ἐστιν οὗτος περὶ οὗ ἐγὼ
ἀκούω τοιαῦτα; Καὶ ἐζήτει
ἰδεῖν αὐτόν.
10 Καὶ ὑποστρέψαντες οἱ
ἀπόστολοι διηγήσαντο αὐτῷ
ὅσα ἐποίησαν· καὶ παραλα-
βὼν αὐτοὺς, ὑπεχώρησε κατ'
ἰδίαν εἰς τόπον ἔρημον πόλεως
καλουμένης Βηθσαϊδά.
11 Οἱ δὲ ὄχλοι γνόντες, ἠκο-

νετε τίποτες εἰς τὴν στράταν·
μηδὲ ῥαβδὶ, μηδὲ σακκοῦλι,
μηδὲ ψωμὶ, μηδὲ ἀσήμι· μηδὲ
νὰ ἔχετε ἀπὸ δύο φορέματα·
4 Καὶ εἰς ὅποιον σπῆτι ἐμ-
βῆτε, ἐκεῖ μένετε, καὶ ἀπ'
ἐκεῖ νὰ εὐγένετε ἔξω.
5 Καὶ ὅσοι δὲν σᾶς δεχθοῦσι,
εὐγένοντες ἀπὸ τὴν πόλιν ἐκεί-
νην, καὶ τὸν κονιορτὸν τινάξετε
ἀπὸ τὰ ποδάριά σας, νὰ εἶναι
διὰ μαρτυρίαν εἰς αὐτούς.
6 Καὶ ὅταν εὔγεναν ἐπερνοῦ-
σαν ἀπὸ μέσα ἀπὸ τὰ χώρια,
κηρύττοντες τὸ εὐαγγέλιον καὶ
ἰατρεύοντες εἰς κάθε τόπον.
7 Καὶ ὁ Ἡρώδης ὁ τετράρχης
ἤκουσεν ὅλα ἐκεῖνα ὁποῦ ἐγίνηκαν
ἀπ' αὐτὸν τὸν Ἰησοῦν· καὶ ἀπό-
ρει· διατὶ ἔλεγαν κάποιοι, ὅτι
ὁ Ἰωάννης ἀνέστη ἐκ νεκρῶν·
8 Καὶ κάποιοι, ὅτι ὁ Ἠλί-
ας ἐφάνη· καὶ ἄλλοι, ὅτι ἕνας
προφήτης ἀπὸ τοὺς παλαιοὺς
ἀνεστάθη.
9 Καὶ ὁ Ἡρώδης εἶπεν· Ἐγὼ
ἀπεκεφάλισα τὸν Ἰωάννην· καὶ
ποῖος εἶναι ἐτοῦτος, διὰ τὸν
ὁποῖον ἐγὼ ἀκούω τέτοια; Καὶ
ἐζήτα νὰ τὸν εἰδῇ.
10 Καὶ γυρίζοντες οἱ ἀπόστο-
λοι εἰς τὸν Ἰησοῦν τοῦ ἐδιηγήθη-
καν ὅσα ἔκαμαν· καὶ ἐκεῖνος τοὺς
ἐπῆρε, καὶ ἀνεχώρησεν ξεχωρι-
στὰ εἰς ἕνα ἔρημον τόπον τῆς πό-
λεως ὁποῦ ἐκαλεῖτον Βηθσαϊδά.
11 Καὶ οἱ ὄχλοι ὡσὰν τὸ

λούθησαν αὐτῷ· καὶ δεξάμενος αὐτοὺς, ἐλάλει αὐτοῖς περὶ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ τοὺς χρείαν ἔχοντας θεραπείας ἰᾶτο.

12 Ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν· προσελθόντες δὲ οἱ δώδεκα, εἶπον αὐτῷ· Ἀπόλυσον τὸν ὄχλον, ἵνα ἀπελθόντες εἰς τὰς κύκλῳ κώμας καὶ τοὺς ἀγροὺς, καταλύσωσι, καὶ εὕρωσιν ἐπισιτισμόν· ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ ἐσμέν.

13 Εἶπε δὲ πρὸς αὐτούς· Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. Οἱ δὲ εἶπον· Οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ πέντε ἄρτοι καὶ δύο ἰχθύες, εἰ μή τι πορευθέντες ἡμεῖς ἀγοράσωμεν εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα.

14 Ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλιοι· εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Κατακλίνατε αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα.

15 Καὶ ἐποίησαν οὕτω· καὶ ἀνέκλιναν ἅπαντας.

16 Λαβὼν δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησεν αὐτούς· καὶ κατέκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς, παρατιθέναι τῷ ὄχλῳ.

17 Καὶ ἔφαγον, καὶ ἐχορτάσθησαν πάντες· καὶ ἤρθη τὸ περισσεῦσαν αὐτοῖς κλασμάτων, κόφινοι δώδεκα.

ἐγνώρισαν, τὸν ἀκολούθησαν· καὶ ἔστωντας νὰ τοὺς δεχθῇ, τοὺς ἐλάλει διὰ τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἐκείνους ὁποῦ ἐχρειάζουνταν θεραπείαν τοὺς ἰάτρευε.

12 Καὶ ἡ ἡμέρα ἄρχισε νὰ βραδιάζῃ· καὶ ἐρχόμενοι οἱ δώδεκα, τοῦ εἶπαν· Ἀπόλυσε τὸν ὄχλον, διὰ νὰ ὑπᾶσι τρυγύρω εἰς τὰς χώρας καὶ εἰς τὰ χωράφια, νὰ κονέψουν, καὶ νὰ εὕρουν καὶ φαγητόν· ὅτι ἐδῶ εἴμεσθεν εἰς ἔρημον τόπον.

13 Λέγει τους· Δότε τους ἐσεῖς νὰ φᾶσιν. Καὶ ἐκεῖνοι εἶπαν· Ἐμεῖς δὲν ἔχομεν περισσότερον ἀπὸ πέντε ψωμία καὶ δύο ψάρια, ἔξω παρὰ νὰ ὑπᾶμε, νὰ ἀγοράσωμεν φαγητὰ διὰ ὅλον τὸν λαὸν ἐτοῦτον·

14 Διατὶ ἦσαν ἄνδρες ἕως πέντε χιλιάδες· καὶ εἶπεν εἰς τοὺς μαθητάδες του· Βάλλετέ τους εἰς τάξιν νὰ καθίσουν ἀπὸ πενῆντα.

15 Καὶ ἔτζι ἔκαμαν· καὶ τοὺς ἐκάθισαν ὅλους.

16 Καὶ ὁ Ἰησοῦς πέρνωντας τὰ πέντε ψωμία καὶ τὰ δύο ψάρια, ἀτένισεν εἰς τὸν οὐρανὸν, καὶ τὰ εὐλόγησε· καὶ τὰ ἐκατάκοψε, καὶ ἔδιδέν τα εἰς τοὺς μαθητάδες του, νὰ τὰ βάλλουσιν εἰς τὸν ὄχλον.

17 Καὶ ἔφαγαν, καὶ ἐχόρτασαν ὅλοι· καὶ ἐσήκωσαν τὰ κομμάτια ὁποῦ ἐπερίσσευσαν, δώδεκα κοφίνια.

18 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον καταμόνας, συνῆσαν αὐτῷ οἱ μαθηταί· καὶ ἐπηρώτησεν αὐτοὺς, λέγων· Τίνα με λέγουσιν οἱ ὄχλοι εἶναι;

19 Οἱ δὲ ἀποκριθέντες, εἶπον· Ἰωάννην τὸν βαπτιστήν· ἄλλοι δὲ Ἠλίαν· ἄλλοι δὲ, ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη.

20 Εἶπε δὲ αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπε· Τὸν Χριστὸν τοῦ Θεοῦ.

21 Ὁ δὲ ἐπιτιμήσας αὐτοῖς, παρήγγειλε μηδενὶ εἰπεῖν τοῦτο.

22 Εἰπών· Ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι.

23 Ἔλεγε δὲ πρὸς πάντας· Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καθ' ἡμέραν, καὶ ἀκολουθείτω μοι.

24 Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, οὗτος σώσει αὐτήν.

25 Τί γὰρ ὠφελεῖται

18 Καὶ ὅταν ἐπροσεύχετον κατὰ μόνας, ἦταν μαζὺ οἱ μαθητάδες του· καὶ τοὺς ἐρώτησε· Ποῖον μὲ λέγουσιν οἱ ὄχλοι νὰ εἶμαι;

19 Καὶ ἐκεῖνοι ἀπεκρίθηκαν, καὶ εἶπαν· Ἄλλοι λέγουν πῶς νὰ εἶσαι ὁ Ἰωάννης ὁ βαπτιστής· καὶ ἄλλοι, ὁ Ἠλίας· καὶ ἄλλοι, ὅτι κανένας προφήτης ἀπὸ τοὺς παλαιοὺς ἀνεστάθη.

20 Καὶ λέγει εἰς αὐτούς· Ἀμὴ ἐσεῖς ποῖον λέγετε νὰ εἶμαι; Καὶ ἀπεκρίθη ὁ Πέτρος, καὶ εἶπεν· Ὁ Χριστὸς τοῦ Θεοῦ.

21 Καὶ ὁ Ἰησοῦς τοὺς ἐφοβέρισε, καὶ τοὺς ἐπαρήγγειλε κανενὸς νὰ μὴν τὸ εἰποῦσιν ἐτοῦτο·

22 Λέγωντας· Ὅτι κάμνει χρεία ὁ υἱὸς τοῦ ἀνθρώπου νὰ πάθῃ πολλὰ, καὶ νὰ ἀποδοκιμασθῇ ἀπὸ τοὺς πρεσβυτέρους καὶ ἀρχιερεῖς καὶ γραμματεῖς, καὶ νὰ σκοτωθῇ, καὶ τῇ τρίτῃ ἡμέρᾳ νὰ ἀνασταθῇ.

23 Καὶ ἔλεγεν εἰς ὅλους· Ἐὰν κανένας θέλει νὰ ἔλθῃ καταπόδι μου, ἂς ἀρνηθῇ τοῦ λόγου του, καὶ ἂς σηκώσῃ τὸν σταυρόν του κάθε ἡμέραν, καὶ ἂς μὲ ἀκολουθᾷ.

24 Διατὶ ὅποιος θέλει νὰ φυλάξῃ τὴν ζωήν του, θέλει τὴν χάσει· καὶ ὅποιος χάσει τὴν ζωήν του διὰ λόγου μου, ἐτοῦτος θέλει τὴν κερδέσει.

25 Διατὶ τί διάφορον εἶναι

ἄνθρωπος κερδήσας τὸν κόσμον ὅλον, ἑαυτὸν δὲ ἀπολέσας, ἢ ζημιωθείς;

26 Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ πατρὸς, καὶ τῶν ἁγίων ἀγγέλων.

27 Λέγω δὲ ὑμῖν ἀληθῶς, εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἳ οὐ μὴ γεύσονται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ.

28 Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτὼ, καὶ παραλαβὼν τὸν Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον, ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι.

29 Καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων.

30 Καὶ ἰδοὺ, ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωσῆς καὶ Ἠλίας·

31 Οἳ ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ.

32 Ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ, καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ.

εἰς τὸν ἄνθρωπον, ἐὰν κερδίσῃ τὸν κόσμον ὅλον, καὶ τοῦ λόγου του νὰ χάσῃ, ἢ νὰ ζημιωθῇ;

26 Διατὶ ὅποιος ἐντραπῇ εἰς ἐμένα καὶ εἰς τοὺς λόγους μου, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου θέλει ἐντραπῇ δι' αὐτὸν, ὅταν ἔλθῃ εἰς τὴν δόξαν του καὶ εἰς τὴν δόξαν τοῦ πατρός του, μαζὺ μὲ τοὺς ἁγίους ἀγγέλους.

27 Καὶ λέγω σας ἀληθινὰ, εἶναι κάποιοι ἀπὸ ἐκείνους ὁποῦ στέκουνται ἐδῶ, οἱ ὁποῖοι δὲν θέλουσιν ἀποθάνει, ἕως ὁποῦ νὰ εἰδοῦσι τὴν βασιλείαν τοῦ Θεοῦ.

28 Καὶ ὕστερα ἀπὸ τοὺς λόγους τούτους, ἕως ὀκτὼ ἡμέραις, ἐπῆρε τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ ἀνέβη εἰς τὸ ὄρος νὰ προσευχηθῇ.

29 Καὶ ἐκεῖ ὁποῦ ἐπροσεύχετον, τὸ εἶδος τοῦ προσώπου του ἔγινεν ἄλλης λογῆς, καὶ τὰ φορέματά του λευκὰ καὶ ἔστραπταν.

30 Καὶ νὰ, καὶ δύο ἄνδρες τοῦ ἐσυντύχαιναν, οἱ ὁποῖοι ἦταν ὁ Μωϋσῆς καὶ ὁ Ἠλίας·

31 Ὁποῦ ἐφάνηκαν μὲ δόξαν, καὶ ἔλεγον τὸ εὔγαλμά του, τὸ ὁποῖον ἔμελλε νὰ πληρώσῃ μέσα εἰς τὴν Ἱερουσαλήμ.

32 Καὶ ὁ Πέτρος καὶ ἐκεῖνοι ὁποῦ ἦταν μαζύ του ἦταν βεβαρημένοι ἀπὸ τὸν ὕπνον· καὶ ὡσὰν ἐξύπνισαν εἶδαν τὴν δόξαν του, καὶ τοὺς δύο ἄνδρες ὁποῦ ἐστέκουνταν μαζύ του.

33 Καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ᾽ αὐτοῦ, εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν· Ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς τρεῖς, μίαν σοὶ, καὶ Μωσεῖ μίαν, καὶ μίαν Ἠλίᾳ· μὴ εἰδὼς ὃ λέγει.

34 Ταῦτα δὲ αὐτοῦ λέγοντος, ἐγένετο νεφέλη, καὶ ἐπεσκίασεν αὐτούς· ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν εἰς τὴν νεφέλην.

35 Καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε.

36 Καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν, εὑρέθη ὁ Ἰησοῦς μόνος· καὶ αὐτοὶ ἐσίγησαν, καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑωράκασιν.

37 Ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέρᾳ, κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, συνήντησεν αὐτῷ ὄχλος πολύς.

38 Καὶ ἰδοὺ, ἀνὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησε, λέγων· Διδάσκαλε, δέομαί σου, ἐπίβλεψον ἐπὶ τὸν υἱόν μου, ὅτι μονογενής ἐστί μοι.

39 Καὶ ἰδοὺ, πνεῦμα λαμβάνει αὐτὸν, καὶ ἐξαίφνης κράζει, καὶ σπαράσσει αὐτὸν μετὰ

33 Καὶ ἐκεῖ ὁποῦ ἐχώριζαν αὐτοὶ ἀπὸ τὸν Ἰησοῦν, εἶπεν ὁ Πέτρος εἰς τὸν Ἰησοῦν· Διδάσκαλε, καλὸν εἶναι νὰ εἴμεσθεν ἐμεῖς ἐδῶ· καὶ θέλομεν κάμει τρεῖς καλύβαις, ἐσένα μίαν, καὶ διὰ τὸν Μωϋσῆν μίαν, καὶ διὰ τὸν Ἠλίαν μίαν· μὴ ἰξεύρωντας τί λέγει.

34 Καὶ λέγωντας ἐτοῦτα τὰ λόγια ὁ Πέτρος, ἦλθεν ἕνα σύννεφον, καὶ τοὺς ἐσκέπασε· καὶ οἱ μαθητάδες ἐφοβήθηκαν ὅταν ἐμβῆκαν ἐκεῖνοι μέσα εἰς τὸ σύννεφον.

35 Καὶ φωνὴ ἀκούσθη ἀπὸ μέσα ἀπὸ τὸ σύννεφον, ὁποῦ ἔλεγεν· Ἐτοῦτος εἶναι ὁ υἱός μου ὁ ἀγαπημένος, αὐτοῦ ἀκούετε.

36 Καὶ ὅταν ἔγινεν ἡ φωνὴ, εὑρέθη ὁ Ἰησοῦς μοναχός· καὶ αὐτοὶ τὰ ἐσιώπησαν, καὶ δὲν εἶπαν κανενὸς τίποτες ἐκείναις ταῖς ἡμέραις ἀπὸ ἐκεῖνα ὁποῦ εἶδασι.

37 Καὶ τὴν ἄλλην ἡμέραν, ὡσὰν ἐκατέβηκαν ἀπὸ τὸ ὄρος, τὸν ἀπάντησε πολὺς ὄχλος.

38 Καὶ νὰ, ἕνας ἄνθρωπος ἀπὸ μέσα ἀπὸ τὸ πλῆθος ἐβόησε, καὶ εἶπε· Διδάσκαλε, παρακαλῶ σε, στοχάσου εἰς τὸν υἱόν μου, ὅτι μοῦ εἶναι μονογενής.

39 Καὶ πιάνει τον τὸ δαιμόνιον, καὶ παρευθὺς κράζει, καὶ τὸν σπαράσσει μὲ ἀφροὺς,

ἀφροῦ, καὶ μόγις ἀποχωρεῖ ἀπ' αὐτοῦ, συντρίβον αὐτόν.

40 Καὶ ἐδεήθην τῶν μαθητῶν σου ἵνα ἐκβάλλωσιν αὐτὸ, καὶ οὐκ ἠδυνήθησαν.

41 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι πρὸς ὑμᾶς, καὶ ἀνέξομαι ὑμῶν; προσάγαγε ὧδε τὸν υἱόν σου.

42 Ἔτι δὲ προσερχομένου αὐτοῦ, ἔῤῥηξεν αὐτὸν τὸ δαιμόνιον, καὶ συνεσπάραξεν· ἐπετίμησε δὲ ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ, καὶ ἰάσατο τὸν παῖδα· καὶ ἀπέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ.

43 Ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ μεγαλειότητι τοῦ Θεοῦ· πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς ἐποίησεν ὁ Ἰησοῦς, εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ·

44 Θέσθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους· ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων.

45 Οἱ δὲ ἠγνόουν τὸ ῥῆμα τοῦτο, καὶ ἦν παρακεκαλυμμένον ἀπ' αὐτῶν, ἵνα μὴ αἴσθωνται αὐτό· καὶ ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ τοῦ ῥήματος τούτου.

46 Εἰσῆλθε δὲ διαλογισμὸς ἐν αὐτοῖς, τὸ, τίς ἂν εἴη μείζων αὐτῶν.

47 Ὁ δὲ Ἰησοῦς ἰδὼν τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν,

καὶ μόλις τὸν ἀφίνει συντρίβοντάς τον.

40 Καὶ ἐπαρακάλεσα τοὺς μαθητάδες σου νὰ τὸ εὐγάλουν, καὶ δὲν ἠμπόρεσαν.

41 Καὶ ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν· Ὦ γενεὰ ἄπιστη καὶ διεστραμμένη, ἕως πότε θέλω εἶσθαι μετ' ἐσᾶς, ἕως πότε θέλω σᾶς ὑπομένει; φέρε τον ἐδῶ τὸν υἱόν σου.

42 Καὶ ἐρχόμενος ὁ υἱός του, τὸν ἐπίασε τὸ δαιμόνιον, καὶ ἔσχισέν τον καὶ τὸν ἐσπάραξε· καὶ ὁ Ἰησοῦς μὲ ὀργὴν ἐπρόσταξε τὸ πνεῦμα τὸ ἀκάθαρτον, καὶ ἰάτρευσε τὸ παιδίον· καὶ τὸ ἔδωκεν ὀπίσω τοῦ πατρός του.

43 Καὶ ὅλοι ἐξεπλήττουνται εἰς τὴν μεγαλειότητα τοῦ Θεοῦ· καὶ ἔστωντας ὁ λαὸς νὰ θαυμάζῃ εἰς ἐκεῖνα ὅπου ἔκαμεν ὁ Ἰησοῦς, εἶπεν εἰς τοὺς μαθητάδες του.

44 Τὰ λόγια ἐτοῦτα βάλλετέ τα μέσα εἰς τὰ αὐτιά σας· διατὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει νὰ παραδοθῇ εἰς τὰ χέρια τῶν ἀνθρώπων.

45 Καὶ ἐκεῖνοι δὲν ἐγνώριζαν τὸν λόγον ἐτοῦτον, καὶ ἦτον σκεπασμένος ἀπ' αὐτοὺς, διὰ νὰ μὴν τὸν γροικήσουν· καὶ ἐφοβοῦνταν νὰ τὸν ἐρωτήσουν διὰ τὸν λόγον ἐτοῦτον.

46 Καὶ ἐδιαλογίζουνται ἕνας μὲ τὸν ἄλλον, τὸ, τίς νὰ εἶναι μεγαλίτερος ἀπ' αὐτούς.

47 Καὶ ὁ Ἰησοῦς ἔστωντας νὰ εἰδῇ τοὺς διαλογισμοὺς τῆς καρ-

ἐπιλαβόμενος παιδίου, ἔστησεν αὐτὸ παρ' ἑαυτῷ·

48 Καὶ εἶπεν αὐτοῖς· Ὃς ἐὰν δέξεται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν ἐμὲ δέξηται, δέχεται τὸν ἀποστείλαντά με· ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτος ἔσται μέγας.

49 Ἀποκριθεὶς δὲ ὁ Ἰωάννης, εἶπεν· Ἐπιστάτα, εἴδομεν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα τὰ δαιμόνια· καὶ ἐκωλύσαμεν αὐτὸν, ὅτι οὐκ ἀκολουθεῖ μεθ' ἡμῶν.

50 Καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἰησοῦς· Μὴ κωλύετε· ὃς γὰρ οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν.

51 Ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ, καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ ἐστήριξε τοῦ πορεύεσθαι εἰς Ἱερουσαλήμ.

52 Καὶ ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου αὐτοῦ· καὶ πορευθέντες εἰσῆλθον εἰς κώμην Σαμαρειτῶν, ὥστε ἑτοιμάσαι αὐτῷ.

53 Καὶ οὐκ ἐδέξαντο αὐτὸν, ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς Ἱερουσαλήμ.

54 Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωάννης, εἶπον· Κύριε, θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ, καὶ

δίας αὐτῶν, ἐπίασεν ἕνα παιδὶ, καὶ ἔστησέν το κοντὰ του·

48 Καὶ εἶπέν τους· Ὅποιος δεχθῇ ἐτοῦτο τὸ παιδίον διὰ ὄνομά μου, ἐμένα δέχεται· καὶ ὅποιος δέχεται ἐμένα, δέχεται ἐκεῖνον ὁποῦ μὲ ἔστειλε· διατὶ ἐκεῖνος ὁποῦ εἶναι μικρότερος ἀνάμεσά σας, ἐκεῖνος θέλει εἶσθαι μεγαλίτερος.

49 Καὶ ἔσωντας νὰ ἀποκριθῇ ὁ Ἰωάννης, εἶπε· Διδάσκαλε, εἴδαμεν κάποιον ὁ ὁποῖος μὲ τὸ ὄνομά σου εὔγανε δαιμόνια· καὶ τὸν ἐμποδίσαμεν διατὶ δὲν ἀκολουθᾷ μετ' ἐμᾶς.

50 Καὶ λέγει του ὁ Ἰησοῦς· Μὴν τὸν ἐμποδίζετε· διατὶ ὅποιος δὲν εἶναι ἐναντίος μας, ἐκεῖνος εἶναι διὰ λόγου μας.

51 Καὶ ὅταν ἐτελείωσαν αἱ ἡμέραις τῆς ἀναλήψεώς του, καὶ αὐτὸς ἐγύρισε καὶ ἐστήριξε τὸ πρόσωπόν του νὰ πάγῃ εἰς τὴν Ἱερουσαλήμ.

52 Καὶ ἔστειλε μαντατοφόρους ὀμπροστὰ εἰς τὸ πρόσωπόν του· καὶ ἐπῆγαν καὶ ἐμβῆκαν εἰς μίαν χώραν τῶν Σαμαρειτῶν, διὰ νὰ τοῦ ἑτοιμάσουν τόπον.

53 Καὶ δὲν τὸν ἐδέχθηκαν, ὅτι τὸ πρόσωπόν του ἦτον νὰ πάγῃ εἰς τὴν Ἱερουσαλήμ.

54 Καὶ ὡσὰν εἶδαν οἱ μαθητάδες του, ὁ Ἰάκωβος καὶ ὁ Ἰωάννης, εἶπαν· Αὐθέντη, θέλεις νὰ εἰποῦμε νὰ κατέβῃ

ἀναλῶσαι αὐτοὺς, ὡς καὶ Ἠλίας ἐποίησε;

55 Στραφεὶς δὲ ἐπετίμησεν αὐτοῖς, καὶ εἶπεν· Οὐκ οἴδατε οἵου πνεύματός ἐστε ὑμεῖς·

56 Ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε ψυχὰς ἀνθρώπων ἀπολέσαι, ἀλλὰ σῶσαι. Καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην.

57 Ἐγένετο δὲ πορευομένων αὐτῶν, ἐν τῇ ὁδῷ εἶπέ τις πρὸς αὐτόν· Ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ, Κύριε.

58 Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.

59 Εἶπε δὲ πρὸς ἕτερον· Ἀκολούθει μοι· Ὁ δὲ εἶπε· Κύριε, ἐπίτρεψόν μοι ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου.

60 Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ ἀπελθὼν διάγγελλε τὴν βασιλείαν τοῦ Θεοῦ.

61 Εἶπε δὲ καὶ ἕτερος· Ἀκολουθήσω σοι, Κύριε· πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου.

62 Εἶπε δὲ πρός αὐτὸν ὁ Ἰησοῦς· Οὐδεὶς ἐπιβαλὼ τὴν

φωτία ἀπὸ τὸν οὐρανὸν, νὰ τοὺς χαλάσῃ, καθὼς ἔκαμε καὶ ὁ Ἠλίας;

55 Καὶ γυρίζωντας ὁ Ἰησοῦς τοὺς ὠνείδισε, καὶ εἶπε· Δὲν ἰξεύρετε τί λογῆς πνεύματος εἶσθε ἐσεῖς·

56 Διατὶ ὁ υἱὸς τοῦ ἀνθρώπου δὲν ἦλθε νὰ χαλάσῃ ψυχαῖς ἀνθρώπων, ἀλλὰ νὰ σώσῃ. Καὶ ἐπῆγαν εἰς ἄλλην χώραν.

57 Καὶ ἐκεῖ ὅπου ἐπάγεναν εἰς τὴν στράτα, τοῦ εἶπε κάποιος· Αὐθέντη, θέλω σε ἀκολουθήσει ὅπου καὶ ἂν πάγῃς.

58 Καὶ λέγει του ὁ Ἰησοῦς· Ἡ ἀλωποῦδες ἔχουσι φωλίαις, καὶ τὰ πουλία τοῦ οὐρανοῦ, κατοικίαις· ἀμὴ ὁ υἱὸς τοῦ ἀνθρώπου δὲν ἔχει ποῦ νὰ κλίνῃ τὸ κεφάλι του.

59 Καὶ λέγει εἰς ἄλλον· Ἀκολούθα με· Καὶ ἐκεῖνος εἶπεν· Αὐθέντη, συγχώρησέ μου πρῶτον νὰ πάγω νὰ θάψω τὸν πατέρα μου.

60 Καὶ ὁ Ἰησοῦς τοῦ εἶπεν· Ἄφησε τοὺς νεκροὺς νὰ θάψουν τοὺς ἐδικούς τους νεκρούς· ἀμὴ ἐσὺ σύρε καὶ διαλάλει τὴν βασιλείαν τοῦ Θεοῦ.

61 Καὶ ἄλλος εἶπεν· Αὐθέντη, θέλω σε ἀκολουθήσει· ἀμὴ πρῶτα νὰ μου συγχωρέσῃς νὰ ὑπάγω νὰ ἀποχαιρετήσω ἐκείνους ὅπου εἶναι εἰς τὸ σπῆτί μου.

62 Καὶ ὁ Ἰησοῦς τοῦ εἶπε· Μηδὲ κανένας ὅπου βάλλει τὸ

χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ βλέπων εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

χέρι του εἰς τὸ ἀλέτρι, καὶ βλέπει ὀπίσω, εἶναι ἄξιος διὰ τὴν βασιλείαν τοῦ Θεοῦ.

Κεφ. ί. 10.

ΜΕΤΑ' δὲ ταῦτα ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους ἑβδομήκοντα, καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ, εἰς πᾶσαν πόλιν καὶ τόπον οὗ ἔμελλεν αὐτὸς ἔρχεσθαι.

2 Ἔλεγεν οὖν πρὸς αὐτούς· Ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

3 Ὑπάγετε· ἰδοὺ, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων.

4 Μὴ βαστάζετε βαλάντιον, μὴ πήραν, μηδὲ ὑποδήματα· καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε.

5 Εἰς ἣν δ' ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε· Εἰρήνη τῷ οἴκῳ τούτῳ.

6 Καὶ ἐὰν μὲν ᾖ ἐκεῖ ὁ υἱὸς εἰρήνης, ἐπαναπαύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν· εἰ δὲ μήγε, ἐφ' ὑμᾶς ἀνακάμψει.

7 Ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε, ἐσθίοντες καὶ πίνοντες τὰ παρ' αὐτῶν· ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστι. Μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν.

ΚΑΙ' ὕστερον ἀπὸ τοῦτα ὁ Ἰησοῦς ἐκατάστησεν ἄλλους ἑβδομήκοντα μαθητάδες, καὶ τοὺς ἔστειλεν ἀπὸ δύο ὀμπροστὰ εἰς τὸ πρόσωπόν του, εἰς κάθε πόλιν καὶ τόπον, ὅπου ἔμελλεν αὐτὸς νὰ πάγῃ.

2 Καὶ τοὺς ἔλεγεν· Ὁ θερισμὸς εἶναι πολὺς, ἀμὴ οἱ ἐργάται εἶναι ὀλίγοι· παρακαλέσετε λοιπὸν τὸν Αὐθέντην τοῦ θερισμοῦ, διὰ νὰ εὐγάλλῃ ἐργάταις εἰς τὸ θέρος του.

3 Σύρτε, νὰ, ὅπου σᾶς πέμπω ὡσὰν ἀρνία εἰς τὴν μέσην τῶν λύκων.

4 Μὴν βαστᾶτε πουγγίον, μηδὲ σακκοῦλι, μηδὲ ὑποδήματα· καὶ κανένα εἰς τὴν στράτα νὰ μὴν τὸν χαιρετήσετε.

5 Καὶ εἰς ὅποιον σπῆτι ἐμβῆτε, πρῶτον νὰ λέγετε· Εἰρήνη εἰς τὸ σπῆτι τοῦτο.

6 Καὶ ἐὰν εἶναι ἐκεῖ υἱὸς τῆς εἰρήνης, θέλει ἀναπαυθῆ ἀπάνω εἰς αὐτὸν ἡ εἰρήνη σας· εἰ δὲ μὴ, θέλει γυρίσει εἰς ἐσᾶς.

7 Καὶ εἰς ἐκεῖνο τὸ σπῆτι μένετε, καὶ τρώγετε καὶ πίνετε ἀπὸ τὰ φαγητά τους· διατὶ ἄξιος εἶναι ὁ ἐργάτης τῆς πληρωμῆς του. Μὴν μετατοπίζετε ἀπὸ ἕνα σπῆτι εἰς ἄλλο.

8 Καὶ εἰς ἣν δ᾽ ἂν πόλιν εἰσέρχησθε, καὶ δέχωνται ὑμᾶς, ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν.

9 Καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς, καὶ λέγετε αὐτοῖς. Ἤγγικεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

10 Εἰς ἣν δ᾽ ἂν πόλιν εἰσέρχησθε, καὶ μὴ δέχωνται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς, εἴπατε·

11 Καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἐκ τῆς πόλεως ὑμῶν, ἀπομασσόμεθα ὑμῖν· πλὴν τοῦτο γινώσκετε, ὅτι ἤγγικεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

12 Λέγω δὲ ὑμῖν, ὅτι Σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον ἔσται, ἢ τῇ πόλει ἐκείνῃ.

13 Οὐαί σοι Χοραζὶν, οὐαί σοι Βηθσαϊδά· ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι μετενόησαν.

14 Πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει, ἢ ὑμῖν.

15 Καὶ σὺ Καπερναοὺμ ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ.

16 Ὁ ἀκούων ὑμῶν, ἐμοῦ

8 Καὶ εἰς ὅποιαν πόλιν ἐμβαίνετε, καὶ σᾶς δέχουνται, ἐκεῖνα ὁποῦ σᾶς βάνουσιν ὀμπροστὰ τρώγετε.

9 Καὶ ἰατρεύετε τοὺς ἀσθενημένους των· καὶ λέγετέ τους· Ἐσήμωσεν εἰς ἐσᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

10 Καὶ εἰς ὅποιαν πόλιν ἐμβαίνετε, καὶ δὲν σᾶς δέχουνται, εὐγένοντες εἰς τὰ πλατώματά της, λέγετε·

11 Καὶ τὸν κονιορτὸν ὁποῦ μᾶς ἐκόλλησεν ἀπὸ τὴν πόλιν σας, νὰ, ὁποῦ σᾶς τὸν τινάζωμεν· ὅμως τοῦτο ἰξεύρετε, ὅτι ἐσήμωσεν εἰς ἐσᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

12 Καὶ λέγω σας, ὅτι πλέον συμπάθιον θέλει εἶσθαι τὴν ἡμέραν ἐκείνην εἰς τὰ Σόδομα, παρὰ εἰς τὴν πόλιν ἐκείνην.

13 Ἀειλύμονον εἰς ἐσένα Χωραζὶν, ἀειλύμονον εἰς ἐσένα Βηθσαϊδά· διατὶ ἂν ἐγίνουνταν εἰς τὴν Τύρον καὶ εἰς τὴν Σιδῶνα αἱ δυνάμεις ὁποῦ ἐγίνηκαν εἰς ἐσᾶς, ἀπὸ πολὺν καιρὸν ἤθελαν μετανοήσῃ καθεζόμεναι μὲ σακκία καὶ μὲ στάκταις.

14 Ὅμως πλέον συμπάθιον θέλει εἶσθαι εἰς τὴν ἡμέραν τῆς κρίσεως εἰς τὴν Τύρον καὶ Σιδῶνα, παρὰ εἰς ἐσᾶς.

15 Καὶ σὺ Καπερναοὺμ ὁποῦ ὑψώθης ἕως τὸν οὐρανὸν, θέλεις καταβιβασθῇ ἕως τὸν ᾅδην.

16 Ἐκεῖνος ὁποῦ ἀκούει ἐσᾶς,

ἀκούει· καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με.

17 Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς, λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου.

18 Εἶπε δὲ αὐτοῖς· Ἐθεώρουν τὸν Σατανᾶν, ὡς ἀστραπὴν, ἐκ τοῦ οὐρανοῦ πεσόντα.

19 Ἰδοὺ, δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει.

20 Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ μᾶλλον, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς.

21 Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς, καὶ εἶπεν. Ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναὶ ὁ πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

22 Πάντα παρεδόθη μοι ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς γινώσκει τίς ἐστιν ὁ υἱὸς, εἰ μὴ ὁ πατήρ· καὶ τίς ἐστιν ὁ πατὴρ,

ἐμένα ἀκούει· καὶ ὅπου ἀθετεῖ ἐσᾶς, ἐμένα ἀθετεῖ· καὶ ἐκεῖνος ὅπου ἀθετεῖ ἐμένα, ἀθετεῖ ἐκεῖνον ὅπου μὲ ἔστειλε.

17 Καὶ ἐγύρισαν οἱ ἑβδομῆντα μετὰ χαρᾶς, λέγοντες· Αὐθέντη, καὶ τὰ δαιμόνια μᾶς ὑποτάσσονται διὰ ὄνομά σου.

18 Καὶ εἶπέν τους· ἔβλεπα τὸν Σατανᾶν, ὅπου ἔπεσεν ἀπὸ τὸν οὐρανὸν ὡσὰν ἀστραπήν.

19 Νὰ, ὅπου σᾶς δίδω τὴν ἐξουσίαν νὰ πατῆτε ἀπάνω εἰς τὰ φίδια καὶ εἰς τοὺς σκορπίους, καὶ εἰς ὅλην τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ κανένα πρᾶγμα δὲν θέλει σᾶς βλάψει.

20 Ὅμως εἰς τοῦτο μὴν χαίρεσθε, ὅτι σᾶς ὑποτάσσονται τὰ πνεύματα· ἀλλὰ χαίρεσθε, ὅτι τὰ ὀνόματά σας ἐγράφηκαν εἰς τὸν οὐρανόν.

21 Ἐκείνην τὴν ὥραν ἐχάρηκε κατὰ τὸ πνεῦμα ὁ Ἰησοῦς, καὶ εἶπεν· Εὐχαριστῶ σε, πάτερ, αὐθέντη τοῦ οὐρανοῦ καὶ τῆς γῆς· ὅτι ἐτοῦτα τὰ ἔκρυψες ἀπὸ τοὺς σοφοὺς καὶ γνωστικοὺς, καὶ τὰ ἐφανέρωσες εἰς μικρὰ παιδία· ναὶ βέβαια, ὦ πάτερ, ὅτι ἔτζι σοῦ ἄρεσε· καὶ γυρίζωντας εἰς τοὺς μαθητάδες εἶπεν·

22 Ὅλα μοῦ τὰ ἐπαράδωκεν ὁ πατήρ μου· καὶ κανένας δὲν γνωρίζει τίς εἶναι ὁ υἱὸς, παρὰ ὁ πατήρ· καὶ τίς εἶναι ὁ πατὴρ,

εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἐὰν βούλη-
ται ὁ υἱὸς ἀποκαλύψαι.
23 Καὶ στραφεὶς πρὸς τοὺς
μαθητὰς, κατ' ἰδίαν εἶπε·
Μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέ-
ποντες ἃ βλέπετε.
24 Λέγω γὰρ ὑμῖν, ὅτι
πολλοὶ προφῆται καὶ βασιλεῖς
ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέ-
πετε, καὶ οὐκ εἶδον· καὶ ἀκοῦ-
σαι ἃ ἀκούετε, καὶ οὐκ ἤκου-
σαν.
25 Καὶ ἰδοὺ, νομικός τις
ἀνέστη, ἐκπειράζων αὐτὸν, καὶ
λέγων· Διδάσκαλε, τί ποιήσας
ζωὴν αἰώνιον κληρονομήσω;
26 Ὁ δὲ εἶπε πρὸς αὐτόν·
Ἐν τῷ νόμῳ τί γέγραπται;
πῶς ἀναγινώσκεις;
27 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν·
Ἀγαπήσεις Κύριον τὸν Θεόν
σου ἐξ ὅλης τῆς καρδίας σου,
καὶ ἐξ ὅλης τῆς ψυχῆς σου,
καὶ ἐξ ὅλης τῆς ἰσχύος σου,
καὶ ἐξ ὅλης τῆς διανοίας
σου· καὶ τὸν πλησίον σου ὡς
σεαυτόν.
28 Εἶπε δὲ αὐτῷ· Ὀρθῶς
ἀπεκρίθης· τοῦτο ποίει, καὶ
ζήσῃ.
29 Ὁ δὲ, θέλων δικαιοῦν
ἑαυτὸν, εἶπε πρὸς τὸν Ἰησοῦν·
Καὶ τίς ἐστι μου πλησίον;
30 Ὑπολαβὼν δὲ ὁ Ἰησοῦς,

παρὰ ὁ υἱὸς, καὶ εἰς ὅποιον θέλει
ὁ υἱὸς νὰ τοῦ τὸ ἀποκαλύψῃ.
23 Τότε ἐγύρισεν εἰς τοὺς
μαθητάδες ξεχωριστὰ, καὶ τοὺς
εἶπε· Καλότυχα εἶναι τὰ μά-
τια ὁποῦ βλέπουσιν ἐκεῖνα ὁποῦ
βλέπετε ἐσεῖς.
24 Διατὶ σᾶς λέγω, ὅτι
πολλοὶ προφῆται καὶ βασιλεῖς
ἐπεθύμησαν νὰ εἰδοῦν ἐκεῖνα
ὁποῦ ἐσεῖς βλέπετε, καὶ δὲν τὰ
εἶδαν· καὶ νὰ ἀκούσουν ἐκεῖνα
ὁποῦ ἀκούετε, καὶ δὲν ἤκουσαν.
25 Καὶ παρευθὺς ἐσηκώθη
ἕνας νομοδιδάσκαλος, πειρά-
ζωντάς τον, καὶ λέγει· Διδάσκα-
λε, τί νὰ κάμω νὰ κληρονομή-
σω τὴν ζωὴν τὴν αἰώνιον;
26 Καὶ ὁ Ἰησοῦς τοῦ εἶπεν·
Εἰς τὸν νόμον τί ἐγράφηκε;
πῶς ἀναγινώσκεις;
27 Καὶ ἐκεῖνος ἀπεκρίθη,
καὶ εἶπεν· Νὰ ἀγαπήσῃς Κύ-
ριον τὸν Θεόν σου μὲ ὅλην τὴν
καρδίαν σου, καὶ μὲ ὅλην τὴν
ψυχήν σου, καὶ μὲ ὅλην τὴν
δύναμίν σου, καὶ μὲ ὅλην σου
τὴν διάνοιαν· καὶ τὸν γείτονά
σου ὡσὰν καὶ τοῦ λόγου σου.
28 Καὶ λέγει του ὁ Ἰησοῦς·
Καλὰ ἀπεκρίθης· ἐτοῦτο κάμε,
καὶ θέλεις ζήσει.
29 Καὶ ἐκεῖνος, θέλωντας
νὰ δικαιώσῃ τοῦ λόγου του, εἶ-
πεν εἰς τὸν Ἰησοῦν· Καὶ ποῖος
εἶναι ὁ γείτονάς μου;
30 Καὶ ὁ Ἰησοῦς διαδεξά-
μενος τὸν λόγον, εἶπεν· Ἕνας

εἶπεν· Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, καὶ λῃσταῖς περιέπεσεν· οἳ καὶ ἐκδύσαντες αὐτὸν, καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον, ἀφέντες ἡμιθανῆ τυγχάνοντα.

31 Κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ· καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλθεν.

32 Ὁμοίως δὲ καὶ λευΐτης, γενόμενος κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν, ἀντιπαρῆλθεν.

33 Σαμαρείτης δέ τις ὁδεύων, ἦλθε κατ᾽ αὐτὸν, καὶ ἰδὼν αὐτὸν, ἐσπλαγχνίσθη.

34 Καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον· ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ.

35 Καὶ ἐπὶ τὴν αὔριον ἐξελθὼν, ἐκβαλὼν δύο δηνάρια ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ· Ἐπιμελήθητι αὐτοῦ· καὶ ὅ, τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι.

36 Τίς οὖν τούτων τῶν τριῶν δοκεῖ σοι πλησίον γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς;

ἄνθρωπος ἐκατέβαινεν ἀπὸ τὴν Ἱερουσαλὴμ, εἰς τὴν Ἱεριχὼ, καὶ ἔπεσεν εἰς τὰ χέρια τῶν λῃστῶν· οἱ ὁποῖοι τὸν ἐξεγύμνωσαν καὶ τὸν ἔδειραν, καὶ τὸν ἄφησαν μισαποθαμμένον καὶ ἐδιάβηκαν.

31 Καὶ κατὰ τύχην ἕνας ἱερεὺς ἐκατέβαινεν εἰς τὴν στράταν ἐκείνην· καὶ βλέποντάς τον, ἐπέρασε ἀπαγνάντια.

32 Ὁμοίως καὶ κάποιος λευΐτης, περνῶντας ἀπὸ τὸν τόπον ἐκεῖνον, ἐπῆγε καὶ τὸν εἶδε, καὶ ἐπέρασε ἀπαγνάντια.

33 Ἀμὴ κάποιος Σαμαρείτης περιπατῶντας τὴν στράταν ἐκείνην, ἐπῆγεν εἰς αὐτὸν, καὶ ὡσὰν τὸν εἶδεν, τὸν ἐσπλαγχνίσθη.

34 Καὶ ἐπῆγε κοντὰ καὶ ἔδεσε ταῖς πληγαῖς του, χύνοντας ἀπάνω λάδι καὶ κρασί· καὶ τὸν ἔβαλλεν ἀπάνω εἰς τὸ κτῆνός του, καὶ τὸν ἐπῆγεν εἰς τὸ ξενοδοχεῖον, καὶ τὸν ἐπιμελήθηκε.

35 Καὶ ἐπὶ τὴν αὔριον ὅταν εὐγῆκε νὰ πηγένῃ, εὔγαλε δύο δηνάρια καὶ ἔδωκεν εἰς τὸν ξενοδόχον, καὶ εἶπέν του· Ἐπιμελήσου ἐτοῦτον τὸν ἄνθρωπον· καὶ εἴ τι ἐξοδιάσῃς παραπάνω, ἐγὼ ὡσὰν γυρίσω θέλω σοῦ τὰ δώσει.

36 Ποῖος λοιπὸν ἀπὸ ἐτούτους τοὺς τρεῖς σοῦ φαίνεται νὰ ἔγινε γείτονας εἰς ἐκεῖνον ὁποῦ ἔπεσεν εἰς τὰ χέρια τῶν λῃστῶν;

37 Ὁ δὲ εἶπεν· Ὁ ποιήσας τὸ ἔλεος μετ᾽ αὐτοῦ. Εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς· Πορεύου, καὶ σὺ ποίει ὁμοίως.

38 Ἐγένετο δὲ ἐν τῷ πορεύεσθαι αὐτοὺς, καὶ αὐτὸς εἰσῆλθεν εἰς κώμην τινά· γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς.

39 Καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τὸν λόγον αὐτοῦ·

40 Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν· ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναντιλάβηται.

41 Ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά.

42 Ἑνὸς δέ ἐστι χρεία. Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις, οὐκ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῆς.

37 Ὁ νομικὸς εἶπεν· Ἐκεῖνος ὁποῦ τοῦ ἔκαμε τὴν ἐλεημοσύνην. Καὶ ὁ Ἰησοῦς εἶπεν· Σύρε λοιπὸν, καὶ ἐσὺ κάμε ὁμοίως.

38 Καὶ ὅταν ἐπήγεναν εἰς τὴν στράταν, ὁ Ἰησοῦς ἐμβῆκεν εἰς μίαν χώραν· καὶ κάποια γυναῖκα τὸ ὄνομά της Μάρθα τὸν ἐδέχθηκεν εἰς τὸ σπῆτί της.

39 Καὶ ἐτούτη εἶχεν ἀδελφὴν ὁποῦ τὴν ἔλεγαν Μαρίαν, ἡ ὁποῖα ἐπῆγε καὶ ἐκάθισε κοντὰ εἰς τὰ ποδάρια τοῦ Ἰησοῦ, καὶ ἄκουε τὰ λόγιά του·

40 Ἀμὴ ἡ Μάρθα ἐνοχλοῦνταν ἀπὸ ταῖς πολλαῖς ὑπηρεσίαις· καὶ πάγει καὶ λέγει του· Αὐθέντη, δὲν σε μέλει τίποτες ὁποῦ μὲ ἄφησεν ἡ ἀδελφή μου μοναχὴν νὰ ὑπηρετῶ; εἰπές της λοιπὸν νὰ μοῦ βοηθήσῃ.

41 Καὶ ὁ Ἰησοῦς ἀπεκρίθη, καὶ εἶπέν της· Μάρθα, Μάρθα, μεριμνᾷς καὶ συγχύζεσαι διὰ πολλά.

42 Ἀλλὰ ἕνα κάμνει χρεία· ἀμὴ ἡ Μαρία ἐδιάλεξε τὸ καλὸν μερτικὸν, τὸ ὁποῖον δὲν θέλει παρθῇ ἀπ᾽ αὐτήν.

Κεφ. ιά. 11.

ΚΑῚ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύσατο, εἶπέ τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν· Κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς καὶ Ἰω-

ΚΑῚ μίαν φορὰν ὅταν ἦτον εἰς κάποιον τόπον καὶ ἐπροσεύχετον, ὡσὰν ἔπαυσε, λέγει του ἕνας ἀπὸ τοὺς μαθητάδες του· Αὐθέντη, δίδαξέ μας νὰ προσευχόμεσθε, καθὼς καὶ ὁ

άννης ἐδίδαξε τȣ̀ς μαθητὰς αὐτȣ̃.

2 Εἶπε δὲ αὐτοῖς· Ὅταν προσεύχησθε, λέγετε· ΠΑ'ΤΕΡ ἡμῶν ὁ ἐν τοῖς ȣ̓ρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σȣ· ἐλθέτω ἡ βασιλεία σȣ· γενηθήτω τὸ θέλημά σȣ, ὡς ἐν ȣ̓ρανῷ, καὶ ἐπὶ τῆς γῆς.

3 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιȣ́σιον δίδȣ ἡμῖν τὸ καθ᾽ ἡμέραν·

4 Καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίαις ἡμῶν· καὶ γὰρ αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν· καὶ μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηρȣ̃.

5 Καὶ εἶπε πρὸς αὐτȣ́ς· Τίς ἐξ ὑμῶν ἕξει φίλον, καὶ πορεύσεται πρὸς αὐτὸν μεσονυκτίȣ, καὶ εἴπῃ αὐτῷ· Φίλε, χρῆσόν μοι τρεῖς ἄρτȣς·

6 Ἐπειδὴ φίλος μȣ παρεγένετο ἐξ ὁδȣ̃ πρός με, καὶ οὐκ ἔχω ὃ παραθήσω αὐτῷ·

7 Κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ· Μή μοι κόπȣς πάρεχε· ἤδη ἡ θύρα κέκλεισαι, καὶ τὰ παιδία μȣ μετ᾽ ἐμȣ̃ εἰς τὴν κοίτην εἰσίν· ȣ̓ δύναμαι ἀναστὰς δȣ̃ναί σοι.

8 Λέγω ὑμῖν, εἰ καὶ ȣ̓ δώσει αὐτῷ ἀναστὰς, διὰ τὸ εἶναι αὐτȣ̃ φίλον· διά γε τὴν ἀναίδειαν αὐτȣ̃ ἐγερθεὶς δώσει αὐτῷ ὅσων χρῄζει.

Ἰωάννης ἐδίδαξε τȣ̀ς μαθητάδες τȣ.

2 Καὶ λέγει τȣς· ὅταν προσεύχεσθε, λέγετε· Ὦ ΠΑΤΕ'ΡΑ μας ὁπȣ̃ εἶσαι εἰς τȣ̀ς ȣ̓ρανȣ̀ς, ἃς ἁγιασθῇ τὸ ὄνομά σȣ· ἃς ἔλθῃ ἡ βασιλεία σȣ, ἃς γένῃ τὸ θέλημά σȣ, καθὼς εἰς τὸν ȣ̓ρανὸν, ἔτζι καὶ εἰς τὴν γῆν.

3 Τὸ ψωμί μας τὸ καθημερινὸν δός μας το σήμερον·

4 Καὶ συγχώρεσέ μας ταῖς ἁμαρτίαις μας· διατὶ καὶ ἐμεῖς συγχωρȣ̃μεν καθε ἕνα ὁπȣ̃ μᾶς χρεωστεῖ· καὶ μὴν μᾶς βάλῃς εἰς πειρασμὸν, ἀλλὰ ἐλευθέρωσέ μας ἀπὸ τὸν πονηρόν.

5 Καὶ εἶπέν τȣς· Ποῖος ἀπὸ σᾶς νὰ ἤθελεν ἔχῃ φίλον, καὶ νὰ ἤθελε ὑπάγῃ εἰς αὐτὸν τὴν ὥραν τοῦ μεσονυκτίȣ, νὰ τοῦ εἰπῇ· Ὦ φίλε, δάνεισέ μȣ τρία ψωμία·

6 Ἐπειδὴ φίλος μȣ̃ ἦλθεν ἀπὸ στράτα, καὶ δὲν ἔχω τί νὰ τοῦ βάλλω ὀμπροστὰ τȣ·

7 Καὶ ἐκεῖνος νὰ ἤθελεν ἀποκριθῇ ἀπὸ μέσα νὰ εἰπῇ· Μή με πειράζῃς, ὅτι τώρα ἡ θύρα μȣ ἐσφάλισε, καὶ τὰ παιδία μȣ κοιμȣ̃νται μαζύ μȣ· καὶ δὲν ἠμπορῶ νὰ σηκωθῶ νὰ σȣ̃ δώσω.

8 Λέγω σας, ἀγκαλὰ καὶ δὲν θέλει σηκωθῇ νὰ τοῦ δώσῃ διὰ τὴν φιλίαν· ὅμως διὰ τὴν ἀδιαντροπίαν τȣ θέλει σηκωθῇ νὰ τοῦ δώσῃ ὅσον χρειάζεται.

9 Κἀγὼ ὑμῖν λέγω· Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν.

10 Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει· καὶ ὁ ζητῶν εὑρίσκει· καὶ τῷ κρούοντι ἀνοιγήσεται·

11 Τίνα δὲ ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; εἰ καὶ ἰχθῦν, μὴ ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ;

12 Ἢ καὶ ἐὰν αἰτήσῃ ᾠὸν, μὴ ἐπιδώσει αὐτῷ σκορπίον;

13 Εἰ οὖν ὑμεῖς πονηροὶ ὑπάρχοντες, οἴδατε ἀγαθὰ δόματα διδόναι τοῖς τέκνοις ὑμῶν· πόσῳ μᾶλλον ὁ πατὴρ ὁ ἐξ οὐρανοῦ, δώσει Πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν.

14 Καὶ ἦν ἐκβάλλων δαιμόνιον, καὶ αὐτὸ ἦν κωφόν· ἐγένετο δὲ τοῦ δαιμονίου ἐξελθόντος, ἐλάλησεν ὁ κωφός· καὶ ἐθαύμασαν οἱ ὄχλοι.

15 Τινὲς δὲ ἐξ αὐτῶν εἶπον· Ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.

16 Ἕτεροι δὲ πειράζοντες, σημεῖον παρ' αὐτοῦ ἐζήτουν ἐξ οὐρανοῦ.

17 Αὐτὸς δὲ εἰδὼς αὐτῶν τὰ διανοήματα, εἶπεν αὐτοῖς·

9 Καὶ ἐγὼ σᾶς λέγω· Ζητᾶτε, καὶ θέλει σᾶς δοθῆ· γυρεύετε, καὶ θέλετε εὕρει· κρούετε, καὶ θέλει σᾶς ἀνοιχθῆ.

10 Διατὶ ὅποιος ζητᾷ, πέρνει· καὶ ὅποιος γυρεύει, εὑρίσκει· καὶ ὅποιος κρούει, θέλει τοῦ ἀνοιχθῆ.

11 Καὶ ἀποτ' ἐσᾶς ποῖος νὰ ἦτον πατέρας, καὶ νὰ τοῦ ζητήσῃ ὁ υἱός του ψωμὶ, μῆνα ἤθελε τοῦ δώσει πέτραν; καὶ ἐὰν (ἤθελε τοῦ ζητήσῃ) ψάρι, μῆνα ἀντὶ ψάρι ἤθελε τοῦ δώσει φίδι;

12 Ἢ καὶ ἂν ἤθελε ζητήσῃ αὐγὸν, μῆνα ἤθελε τοῦ δώσει σκορπίον;

13 Ἂν τὸ λοιπὸν ἐσεῖς ὁποῦ εἶσθε πονηροὶ, ἠξεύρετε νὰ δίδετε καλὰ δοσίματα εἰς τὰ παιδία σας, πόσῳ μᾶλλον ὁ πατὴρ ὁ οὐράνιος θέλει δώσει Πνεῦμα ἅγιον εἰς ἐκείνους ὁποῦ τοῦ ζητοῦσι;

14 Καὶ τότε εἶχεν εὐγάλει ἕνα δαιμόνιον, τὸ ὁποῖον ἦτον βουβόν· καὶ ὅταν εὐγῆκε τὸ δαιμόνιον, ἐλάλησεν ὁ βουβός· καὶ οἱ ὄχλοι ἐθαύμασαν.

15 Καὶ κάποιοι ἀπ' αὐτοὺς εἶπαν· Μὲ τὸν Βεελζεβοὺλ τὸν ἄρχοντα τῶν δαιμονίων εὐγάνει τὰ δαιμόνια.

16 Καὶ ἄλλοι τὸν ἐπείραζαν, καὶ ἐζητοῦσαν ἀπ' αὐτὸν σημάδι ἀπὸ τὸν οὐρανόν.

17 Καὶ αὐτὸς γνωρίζοντας τοὺς διαλογισμούς τους, τοὺς εἶπεν·

Πᾶσα βασιλεία ἐφ' ἑαυτὴν διαμερισθεῖσα ἐρημοῦται, καὶ οἶκος ἐπὶ οἶκον πίπτει.

18 Εἰ δὲ καὶ ὁ Σατανᾶς ἐφ' ἑαυτὸν διεμερίσθη, πῶς σταθήσεται ἡ βασιλεία αὐτοῦ; ὅτι λέγετε, ἐν Βεελζεβοὺλ ἐκβάλλειν με τὰ δαιμόνια.

19 Εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο κριταὶ ὑμῶν αὐτοὶ ἔσονται.

20 Εἰ δὲ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

21 Ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν ἑαυτοῦ αὐλὴν, ἐν εἰρήνῃ ἐστὶ τὰ ὑπάρχοντα αὐτοῦ.

22 Ἐπὰν δὲ ὁ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν νικήσῃ αὐτὸν, τὴν πανοπλίαν αὐτοῦ αἴρει ἐφ' ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ διαδίδωσιν.

23 Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει.

24 Ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν· καὶ μὴ εὑρίσκον, λέγει· Ὑποστρέψω εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον.

Κάθε βασιλεία ὁποῦ νὰ διαμοιρασθῇ εἰς τοῦ λόγου της ἐρημώνεται, καὶ τὸ σπῆτι (ἂν μοιρασθῇ) εἰς τοῦ λόγου του πέφτει.

18 Καὶ ἂν ὁ Σατανᾶς διεμοιράσθη εἰς τοῦ λόγου του, πῶς θέλει σταθῇ ἡ βασιλεία του; διατὶ λέγετε, ὅτι μὲ τὸν Βεελζεβοὺλ εὐγάλω τὰ δαιμόνια.

19 Καὶ ἂν ἐγὼ εὐγάνω τὰ δαιμόνια μὲ τὸν Βεελζεβοὺλ, οἱ υἱοί σας μέ τι τὰ εὐγάνουσι; διὰ τοῦτο αὐτοὶ θέλουν γένει κριτάδες σας.

20 Ἀμὴ ἂν ἐγὼ εὐγάνω τὰ δαιμόνια μὲ τὸ δάκτυλον τοῦ Θεοῦ, ἔφθασε λοιπὸν εἰς ἐσᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

21 Ὅταν ὁ δυνατὸς ἁρματωμένος φυλάγει τὴν αὐλήν του, εἶναι εἰρήνη εἰς τὰ ὑπάρχοντά του.

22 Ἀμὴ ὁπόταν ἔλθῃ ὁ δυνατώτερός του καὶ τὸν νικήσῃ, πέρνει τὴν ἁρματωσιάν του, εἰς τὴν ὁποίαν ἤλπιζε, καὶ διαμοιράζει τὰ κουρσεύματά του.

23 Ἐκεῖνος ὁποῦ δὲν εἶναι μετ' ἐμένα, εἶναι ἐναντίος μου· καὶ ἐκεῖνος ὁποῦ δὲν μαζώνει μαζὺ μετ' ἐμένα, σκορπίζει.

24 Ὅταν τὸ ἀκάθαρτον πνεῦμα εὔγῃ ἔξω ἀπὸ τὸν ἄνθρωπον, περνᾷ ἀπὸ μέσα ἀπὸ ἀνύδρους τόπους, καὶ γυρεύει ἀνάπαυσιν· καὶ ὡσὰν δὲν εὕρει, λέγει· Ἃς γυρίσω εἰς τὸ σπῆτί μου, ἀπ' ἐκεῖ ὁποῦ εὔγηκα.

25 Καὶ ἐλθὸν εὑρίσκει σεσαρωμένον καὶ κεκοσμημένον.

26 Τότε πορεύεται καὶ παραλαμβάνει ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων.

27 Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου, εἶπεν αὐτῷ· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας.

28 Αὐτὸς δὲ εἶπε· Μενοῦνγε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσσοντες αὐτόν.

29 Τῶν δὲ ὄχλων ἐπαθροιζομένων ἤρξατο λέγειν· Ἡ γενεὰ αὕτη πονηρά ἐστι· σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου.

30 Καθὼς γὰρ ἐγένετο Ἰωνᾶς σημεῖον τοῖς Νινευΐταις, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου τῇ γενεᾷ ταύτῃ.

31 Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτούς· ὅτι ἦλθον ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος· καὶ ἰδοὺ, πλεῖον Σολομῶντος ὧδε.

32 Ἄνδρες Νινευῒ ἀναστήσον-

25 Καὶ ὡσὰν ἔλθῃ καὶ τὸ εὕρει σαρωμένον καὶ στολισμένον.

26 Τότε πάγει καὶ πέρνει ἄλλα ἑπτὰ πνεύματα πονηρότερα ἀπὸ λόγου του, καὶ ἔρχονται καὶ ἐμβαίνουν καὶ κατοικοῦν ἐκεῖ· καὶ γίνεται τὰ ὕστερα τοῦ ἀνθρώπου ἐκείνου χειρότερα ἀπὸ τὰ πρῶτα.

27 Καὶ ὅταν ἔλεγεν ὁ Ἰησοῦς ἐτοῦτα, μία γυναῖκα ἀπὸ τὸ πλῆθος ἐσήκωσε φωνὴν, καὶ εἶπέν του· Καλότυχη ἡ κοιλία ὅπου σὲ ἐβάσταξε, καὶ τὰ βυζία ὅπου ἐβύζασες.

28 Καὶ αὐτὸς εἶπεν· Μᾶλλον περισσότερον καλότυχοι εἶναι ἐκεῖνοι ὅπου ἀκούουν τὸν λόγον τοῦ Θεοῦ, καὶ τὸν φυλάττουν.

29 Καὶ συμμαζωνώμενον τὸ πλῆθος ἄρχισε νὰ τοὺς λέγῃ· Ἡ γενεὰ ἐτούτη εἶναι πονηρή· καὶ γυρεύει σημάδι, καὶ σημάδι δὲν θέλει τῆς δοθῆ, παρὰ μοναχὰ τὸ σημάδι τοῦ Ἰωνᾶ τοῦ προφήτου.

30 Διατὶ καθὼς ἔγινεν ὁ Ἰωνᾶς σημάδι εἰς τοὺς Νινευΐτας, ἔτζι θέλει εἶσθαι καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὴν γενεὰν ἐτούτην.

31 Βασίλισσα τοῦ νότου θέλει σηκωθῆ εἰς τὴν κρίσιν μὲ τοὺς ἀνθρώπους τῆς γενεᾶς ἐτούτης, καὶ θέλει τοὺς κατακρίνει· ὅτι ἦλθεν ἀπὸ ταῖς ἄκραις τῆς γῆς νὰ ἀκούσῃ τὴν σοφίαν τοῦ Σολομῶντος· καὶ νὰ, ἐδῶ περισσότερον ἀπὸ τὸν Σολομῶντα.

32 Οἱ ἄνδρες τῆς Νινευῒ θέλου-

ται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν· ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ, πλεῖον Ἰωνᾶ ὧδε.

33 Οὐδεὶς δὲ λύχνον ἅψας, εἰς κρυπτὴν τίθησιν, οὐδὲ ὑπὸ τὸν μόδιον, ἀλλὰ ἐπὶ τὴν λυχνίαν, ἵνα οἱ εἰσπορευόμενοι τὸ φέγγος βλέπωσιν.

34 Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· ὅταν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, καὶ ὅλον τὸ σῶμά σου φωτεινόν ἐστιν· ἐπὰν δὲ πονηρὸς ᾖ, καὶ τὸ σῶμά σου σκοτεινόν.

35 Σκόπει οὖν μὴ τὸ φῶς τὸ ἐν σοὶ, σκότος ἐστίν.

36 Εἰ οὖν τὸ σῶμά σου ὅλον φωτεινὸν, μὴ ἔχον τὶ μέρος σκοτεινὸν, ἔσται φωτεινὸν ὅλον, ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε.

37 Ἐν δὲ τῷ λαλῆσαι, ἠρώτα αὐτὸν φαρισαῖός τις ὅπως ἀριστήσῃ παρ' αὐτῷ· εἰσελθὼν δὲ ἀνέπεσεν.

38 Ὁ δὲ φαρισαῖος ἰδὼν ἐθαύμασεν ὅτι οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου.

σιν ἀναστηθῇ εἰς τὴν κρίσιν μὲ τὴν γενεὰν ἐτούτην, καὶ θέλουν τὴν κατακρίνει· ὅτι ἐκεῖνοι ἐμετανόησαν εἰς τὸ κήρυγμα τοῦ Ἰωνᾶ· καὶ νὰ, ἐδῶ περισσότερον ἀπὸ τὸν Ἰωνᾶ.

33 Καὶ κανένας δὲν ἀνάπτει λύχνον, καὶ τὸν βάνει εἰς κρυφὸν τόπον, οὐδὲ τὸν βάνει ἀπὸ κάτω εἰς τὸ μόδι, καὶ τὸν σκεπάζει, ἀλλὰ τὸν βάνει εἰς τὸν λυχνοστάτην, διὰ νὰ βλέπουν τὸ φῶς ἐκεῖνοι ὁποῦ ἐμβαίνουν μέσα.

34 Ὁ λύχνος τοῦ κορμίου εἶναι τὸ μάτι· ὅταν εἶναι τὸ μάτι σου καθαρὸν, καὶ ὅλον τὸ κορμί σου εἶναι φωτεινόν· ἀμὴ ὅταν εἶναι διεφθαρμένον, καὶ τὸ κορμί σου εἶναι σκοτεινόν.

35 Στοχάσου λοιπὸν, μήπως τὸ φῶς ὁποῦ εἶναι εἰς ἐσένα, εἶναι σκότος.

36 Ἐὰν λοιπὸν ὅλον σου τὸ κορμὶ εἶναι φωτεινὸν, καὶ δὲν ἔχει κανένα μέρος σκοτεινὸν, θέλει εἶσθαι ὅλον φωτεινὸν ὡσὰν ὅταν ὁ λύχνος σοῦ φέγγῃ μὲ τὴν λάμψιν του.

37 Καὶ ὡσὰν ἐλάλησε τὸν λόγον, ἕνας φαρισαῖος τὸν ἐπαρακάλει νὰ πάγῃ νὰ φάγῃ μετ' αὐτόν· καὶ πηγένωντας ἐκάθισε.

38 Καὶ ὁ φαρισαῖος ὡσὰν τὸν εἶδεν ὅτι δὲν ἐνίφθη πρῶτον πρὸ τοῦ νὰ φάγῃ, ἐθαύμασε.

39 Εἶπε δὲ ὁ Κύριος πρὸς αὐτόν· Νῦν ὑμεῖς οἱ Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε· τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας.

40 Ἄφρονες, οὐχ ὁ ποιήσας τὸ ἔξωθεν, καὶ τὸ ἔσωθεν ἐποίησε;

41 Πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην· καὶ ἰδοὺ, πάντα καθαρὰ ὑμῖν ἐστιν.

42 Ἀλλ' οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ πήγανον καὶ πᾶν λάχανον, καὶ παρέρχεσθε τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ· ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι.

43 Οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς.

44 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα, καὶ οἱ ἄνθρωποι οἱ περιπατοῦντες ἐπάνω οὐκ οἴδασιν.

45 Ἀποκριθεὶς δέ τις τῶν νομικῶν λέγει αὐτῷ· Διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις.

46 Ὁ δὲ εἶπε· Καὶ ὑμῖν τοῖς

39 Καὶ ὁ Κύριος εἶπεν εἰς αὐτόν· Ἐσεῖς οἱ Φαρισαῖοι τὸ ἔξω τοῦ ποτηρίου καὶ τοῦ πινακίου παστρεύετε· ἀμὴ τὸ μέσα σας εἶναι γεμάτον ἀπὸ ἁρπαγαῖς καὶ πονηρίαις.

40 Ὦ ἄγνωστοι, ἐκεῖνος ὁποῦ ἔκαμε τὸ ἔξω, δὲν ἔκαμε καὶ τὸ μέσα;

41 Μὲ ὅλον τοῦτο ἐκεῖνα ὁποῦ ἔχετε δότε τα ἐλεημοσύνην, καὶ ὅλα σας θέλει εἶσθαι καθαρά.

42 Ἀλλὰ ἀειλύμονον εἰς ἐσᾶς τοὺς Φαρισαίους, ὅτι ἀποδεκατίζετε τὸ ἡδύοσμον καὶ τὸ πήγανον καὶ κάθε λάχανον, καὶ ἀφίνετε τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ· ἐτοῦτα ἔπρεπε νὰ κάμετε, καὶ ἐκεῖνα νὰ μὴν ἀφίνετε.

43 Ἀειλύμονον εἰς ἐσᾶς τοὺς Φαρισαίους, ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν εἰς τὰ συναγώγια, καὶ τοὺς ἀσπασμοὺς εἰς τοὺς φόρους.

44 Ἀειλύμονον εἰς ἐσᾶς γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι εἶσθε ὡσὰν τὰ μνημόρια ὁποῦ δὲν φαίνονται, καὶ οἱ ἄνθρωποι περιπατοῦσι ἀπάνω καὶ δὲν ἰξεύρουσιν.

45 Ἀπεκρίθη ἕνας ἀπὸ τοὺς νομικοὺς, καὶ λέγει του· Διδάσκαλε, ἐσὺ λέγωντας ἐτοῦτα καὶ ἐμᾶς ὑβρίζεις.

46 Καὶ ὁ Ἰησοῦς εἶπεν· ἀει-

νομικοῖς οὐαὶ, ὅτι φορτίζετε
τοὺς ἀνθρώπους φορτία δυσβά-
στακτα, καὶ αὐτοὶ ἑνὶ τῶν δα-
κτύλων ὑμῶν οὐ προσψαύετε
τοῖς φορτίοις.
47 Οὐαὶ ὑμῖν, ὅτι οἰκοδο-
μεῖτε τὰ μνημεῖα τῶν προφη-
τῶν, οἱ δὲ πατέρες ὑμῶν ἀπέ-
κτειναν αὐτούς.
48 Ἄρα μαρτυρεῖτε καὶ συν-
ευδοκεῖτε τοῖς ἔργοις τῶν πατέ-
ρων ὑμῶν· ὅτι αὐτοὶ μὲν ἀπέ-
κτειναν αὐτοὺς, ὑμεῖς δὲ οἰκο-
δομεῖτε αὐτῶν τὰ μνημεῖα.
49 Διὰ τοῦτο καὶ ἡ σοφία
τοῦ Θεοῦ εἶπεν· Ἀποστελῶ εἰς
αὐτοὺς προφήτας, καὶ ἀποστό-
λους, καὶ ἐξ αὐτῶν ἀποκτενοῦσι
καὶ ἐκδιώξουσιν·
50 Ἵνα ἐκζητηθῇ τὸ αἷμα
πάντων τῶν προφητῶν, τὸ
ἐκχυνόμενον ἀπὸ καταβολῆς
κόσμου, ἀπὸ τῆς γενεᾶς ταύ-
της,
51 Ἀπὸ τοῦ αἵματος
Ἄβελ, ἕως τοῦ αἵματος Ζα-
χαρίου, τοῦ ἀπολομένου μεταξὺ
τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου·
ναὶ λέγω ὑμῖν, ἐκζητηθήσεται
ἀπὸ τῆς γενεᾶς ταύτης.
52 Οὐαὶ ὑμῖν τοῖς νομικοῖς,
ὅτι ἤρατε τὴν κλεῖδα τῆς
γνώσεως· αὐτοὶ οὐκ εἰσήλθετε,
καὶ τοὺς εἰσερχομένους ἐκωλύ-
σατε.
53 Λέγοντος δὲ αὐτοῦ ταῦτα

λύμονον καὶ εἰς ἐσᾶς τοὺς νομι-
κοὺς, ὅτι φορτώνετε τοὺς ἀνθρώ-
πους φορτία δυσκολοσήκωτα,
καὶ ἐσεῖς κἂν μηδὲ μὲ ἕνα δάκ-
τυλον δὲν θέλετε νὰ τ' ἀγγίξετε.
47 Ἀειλύμονον εἰς ἐσᾶς,
ὅτι οἰκοδομᾶτε τὰ μνημεῖα
τῶν προφητῶν, καὶ οἱ πατέρες
σας τοὺς ἐσκότωσαν.
48 Τὸ λοιπὸν μαρτυρεῖτε,
καὶ συμφωνᾶτε εἰς τὰ καμώ-
ματα τῶν πατέρων σας· ὅτι
αὐτοὶ τοὺς ἐσκότωσαν, καὶ
ἐσεῖς κτίζετε τὰ μνημεῖά τους.
49 Διὰ τοῦτο εἶπεν ἡ σο-
φία τοῦ Θεοῦ· Θέλω στείλει εἰς
αὐτοὺς προφήτας καὶ ἀποστό-
λους, καὶ θέλουν σκοτώσει ἀπ'
αὐτοὺς, καὶ θέλουν διώξει·
50 Διὰ νὰ ζητηθῇ τὸ αἷ-
μα ὅλωνῶν τῶν προφητῶν, ὅ-
ποῦ ἐχύθη ἀπὸ τὴν ἀρχὴν τοῦ
κόσμου, ἀπὸ τὴν γενεὰν ἐτού-
την,
51 Ἀπὸ τὸ αἷμα τοῦ
Ἄβελ τοῦ δικαίου, ἕως τὸ αἷμα
τοῦ Ζαχαρίου, ὁποῦ ἐσκοτώθη
ἀνάμεσα εἰς τὸ θυσιαστήριον
καὶ εἰς τὸ σπῆτι (τοῦ Θεοῦ·)
βέβαια σᾶς λέγω, ἀπὸ τὴν
γενεὰν ἐτούτην θέλει ζητηθῇ.
52 Ἀειλύμονον εἰς ἐσᾶς τοὺς
νομικοὺς, ὅτι ἐσηκώσετε τὸ κλει-
δὶ τῆς γνώσεως· καὶ ἐσεῖς δὲν
ἐμβήκετε, καὶ ἐκείνους ὁποῦ
ἔμβαιναν τοὺς ἐμποδίσετε.
53 Καὶ λέγοντας ἐτοῦτα τὰ

πρὸς αὐτὰς, ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι δεινῶς ἐνέχειν, καὶ ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων·

λόγια ὁ Ἰησᾶς εἰς αὐτὰς, ἄρχισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι νὰ τὸν ἐχθρεύωνται πικρὰ, καὶ νὰ τὸν ἐρωτᾶν διὰ πολλὰ, θέλοντες νὰ τὸν παγιδέψων.

54 Ἐνεδρεύοντες αὐτὸν, καὶ ζητοῦντες θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ, ἵνα κατηγορήσωσιν αὐτοῦ.

54 Καὶ ἐγύρευαν νὰ πάρων ἀπὸ τὸ στόμα τȣ λόγον, διὰ νὰ τὸν κατηγορήσων.

Κεφ. ιβʹ. 12.

ΕΝ οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλȣ, ὥστε καταπατεῖν ἀλλήλȣς, ἤρξατο λέγειν πρὸς τὰς μαθητὰς αὐτοῦ· Πρῶτον προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, ἥτις ἐστὶν ὑπόκρισις.

ἈΝάμεσα εἰς τᾶτα (τὰ λόγια) ἐσυνάχθησαν μυριάδες ὄχλος, εἰς τόσον, ὁπᾶ ἐκαταπατᾶσαν ἕνας τὸν ἄλλον· καὶ ἄρχισε νὰ λέγῃ εἰς τὰς μαθητάδες τȣ· Πρῶτον ἔχετε τὸν νᾶν σας ἀπὸ τὴν ζύμην τῶν Φαρισαίων, ἡ ὁποῖα εἶναι ὑπόκρισις.

2 Οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν ὃ οὐκ ἀποκαλυφθήσεται· καὶ κρυπτὸν, ὃ οὐ γνωσθήσεται.

2 Καὶ δὲν εἶναι κανένα σκεπασμένον ὁπᾶ νὰ μὴν ξεσκεπασθῇ· καὶ κρυφὸν, ὁπᾶ νὰ μὴν γνωρισθῇ.

3 Ἀνθ' ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ ἀκȣσθήσεται· καὶ ὃ πρὸς τὸ ȣ̓̃ς ἐλαλήσατε ἐν τοῖς ταμείοις κηρυχθήσεται ἐπὶ τῶν δωμάτων.

3 Διὰ τᾶτο ὅσα εἴπετε εἰς τὰ σκοτεινὰ, θέλȣσιν ἀκȣσθῇ εἰς τὸ φῶς· καὶ ἐκεῖνο ὁπᾶ ἐλαλήσετε κρυφὰ εἰς τὸ αὐτὶ εἰς ταῖς καμαραῖς σας, θέλει κηρυχθῇ εἰς τὰ δώματα.

4 Λέγω δὲ ὑμῖν τοῖς φίλοις μȣ· Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι.

4 Καὶ λέγω εἰς ἐσᾶς τὰς φίλȣς μȣ· Μὴν φοβηθῆτε ἀπ' ἐκείνȣς ὁπᾶ σκοτώνȣν τὸ κορμὶ, καὶ ὕστερον δὲν ἠμπορᾶν νὰ κάμȣν τίποτες περισσότερον.

5 Ὑποδείξω δὲ ὑμῖν τίνα φο-

5 Ἀμὴ ἐγὼ νὰ σᾶς δείξω τί-

βηθῆτε· φοβήθητε τὸν μετὰ
τὸ ἀποκτεῖναι, ἐξουσίαν ἔχον-
τα ἐμβαλεῖν εἰς τὴν γέενναν·
ναὶ λέγω ὑμῖν, τοῦτον φοβή-
θητε.
6 Οὐχὶ πέντε στρουθία πω-
λεῖται ἀσσαρίων δύο, καὶ ἓν
ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησ-
μένον ἐνώπιον τοῦ Θεοῦ;
7 Ἀλλὰ καὶ αἱ τρίχες τῆς
κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθ-
μηνται· μὴ οὖν φοβεῖσθε·
πολλῶν στρουθίων διαφέρετε.
8 Λέγω δὲ ὑμῖν· Πᾶς ὃς
ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσ-
θεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς
τοῦ ἀνθρώπου ὁμολογήσει ἐν
αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων
τοῦ Θεοῦ.
9 Ὁ δὲ ἀρνησάμενός με
ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρ-
νηθήσεται ἐνώπιον τῶν ἀγγέ-
λων τοῦ Θεοῦ.
10 Καὶ πᾶς ὃς ἐρεῖ λόγον
εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου,
ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς
τὸ ἅγιον πνεῦμα βλασφημή-
σαντι οὐκ ἀφεθήσεται.
11 Ὅταν δὲ προσφέρωσιν
ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ
τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας,
μὴ μεριμνᾶτε πῶς ἢ τί ἀπολο-
γήσησθε, ἢ τί εἴπητε·

ναν νὰ φοβηθῆτε· φοβηθῆτε
ἐκεῖνον ὁποῦ ἀφόντις σκοτώσει,
ἔχει ἐξουσίαν νὰ βάλλῃ εἰς τὴν
γεέναν· ναὶ βέβαια σᾶς λέγω,
τοῦτον φοβηθῆτε.
6 Δὲν πουλοῦνται πέντε που-
λία δύο φόλλαις, καὶ τὸ ἕνα
ἀπ᾽ αὐτὰ δὲν εἶναι ἀλησμονη-
μένον ὀμπροστὰ εἰς τὸν Θεόν.
7 Ἀλλὰ καὶ αἱ τρίχες τῆς
κεφαλῆς σας ὅλαις εἶναι με-
τρημέναις· μὴν φοβηθῆτε λοι-
πόν· ἀπὸ πολλὰ πουλία δια-
φέρετε.
8 Καὶ λέγω σας· Ὅτι ὅποιος
μὲ ὁμολογήσει ὀμπροστὰ εἰς
τοὺς ἀνθρώπους, καὶ ὁ υἱὸς τοῦ
ἀνθρώπου θέλει τὸν ὁμολογή-
σει ὀμπροστὰ εἰς τοὺς ἀγγέλους
τοῦ Θεοῦ.
9 Καὶ ἐκεῖνος ὁποῦ μὲ ἀρ-
νηθῇ ὀμπροστὰ εἰς τοὺς ἀνθρώ-
πους, θέλει τὸν ἀρνηθῇ καὶ ὁ
υἱὸς τοῦ ἀνθρώπου ὀμπροστὰ εἰς
τοὺς ἀγγέλους τοῦ Θεοῦ.
10 Καὶ κάθε ἕνας ὁποῦ θέ-
λει εἰπεῖ λόγον εἰς τὸν υἱὸν τοῦ
ἀνθρώπου, θέλει τοῦ συγχωρη-
θῇ· ἀμὴ ἐκεῖνος ὁποῦ βλασ-
φημήσει εἰς τὸ Πνεῦμα τὸ
ἅγιον δὲν θέλει συγχωρηθῇ.
11 Καὶ ὅταν σᾶς φέρουσιν
ὀμπροστὰ εἰς ταῖς συναγωγαῖς
καὶ εἰς ταῖς ἀρχαῖς καὶ εἰς
ταῖς ἐξουσίαις, μὴν ἔχετε ἔν-
νοιαν πῶς ἢ τί λογῆς νὰ ἀπο-
κριθῆτε, ἢ τί θέλετε εἰπεῖ·

12 Τὸ γὰρ ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν.

13 Εἶπε δέ τις αὐτῷ ἐκ τοῦ ὄχλȣ· Διδάσκαλε, εἰπὲ τῷ ἀδελφῷ μȣ μερίσασθαι μετ᾽ ἐμȣ̃ τὴν κληρονομίαν.

14 Ὁ δὲ εἶπεν αὐτῷ· Ἄνθρωπε, τίς με κατέστησε δικαστὴν ἢ μεριστὴν ἐφ᾽ ὑμᾶς;

15 Εἶπε δὲ πρὸς αὐτȣ́ς· Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς πλεονεξίας· ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτοῦ.

16 Εἶπε δὲ παραβολὴν πρὸς αὐτȣ̀ς, λέγων· Ἀνθρώπȣ τινὸς πλȣσίȣ εὐφόρησεν ἡ χώρα.

17 Καὶ διελογίζετο ἐν ἑαυτῷ, λέγων· Τί ποιήσω; ὅτι οὐκ ἔχω πȣ̃ συνάξω τȣ̀ς καρπȣ́ς μȣ.

18 Καὶ εἶπε· Τȣ̃το ποιήσω· καθελῶ μȣ τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω· καὶ συνάξω ἐκεῖ πάντα τὰ γεννήματά μȣ καὶ τὰ ἀγαθά μȣ·

19 Καὶ ἐρῶ τῇ ψυχῇ μȣ· Ψυχὴ, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά· ἀναπαύȣ, φάγε, πίε, εὐφραίνȣ.

12 Διατὶ τὸ ἅγιον Πνεῦμα θέλει σᾶς διδάξει εἰς ἐκείνην τὴν ὥραν, ἐκεῖνα ὁπȣ̃ κάμνει χρεία νὰ εἰπῆτε.

13 Καὶ κάποιος ἀπὸ τὸν ὄχλον τοῦ εἶπε· Διδάσκαλε, εἰπὲ τοῦ ἀδελφοῦ μȣ νὰ μοιράσῃ μαζύ μȣ τὴν κληρονομίαν.

14 Καὶ ὁ Ἰησȣ̃ς τȣ̃ εἶπεν· Ὦ ἄνθρωπε, καὶ τίς μὲ κατέστησε δικαστὴν ἢ μοιραστὴν εἰς ἐσᾶς;

15 Καὶ λέγει τȣς· Βλέπετε καὶ φυλάγεσθε ἀπὸ τὴν πλεονεξίαν· διατὶ ἀγκαλὰ καὶ περισσεύȣν τινὸς τὰ ὑπάρχοντά τȣ, ἡ ζωή τȣ δὲν εἶναι ἀπ᾽ ἐκεῖνα.

16 Καὶ εἶπέν τȣς μίαν παραβολὴν, λέγωντας· Ἑνὸς ἀνθρώπȣ πλȣσίȣ εὐτύχησαν τὰ χωράφιά τȣ.

17 Καὶ ἐδιαλογίζȣνταν μέσα τȣ, καὶ ἔλεγε· Τί θέλω κάμει; ὁποῦ δὲν ἔχω ποῦ νὰ μαζώξω τοὺς καρπούς μȣ.

18 Καὶ εἶπεν· Ἐτȣ̃το θέλω κάμει· θέλω χαλάσει ταῖς ἀποθήκαις μȣ, καὶ θέλω ταῖς κάμει μεγαλίτεραις· καὶ θέλω μαζώξει ἐκεῖ ὅλα τὰ γεννήματά μȣ καὶ τὰ ἀγαθά μȣ·

19 Καὶ θέλω εἰπεῖ εἰς τὴν ψυχήν μȣ· Ὦ ψυχὴ, ἔχεις πολλὰ ἀγαθὰ ὁπȣ̃ κείτȣνται εἰς πολλȣ̀ς χρόνȣς· ἀναπαύȣ, φάγε, πίε, εὐφραίνȣ.

20 Εἶπε δὲ αὐτῷ ὁ Θεός· Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται;

21 Οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς Θεὸν πλουτῶν.

22 Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Διὰ τοῦτο ὑμῖν λέγω, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε· μηδὲ τῷ σώματι, τί ἐνδύσησθε.

23 Ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα, τοῦ ἐνδύματος.

24 Κατανοήσατε τοὺς κόρακας, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν· οἷς οὐκ ἔστι ταμεῖον, οὐδὲ ἀποθήκη, καὶ ὁ Θεὸς τρέφει αὐτούς· πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν;

25 Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα;

26 Εἰ οὖν οὔτε ἐλάχιστον δύνασθε, τί περὶ τῶν λοιπῶν μεριμνᾶτε;

27 Κατανοήσατε τὰ κρίνα, πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει· λέγω δὲ ὑμῖν, οὐδὲ Σολομῶν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων.

20 Ἀμὴ ὁ Θεὸς τοῦ εἶπεν· Ὦ ἄγνωστε ἄνθρωπε, ἐτούτην τὴν νύκτα ζητοῦσι τὴν ψυχήν σου ἀπὸ σένα· καὶ ἐκεῖνα ὁποῦ ἑτοίμασες, τίνος θέλουσιν εἶσθαι;

21 Ἔτζι γίνεται εἰς ἐκεῖνον ὁποῦ θησαυρίζει εἰς τοῦ λόγου του, καὶ δὲν πλουτεῖ εἰς τὸν Θεόν.

22 Καὶ εἶπεν εἰς τοὺς μαθητάδες του· Διὰ τοῦτο ἐσᾶς λέγω, μὴν ἐννοιάζεσθε διὰ τὴν ζωήν σας, τὶ νὰ φᾶτε· μηδὲ διὰ τὸ κορμί σας, τὶ νὰ ἐνδυθῆτε.

23 Ἡ ψυχὴ εἶναι περισσότερη ἀπὸ τὸ φαγὶ, καὶ τὸ κορμὶ, ἀπὸ τὸ φόρεμα.

24 Καταλάβετε τοὺς κόρακας, ὅτι οὐδὲ σπέρνουσιν, οὐδὲ θερίζουσιν· οἱ ὁποῖοι οὐδὲ κελλάρι ἔχουν, οὐδὲ ἀμπάρι, καὶ ὁ Θεὸς τοὺς τρέφει· πόσῳ μᾶλλον διαφέρετε ἐσεῖς ἀπὸ τὰ πετεινά;

25 Καὶ ποῖος ἀπὸ ἐσᾶς φροντίζωντας, ἠμπορεῖ νὰ βάλῃ παραπάνω εἰς τὴν ἡλικίαν του κἂν μίαν πῆχυν;

26 Ἐὰν τὸ λοιπὸν δὲν δύνεσθε διὰ τὸ πολλὰ μικρὸν, τί ἐννοιάζεσθε διὰ τὰ λοιπά;

27 Καταλάβετε τὰ κρίνα, πῶς ἀναθρέφονται· καὶ δὲν κοπιάζουσιν, οὐδὲ νέθουσι· καὶ λέγω σας, οὐδὲ ὁ Σολομὼν μὲ ὅλην του τὴν δόξαν ἐνδύθη ὡσὰν ἕνα ἀπὸ τοῦτα.

28 Εἰ δὲ τὸν χόρτον ἐν τῷ ἀγρῷ σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ Θεὸς οὕτως ἀμφιέννυσι, πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι;

29 Καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε, ἢ τί πίητε· καὶ μὴ μετεωρίζεσθε.

30 Ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ· ὑμῶν δὲ ὁ πατὴρ οἶδεν ὅτι χρῄζετε τούτων.

31 Πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

32 Μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον· ὅτι εὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν.

33 Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην· Ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς· ὅπου κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς διαφθείρει.

34 Ὅπου γὰρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται.

35 Ἔστωσαν ὑμῶν οἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι·

36 Καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν

28 Καὶ ἀνίσως τὸ χορτάρι ὁποῦ εἶναι σήμερον εἰς τὸ χωράφι, καὶ αὔριον τὸ βάλλουσιν εἰς τὸν φοῦρνον ὁ Θεὸς ἔτζι τὸ ἐνδύνει, πόσῳ μᾶλλον ἐσᾶς, ὀλιγόπιστοι;

29 Καὶ ἐσεῖς μὴν γυρεύετε τὶ νὰ φᾶτε, ἢ τὶ νὰ πιῆτε· καὶ μὴν ὑψηλοφρονεῖτε.

30 Διατὶ ἐτοῦτα ὅλα τὰ ἔθνη τοῦ κόσμου τὰ ζητοῦσιν· ἀμὴ ὁ πατέρας ὁ ἐδικός σας ἰξεύρει ὅτι τὰ χρειάζεσθεν ἐτοῦτα.

31 Μάλιστα ζητᾶτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἐτοῦτα ὅλα θέλουν σᾶς προστεθῇ.

32 Μὴν φοβᾶσαι, ὦ μικρὸν ποίμνιον ὅτι ὁ πατήρ σου ἠθέλησε νὰ σοῦ δώσῃ τὴν βασιλείαν.

33 Πουλήσετε τὰ ὑπάρχοντά σας, καὶ δότε ἐλεημοσύνην· κάμετε εἰς τοῦ λόγου σας σακκούλια ὁποῦ δὲν παλαιώνουν, θησαυρὸν εἰς τὸν οὐρανὸν ὁποῦ νὰ μὴν λείπει ποτέ· ἐκεῖ ὁποῦ οὐδὲ κλέπτης φθάνει, οὐδὲ σκουλήκι χαλᾷ.

34 Διατὶ ὅπου εἶναι ὁ θησαυρός σας, ἐκεῖ θέλει εἶσθαι καὶ ἡ καρδία σας.

35 Ἂς εἶναι ἡ μέσαις σας ἐζωσμέναις, καὶ οἱ λύχνοι σας ἂς ἀνάπτουν·

36 Κάμετε καὶ ἐσεῖς ὡσὰν τοὺς ἀνθρώπους ἐκείνους ὁποῦ ἀναμένουσι τὸν αὐθέντην τους, πότε

γάμων· ἵνα ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ.

37 Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας· ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται, καὶ ἀνακλινεῖ αὐτοὺς, καὶ παρελθὼν διακονήσει αὐτοῖς.

38 Καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ καὶ ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ, καὶ εὕρῃ οὕτω, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι.

39 Τοῦτο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν ἀφῆκε διορυγῆναι τὸν οἶκον αὐτοῦ.

40 Καὶ ὑμεῖς οὖν γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

41 Εἶπε δὲ αὐτῷ ὁ Πέτρος· Κύριε, πρὸς ἡμᾶς τὴν παραβολὴν ταύτην λέγεις, ἢ καὶ πρὸς πάντας;

42 Εἶπε δὲ ὁ Κύριος· Τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον;

43 Μακάριος ὁ δοῦλος

νὰ γυρίσῃ ἀπὸ τοὺς γάμους· καὶ ὁπόταν ἔλθῃ καὶ κτυπήσῃ νὰ τοῦ ἀνοίξουν παρευθύς.

37 Καλότυχοι εἶναι ἐκεῖνοι οἱ δοῦλοι, τοὺς ὁποίους ὅταν ἔλθῃ ὁ αὐθέντης τους νὰ τοὺς εὕρῃ ξυπνιτούς· βέβαια σᾶς λέγω, ὅτι θέλει περιζωσθῇ, καὶ θέλει τοὺς καθίσει, καὶ θέλει περάσει νὰ τοὺς ὑπηρετήσῃ.

38 Καὶ ἐὰν ἔλθῃ εἰς τὴν δευτέραν βίγλαν, καὶ εἰς τὴν τρίτην βίγλαν, καὶ τοὺς εὕρῃ ἔτζι, καλότυχοι εἶναι οἱ δοῦλοι ἐκεῖνοι.

39 Καὶ τοῦτο ἰξεύρετε, ὅτι ἂν ἴξευρεν ὁ αὐθέντης τοῦ σπητίου ποῖαν ὥραν ὁ κλέπτης ἔρχεται, ἤθελεν ἀγρυπνήσῃ, καὶ δὲν ἤθελεν ἀφίσῃ νὰ τρυπήσουν τὸ σπῆτί του.

40 Καὶ ἐσεῖς λοιπὸν γίνεσθε ἕτοιμοι· ὅτι τὴν ὥραν ὁποῦ δὲν θαῤῥεῖτε, ἔρχεται ὁ υἱὸς τοῦ ἀνθρώπου.

41 Καὶ ὁ Πέτρος τοῦ εἶπεν· Αὐθέντη, διὰ λόγου μας λέγεις τὴν παραβολὴν ἐτούτην, ἢ καὶ εἰς ὅλους;

42 Καὶ εἶπέν του ὁ Κύριος· Ποῖος λοιπὸν εἶναι ἐκεῖνος ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος, τὸν ὁποῖον θέλει καταστήσει ὁ Κύριος εἰς τὴν ὑπηρεσίαν του, νὰ δίδῃ τοῦ καθενὸς εἰς τὸν καιρὸν τὸ μερτικὸν τῆς τροφῆς του;

43 Καλότυχος εἶναι ὁ

ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως.

44 Ἀληθῶς λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.

45 Ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ· Χρονίζει ὁ κύριός μου ἔρχεσθαι· καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ πίνειν καὶ μεθύσκεσθαι.

46 Ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει· καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει.

47 Ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου ἑαυτοῦ, καὶ μὴ ἑτοιμάσας, μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς·

48 Ὁ δὲ μὴ γνοὺς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας· παντὶ δὲ ᾧ ἐδόθη πολὺ, πολὺ ζητηθήσεται παρ᾽ αὐτοῦ· καὶ ᾧ παρέθεντο πολὺ, περισσότερον αἰτήσουσιν αὐτόν.

49 Πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη;

δοῦλος ἐκεῖνος, τὸν ὁποῖον ὅταν ἔλθῃ ὁ αὐθέντης του καὶ τὸν εὕρει νὰ κάμῃ ἔτζι.

44 Ἀληθινὰ σᾶς λέγω, ὅτι θέλει τὸν καταστήσει εἰς ὅλα του τὰ ὑπάρχοντα.

45 Ἀμὴ ἂν εἰπῇ ὁ δοῦλος ἐκεῖνος μέσα εἰς τὸν λογισμόν του· Ὁ αὐθέντης μου ἀργεῖ νὰ ἔλθῃ· καὶ ἀρχίσῃ νὰ δέρνῃ τοὺς δουλευτάδες καὶ ταῖς δουλεύτραις, νὰ τρώγῃ, νὰ πίνῃ, καὶ νὰ μεθᾷ.

46 Θέλει ἔλθῃ ὁ αὐθέντης τοῦ δούλου ἐκείνου μίαν ἡμέραν ὁποῦ δὲν ἀπαντεχαίνει, καὶ εἰς ὥραν ὁποῦ δὲν γνωρίζει· καὶ θέλει τὸν χωρίσει, καὶ τὸ μέρος του θέλει τὸ βάλλει μὲ τοὺς ἀπίστους.

47 Καὶ ἐκεῖνος ὁ δοῦλος ὁποῦ γνωρίζει τὸ θέλημα τοῦ αὐθεντός του, καὶ δὲν ἑτοίμασε τοῦ λόγου του νὰ τὸ κάμῃ, θέλει δαρθῇ πολλαῖς (ξυλιαῖς·)

48 Ἀμὴ ἐκεῖνος ὁποῦ δὲν τὸ γνωρίζει, καὶ κάμνει πράγματα ὁποῦ, εἶναι ἄξια νὰ δαρθῇ, θέλει δαρθῇ ὀλίγαις· καὶ καθ᾽ ἑνὸς ὁποῦ τοῦ ἐδόθη πολὺ, θέλει ζητηθῇ καὶ πολὺ ἀπὸ λόγου του· καὶ ἐκεινοῦ ὁποῦ ἄφησαν πολὺ, θέλουσι τοῦ ζητήσει περισσότερον.

49 Φωτία ἦλθα νὰ βάλλω εἰς τὴν γῆν, καὶ τί θέλω, ἐπειδὴ ὡραμάν ἄναψε τῶρα;

50 Βάπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως οὗ τελεσθῇ;

51 Δοκεῖτε ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ; οὐχὶ, λέγω ὑμῖν, ἀλλ' ἢ διαμερισμόν·

52 Ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ ἑνὶ διαμεμερισμένοι, τρεῖς ἐπὶ δυσὶ, καὶ δύο ἐπὶ τρισί.

53 Διαμερισθήσεται πατὴρ ἐφ' υἱῷ, καὶ υἱὸς ἐπὶ πατρί· μήτηρ ἐπὶ θυγατρὶ, καὶ θυγάτηρ ἐπὶ μητρί· πενθερὰ ἐπὶ τὴν νύμφην αὐτῆς, καὶ νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς.

54 Ἔλεγε δὲ καὶ τοῖς ὄχλοις· Ὅταν ἴδητε τὴν νεφέλην ἀνατέλλουσαν ἀπὸ δυσμῶν, εὐθέως λέγετε· Ὄμβρος ἔρχεται· καὶ γίνεται οὕτω.

55 Καὶ ὅταν νότον πνέοντα, λέγετε· Ὅτι καύσων ἔσται· καὶ γίνεται.

56 Ὑποκριταὶ, τὸ πρόσωπον τῆς γῆς καὶ τοῦ οὐρανοῦ οἴδατε δοκιμάζειν· τὸν δὲ καιρὸν τοῦτον πῶς οὐ δοκιμάζετε;

57 Τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον;

58 Ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ' ἄρχοντα,

50 Καὶ ἔχω βάπτισμα νὰ βαπτισθῶ, καὶ πῶς στενοχωροῦμαι ἕως οὗ νὰ τελειωθῇ;

51 Λογιάζετε ὅτι ἦλθα νὰ δώσω εἰρήνην εἰς τὴν γῆν; ὄχι, σᾶς λέγω, ἀλλὰ χωρισμόν·

52 Διατὶ ἀπὸ τῶρα καὶ ὀμπροστὰ θέλουν εἶσθαι πέντε εἰς ἕνα σπῆτι χωρισμένοι· οἱ τρεῖς θέλουν φιλονεικεῖ μὲ τοὺς δύο, καὶ οἱ δύο μὲ τοὺς τρεῖς.

53 Ὁ πατὴρ θέλει χωρισθῇ ἀπὸ τὸν υἱὸν, καὶ ὁ υἱὸς ἀπὸ τὸν πατέρα· ἡ μάνα θέλει χωρίσει ἀπὸ τὴν θυγατέρα, καὶ ἡ θυγατέρα ἀπὸ τὴν μητέρα· ἡ πενθερὰ ἀπὸ τὴν νύμφην, καὶ ἡ νύμφη ἀπὸ τὴν πενθεράν της.

54 Καὶ ἔλεγεν εἰς τοὺς ὄχλους· Ὅταν εἴδητε τὴν νεφέλην ὁποῦ ἀνατέλλει ἀπὸ τὴν δύσιν, παρευθὺς λέγετε· Ὅτι ἔρχεται βροχή· καὶ ἔτζι γίνεται.

55 Καὶ ὅταν εἴδητε ὁποῦ φυσᾷ ὁ νότος, λέγετε· Ὅτι καῦμα θέλει γένει· καὶ ἔτζι γίνεται.

56 Ὑποκριταὶ, τὸ πρόσωπον τῆς γῆς καὶ τοῦ οὐρανοῦ ἠξεύρετε νὰ δοκιμάζετε· καὶ τὸν καιρὸν ἐτοῦτον πῶς δὲν τὸν δοκιμάζετε;

57 Καὶ διατί ἀπὸ λόγου σας δὲν κρίνετε τὸ δίκαιον;

58 Διατὶ ὅταν ὑπαγένης μὲ τὸν ἀντίδικόν σου εἰς τὸν

ἐν τῇ ὁδῷ δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ' αὐτοῦ· μήποτε κατασύρῃ σε πρὸς τὸν κριτὴν, καὶ ὁ κριτής σε παραδῷ τῷ πράκτορι, καὶ ὁ πράκτωρ σε βάλλῃ εἰς φυλακήν.

ἄρχοντα, εἰς τὴν στράτα κάμε κάθε λογῆς τρόπον νὰ γλυτώσῃς ἀπ' ἐκεῖνον· μήπως καὶ σὲ ὑπάγῃ εἰς τὸν κριτὴν, καὶ ὁ κριτὴς σὲ παραδώσῃ εἰς τὰ χέρια ἐκείνου ὁποῦ ζητᾷ τὰ δικαιώματα, καὶ ἐκεῖνος σὲ βάλλῃ εἰς τὴν φυλακήν.

59 Λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως οὗ καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς.

59 Λέγω σου, πῶς δὲν θέλεις εὔγει ἀπ' ἐκεῖ, ἕως οὗ νὰ πληρώσῃς τὸ χρέος σου ὅλον, ἕως μίαν φόλλαν.

Κεφ. ιγ'. 13.

Παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα Πιλάτος ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν.

Καὶ εἰς ἐκεῖνον τὸν καιρὸν ἦταν παρὼν καὶ κάποιοι, οἱ ὁποῖοι ἔλεγαν εἰς τὸν Ἰησοῦν διὰ τοὺς Γαλιλαίους, τῶν ὁποίων Γαλιλαίων τὸ αἷμα ὁ Πιλάτος τὸ ἀνακάτωσε μὲ ταῖς θυσίαις των.

2 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς. Δοκεῖτε ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασιν;

2 Καὶ ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπέν τους· Λογιάζετε ὅτι ἐτοῦτοι οἱ Γαλιλαῖοι νὰ ἐγένηκαν ἁμαρτωλώτεροι ἀπὸ ὅλους τοὺς Γαλιλαίους, διατὶ ἐπάθασιν τέτοιας λογῆς;

3 Οὐχὶ, λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὡσαύτως ἀπολεῖσθε.

3 Ὄχι, σᾶς λέγω· ἀλλὰ καὶ ἐσεῖς ἂν δὲν μετανοήσετε, ὅλοι ἔτζι θέλετε ἀφανισθῆ.

4 Ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτὼ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ, καὶ ἀπέκτεινεν αὐτοὺς, δοκεῖτε ὅτι οὗτοι ὀφειλέται ἐγένοντο παρὰ πάντας ἀνθρώπους τοὺς

4 Ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτὼ, εἰς τοὺς ὁποίους ἔπεσεν ὁ πύργος εἰς τὸ Σιλωὰμ, καὶ τοὺς ἐσκότωσε, λογιάζετε ὅτι ἐκεῖνοι ἐγίνηκαν ἁμαρτωλώτεροι παρὰ ὅλους τους ἀνθρώπους ὁποῦ

κατοικοῦντας ἐν Ἱερουσα-
λήμ;
5 Οὐχὶ, λέγω ὑμῖν· ἀλλ᾽
ἐὰν μὴ μετανοῆτε, πάντες
ὁμοίως ἀπολεῖσθε.
6 Ἔλεγε δὲ ταύτην τὴν
παραβολήν· Συκῆν εἶχέ τις ἐν
τῷ ἀμπελῶνι αὐτοῦ πεφυ-
τευμένην· καὶ ἦλθε καρπὸν
ζητῶν ἐν αὐτῇ, καὶ οὐχ εὗ-
ρεν.
7 Εἶπε δὲ πρὸς τὸν ἀμπε-
λουργόν· Ἰδοὺ, τρία ἔτη ἔρχο-
μαι ζητῶν καρπὸν ἐν τῇ συκῇ
ταύτῃ, καὶ οὐχ εὑρίσκω· ἔκκο-
ψον αὐτήν· ἱνατί καὶ τὴν γῆν
καταργεῖ;
8 Ὁ δὲ ἀποκριθεὶς λέγει
αὐτῷ· Κύριε, ἄφες αὐτὴν
καὶ τοῦτο τὸ ἔτος, ἕως ὅπου
σκάψω περὶ αὐτὴν, καὶ βάλω
κοπρίαν·
9 Κἂν μὲν ποιήσῃ καρ-
πόν· εἰ δὲ μήγε, εἰς τὸ μέλλον
ἐκκόψεις αὐτήν.
10 Ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν
συναγωγῶν ἐν τοῖς σάββασι.
11 Καὶ ἰδοὺ, γυνὴ ἦν πνεῦ-
μα ἔχουσα ἀσθενείας ἔτη δέκα
καὶ ὀκτώ· καὶ ἦν συγκύπτουσα,
καὶ μὴ δυναμένη ἀνακύψαι
εἰς τὸ παντελές.
12 Ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς,
προσεφώνησε, καὶ εἶπεν αὐτῇ·
Γύναι, ἀπολέλυσαι τῆς ἀσθε-
νείας σου.
13 Καὶ ἐπέθηκεν αὐτῇ τὰς

κάθουνται μέσα εἰς τὴν Ἱερου-
σαλήμ;
5 Ὄχι, σᾶς λέγω· ἀλλὰ
ἐὰν δὲν μετανοήσετε, ὅλοι τέ-
τοιας λογῆς θέλετε ἀφανισθῆ.
6 Καὶ ἔλεγεν ἐτούτην τὴν
παραβολήν· Κάποιος ἄνθρω-
πος εἶχε μίαν συκιὰν εἰς τὸ
ἀμπέλι του φυτεμένην· καὶ
ἐπῆγεν εἰς ἐκείνην νὰ γυρεύῃ
καρπὸν, καὶ δὲν εὑρῆκε.
7 Καὶ εἶπε τοῦ ἀμπελουργοῦ·
Νὰ, τρεῖς χρόνους ἔχω τώρα ὁ-
ποῦ ἔρχομαι καὶ γυρεύω καρπὸν
εἰς τὴν συκιὰν ἐτούτην, καὶ δὲν
εὑρίσκω· κόψε την· διατί ἐμ-
ποδίζει καὶ τὴν γῆν;
8 Καὶ ὁ ἀμπελουργὸς ἀπε-
κρίθη καὶ λέγει του· Αὐθέντη,
ἄφησέ την ἀκόμι καὶ τοῦτον
τὸν χρόνον, ἕως ὁποῦ νὰ σκάψω
τριγύρω, νὰ βάλλω κοπρίαν·
9 Καὶ ἂν κάμῃ καρπὸν
καλά· εἰ δὲ μὴ, τοῦ χρόνου θέ-
λεις τὴν κόψει.
10 Καὶ ἐδίδασκεν εἰς ἕνα
συναγώγι τὰ σάββατα.
11 Καὶ ἐκεῖ ἦτον καὶ μία
γυναῖκα ἡ ὁποῖα εἶχε πνεῦ-
μα ἀσθενείας δεκαοκτὼ χρό-
νους· καὶ ἐκαμπουργίασε, καὶ
δὲν ἠμπόρει καθόλου νὰ ἰσάσῃ
τοῦ λόγου της.
12 Καὶ ὡσὰν τὴν εἶδεν ὁ
Ἰησοῦς, τῆς ἐλάλησε, καὶ τῆς
εἶπεν· Ὦ γύναι, ἐλευθερώσου
ἀπὸ τὴν ἀσθένειάν σου.
13 Καὶ ἔβαλλεν τὰ χέριά του

χεῖρας· καὶ παραχρῆμα ἀνωρ-
θώθη, καὶ ἐδόξαζε τὸν Θεόν.

14 Ἀποκριθεὶς δὲ ὁ ἀρχι-
συνάγωγος, ἀγανακτῶν ὅτι
τῷ σαββάτῳ ἐθεράπευσεν ὁ
Ἰησοῦς, ἔλεγε τῷ ὄχλῳ· Ἓξ
ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργά-
ζεσθαι· ἐν ταύταις οὖν ἐρχό-
μενοι θεραπεύεσθε, καὶ μὴ τῇ
ἡμέρᾳ τοῦ σαββάτου.

15 Ἀπεκρίθη οὖν αὐτῷ ὁ
Κύριος, καὶ εἶπεν· Ὑποκριτὰ,
ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ
λύει τὸν βοῦν αὐτοῦ ἢ τὸν ὄνον
ἀπὸ τῆς φάτνης, καὶ ἀπαγα-
γὼν ποτίζει;

16 Ταύτην δὲ, θυγατέρα
Ἀβραὰμ οὖσαν, ἣν ἔδησεν ὁ
Σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ
ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ
δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ
σαββάτου,

17 Καὶ ταῦτα λέγοντος
αὐτοῦ, κατῃσχύνοντο πάντες οἱ
ἀντικείμενοι αὐτῷ· καὶ πᾶς ὁ
ὄχλος ἔχαιρεν ἐπὶ πᾶσι τοῖς
ἐνδόξοις τοῖς γινομένοις ὑπ'
αὐτοῦ.

18 Ἔλεγε δέ· Τίνι ὁμοία
ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ;
καὶ τίνι ὁμοιώσω αὐτήν;

19 Ὁμοία ἐστὶ κόκκῳ σινά-
πεως, ὃν λαβὼν ἄνθρωπος ἔβα-
λεν εἰς κῆπον ἑαυτοῦ· καὶ ηὔ-
ξησε, καὶ ἐγένετο εἰς δένδρον

ἀπάνω της· καὶ παρευθὺς ἰσά-
σθη, καὶ εὐχαρίστησε τὸν Θεόν.

14 Καὶ ἀπεκρίθη ὁ ἀρχι-
συνάγωγος, ἀδημονῶντας δια-
τὶ τὸ σάββατον ἰάτρευσεν ὁ
Ἰησοῦς, καὶ ἔλεγεν εἰς τὸ πλῆ-
θος· Ἓξ ἡμέραις εἶναι ὁποῦ πρέ-
πει νὰ δουλεύουν οἱ ἄνθρωποι·
εἰς ταύταις λοιπὸν ταῖς ἡμέραις
ἔρχεσθε νὰ ἰατρεύεσθε, καὶ
ὄχι τὴν ἡμέραν τοῦ σαββάτου.

15 Ὁ Κύριος λοιπὸν ἀπε-
κρίθη, καὶ εἶπέν του· Ὑποκριτὰ,
καθένας ἀπὸ σᾶς τὸ σάββα-
τον δὲν λύει τὸ βόδι του ἢ τὸν
γαΐδαρόν του ἀπὸ τὸ παχνί του,
καὶ πάγει καὶ τὸ ποτίζει;

16 Καὶ ἐτούτη ὁποῦ εἶναι θυ-
γατέρα τοῦ Ἀβραὰμ, τὴν ὁποί-
αν ἔδεσεν ὁ Σατανᾶς τῶρα δε-
καοκτὼ χρόνους, δὲν ἔπρεπε νὰ
λυθῇ ἀπὸ τὸ δέσιμον ἐτοῦτο
τὴν ἡμέραν τοῦ σαββάτου;

17 Καὶ λέγωντας αὐτὸς ἐτοῦ-
τα τὰ λόγια, ἐντροπιάζουνταν
ὅλοι ἐκεῖνοι ὁποῦ ἐναντιοῦνταν·
καὶ ὅλος ὁ ὄχλος ἐχάρηκεν εἰς
ὅλα ἐκεῖνα τὰ ἔνδοξα ὁποῦ ἐγί-
νουνταν ἀπ' αὐτόν.

18 Καὶ ἔλεγε· Μὲ τί ὁμοι-
άζει ἡ βασιλεία τοῦ Θεοῦ; καὶ
μὲ τί νὰ τὴν ὁμοιάσω;

19 Ὡμοιάζει τὸ κοκκὶ τοῦ
συναπίου, τὸ ὁποῖον τὸ ἐπῆρεν
ἕνας ἄνθρωπος, καὶ τὸ ἔσπειρεν
εἰς τὸ περιβόλι του· καὶ αὔξηνε,
καὶ ἔγινεν ὡσὰν δένδρον μεγά-

μέγα, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν τοῖς κλάδοις αὐτοῦ.

20 Καὶ πάλιν εἶπε· Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ Θεοῦ;

21 Ὁμοία ἐστὶ ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον.

22 Καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων, καὶ πορείαν ποιούμενος εἰς Ἱερουσαλήμ.

23 Εἶπε δέ τις αὐτῷ· Κύριε, εἰ ὀλίγοι οἱ σωζόμενοι; Ὁ δὲ εἶπε πρὸς αὐτούς·

24 Ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης· ὅτι πολλοί, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν, καὶ οὐκ ἰσχύσουσιν.

25 Ἀφ' οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης, καὶ ἀποκλείσῃ τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑστάναι, καὶ κρούειν τὴν θύραν, λέγοντες· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν· καὶ ἀποκριθεὶς ἐρεῖ ὑμῖν· Οὐκ οἶδα ὑμᾶς, πόθεν ἐστέ.

26 Τότε ἄρξεσθε λέγειν· Ἐφάγομεν ἐνώπιόν σου, καὶ ἐπίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας.

27 Καὶ ἐρεῖ· Λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ· ἀπόστητε

λον, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ ἐφωλίασαν εἰς τὰ κλαδιά του.

20 Καὶ πάλιν εἶπε· Μὲ τί νὰ ὁμοιάσω τὴν βασιλείαν τοῦ Θεοῦ;

21 Ὁμοιάζει προζύμη, τὸ ὁποῖον μία γυναῖκα τὸ ἔκρυψε μέσα εἰς τρία κοιλὰ ἀλεύρι, ἕως ὁποῦ ἐζυμώθη ὅλον.

22 Καὶ ὁ Ἰησοῦς ἐπέρνα ἀπὸ μέσα ἀπὸ ταῖς χώραις καὶ ἀπὸ τὰ χωριὰ διδάσκωντας, καὶ πηγένωντας εἰς τὴν Ἱερουσαλήμ.

23 Καὶ κάποιος τοῦ λέγει· Αὐθέντη, ἂν εἶναι ὀλίγοι ἐκεῖνοι ὁποῦ σώζουνται; Καὶ ὁ Ἰησοῦς τοὺς εἶπεν·

24 Ἀγωνίζεσθε νὰ ἐμβῆτε ἀπὸ τὴν στενὴν τὴν θύραν· ὅτι πολλοί, σᾶς λέγω, θέλουν ζητήσει νὰ ἔμβουν, καὶ δὲν θέλουν ἠμπορέσει.

25 Ἀφόντις σηκωθῇ ὁ οἰκοκύρης, καὶ σφαλίσῃ τὴν θύραν, καὶ ἀρχίσετε νὰ στέκεσθε ἔξω, καὶ νὰ κτυπᾶτε τὴν θύραν, νὰ λέγετε· Αὐθέντη, Αὐθέντη, ἄνοιξέ μας· Καὶ ἐκεῖνος θέλει ἀποκριθῇ, νὰ σᾶς εἰπῇ· Δέν σας ἰξεύρω, ἀπὸ ποῦ εἶσθε.

26 Τότε θέλετε ἀρχίσει νὰ λέγετε· Ἐφάγαμεν, καὶ ἐπίαμεν ὀμπροστά σου, καὶ εἰς τὰ πλατώματά μας ἐδίδαξες.

27 Καὶ ἐκεῖνος θέλει εἰπεῖ· Λέγω σας, δὲν σᾶς ἰξεύρω ἀπὸ

ἀπ' ἐμȢ πάντες οἱ ἐργάται τῆς ἀδικίας.

28 Ἐκεῖ ἔςαι ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὅταν ὄψησθε Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ πάντας τȢς προφήτας ἐν τῇ βασιλείᾳ τȢ ΘεȢ, ὑμᾶς δὲ ἐκβαλλομένȢς ἔξω.

29 Καὶ ἥξȢσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ ἀπὸ βοῤῥᾶ καὶ νότȢ· καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ τȢ ΘεȢ.

30 Καὶ ἰδȣ̀, εἰσὶν ἔσχαλοι οἳ ἔσονται πρῶτοι, καί εἰσι πρῶτοι οἳ ἔσονται ἔσχατοι.

31 Ἐν αὐτῇ τῇ ἡμέρᾳ προσῆλθόν τινες Φαρισαῖοι, λέγοντες αὐτῷ· Ἔξελθε, καὶ πορεύȢ ἐντεῦθεν· ὅτι Ἡρώδης θέλει σε ἀποκτεῖναι.

32 Καὶ εἶπεν αὐτοῖς· Πορευθέντεςεἴπατετῇἀλώπεκιταύτῃ· Ἰδȣ̀, ἐκβάλλω δαιμόνια, καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον, καὶ τῇ τρίτῃ τελειȢ̃μαι.

33 Πλὴν δεῖ με σήμερον καὶ αὔριον καὶ τῇ ἐχομένῃ πορεύεσθαι· ὅτι οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω ἹερȢσαλήμ.

34 ἹερȢσαλὴμ, ἹερȢσαλὴμ, ἡ ἀποκτείνȢσα τȢ̀ς προφήτας, καὶ λιθοβολȢ̃σα τȢ̀ς ἀπε-

πȢ̃ εἶσθε· παγένετε ἀπὸ μένα ὅλοι οἱ ἐργάται τῆς ἀδικίας.

28 Ἐκεῖ θέλει εἶσθαι ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὅταν εἰδῆτε τὸν Ἀβραὰμ καὶ τὸν Ἰσαὰκ καὶ τὸν Ἰακὼβ, καὶ ὅλȢς τȢ̀ς προφήτας μέσα εἰς τὴν βασιλείαν τοῦ ΘεȢ, καὶ ἐσᾶς εὐγαλμένȢς ἔξω.

29 Καὶ θέλȢσιν ἔλθη ἀπὸ τὴν ἀνατολὴν καὶ ἀπὸ τὴν δύσιν, καὶ ἀπὸ τὸν βοῤῥᾶν καὶ ἀπὸ τὸν νότον· καὶ θέλȢν καθίσει εἰς τὴν βασιλείαν τȢ ΘεȢ.

30 Καὶ νὰ, κάποιοι ὁπȢ̃ εἶναι ὑςερινοὶ καὶ θέλȢν γένει πρῶτοι, καὶ οἱ πρῶτοι θέλȢν γένει ὑςερινοί.

31 Ἐκείνην τὴν ἡμέραν ἦλθαν εἰς τὸν ἸησȢ̃ν κάποιοι Φαρισαῖοι, καὶ τȢ ἔλεγαν· Εὔγα, καὶ πάγενε ἀπ' ἐδῶ, ὅτι ὁ Ἡρώδης θέλει νὰ σὲ φονεύσῃ·

32 Καὶ εἶπέν τȢς· Σύρτε καὶ εἰπέτε τῆς ἀλεπȢ̃ς ἐτȢ́της· Νὰ, ὁπȢ̃ εὐγάζω δαιμόνια, καὶ ἰατρεύω σήμερον καὶ αὔριον, καὶ τὴν τρίτην ἡμέραν τελειώνομαι.

33 Ὅμως πρέπει σήμερον καὶ αὔριον, καὶ τὴν ἄλλην κάμνει χρεία νὰ πηγένω· ὅτι δὲν ἠμπορεῖ νὰ χαλασθῇ προφήτης ἔξω ἀπὸ τὴν ἹερȢσαλήμ.

34 Ὦ ἹερȢσαλὴμ, ἹερȢσαλὴμ, ὁπȢ̃ σκοτώνεις τȢ̀ς προφήτας, καὶ λιθοβολᾶς τȢ̀ς ἀπε-

σταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, ὃν τρόπον ὄρνις τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε;

35 Ἰδοὺ, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. ἀμὴν δὲ λέγω ὑμῖν, ὅτι οὐ μή με ἴδητε ἕως ἂν ἥξῃ ὅτε εἴπητε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

σταλμένους εἰς ἐσένα, πόσαις φοραῖς ἠθέλησα νὰ μαζώξω τὰ παιδιά σου, καθὼς ἡ ὄρνιθα μαζώνει τὰ πουλιά της ἀπὸ κάτω εἰς ταῖς πτεροῦγαίς της, καὶ δὲν ἠθελήσετε;

35 Νὰ, τῶρα ὅπου σᾶς ἀφίνεται τὸ σπῆτί σας ἔρημον· καὶ λέγω σας, ὅτι δὲν θέλετε μὲ εἰδῇ πλέον, ἕως ὅπου νὰ, ἔλθῃ καιρὸς, ὅπου νὰ εἰπῆτε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Κεφ. ιδ'. 14.

ΚΑΙ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόντων τῶν Φαρισαίων σαββάτῳ φαγεῖν ἄρτον, καὶ αὐτοὶ ἦσαν παρατηρούμενοι αὐτόν.

2 Καὶ ἰδοὺ, ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ.

3 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς τοὺς νομικοὺς καὶ Φαρισαίους, λέγων· Εἰ ἔξεστι τῷ σαββάτῳ θεραπεύειν;

4 Οἱ δὲ ἡσύχασαν. Καὶ ἐπιλαβόμενος ἰάσατο αὐτὸν, καὶ ἀπέλυσε.

5 Καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς, εἶπε· Τίνος ὑμῶν ὄνος ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται, καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου;

ΚΑΙ ὅταν ἐπῆγεν εἰς ἕνα σπῆτι κάποιου ἀπὸ τῶν ἀρχόντων τῶν Φαρισαίων τὸ σάββατον νὰ φάγῃ ψωμὶ, καὶ αὐτοὶ τὸν ἐπαραφύλαγαν.

2 Καὶ νὰ, καὶ ἕνας ἄνθρωπος ὑδρωπικὸς ὀμπροστά του.

3 Καὶ ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν εἰς τοὺς νομικοὺς καὶ εἰς τοὺς Φαρισαίους, λέγωντας· Ἂν εἶναι ἐξουσία τὸ σάββατον νὰ ἰατρεύῃ τινάς;

4 Καὶ ἐκεῖνοι ἡσύχασαν. Καὶ ὁ Ἰησοῦς πιάνωντάς τον τὸν ἰάτρευσε, καὶ τὸν ἀπόλυσεν.

5 Καὶ ἀπεκρίθη, καὶ εἶπέν τους· Ἂν ἤθελεν πέσῃ τινὸς γαΐδαρος ἢ βόδι εἰς πηγάδι, παρευθὺς δὲν ἤθελε τὸ εὐγάλει τὸ σάββατον;

6 Καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ ταῦτα.

7 Ἔλεγε δὲ πρὸς τοὺς κεκλημένους παραβολὴν, ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο, λέγων πρὸς αὐτούς.

8 Ὅταν κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν· μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ᾽ αὐτοῦ.

9 Καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας, ἐρεῖ σοι· Δὸς τούτῳ τόπον· καὶ τότε ἄρξῃ μετ᾽ αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν.

10 Ἀλλ᾽ ὅταν κληθῇς, πορευθεὶς ἀνάπεσον εἰς τὸν ἔσχατον τόπον· ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε, εἴπῃ σοι· Φίλε, προσανάβηθι ἀνώτερον· τότε ἔςαι σοι δόξα ἐνώπιον τῶν συνανακειμένων σοί.

11 Ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται· καὶ ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται.

12 Ἔλεγε δὲ καὶ τῷ κεκληκότι αὐτόν· Ὅταν ποιῇς ἄριςον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου, μηδὲ

6 Καὶ δὲν ἠμπόρεσαν νὰ τοῦ ἀποκριθοῦν εἰς ἐτοῦτα.

7 Καὶ εἶπεν καὶ μίαν παραβολὴν εἰς τοὺς καλεσμένους, ἐπειδὴ ἔβλεπε πῶς ἐδιάλεγαν ταῖς πρωτοκαθεδρίαις, λέγοντάς τους·

8 Ὅταν καλεσθῇς ἀπὸ κανένα εἰς τὸν γάμον, μὴν πάγῃς νὰ καθίσῃς εἰς τὸν πρῶτον τόπον· μήπως καὶ εἶναι ἄλλος καλεσμένος τιμιώτερός σου·

9 Καὶ ἔλθῃ ἐκεῖνος ὁποῦ ἐκάλεσε καὶ ἐσένα καὶ ἐκεῖνον, καὶ θέλει εἰπεῖ· Δὸς ἐτούτου τόπον· καὶ τότε θέλεις ἀρχίσει μὲ ἐντροπὴν νὰ κρατῇς τὸν παρακάτω τόπον.

10 Ἀμὴ ὅταν καλεσθῇς, σύρε κάθισε εἰς τὸν κατώτερον τόπον· καὶ ὅταν ἔλθῃ ἐκεῖνος ὁποῦ σε ἐκάλεσε, καὶ σοῦ εἰπεῖ· Ὦ φίλε, ἀνέβα παραπάνω· τότε θέλει εἶσθαι τιμή σου ὀμπροςὰ εἰς ἐκείνους ὁποῦ κάθονται μαζύ σου.

11 Ὅτι κάθε ἕνας ὁποῦ ὑψώνει τοῦ λόγου του, θέλει ταπεινωθῇ· καὶ ἐκεῖνος ὁποῦ ταπεινώνει τοῦ λόγου του, θέλει ὑψωθῇ.

12 Καὶ ἔλεγεν εἰς ἐκεῖνον ὁποῦ τὸν ἐκάλεσεν· Ὅταν κάμνῃς γεῦμα ἢ δεῖπνον, μὴν καλεῖς τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τὴν γενεάν σου,

γείτονας πλουσίους· μήποτε καὶ αὐτοί σε ἀντικαλέσωσι, καὶ γένηταί σοι ἀνταπόδομα.

13 Ἀλλ᾽ ὅταν ποιῇς δοχὴν, κάλει πτωχοὺς, ἀναπήρους, χωλοὺς, τυφλούς·

14 Καὶ μακάριος ἔσῃ· ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι· ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων.

15 Ἀκούσας δέ τις τῶν συνανακειμένων ταῦτα, εἶπεν αὐτῷ· Μακάριος ὃς φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

16 Ὁ δὲ εἶπεν αὐτῷ· Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς.

17 Καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς κεκλημένοις· Ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα.

18 Καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες. Ὁ πρῶτος εἶπεν αὐτῷ· Ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν, καὶ ἰδεῖν αὐτόν· ἐρωτῶ σε, ἔχε με παρῃτημένον.

19 Καὶ ἕτερος εἶπε· Ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτά·

μηδὲ τοὺς γειτόνους σου τοὺς πλουσίους· μήπως καὶ αὐτοὶ σὲ ἀντικαλέσουν, καὶ σοῦ τὸ ἀνταποδώσουσιν.

13 Ἀμὴ ὅταν κάμνῃς κάλεσμα, κάλεσε τοὺς πτωχοὺς, τοὺς βλαμμένους, τοὺς κουτζοὺς, τοὺς τυφλούς·

14 Καὶ θέλεις εἶσαι καλότυχος· διατὶ δὲν ἔχουν νὰ σοῦ τὸ ἀνταποδώσουν· καὶ θέλει σοῦ ἀνταποδοθῇ εἰς τὴν ἀνάστασιν τῶν δικαίων.

15 Καὶ ὡσὰν τὰ ἤκουσεν ἕνας ἀπ᾽ ἐκείνους ὁποῦ ἐκάθετον μαζὺ ἐτοῦτα τὰ λόγια, τοῦ εἶπεν· Καλότυχος εἶναι ἐκεῖνος ὁποῦ φάγει ψωμὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

16 Καὶ ὁ Ἰησοῦς τοῦ εἶπεν· Ἕνας ἄνθρωπος ἔκαμε μεγάλον δεῖπνον, καὶ ἐκάλεσε πολλούς.

17 Καὶ εἰς τὴν ὥραν τοῦ δείπνου ἔστειλε τὸν δουλευτήν του νὰ εἰπῇ εἰς τοὺς καλεσμένους· Ἐλᾶτε, ὅτι τώρα εἶναι ὅλα ἕτοιμα.

18 Καὶ ἄρχισαν ὅλοι μὲ μίαν γνώμην νὰ παραιτοῦνται. Καὶ ὁ πρῶτος τοῦ εἶπε· Χωράφι ἀγόρασα, καὶ ἔχω ἀνάγκην νὰ πάγω νὰ τὸ εἰδῶ· παρακαλῶ σε, ἔχε με παραιτημένον.

19 Καὶ ἄλλος εἶπε· Πέντε ζευγάρια βόδια ἀγόρασα, καὶ ὑπάγω νὰ τὰ δοκιμάσω· καὶ

ἐρωτῶ σε, ἔχε με παρῃτημένον.

20 Καὶ ἕτερος εἶπε· Γυναῖκα ἔγημα, καὶ διὰ τȣτο ȣ δύναμαι ἐλθεῖν.

21 Καὶ παραγενόμενος ὁ δȣλος ἐκεῖνος ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ ταῦτα. Τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπε τῷ δȣλῳ αὐτοῦ· Ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως, καὶ τȣς πτωχȣς καὶ ἀναπήρȣς καὶ χωλȣς καὶ τυφλȣς εἰσάγαγε ὧδε.

22 Καὶ εἶπεν ὁ δȣλος· Κύριε, γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος ἐςί.

23 Καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δȣλον· Ἔξελθε εἰς τὰς ὁδȣς καὶ φραγμȣς, καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γεμισθῇ ὁ οἶκός μȣ.

24 Λέγω γὰρ ὑμῖν, ὅτι ȣδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μȣ τοῦ δείπνȣ.

25 Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοί· καὶ ςραφεὶς εἶπε πρὸς αὐτȣς·

26 Εἴ τις ἔρχεται πρός με, καὶ ȣ μισεῖ τὸν πατέρα ἑαυτοῦ καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τȣς ἀδελφȣς, καὶ τὰς ἀδελφὰς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, ȣ δύναταί μȣ μαθητὴς εἶναι.

παρακαλῶ σε, ἔχε με παραιτημένον.

20 Καὶ ἄλλος εἶπεν· Ἐγὼ ἐπανδρεύθηκα, καὶ δὲν ἠμπορῶ νὰ ἔλθω.

21 Καὶ ἐπῆγεν ὁ δȣλευτὴς ἐκεῖνος, καὶ εἶπεν τοῦ αὐθέντη τȣ ἐκεῖνα. Τότε ἐθυμώθη ὁ οἰκοκύρης ἐκεῖνος, καὶ εἶπεν τοῦ δȣλȣ τȣ· Εὔγα ἔξω ὀγλίγωρα εἰς τὰ πλατώματα καὶ εἰς ταῖς ῥύμαις τῆς χώρας, καὶ τȣς πτωχȣς καὶ βλαμμένȣς καὶ κȣτζȣς καὶ τυφλȣς φέρε τȣς ἐδῶ.

22 Καὶ εἶπεν ὁ δȣλευτής· Αὐθέντη, ἔγινε καθὼς ὥρισες, καὶ ἀκόμι εἶναι τόπος ἄδειος.

23 Καὶ λέγει ὁ αὐθέντης εἰς τὸν δȣλόν τȣ· Εὔγα ἔξω εἰς ταῖς ςράταις καὶ εἰς τȣς φραγμȣς, καὶ ἀνάγκασέ τȣς νὰ ἔλθȣν μέσα νὰ γεμίσῃ τὸ σπῆτί μȣ.

24 Διατὶ λέγω σας, ὅτι μηδὲ κανένας ἀπὸ τȣς ἄνδρας ἐκείνȣς τȣς καλεσμένȣς θέλει γεματίσει τὸ δεῖπνόν μȣ.

25 Καὶ ὄχλοι πολλοὶ ἐπηγένασιν μαζὺ μὲ τὸν Χριςόν· καὶ ὁ Χριςὸς ἐγύρισε καὶ τȣς εἶπεν·

26 Ἀνίσως καὶ κανένας ἔρχεται εἰς ἐμένα, καὶ δὲν μισεῖ τὸν πατέρα καὶ τὴν μητέρα τȣ, καὶ τὴν γυναῖκά τȣ καὶ τὰ παιδία τȣ, καὶ τȣς ἀδελφȣς τȣ καὶ ταῖς ἀδελφαῖς τȣ, ἀκόμι καὶ τὴν ζωήν τȣ, δὲν ἠμπορεῖ νὰ εἶναι μαθητής μȣ.

27 Καὶ ὅστις οὐ βαστάζει
τὸν σταυρὸν αὐτοῦ, καὶ ἔρχεται
ὀπίσω μου, οὐ δύναταί μου
εἶναι μαθητής.
28 Τίς γὰρ ἐξ ὑμῶν,
θέλων πύργον οἰκοδομῆσαι,
οὐχὶ πρῶτον καθίσας ψηφίζει
τὴν δαπάνην, εἰ ἔχει τὰ πρὸς
ἀπαρτισμόν;
29 Ἵνα μήποτε θέντος
αὐτοῦ θεμέλιον, καὶ μὴ ἰσχύον-
τος ἐκτελέσαι, πάντες οἱ θεω-
ροῦντες ἄρξωνται ἐμπαίζειν
αὐτῷ,
30 Λέγοντες· Ὅτι οὗτος ὁ
ἄνθρωπος ἤρξατο οἰκοδομεῖν,
καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι.
31 Ἢ τίς βασιλεὺς πορευό-
μενος συμβαλεῖν ἑτέρῳ βασι-
λεῖ εἰς πόλεμον, οὐχὶ καθίσας
πρῶτον βουλεύεται εἰ δυνατός
ἐστιν ἐν δέκα χιλιάσιν ἀπαντῆ-
σαι τῷ μετὰ εἴκοσι χιλιάδων
ἐρχομένῳ ἐπ' αὐτόν;
32 Εἰ δὲ μήγε, ἔτι αὐτοῦ
πόῤῥω ὄντος, πρεσβείαν ἀπο-
στείλας, ἐρωτᾷ τὰ πρὸς εἰρήνην.
33 Οὕτως οὖν, πᾶς ἐξ ὑμῶν
ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς
ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί
μου εἶναι μαθητής.
34 Καλὸν τὸ ἅλας· ἐὰν δὲ
τὸ ἅλας μωρανθῇ, ἐν τίνι
ἀρτυθήσεται;
35 Οὔτε εἰς γῆν, οὔτε εἰς
κοπρίαν εὔθετόν ἐστιν· ἔξω

27 Καὶ ὅποιος δὲν βαστᾷ
τὸν σταυρόν του, καὶ νὰ ἔρχεται
καταπόδι μου, δὲν ἠμπορεῖ νὰ
εἶναι μαθητής μου.
28 Διατὶ ποῖος ἀπὸ ἐσᾶς,
θέλωντας νὰ κτίσῃ ἕνα πύργον,
δὲν καθίζει πρῶτον καὶ λογαρι-
άζει τὴν ἔξοδον, ἂν ἔχῃ νὰ τὸν
τελειώσῃ;
29 Μήπως καὶ βάλει
θεμέλιον, καὶ δὲν ἠμπορέσει
νὰ τὸν τελειώσῃ, καὶ ἀρχίσουν
ὅλοι ὅσοι τὸν βλέπουν νὰ τὸν
περιπαίζουν,
30 Λέγοντες· Ὅτι ἐτοῦτος ὁ
ἄνθρωπος ἄρχισε νὰ κτίζῃ, καὶ
δὲν ἠμπόρεσε νὰ τὸ τελειώσῃ.
31 Ἢ ἕνας βασιλεὺς ὁποῦ
πάγει νὰ κτυπηθῇ μὲ ἄλλον
βασιλέα εἰς πόλεμον, δὲν
καθίζει πρῶτον καὶ συμβου-
λεύεται, ἂν ἠμπορῇ μὲ δέκα
χιλιάδες νὰ ἀπαντήσῃ ἐκεῖνον
ὁποῦ ἔρχεται ἀπάνω του μὲ
εἴκοσι χιλιάδες;
32 Εἰ δὲ μὴ, καὶ δὲν ἠμπορεῖ,
ἀκόμι ὤντας ἐκεῖνος μακρὰ,
στέλλει παρακαλεστάδες, καὶ
παρακαλεῖ (νὰ κάμῃ) εἰρήνην.
33 Ἔτζι λοιπὸν καὶ κάθε
ἕνας ἀπὸ σᾶς, ὁποῦ δὲν ἀποτάσ-
σεται ὅλα του τὰ ὑπάρχοντα,
δὲν δύνεται νὰ εἶναι μαθητής
μου.
34 Καλὸν τὸ ἅλας· ἀμὴ
ἐὰν τὸ ἅλας γένῃ ἀνάλατον,
μὲ τί νὰ ἁλατισθῇ;
35 Οὐδὲ διὰ τὴν γῆν, οὐδὲ
διὰ τὴν κοπρίαν εἶναι καλόν·

βάλλουσιν αὐτό. Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

ἀλλὰ τὸ ῥίχνουσιν ἔξω· Ὅποιος ἔχει αὐτία νὰ ἀκούῃ, ἂς ἀκούῃ.

Κεφ. ιέ. 15.

ἮΣΑΝ δὲ ἐγγίζοντες αὐτῷ πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ, ἀκούειν αὐτοῦ.

2 Καὶ διεγόγγυζον οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς, λέγοντες· Ὅτι οὗτος ἁμαρτωλοὺς προσδέχεται, καὶ συνεσθίει αὐτοῖς.

3 Εἶπε δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην, λέγων·

4 Τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα, καὶ ἀπολέσας ἓν ἐξ αὐτῶν, οὐ καταλείπει τὰ ἐννενηκονταεννέα ἐν τῇ ἐρήμῳ, καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλὸς, ἕως εὕρῃ αὐτό;

5 Καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους ἑαυτοῦ χαίρων;

6 Καὶ ἐλθὼν εἰς τὸν οἶκον, συγκαλεῖ τοὺς φίλους καὶ τοὺς γείτονας, λέγων αὐτοῖς· Συγχάρητέ μοι, ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός.

7 Λέγω ὑμῖν, ὅτι οὕτω χαρὰ ἔσται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐννενηκονταεννέα δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας.

8 Ἢ τίς γυνὴ, δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ αχμὴν μίαν, οὐχὶ ἅπτει

ΚΑῚ ὅλοι οἱ τελῶναι καὶ ἁμαρτωλοὶ ἐπάγεναν καὶ ἐσήμωναν, νὰ τοῦ ἀκούσουν.

2 Καὶ οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς ἐγόγγυζαν, καὶ ἔλεγαν· Ὅτι ἐτοῦτος ἁμαρτωλοὺς ἀνθρώπους δέχεται, καὶ τρώγει μαζύ τους.

3 Καὶ εἶπέν τους τὴν παραβολὴν ἐτούτην, λέγωντας·

4 Ποῖος ἀποτ' ἐσᾶς νὰ εἶχεν ἑκατὸν πρόβατα, καὶ νὰ ἤθελε χάσῃ ἕνα ἀπ' αὐτὰ, δὲν ἀφίνει τὰ ἐννενήκοντα ἐννέα εἰς τὴν ἔρημον, καὶ πάγει εἰς τὸ χαμένον, ἕως ὅπου νὰ τὸ εὕρῃ;

5 Καὶ ὡσὰν τὸ εὕρει τὸ βάνει ἀπάνω εἰς τοὺς νώμους του καὶ χαίρεται.

6 Καὶ ὡσὰν ἔλθῃ εἰς τὸ σπῆτί του, κράζει τοὺς φίλους καὶ τοὺς γειτόνους, καὶ λέγει τους· Χαρεῖτε καὶ ἐσεῖς μετ' ἐμένα, ὅτι εὕρηκα τὸ χαμένον μου πρόβατον.

7 Λέγω σας, ὅτι τέτοιας λογῆς χαρὰ θέλει εἶσθαι εἰς τὸν οὐρανὸν διὰ ἕνα ἁμαρτωλὸν ὅπου μετανοεῖ, παρὰ εἰς τοὺς ἐννενήκοντα ἐννέα δικαίους, οἱ ὁποῖοι δὲν χρειάζονται μετάνοιαν.

8 Ἢ καμία γυναῖκα, ὅπου νὰ ἔχῃ δέκα δραχμὰς, ἂν ἤθελε χάσῃ μίαν δραχμὴν, δὲν

λύχνον, καὶ σαροῖ τὴν οἰκίαν, καὶ ζητεῖ ἐπιμελῶς, ἕως ὅτου εὕρῃ;

9 Καὶ εὑροῦσα συγκαλεῖται τὰς φίλας καὶ τὰς γείτονας, λέγουσα· Συγχάρητέ μοι, ὅτι εὗρον τὴν δραχμὴν ἣν ἀπώλεσα.

10 Οὕτω, λέγω ὑμῖν, χαρὰ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

11 Εἶπε δέ· Ἄνθρωπός τις εἶχε δύο υἱούς.

12 Καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί· Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. Καὶ διεῖλεν αὐτοῖς τὸν βίον.

13 Καὶ μετ᾽ οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς ἀπεδήμησεν εἰς χώραν μακράν· καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως.

14 Δαπανήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην· καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι.

15 Καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης· καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους.

16 Καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν

ἀνάπτει λυχνὸν, καὶ σαρώνει τὸ σπῆτι, καὶ γυρεύει ἐπιμελῶς, ἕως ὁποῦ νὰ τὴν εὕρῃ;

9 Καὶ ὡσὰν τὴν εὕρει, κράζει ταῖς φιλενάδες καὶ ταῖς γειτονισσαίς της, καὶ λέγει· Χαρῆτε καὶ ἐσεῖς μετ᾽ ἐμένα, ὅτι εὕρηκα τὴν δραχμὴν ὁποῦ ἔχασα.

10 Τέτοιας λογῆς, σας λέγω, χαρὰ γίνεται ὀμπροστὰ εἰς τοὺς ἀγγέλους τοῦ Θεοῦ διὰ ἕνα ἁμαρτωλὸν ὁποῦ μετανοεῖ.

11 Καὶ εἶπε· Κάποιος ἄνθρωπος εἶχε δύο υἱούς.

12 Καὶ εἶπεν ὁ μικρότερος ἀπ᾽ αὐτοὺς εἰς τὸν πατέρα του· Ὦ πάτερ, δός μου τὸ μερτικὸν ὁποῦ μοῦ τυχαίνει τῆς κληρονομίας. Καὶ ἐχώρισέν τους τὸν βίον του.

13 Καὶ εἰς ὀλίγαις ἡμέραις ἐμάζωξεν ὅλα ὁ μικρότερος υἱὸς, καὶ ἐμίσευεν εἰς χώραν μακράν· καὶ ἐκεῖ ἐσκόρπισε τὰ πράγματά του, ζῶντας ἀσώτως.

14 Καὶ ὡσὰν τὰ ἐξοδίασεν αὐτὸς ὅλα, ἔγινε πεῖνα μεγάλη εἰς τὴν χώραν ἐκείνην· καὶ αὐτὸς ἄρχισε νὰ γίνεται ἐνδεής.

15 Καὶ ἐπῆγε καὶ ἐκόλλησεν εἰς ἕνα ἀπὸ τοὺς πολίτας τῆς χώρας ἐκείνης· καὶ ἔπεμψέ τον εἰς τὰ χωράφιά του, νὰ βόσκῃ τοὺς χοίρους.

16 Καὶ ἐπεθύμα νὰ γεμίσῃ τὴν κοιλίαν του ἀπὸ τὰ ξυλοκέ-

κερατίων ὧν ἤσθιον οἱ χοῖροι·
καὶ οὐδεὶς ἐδίδου αὐτῷ.
17 Εἰς ἑαυτὸν δὲ ἐλθὼν,
εἶπε· Πόσοι μίσθιοι τοῦ πατρός
μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ
λιμῷ ἀπόλλυμαι;
18 Ἀναστὰς πορεύσομαι
πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ
αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν
οὐρανὸν, καὶ ἐνώπιόν σου.
19 Καὶ οὐκέτι εἰμὶ ἄξιος
κληθῆναι υἱός σου· ποίησόν με
ὡς ἕνα τῶν μισθίων σου.
20 Καὶ ἀναστὰς ἦλθε πρὸς
τὸν πατέρα ἑαυτοῦ. Ἔτι δὲ
αὐτοῦ μακρὰν ἀπέχοντος,
εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ,
καὶ ἐσπλαγχνίσθη· καὶ δραμὼν
ἐπέπεσεν ἐπὶ τὸν τράχηλον
αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν.
21 Εἶπε δὲ αὐτῷ ὁ υἱός·
Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν
καὶ ἐνώπιόν σου, καὶ οὐκέτι
εἰμὶ ἄξιος κληθῆναι υἱός σου.
22 Εἶπε δὲ ὁ πατὴρ πρὸς
τοὺς δούλους αὐτοῦ· Ἐξενέγκατε
τὴν στολὴν τὴν πρώτην, καὶ
ἐνδύσατε αὐτὸν, καὶ δότε δακ-
τύλιον εἰς τὴν χεῖρα αὐτοῦ, καὶ
ὑποδήματα εἰς τοὺς πόδας·
23 Καὶ ἐνέγκαντες τὸν
μόσχον τὸν σιτευτὸν θύσατε·
καὶ φαγόντες εὐφρανθῶμεν.
24 Ὅτι οὗτος ὁ υἱός μου
νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπο-

ρατα ὁποῦ ἔτρωγαν οἱ χοῖροι·
καὶ κανένας δὲν τοῦ ἔδιδε.
17 Καὶ ὡσὰν ἦλθεν εἰς
τὸν ἑαυτόν του, εἶπε· Πόσοι
στειχτοὶ τοῦ πατρός μου
περισσεύουσι ψωμὶ, καὶ ἐγὼ
χάνομαι ἀπὸ τὴν πεῖνα;
18 Ἂς σηκωθῶ καὶ ἂς
πάγω εἰς τὸν πατέρα μου, καὶ
θέλω τοῦ εἰπεῖ· Ὦ πάτερ,
ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ
ἐνώπιόν σου.
19 Καὶ δὲν εἶμαι ἄξιος
νὰ καλεσθῶ υἱός σου· κάμε με
καὶ ἐμένα ὡσὰν ἕνα ἀπὸ τοὺς
στειχτούς σου.
20 Καὶ σηκωνόμενος ἦλθεν
εἰς τὸν πατέρα του. Καὶ
ἀκόμι ὄντας μακρὰ, τὸν εἶδεν
ὁ πατήρ του, καὶ τὸν ἐσπλαγ-
χνίσθη· καὶ ἔτρεξε καὶ ἔπεσεν
εἰς τὸν λαιμόν του, καὶ τὸν
ἐκατεφίλησε.
21 Καὶ λέγει του ὁ υἱός·
Ὦ πάτερ, ἥμαρτον εἰς τὸν
οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ
πλέον δὲν εἶμαι ἄξιος νὰ
καλεσθῶ υἱός σου.
22 Καὶ ὁ πατὴρ εἶπεν εἰς τοὺς
δουλευτάδες του· Εὐγάλετε τὴν
φορεσίαν τὴν πρώτην, καὶ ἐν-
δύσετέ τον, καὶ δότε καὶ δακτυ-
λίδιον εἰς τὸ χέρι του, καὶ ὑπο-
δήματα εἰς τὰ ποδάριά του·
23 Καὶ φέρετε καὶ τὸ μο-
σχάρι τὸ θρεπτὸν καὶ σφά-
ξετε· νὰ φᾶμε, νὰ χαροῦμεν·
24 Ὅτι ἐτοῦτος ὁ υἱός μου
ἦτον νεκρὸς, καὶ ἀνέζησε· καὶ χα-

λωλὼς ἦν, καὶ εὑρέθη. Καὶ
ἤρξαντο εὐφραίνεσθαι.
25 Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ
πρεσβύτερος ἐν ἀγρῷ· καὶ ὡς
ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ,
ἤκουσε συμφωνίας καὶ χορῶν.
26 Καὶ προσκαλεσάμενος
ἕνα τῶν παίδων ἐπυνθάνετο τί
εἴη ταῦτα.
27 Ὁ δὲ εἶπεν αὐτῷ· Ὅτι
ὁ ἀδελφός σου ἥκει· καὶ ἔθυσεν
ὁ πατήρ σου τὸν μόσχον τὸν
σιτευτὸν, ὅτι ὑγιαίνοντα αὐτὸν
ἀπέλαβεν.
28 Ὠργίσθη δὲ, καὶ οὐκ
ἤθελεν εἰσελθεῖν. Ὁ οὖν πατὴρ
αὐτοῦ ἐξελθὼν παρεκάλει αὐ-
τόν.
29 Ὁ δὲ ἀποκριθεὶς εἶπε
τῷ πατρί. Ἰδοὺ, τοσαῦτα ἔτη
δουλεύω σοι, καὶ οὐδέποτε
ἐντολήν σου παρῆλθον, καὶ
ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον,
ἵνα μετὰ τῶν φίλων μου
εὐφρανθῶ·
30 Ὅτε δὲ ὁ υἱός σου
οὗτος, ὁ καταφαγών σου τὸν
βίον μετὰ πορνῶν, ἦλθεν,
ἔθυσας αὐτῷ τὸν μόσχον τὸν
σιτευτόν.
31 Ὁ δὲ εἶπεν αὐτῷ·
Τέκνον, σὺ πάντοτε μετ᾽ ἐμοῦ
εἶ, καὶ πάντα τὰ ἐμὰ, σά
ἐστιν.

μένος, καὶ εὑρέθη. Καὶ ἄρχι-
σαν νὰ εὐφραίνουνται.
25 Καὶ ὁ μεγαλίτερός του
υἱὸς ἦτον εἰς τὸ χωράφι· καὶ
καθὼς ἤρχετο καὶ ἐσήμωσεν
εἰς τὸ σπῆτι, ἄκουσε τραγούδια
καὶ χορούς.
26 Καὶ ἐλάλησεν ἕνα ἀπὸ
τοὺς δουλευτάδες του, καὶ ἐρώτη-
σε τί θέλει νὰ εἶναι αὐτά.
27 Καὶ ἐκεῖνος τοῦ εἶπεν·
Ὅτι ὁ ἀδελφός σου ἦλθε· καὶ ὁ
πατέρας σου ἔσφαξε τὸ μο-
σχάρι τὸ θρεπτὸν, διατὶ τὸν
ἀπόλαυσε γερρόν.
28 Καὶ ὠργίσθη, καὶ δὲν
ἤθελε νὰ ἔμβῃ μέσα. Ὁ
πατήρ του λοιπὸν εὐγένωντας
ἔξω τὸν ἐπαρακάλει.
29 Καὶ ἐκεῖνος ἀπεκρίθη
καὶ εἶπεν τοῦ πατρός του· Νὰ,
τόσους χρόνους ὁποῦ σε δουλεύω,
καὶ οὐδέ ποτέ δὲν ἐπαρήκουσα
τὴν ἐντολήν σου, καὶ ἐμένα
καμίαν φορὰν δὲν μοῦ ἔδωκες
ἕνα κατζίκι, νὰ εὐφρανθῶ καὶ
ἐγὼ μὲ τοὺς φίλους μου·
30 Καὶ τῶρα διατὶ ἦλθεν
ὁ υἱός σου ἐτοῦτος, ὁποῦ ἐκα-
τάφαγε τὸν βίον σου μὲ ταῖς
πόρναις, ἔσφαξες τὸ μοσχάρι
τὸ θρεπτὸν διὰ τὴν ἀγάπην
του.
31 Καὶ ἐκεῖνος τοῦ εἶπεν·
Ὦ παιδί μου, ἐσὺ πάντοτε
μετ᾽ ἐμένα εἶσαι, καὶ ὅλα
τὰ ἐδικά μου, ἐδικά σου
εἶναι.

32 Εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη.

32 Ἀμὴ ἔπρεπε νὰ χαροῦμεν καὶ νὰ εὐφρανθοῦμεν, ὅτι ὁ ἀδελφός σου ἐτοῦτος ἦτον νεκρὸς, καὶ ἀνέζησε· καὶ χαμένος, καὶ εὑρέθη.

Κεφ. ιϛ'. 16.

Ἔλεγε δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Ἄνθρωπός τις ἦν πλούσιος, ὃς εἶχεν οἰκονόμον· καὶ οὗτος διεβλήθη αὐτῷ ὡς διασκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ.

Καὶ ἔλεγεν εἰς τοὺς μαθητάδες του ὁ Χριστός· Κάποιος ἄνθρωπος πλούσιος εἶχεν ἕνα οἰκονόμον· καὶ διεβάλθη εἰς αὐτὸν, πῶς σκορπίζει τὰ ὑπάρχοντά του.

2 Καὶ φωνήσας αὐτὸν, εἶπεν αὐτῷ· Τί τοῦτο ἀκούω περὶ σοῦ; ἀπόδος τὸν λόγον τῆς οἰκονομίας σου· οὐ γὰρ δυνήσῃ ἔτι οἰκονομεῖν.

2 Καὶ φωνάζωντάς τον, τοῦ εἶπε· Τί εἶναι ἐτοῦτα ὁποῦ ἀκούω διὰ λόγου σου; δός μου λογαριασμὸν διὰ τὴν οἰκονομίαν ὁποῦ ἔκαμες· διατὶ δὲν θέλεις ἠμπορέσει πλέον νὰ οἰκονιμᾶς.

3 Εἶπε δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος· Τί ποιήσω, ὅτι ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ' ἐμοῦ; σκάπτειν οὐκ ἰσχύω, ἐπαιτεῖν αἰσχύνομαι.

3 Καὶ ὁ οἰκονόμος εἶπε μέσα του· Τί νὰ κάμω, ἐπειδὴ πέρνει ὁ αὐθέντης μου τὴν οἰκονομίαν ἀπὸ τοῦ λόγου μου; νὰ σκάπτω δὲν δύνομαι· νὰ ζητῶ ἐντρέπομαι.

4 Ἔγνων τί ποιήσω, ἵνα ὅταν μετασταθῶ τῆς οἰκονομίας, δέξωνταί με εἰς τοὺς οἴκους αὐτῶν.

4 Ἰξεύρω τὶ θέλω κάμει, διὰ νὰ μὲ δεχθοῦσι τινὲς εἰς τὰ σπήτιά τους, ὅταν ἀλλαχθῶ ἀπὸ τὴν οἰκονομίαν.

5 Καὶ προσκαλεσάμενος ἕνα ἕκαστον τῶν χρεωφειλετῶν τοῦ κυρίου ἑαυτοῦ, ἔλεγε τῷ πρώτῳ· Πόσον ὀφείλεις τῷ κυρίῳ μου;

5 Καὶ προσκαλῶντας κάθε ἕνα ἀπὸ τοὺς χρεωφειλέτας τοῦ αὐθεντός του, εἶπεν εἰς τὸν πρῶτον· Πόσα χρεωστεῖς τοῦ αὐθεντός μου;

6 Ὁ δὲ εἶπεν· Ἑκατὸν βάτους ἐλαίου. Καὶ εἶπεν αὐτῷ· Δέξαι σου τὸ γράμμα, καὶ κα-

6 Καὶ ἐκεῖνος εἶπεν· Ἑκατὸν μέτρα λάδι. Καὶ λέγει του· Ἔπαρε τὴν ἀπόδειξίν σου, καὶ

θίσας ταχέως γράψον πεντήκοντα.

7 Ἔπειτα ἑτέρῳ εἶπε· Σὺ δὲ πόσον ὀφείλεις; Ὁ δὲ εἶπεν· Ἑκατὸν κόρους σίτου. Καὶ λέγει αὐτῷ· Δέξαι σου τὸ γράμμα, καὶ γράψον ὀγδοήκοντα.

8 Καὶ ἐπῄνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδικίας, ὅτι φρονίμως ἐποίησεν· ὅτι οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεὰν τὴν ἑαυτῶν εἰσι.

9 Κἀγὼ ὑμῖν λέγω· Ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας· ἵνα ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς.

10 Ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστι· καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος, καὶ ἐν πολλῷ ἄδικός ἐστιν.

11 Εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει;

12 Καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει;

13 Οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς

κάθισε γλίγωρα καὶ γράψε πενῆντα.

7 Καὶ εἰς τὸν ἄλλον εἶπεν· Καὶ ἐσὺ πόσα χρεωστεῖς; Καὶ ἐκεῖνος εἶπεν· Ἑκατὸν κοιλὰ σιτάρι. Καὶ λέγει του· Ἔπαρε τὴν ἀπόδειξίν σου, καὶ γράψε ὀγδοήκοντα.

8 Καὶ ἐπαίνεσεν ὁ αὐθέντης τὸν οἰκονόμον τῆς ἀδικίας, ὅτι φρόνιμα ἐπορεύθηκε· διατὶ οἱ υἱοὶ τοῦ αἰῶνος τούτου εἶναι φρονιμώτεροι περισσότερον ἀπὸ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεάν τους.

9 Καὶ ἐγὼ σᾶς λέγω· Κάμετε φίλους εἰς τοῦ λόγου σας ἀπὸ τὸν πλοῦτον τῆς ἀδικίας· καὶ ὁπόταν ἀποθάνετε, θέλουν σᾶς δεχθῆ εἰς τὰς αἰωνίους σκηνάς.

10 Ἐκεῖνος ὁπου εἶναι ἐμπιστευμένος εἰς τὸ ὀλίγον, καὶ εἰς τὸ πολὺ ἐμπιστευμένος εἶναι· καὶ ἐκεῖνος ὁπου εἶναι ἄδικος εἰς τὸ ὀλίγον, καὶ εἰς τὸ πολὺ ἄδικος εἶναι.

11 Ἂν λοιπὸν εἰς τὸν ἄδικον πλοῦτον δὲν ἐγενήκετε ἐμπιστευμένοι, ποῖος θέλει σᾶς ἐμπιστευθῆ τὸν ἀληθινόν;

12 Καὶ ἐὰν εἰς τὰ ξένα δὲν ἐγενήκετε ἐμπιστευμένοι, τὸν ἐδικόν σας πλοῦτον τίς θέλει σᾶς τὸν δώσει;

13 Κανένας δουλευτὴς δὲν δύνεται νὰ δουλεύῃ δύο αὐθεντάδες· διατὶ ἢ τὸν ἕνα θέλει μισήσει, καὶ τὸν ἄλλον

ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει· οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ.

14 Ἤκουον δὲ ταῦτα πάντα καὶ οἱ Φαρισαῖοι, φιλάργυροι ὑπάρχοντες· καὶ ἐξεμυκτήριζον αὐτόν.

15 Καὶ εἶπεν αὐτοῖς· Ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων· ὁ δὲ Θεὸς γινώσκει τὰς καρδίας ὑμῶν· ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν, βδέλυγμα ἐνώπιον τοῦ Θεοῦ ἐστιν.

16 Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου· ἀπὸ τότε ἡ βασιλεία τοῦ Θεοῦ εὐαγγελίζεται, καὶ πᾶς εἰς αὐτὴν βιάζεται.

17 Εὐκοπώτερον δὲ ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν.

18 Πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ, καὶ γαμῶν ἑτέραν, μοιχεύει· καὶ πᾶς ὁ ἀπολελυμένην ἀπὸ ἀνδρὸς γαμῶν, μοιχεύει.

19 Ἄνθρωπος δέ τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς.

20 Πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο

θέλει ἀγαπήσει· ἢ τὸν ἕνα θέλει διαλέξει, καὶ τὸν ἄλλον θέλει καταφρονέσει· δὲν δύνεσθε νὰ δουλεύετε Θεὸν καὶ πλοῦτον.

14 Καὶ οἱ Φαρισαῖοι ἤκουσαν ἐτοῦτα ὅλα, καὶ τὸν ἐγελοῦσαν· διατὶ ἦταν φιλάργυροι.

15 Καὶ λέγει τους· Ἐσεῖς εἶσθε ὁποῦ δικαιώνετε τοῦ λόγου σας ὀμπροστὰ εἰς τοὺς ἀνθρώπους· ἀμὴ ὁ Θεὸς γνωρίζει ταῖς καρδίαις σας· διατὶ ἐκεῖνο ὁποῦ εἶναι ὑψηλὸν ὀμπροστὰ εἰς τοὺς ἀνθρώπους, εἶναι συγχασία ὀμπροστὰ εἰς τὸν Θεόν.

16 Ὁ νόμος καὶ οἱ προφῆται ἕως τὸν καιρὸν τοῦ Ἰωάννου ἦταν· ἀπὸ τότε ἡ βασιλεία τοῦ Θεοῦ εὐαγγελίζεται, καὶ κάθε ἄνθρωπος εἰς αὐτὴν βιάζεται.

17 Εὐκολώτερον εἶναι νὰ παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, παρὰ νὰ πέσῃ ἀπὸ τὸν νόμον μία ἄκρη.

18 Κάθε ἄνθρωπος ὁποῦ ἀφήσει τὴν γυναῖκά του, καὶ πανδρευθῇ ἄλλην, εἶναι μοιχός· καὶ κάθε ἕνας ὁποῦ πανδρεύεται γυναῖκα ἀπολελυμένην ἀπὸ τὸν ἄνδρα της, μοιχεύει.

19 Καὶ κάποιος ἄνθρωπος ἦτον πλούσιος, καὶ ἐνδύνετον κόκκινα καὶ βύσσινα φορέματα, καὶ εὐφραίνετον καθ' ἡμέραν λαμπρῶς.

20 Καὶ ἦτον καὶ ἕνας πτωχὸς τὸ ὄνομά του Λάζαρος, ὁ

πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος.

21 Καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ.

22 Ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν, καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον τοῦ Ἀβραάμ· ἀπέθανε δὲ καὶ ὁ πλούσιος, καὶ ἐτάφη.

23 Καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν, καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ.

24 Καὶ αὐτὸς φωνήσας εἶπε· Πάτερ Ἀβραὰμ ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσσάν μου· ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ.

8 Καὶ (ὁ Χριστὸς) ἔστειλε τὸν Πέτρον καὶ Ἰωάννην, καὶ εἶπεν· Ὑπάγετε καὶ ἑτοιμάσετέ μας διὰ νὰ φᾶμε τὸ πάσχα.

9 Οἱ δὲ εἶπον αὐτῷ· Ποῦ
θέλεις ἑτοιμάσωμεν;
10 Ὁ δὲ εἶπεν αὐτοῖς· Ἰδού,
εἰσελθόντων ὑμῶν εἰς τὴν πό-
λιν, συναντήσει ὑμῖν ἄνθρωπος
κεράμιον ὕδατος βαστάζων·
ἀκολουθήσατε αὐτῷ εἰς τὴν
οἰκίαν οὗ εἰσπορεύεται.
11 Καὶ ἐρεῖτε τῷ οἰκοδεσ-
πότῃ τῆς οἰκίας· Λέγει σοι ὁ
διδάσκαλος· Ποῦ ἐστι τὸ κα-
τάλυμα ὅπου τὸ πάσχα μετὰ
τῶν μαθητῶν μου φάγω;
12 Κἀκεῖνος ὑμῖν δείξει
ἀνώγεον μέγα ἐστρωμένον· ἐκεῖ
ἑτοιμάσατε.
13 Ἀπελθόντες δὲ εὗρον
καθὼς εἴρηκεν αὐτοῖς· καὶ
ἡτοίμασαν τὸ πάσχα.
14 Καὶ ὅτε ἐγένετο ἡ ὥρα,
ἀνέπεσε, καὶ οἱ δώδεκα ἀπόστο-
λοι σὺν αὐτῷ.
15 Καὶ εἶπε πρὸς αὐτούς·
Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο
τὸ πάσχα φαγεῖν μεθ᾽ ὑμῶν
πρὸ τοῦ με παθεῖν.
16 Λέγω γὰρ ὑμῖν, ὅτι
οὐκέτι οὐ φάγω ἐξ αὐτοῦ, ἕως
ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ
τοῦ Θεοῦ.
17 Καὶ δεξάμενος ποτή-
ριον, εὐχαριστήσας εἶπε· Λά-
βετε τοῦτο, καὶ διαμερίσατε
ἑαυτοῖς·
18 Λέγω γὰρ ὑμῖν, ὅτι οὐ μὴ

9 Καὶ ἐκεῖνοι τοῦ εἶπαν·
Ποῦ θέλεις νὰ ἑτοιμάσωμεν;
10 Καὶ ἐκεῖνος τοὺς εἶπεν·
Εὐθὺς ὁποῦ ἐσεῖς ἐμβῆτε εἰς τὴν
πόλιν, θέλει σᾶς ἀπαντήσει
ἕνας ἄνθρωπος, ὁ ὁποῖος ση-
κώνει ἕνα λαγήνι νερό· καὶ
ἀκολουθήσετέ του ἕως εἰς τὸ
σπῆτι ὁποῦ ἐμβαίνει.
11 Καὶ θέλετε εἰπεῖ εἰς τὸν
οἰκοκύριον τοῦ σπητίου· Ὁ διδά-
σκαλος σοῦ λέγει· Ποῦ εἶναι τὸ
κατοίκημα, ὁποῦ μέλλω νὰ φά-
γω τὸ πάσχα μαζὺ μὲ τοὺς
μαθητάδες μου;
12 Καὶ ἐκεῖνος θέλει σᾶς
δείξει ἀνώγεον μεγάλον στρω-
μένον· ἐκεῖ ἑτοιμάσετε.
13 Καὶ ὡσὰν ἐπῆγαν, εὕ-
ρηκαν καθὼς τοὺς εἶπε· καὶ
ἑτοίμασαν τὸ πάσχα.
14 Καὶ ὅταν ἦλθεν ἡ ὥρα,
ἐκάθισε, καὶ οἱ δώδεκα ἀπόστο-
λοι μαζὺ μετ᾽ αὐτόν.
15 Καὶ εἶπέν τους· Μὲ μεγά-
λην ἐπιθυμίαν ἐπεθύμησα νὰ
φάγω τοῦτο τὸ πάσχα μετ᾽
ἐσᾶς, πρὸ τοῦ νὰ πάθω.
16 Διατὶ σᾶς λέγω, ὅτι
πλέον δὲν θέλω φάγει ἀπ᾽
αὐτό, ἕως ὁποῦ νὰ τελειωθῇ
εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.
17 Καὶ ἐπῆρε ποτήριον, καὶ
εὐχαρίστησε καὶ εἶπεν· Ἐπάρετε
τοῦτο, καὶ διαμοιρασθῆτέ το
ἀνάμεσά σας·
18 Διατὶ σᾶς λέγω, ὅτι

πίω ἀπὸ τοῦ γεννήματος τῆς ἀμπέλȣ, ἕως ὅτȣ ἡ βασιλεία τοῦ Θεȣ̃ ἔλθη.

19 Καὶ λαβὼν ἄρτον, εὐχαριστήσας ἔκλασε· καὶ ἔδωκεν αὐτοῖς, λέγων· Τȣ̃τό ἐστι τὸ σῶμά μȣ, τὸ ὑπὲρ ὑμῶν διδόμενον· τȣ̃το ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

20 Ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι, λέγων· Τȣ̃το τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μȣ, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον.

21 Πλὴν ἰδȣ̀, ἡ χεὶρ τοῦ παραδιδόντος με μετ' ἐμȣ̃ ἐπὶ τῆς τραπέζης.

22 Καὶ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπȣ πορεύεται κατὰ τὸ ὡρισμένον· πλὴν ȣ̓αὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' ȣ̃ παραδίδοται.

23 Καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτȣ̀ς, τὸ, τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τȣ̃το μέλλων πράσσειν.

24 Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ, τίς αὐτῶν δοκεῖ εἶναι μείζων.

25 Ὁ δὲ εἶπεν αὐτοῖς· Οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύȣσιν αὐτῶν· καὶ οἱ ἐξȣσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται.

26 Ὑμεῖς δὲ ȣ̓χ ȣ̈τως· ἀλλ'

δὲν θέλω πίει ἀπὸ τὸ γέννημα τῆς ἀμπέλȣ, ἕως ὁπȣ̃ νὰ ἔλθη ἡ βασιλεία τοῦ Θεȣ̃.

19 Καὶ πέρνωντας ψωμὶ, καὶ εὐχαριστῶντας τὸ ἔκοψε· καὶ τȣ̀ς ἔδωκε, καὶ εἶπε· τȣ̃το εἶναι τὸ κορμί μȣ, ὁπȣ̃ δίδεται διὰ λόγȣ σας· ἐτȣ̃το κάμετε εἰς τὴν ἐνθύμησίν μȣ.

20 Ὁμοίως ἐπῆρε καὶ τὸ ποτήριον, καὶ τȣ̀ς τὸ ἔδωκε, ὕστερον ἀφόντις ἐδείπνησε, λέγωντας· Τȣ̃το τὸ ποτήριον εἶναι ἡ καινȣ́ρια διαθήκη εἰς τὸ αἷμά μȣ, τὸ ὁποῖον χύνεται διὰ λόγȣ σας.

21 Ὅμως νὰ, τὸ χέρι ἐκείνȣ ὁπȣ̃ μὲ παραδίνει, εἶναι μαζύ μȣ εἰς τὸ τραπέζι.

22 Καὶ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπȣ παγένει καθὼς εἶναι ὡρισμένον· ὅμως ἀειλύμομον εἰς τὸν ἄνθρωπον ἐκεῖνον, διὰ μέσȣ τοῦ ὁποίȣ παραδίδεται.

23 Καὶ αὐτοὶ ἄρχισαν νὰ γυρεύȣν ἀνάμεσα τȣς, τὸ, ποῖος ἄρα νὰ εἶναι ἀπ' αὐτȣ̀ς ὁπȣ̃ μέλλει νὰ κάμη ἐτȣ̃το.

24 Καὶ ἔγινε καὶ φιλονεικία εἰς αὐτȣ̀ς, τὸ, ποῖος ἀπ' αὐτȣ̀ς νὰ εἶναι ὁ μεγαλίτερος.

25 Καὶ ὁ Ἰησȣ̃ς τȣ̀ς εἶπεν· οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύȣσιν αὐτὰ τὰ ἔθνη· καὶ ἐκεῖνοι ὁπȣ̃ τὰ ἐξȣσιάζȣσι κράζονται εὐεργέται.

26 Ἀμὴ ἐσεῖς δὲν εἶσθε

ὁ μείζων ἐν ὑμῖν, γενέσθω ὡς ὁ νεώτερος· καὶ ὁ ἡγούμενος, ὡς ὁ διακονῶν.

27 Τίς γὰρ μείζων, ὁ ἀνακείμενος, ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν.

28 Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου.

29 Κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς διέθετό μοι ὁ πατήρ μου, βασιλείαν·

30 Ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ καθίσησθε ἐπὶ θρόνων, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

31 Εἶπε δὲ ὁ Κύριος· Σίμων, Σίμων, ἰδοὺ, ὁ σατανᾶς ἐξητήσατο ὑμᾶς, τοῦ σινιάσαι ὡς τὸν σῖτον·

32 Ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου.

33 Ὁ δὲ εἶπεν αὐτῷ· Κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς

ἔτζι· ἀλλὰ ὁ μεγαλίτερος ἀνάμεσά σας, ἂς γένει ὡσὰν ὁ μικρότερος· καὶ ὁ προεστὼς, ὡσὰν ὁ ὑπηρέτης.

27 Διατὶ ποῖος εἶναι μεγαλίτερος, ἐκεῖνος ὁποῦ κάθεται, ἢ ἐκεῖνος ὁποῦ ὑπηρετᾷ; δὲν εἶναι μεγαλίτερος ἐκεῖνος ὁποῦ κάθεται; ἀλλὰ ἐγὼ εἶμαι εἰς τὴν μέσην σας ὡσὰν ἐκεῖνος ὁποῦ ὑπηρετᾷ.

28 Καὶ ἐσεῖς εἶσθε ἐκεῖνοι ὁποῦ ἐμείνετε πάντοτε μαζύ μου εἰς τοὺς πειρασμούς μου.

29 Καὶ καθὼς ὁ πατήρ μου διέθεσεν εἰς ἐμένα τὴν βασιλείαν, ἔτζι καὶ ἐγὼ διαθέτω ἐκείνην εἰς ἐσᾶς·

30 Νὰ τρώγετε καὶ νὰ πίνετε εἰς τὸ τραπέζι μου εἰς τὴν βασιλείαν μου· καὶ νὰ καθίσετε εἰς τοὺς θρόνους, νὰ κρίνετε τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

31 Καὶ ὁ Κύριος εἶπε· Σίμων, Σίμων, νὰ, ὁ σατανᾶς ὁποῦ σᾶς ἐζήτησε νὰ σᾶς κοσκινίσῃ ὡσὰν ὁποῦ κοσκινίζουν τὸ σιτάρι·

32 Καὶ ἐγὼ ἐπαρακάλεσα διὰ λόγου σου, διὰ νὰ μὴν ἐκλείπῃ ἡ πίστις σου· καὶ ἐσὺ τότε ὡσὰν γυρίσῃς, στήριξε τοὺς ἀδελφούς σου.

33 Καὶ ὁ Πέτρος τοῦ εἶπεν· Αὐθέντη, ἕτοιμος εἶμαι μετὰ

φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι.

34 Ὁ δὲ εἶπε· Λέγω σοι, Πέτρε, οὐ μὴ φωνήσει σήμερον ἀλέκτωρ, πρὶν ἢ τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με.

35 Καὶ εἶπεν αὐτοῖς· Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου, καὶ πήρας, καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε; Οἱ δὲ εἶπον· Οὐδενός.

36 Εἶπεν οὖν αὐτοῖς· Ἀλλὰ νῦν, ὁ ἔχων βαλάντιον, ἀράτω, ὁμοίως καὶ πήραν· καὶ ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν.

37 Λέγω γὰρ ὑμῖν, ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοί, τό· Καὶ μετὰ ἀνόμων ἐλογίσθη· Καὶ γὰρ τὰ περὶ ἐμοῦ τέλος ἔχει.

38 Οἱ δὲ εἶπον· Κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἱκανόν ἐστι.

39 Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν Ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ.

40 Γενόμενος δὲ ἐπὶ τοῦ τόπου, εἶπεν αὐτοῖς· Προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν.

σένα νὰ πάγω καὶ εἰς τὴν φυλακὴν καὶ εἰς τὸν θάνατον.

34 Καὶ ἐκεῖνος τοῦ εἶπεν· Λέγω σου, Πέτρε, ὅτι πρὸ τοῦ νὰ λαλήσῃ ὁ πετεινὸς σήμερον, θέλεις ἀρνηθῇ τρεῖς φοραῖς πῶς δέν με ἰξεύρεις.

35 Καὶ εἶπέν τους· Ὅταν σᾶς ἔστειλα χωρὶς πουγγὶ, καὶ σακκοῦλι, καὶ ὑποδήματα, μήνα ὑστερηθήκετε τίποτες; Καὶ ἐκεῖνοι τοῦ εἶπαν· Τίποτες δέν μας ἔλειψε.

36 Εἶπέν τους λοιπόν· Ἀλλὰ τώρα, ὅποιος ἔχει πουγγὶ, ἂς τὸ πάρει· τὸν ὅμοιον τρόπον καὶ ὅποιος ἔχει σακκοῦλι, ἂς τὸ πάρει· καὶ ὅποιος δὲν ἔχει σπαθὶ, ἂς πουλήσει τὸ φόρεμά του, καὶ ἂς ἀγοράσει σπαθί.

37 Διατὶ σᾶς λέγω, ὅτι ἀκόμι ἐτοῦτο τὸ γραμμένον κάμνει χρεία νὰ τελειωθῇ εἰς ἐμένα, τό· Πῶς ἐλογαριάσθη μὲ τοὺς ἀνόμους. Διατὶ ἐκεῖνα ὁποῦ εἶναι γραμμένα διὰ λόγου μου τελειώνουνται.

38 Καὶ ἐκεῖνοι τοῦ εἶπαν· Αὐθέντη, νὰ ἐδῶ δύο σπαθία. Καὶ ἐκεῖνος τοὺς εἶπεν· Φθάνει.

39 Καὶ ὡσὰν εὐγῆκεν ἔξω ἰδιέβη κατὰ τὴν συνήθειαν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν· καὶ ἀκολούθησάν τον καὶ οἱ μαθητάδες του.

40 Καὶ παγένοντας εἰς τὸν τόπον, τοὺς εἶπε· Προσεύχεσθε νὰ μὴν πέσετε εἰς πειρασμόν.

41 Καὶ αὐτὸς ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολὴν, καὶ θεὶς τὰ γόνατα προσηύχετο,

42 Λέγων· Πάτερ, εἰ βούλει παρενεγκεῖν τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γενέσθω.

43 Ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ ἐνισχύων αὐτόν.

44 Καὶ γενόμενος ἐν ἀγωνίᾳ, ἐκτενέστερον προσηύχετο· ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν.

45 Καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς, ἐλθὼν πρὸς τοὺς μαθητὰς αὐτοῦ, εὗρεν αὐτοὺς κοιμωμένους ἀπὸ τῆς λύπης.

46 Καὶ εἶπεν αὐτοῖς· Τί καθεύδετε; ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν.

47 Ἔτι δὲ αὐτοῦ λαλοῦντος, ἰδοὺ ὄχλος, καὶ ὁ λεγόμενος Ἰούδας, εἷς τῶν δώδεκα, προήρχετο αὐτῶν, καὶ ἤγγισε τῷ Ἰησοῦ φιλῆσαι αὐτόν.

48 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως;

49 Ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον, εἶπον αὐτῷ· Κύριε,

41 Καὶ αὐτὸς ἀνεχώρησε μακρὰ ἀπ' αὐτοὺς ὡς μίαν πετροβολίαν τόπον· καὶ γονατίζωντας ἐπροσεύχετον,

42 Λέγωντας· Ὦ πάτερ, ἂν θέλῃς, νὰ περάσῃ τοῦτο τὸ ποτήρι ἀπὸ λόγου μου· ὅμως ὄχι τὸ θέλημά μου, ἀλλὰ τὸ ἐδικόν σου ἃς γένει.

43 Καὶ ἐφάνη εἰς αὐτὸν ἄγγελος ἀπὸ τὸν οὐρανὸν ὁ ὁποῖος τὸν ἐδυνάμωνε.

44 Καὶ ἔστωντας νὰ ἔλθῃ εἰς στενοχωρίαν, ἐπροσεύχετον πλέον σφοδρότερον· καὶ ὁ ἵδρως του ἔγινεν ὡσὰν κόμποι αἵματος καὶ ἔπεφταν εἰς τὴν γῆν.

45 Καὶ ὡσὰν ἐσηκώθη ἀπὸ τὴν προσευχὴν, ἦλθεν εἰς τοὺς μαθητάδες του, καὶ τοὺς ηὗρεν ὁποῦ ἐκοιμοῦνταν ἀπὸ τὴν λύπην τους.

46 Καὶ τοὺς εἶπε· Τί κοιμᾶσθε; σηκῶτε, προσεύχεσθε, διὰ νὰ μὴν ἐμβῆτε εἰς πειρασμόν.

47 Καὶ ἀκόμι ἐκεῖ ὁποῦ τὸ ἔλεγε, καὶ νὰ ὄχλος καὶ ἔφθασε, καὶ ὁ λεγόμενος Ἰούδας ἕνας ἀπὸ τοὺς δώδεκα ἐπάγαινεν ὀμπροστὰ ἀπ' αὐτούς· καὶ ἐσήμωσεν εἰς τὸν Ἰησοῦν νὰ τὸν φιλήσῃ.

48 Καὶ ὁ Ἰησοῦς τοῦ εἶπεν· Ὦ Ἰούδα, μὲ φίλημα παραδίδεις τὸν υἱὸν τοῦ ἀνθρώπου;

49 Καὶ ὡσὰν εἶδαν ἐκεῖνοι ὁποῦ ἦταν τριγύρω του ἐκεῖνο

εἰ πατάξομεν ἐν μαχαίρᾳ;

50 Καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ οὖς τὸ δεξιόν.

51 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Ἐᾶτε ἕως τούτου. Καὶ ἁψάμενος τοῦ ὠτίου αὐτοῦ, ἰάσατο αὐτόν.

52 Εἶπε δὲ ὁ Ἰησοῦς πρὸς τοὺς παραγινομένους ἐπ' αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσβυτέρους· Ὡς ἐπὶ λῃστὴν ἐξεληλύθατε μετὰ μαχαιρῶν καὶ ξύλων;

53 Καθ' ἡμέραν ὄντος μου μεθ' ὑμῶν ἐν τῷ ἱερῷ, οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ' ἐμέ· ἀλλ' αὕτη ὑμῶν ἐστιν ἡ ὥρα, καὶ ἡ ἐξουσία τοῦ σκότους.

54 Συλλαβόντες δὲ αὐτὸν ἤγαγον, καὶ εἰσήγαγον αὐτὸν εἰς τὸν οἶκον τοῦ ἀρχιερέως· Ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν.

55 Ἁψάντων δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς, καὶ συγκαθισάντων αὐτῶν, ἐκάθητο ὁ Πέτρος ἐν μέσῳ αὐτῶν.

56 Ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς, καὶ ἀτενίσασα αὐτῷ, εἶπε· Καὶ οὗτος σὺν αὐτῷ ἦν.

57 Ὁ δὲ ἠρνήσατο αὐτὸν, λέγων· Γύναι, οὐκ οἶδα αὐτόν.

ὁποῦ ἔμελλε νὰ γένῃ, λέγουν του· Αὐθέντη, θέλεις νὰ κτυπήσωμεν μὲ τὸ σπαθί;

50 Καὶ ἕνας ἀπ' αὐτοὺς ἐκτύπησε τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφαίρεσε τὸ αὐτί του τὸ δεξιόν.

51 Καὶ ὁ Ἰησοῦς ἀπεκρίθη, καὶ εἶπεν· Ἀφῆτε, φθάνει ἕως ἐδῶ. Καὶ ἐπίασε τὸ αὐτί του, καὶ τὸν ἰάτρευσε.

52 Καὶ ὁ Ἰησοῦς εἶπε πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς στρατηγοὺς τοῦ ἱεροῦ, καὶ τοὺς πρεσβυτέρους, ὁποῦ ἦλθαν ἀπάνω του· Ὡσὰν εἰς λῃστὴν εὐγήκετε εἰς ἐμένα μὲ σπαθία καὶ μὲ ξύλα;

53 Καθ' ἡμέραν ἤμουν μετ' ἐσᾶς εἰς τὸ ἱερὸν, καὶ δὲν ἁπλώσετε τὰ χέριά σας ἀπάνω μου· ἀμὴ ἐτούτη εἶναι ἡ ὥρα σας, καὶ ἡ ἐξουσία τοῦ σκότους.

54 Καὶ ὡσὰν τὸν ἐπίασαν, ἤφεραν καὶ ἔμβασάν τον εἰς τὸ σπῆτι τοῦ ἀρχιερέως. Καὶ ὁ Πέτρος ἀκολούθα ἀπὸ μακρά·

55 Καὶ ἔστωντας νὰ ἀνάψουν φωτία εἰς τὴν μέσην τῆς αὐλῆς, ἐκάθισαν μαζὺ, καὶ ὁ Πέτρος ἐκάθετον εἰς τὴν μέσην τους.

56 Καὶ ὡσὰν τὸν εἶδε μία κοπέλα ὁποῦ ἐκάθετον αὐτὸς εἰς τὴν φωτία, καὶ ἀτένισεν εἰς αὐτὸν, εἶπε· Καὶ ἐτοῦτος μαζὺ μετ' αὐτὸν ἦτον.

57 Καὶ ὁ Πέτρος τὸν ἀρνήθη, λέγωντας· Ὦ γυναῖκα, δὲν τὸν ἠξεύρω.

58 Καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν, ἔφη· Καὶ σὺ ἐξ αὐτῶν εἶ. Ὁ δὲ Πέτρος εἶπεν· Ἄνθρωπε, οὐκ εἰμί.

59 Καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς, ἄλλος τις διϊσχυρίζετο, λέγων· Ἐπ' ἀληθείας καὶ οὗτος μετ' αὐτοῦ ἦν· καὶ γὰρ Γαλιλαῖός ἐστιν.

60 Εἶπε δὲ ὁ Πέτρος· Ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις. Καὶ παραχρῆμα, ἔτι λαλοῦντος αὐτοῦ, ἐφώνησεν ὁ ἀλέκτωρ.

61 Καὶ στραφεὶς ὁ Κύριος ἐνέβλεψε τῷ Πέτρῳ· καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ λόγου τοῦ Κυρίου, ὡς εἶπεν αὐτῷ· Ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, ἀπαρνήσῃ με τρίς.

62 Καὶ ἐξελθὼν ἔξω ὁ Πέτρος ἔκλαυσε πικρῶς.

63 Καὶ οἱ ἄνδρες οἱ συνέχοντες τὸν Ἰησοῦν, ἐνέπαιζον αὐτῷ, δέροντες.

64 Καὶ περικαλύψαντες αὐτὸν, ἔτυπτον αὐτοῦ τὸ πρόσωπον· καὶ ἐπηρώτων αὐτὸν, λέγοντες· Προφήτευσον τίς ἐστιν ὁ παίσας σε.

65 Καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς αὐτόν.

66 Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, ἀρχιερεῖς τε καὶ γραμματεῖς, καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ συνέδριον ἑαυτῶν,

67 Λέγοντες· Εἰ σὺ εἶ ὁ

58 Καὶ ὡσὰν ἐπέρασεν ὀλίγον, τὸν εἶδεν ἄλλος, καὶ εἶπε· Καὶ σὺ ἀπ' αὐτοὺς εἶσαι. Καὶ ὁ Πέτρος εἶπεν· Ὦ ἄνθρωπε, δὲν εἶμαι.

59 Καὶ περνῶντας ἕως μία ὥρα, κάποιος ἄλλος τὸ ἐβεβαίωνε, καὶ ἔλεγεν· Ἐπ' ἀληθείας καὶ ἐτοῦτος μετ' αὐτὸν ἦτον· διατὶ Γαλιλαῖος εἶναι.

60 Καὶ ὁ Πέτρος εἶπεν· Ἄνθρωπε, δὲν ἰξεύρω τί λέγεις. Καὶ παρευθὺς, ἀκόμι ἐκεῖ ὁποῦ τὸ ἔλεγε, καὶ ὁ πετεινὸς ἐλάλησε.

61 Καὶ γυρίζωντας ὁ Κύριος εἶδε εἰς τὸν Πέτρον· καὶ ὁ Πέτρος ἀναθυμήθη τὸν λόγον τοῦ Κυρίου, ὁποῦ τοῦ εἶπεν· Ὅτι πρὸ τοῦ νὰ λαλήσῃ ὁ πετεινὸς, θέλεις μὲ ἀρνηθῇ τρεῖς φοραῖς.

62 Καὶ εὐγῆκεν ἔξω ὁ Πέτρος καὶ ἔκλαυσε πικρά.

63 Καὶ οἱ ἄνδρες ὁποῦ ἐκρατοῦσαν τὸν Ἰησοῦν, τὸν ἀνέμπαιζαν καὶ τὸν ἔδερναν.

64 Καὶ σκεπάζοντές τον, τοῦ ἐκτυποῦσαν εἰς τὸ πρόσωπον, καὶ ἔλεγαν· Προφήτευσε τίς εἶναι ὁποῦ σοῦ ἐκτύπησε.

65 Καὶ ἄλλα πολλὰ βλασφημοῦντες ἔλεγαν εἰς αὐτόν.

66 Καὶ ὡσὰν ἐξημέρωσεν, ἐμαζώχθηκαν τὸ πρεσβυτέριον τοῦ λαοῦ, καὶ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, καὶ ἀνέβασάν τον εἰς τὴν σύναξίν τους,

67 Καὶ τοῦ ἔλεγαν· Εἰπέ

Χριςός; εἰπὲ ἡμῖν. Εἶπε δὲ
αὐτοῖς· Ἐὰν ὑμῖν εἴπω, ȣ̓
μὴ πιςεύσητε·
68 Ἐὰν δὲ καὶ ἐρωτήσω,
ȣ̓ μὴ ἀποκριθῆτέ μοι, ἢ
ἀπολύσητε.
69 Ἀπὸ τοῦ νῦν ἔςαι ὁ
υἱὸς τοῦ ἀνθρώπȣ καθήμενος
ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ
Θεȣ̃.
70 Εἶπον δὲ πάντες· Σὺ
ȣ̓ν εἶ ὁ υἱὸς τοῦ Θεȣ̃; Ὁ δὲ
πρὸς αὐτȣ̀ς ἔφη· Ὑμεῖς λέγετε
ὅτι ἐγώ εἰμι.
71 Οἱ δὲ εἶπον· Τί ἔτι
χρείαν ἔχομεν μαρτυρίας;
αὐτοὶ γὰρ ἠκȣ́σαμεν ἀπὸ τοῦ
ςόματος αὐτȣ̃.

μας, ἂν ἐσὺ εἶσαι ὁ Χριςός;
Καὶ λέγει τȣς· Ἐὰν σᾶς
εἰπῶ, δὲν θέλετε μȣ̃ πιςεύσει.
68 Καὶ ἐὰν καὶ σᾶς ἐρω-
τήσω, δὲν θέλετε μȣ̃ ἀποκριθῆ,
μηδὲ θέλετε μὲ ἀπολύσει.
69 Ἀπὸ τῶρα καὶ ὀμπροςὰ
ὁ υἱὸς τοῦ ἀνθρώπȣ θέλει
καθίζει ἐκ δεξιῶν τῆς δυνά-
μεως τοῦ Θεȣ̃.
70 Καὶ ὅλοι εἶπαν· Ἐσὺ
λοιπὸν εἶσαι ὁ υἱὸς τοῦ Θεȣ̃;
Καὶ ἐκεῖνος τȣς εἶπεν· Ἐσεῖς
τὸ λέγετε, ὅτι ἐγῶμαι.
71 Καὶ ἐκεῖνοι εἶπαν· Τί
χρείαν ἔχομεν πλέον μαρτυ-
ρίας; αὐτοὶ ἐμεῖς τὸ ἀκȣ́σαμεν
ἀπὸ τὸ ςόμα τȣ.

Κεφ. κγ'. 23.

ΚΑΙ' ἀναςὰν ἅπαν τὸ πλῆ-
θος αὐτῶν, ἤγαγεν αὐτὸν
ἐπὶ τὸν Πιλάτον.
2 Ἤρξαντο δὲ κατηγορεῖν
αὐτȣ̃, λέγοντες· Τȣ̃τον εὕρο-
μεν διαςρέφοντα τὸ ἔθνος, καὶ
κωλύοντα Καίσαρι φόρȣς δι-
δόναι, λέγοντα ἑαυτὸν Χριςὸν
βασιλέα εἶναι.
3 Ὁ δὲ Πιλάτος ἐπηρώτη-
σεν αὐτὸν, λέγων· Σὺ εἶ ὁ
βασιλεὺς τῶν Ἰȣδαίων; Ὁ δὲ
ἀποκριθεὶς αὐτῷ ἔφη· Σὺ
λέγεις.
4 Ὁ δὲ Πιλάτος εἶπε πρὸς
τȣ̀ς ἀρχιερεῖς καὶ τȣ̀ς ὄχλȣς·

ΚΑΙ' σηκωνόμενον ὅλον τὸ
πλῆθος τῶν Ἰȣδαίων,
τὸν ἔφεραν εἰς τὸν Πιλάτον.
2 Καὶ ἄρχισαν νὰ τὸν
κατηγορȣ̃σι, νὰ λέγȣσιν· Ἐμεῖς
εὑρήκαμεν ἐτȣ̃τον ὁπȣ̃ ἐγύριζε
τὸ ἔθνος, καὶ ἐμπόδιζέ τȣς νὰ
δίδȣν δόσιμον τȣ̃ Καίσαρος,
λέγωντας τȣ̃ λόγȣ τȣ, πῶς νὰ
εἶναι Χριςὸς βασιλεύς.
3 Καὶ ὁ Πιλάτος τὸν
ἐρώτησε, καὶ εἶπεν· Ἐσὺ
εἶσαι ὁ βασιλεὺς τῶν Ἰȣδαίων;
Καὶ ὁ Ἰησȣ̃ς ἀπεκρίθη καὶ
εἶπέν τȣ· Ἐσὺ τὸ λέγεις.
4 Καὶ ὁ Πιλάτος εἶπε εἰς
τȣ̀ς ἀρχιερεῖς καὶ εἰς τὸν ὄχλον·

Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ.

5 Οἱ δὲ ἐπίσχυον, λέγοντες· Ὅτι ἀνασείει τὸν λαὸν, διδάσκων καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε.

6 Πιλάτος δὲ ἀκούσας Γαλιλαίαν, ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστι.

7 Καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας Ἡρώδου ἐστὶν, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρώδην, ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις.

8 Ὁ δὲ Ἡρώδης, ἰδὼν τὸν Ἰησοῦν, ἐχάρη λίαν· ἦν γὰρ θέλων ἐξ ἱκανοῦ ἰδεῖν αὐτὸν, διὰ τὸ ἀκούειν πολλὰ περὶ αὐτοῦ· καὶ ἤλπιζέ τι σημεῖον ἰδεῖν ὑπ' αὐτοῦ γινόμενον.

9 Ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς· αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ.

10 Εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς εὐτόνως κατηγοροῦντες αὐτοῦ.

11 Ἐξουθενήσας δὲ αὐτὸν ὁ Ἡρώδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ, καὶ ἐμπαίξας, περιβαλὼν αὐτὸν ἐσθῆτα λαμπρὰν, ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ.

12 Ἐγένοντο δὲ φίλοι ὅ, τε Πιλάτος καὶ ὁ Ἡρώδης ἐν

Ἐγὼ δὲν εὑρίσκω τίποτες ἀφορμὴν εἰς τὸν ἄνθρωπον ἐτοῦτον.

5 Ἀμὴ ἐκεῖνοι φιλονεικοῦντες δυνατώτερα ἐκαταπονοῦσαν, λέγοντες· Ὅτι συγχύζει τὸν λαὸν, διδάσκωντας εἰς ὅλην τὴν Ἰουδαίαν, ἀρχίζωντας ἀπὸ τὴν Γαλιλαίαν ἕως ἐδῶ.

6 Καὶ ὁ Πιλάτος ὡσὰν ἤκουσεν Γαλιλαίαν, ἐρώτησεν, ἂν ὁ ἄνθρωπος εἶναι Γαλιλαῖος.

7 Καὶ ὡσὰν ἔμαθεν πῶς εἶναι ἀπὸ τὴν ἐξουσίαν τοῦ Ἡρώδου, τὸν ἔπεμψεν εἰς τὸν Ἡρώδην, ὁ ὁποῖος ἦταν ἐκείναις ταῖς ἡμέραις εἰς τὴν Ἱεροσολύμην.

8 Καὶ ὁ Ἡρώδης, ὡσὰν εἶδε τὸν Ἰησοῦν, ἐχάρη κατὰ πολλά· διατὶ ἤθελεν ἀπὸ πολὺν καιρὸν νὰ τὸν εἰδῇ· διατὶ ἄκουε πολλὰ πράγματα δι' αὐτόν· καὶ ἤλπιζε νὰ εἰδῇ τίποτες σημεῖον ὁποῦ νὰ γενῇ ἀπ' αὐτόν.

9 Καὶ ἐρώτησέν τον εἰς πολλά λόγια· ἀμὴ αὐτὸς δὲν τοῦ ἀπεκρίθη τίποτες.

10 Καὶ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐστέκουνταν καὶ τὸν ἐκατηγοροῦσαν δυνατά.

11 Καὶ ὁ Ἡρώδης μαζὺ μὲ τοὺς στρατιώτας του τὸν ἀτίμασε, καὶ τὸν ἐνέπαιξε, καὶ ἐνδύνωντάς τον ἕνα φόρεμα λαμπρὸν, τὸν ἔστειλε πάλιν εἰς τὸν Πιλάτον.

12 Καὶ ἐκείνην τὴν ἡμέραν ἐγίνηκαν φίλοι ὁ Ἡρώδης καὶ ὁ

αὐτῇ τῇ ἡμέρᾳ μετ' ἀλλήλων· προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς.

13 Πιλάτος δὲ, συγκαλεσάμενος τοὺς ἀρχιερεῖς, καὶ τοὺς ἄρχοντας, καὶ τὸν λαὸν,

14 Εἶπε πρὸς αὐτούς· Προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον, ὡς ἀποστρέφοντα τὸν λαόν· καὶ ἰδοὺ, ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας, οὐδὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον, ὧν κατηγορεῖτε κατ' αὐτοῦ.

15 Ἀλλ' οὐδὲ Ἡρώδης· ἀνέπεμψα γὰρ ὑμᾶς πρὸς αὐτὸν, καὶ ἰδοὺ, οὐδὲν ἄξιον θανάτου ἐστὶ πεπραγμένον αὐτῷ.

16 Παιδεύσας οὖν αὐτὸν ἀπολύσω.

17 Ἀνάγκην δὲ εἶχεν ἀπολύειν αὐτοῖς κατὰ ἑορτὴν ἕνα.

18 Ἀνέκραξαν δὲ παμπληθεὶ, λέγοντες· Αἶρε τοῦτον, ἀπόλυσον δὲ ἡμῖν τὸν Βαραββᾶν·

19 Ὅστις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει καὶ φόνον, βεβλημένος εἰς φυλακήν.

20 Πάλιν οὖν ὁ Πιλάτος προσεφώνησε, θέλων ἀπολῦσαι τὸν Ἰησοῦν.

21 Οἱ δὲ ἐπεφώνουν, λέγον-

Πιλάτος ἕνας μὲ τὸν ἄλλον· διατὶ προτίτερα εἶχαν ἔχθραν ἀνάμεσόν τους.

13 Καὶ ὁ Πιλάτος ἐμάζωξε τοὺς ἀρχιερεῖς, καὶ τοὺς ἄρχοντας, καὶ τὸν λαὸν,

14 Καὶ εἶπέν τους· Ἐσεῖς μοῦ ἐφέρετε τὸν ἄνθρωπον ἐτοῦτον, ὡσὰν ὁποῦ διαστρέφει τὸν λαόν· καὶ νὰ, ἐγὼ ὁποῦ ὀμπροστά σας τὸν ἐξέταξα, καὶ δὲν εὕρηκα τίποτες ἀφορμὴν εἰς τὸν ἄνθρωπον ἀπὸ ἐκεῖνα ὁποῦ τὸν κατηγορεῖτε.

15 Ἀλλὰ μηδὲ ὁ Ἡρώδης εὕρηκε τίποτες· διατὶ ἐγὼ ἐπὶ τούτου σᾶς ἔπεμψα εἰς αὐτὸν, καὶ νὰ, ὁποῦ δὲν ἔκαμε τίποτες ὁποῦ νὰ εἶναι ἄξιον θανάτου.

16 Νὰ τὸν παιδεύσω λοιπὸν καὶ νὰ τὸν ἀπολύσω.

17 Εἶχεν καὶ ἀνάγκην εἰς τὴν ἑορτὴν, νὰ τοὺς ἀπολύσῃ ἕνα φυλακωμένον.

18 Καὶ ὅλον τὸ πλῆθος ἔκραξαν, λέγοντες· Εὔγαλε τοῦτον ἀπὸ τὴν μέσην, καὶ ἀπόλυσέ μας τὸν Βαραββᾶν.

19 Ὁ ὁποῖος Βαραββᾶς ἦτον βαλμένος εἰς τὴν φυλακὴν, διὰ κάποιαν διχοστασίαν ὁποῦ ἔγινεν εἰς τὴν πόλιν καὶ διὰ φόνον.

20 Θέλωντας λοιπὸν ὁ Πιλάτος νὰ ἀπολύσῃ τὸν Ἰησοῦν, τοὺς ἐλάλησε πάλιν.

21 Ἀμὴ ἐκεῖνοι ἐφώναζαν

τες· Σταύρωσον, σταύρωσον αὐτόν.

22 Ὁ δὲ τρίτον εἶπε πρὸς αὐτούς· Τί γὰρ κακὸν ἐποίησεν οὗτος; οὐδὲν αἴτιον θανάτου εὗρον ἐν αὐτῷ· παιδεύσας οὖν αὐτὸν ἀπολύσω.

23 Οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις, αἰτούμενοι αὐτὸν σταυρωθῆναι· καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν καὶ τῶν ἀρχιερέων.

24 Ὁ δὲ Πιλάτος ἐπέκρινε γενέσθαι τὸ αἴτημα αὐτῶν.

25 Ἀπέλυσε δὲ αὐτοῖς τὸν διὰ στάσιν καὶ φόνον βεβλημένον εἰς τὴν φυλακὴν ὃν ᾐτοῦντο· τὸν δὲ Ἰησοῦν παρέδωκε τῷ θελήματι αὐτῶν.

26 Καὶ ὡς ἀπήγαγον αὐτὸν, ἐπιλαβόμενοι Σίμωνός τινος Κυρηναίου τοῦ ἐρχομένου ἀπ᾽ ἀγροῦ, ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν, φέρειν ὄπισθεν τοῦ Ἰησοῦ.

27 Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ καὶ γυναικῶν· αἳ καὶ ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν.

28 Στραφεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς, εἶπε. Θυγατέρες Ἱερουσαλὴμ, μὴ κλαίετε ἐπ᾽ ἐμὲ, πλὴν ἐφ᾽ ἑαυτὰς κλαίετε, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν·

29 Ὅτι ἰδοὺ, ἔρχονται ἡμέ-

καὶ ἔλεγαν· Σταύρωσε, σταύρωσέ τον.

22 Καὶ ὁ Πιλάτος εἶπε τρίτον εἰς ἐκείνους· Καὶ τί κακὸν ἔκαμεν ἐτοῦτος ὁ ἄνθρωπος; ἐγὼ δὲν εὑρῆκα εἰς αὐτὸν οὐδὲ μίαν ἀφορμὴν θανάτου· νὰ τὸν παιδεύσω λοιπὸν, καὶ νὰ τὸν ἀπολύσω.

23 Καὶ ἐκεῖνοι ἐπέμεναν φωνάζοντες μεγάλαις φωναῖς, ζητῶντες νὰ σταυρωθῇ· καὶ ἡ φωναῖς αὐτῶν καὶ τῶν ἀρχιερέων ἐκαταπονοῦσαν.

24 Καὶ ὁ Πιλάτος ἀποφάσισε νὰ γένῃ τὸ ζήτημά τους.

25 Καὶ τοὺς ἀπόλυσεν ἐκεῖνον ὁποῦ ἐζητοῦσαν· ὁ ὁποῖος ἦτον βαλμένος μέσα εἰς τὴν φυλακὴν διὰ διχοστασίαν καὶ διὰ φόνον· καὶ τὸν Ἰησοῦν τὸν ἐπαράδωκε εἰς τὸ θέλημά τους.

26 Καὶ ὡσὰν τὸν ἐπάγεναν, ἐπίασαν κάποιον Σίμωνα Κυρηναῖον ὁ ὁποῖος ἤρχετον ἀπὸ τὸ χωράφι, καὶ ἔβαλαν ἀπάνω του τὸν σταυρὸν νὰ τὸν σηκώνῃ ὀπίσω ἀπὸ τὸν Ἰησοῦν.

27 Καὶ ἀκολουθοῦσαν τὸν Χριστὸν πολὺ πλῆθος τοῦ λαοῦ καὶ τῶν γυναικῶν· αἱ ὁποίαις τὸν ἐλυποῦνταν καὶ τὸν ἔκλαιαν.

28 Καὶ ὁ Ἰησοῦς ἐγύρισεν εἰς αὐταῖς, καὶ ταῖς εἶπεν. Ὦ θυγατέραις τῆς Ἱερουσαλὴμ, μὴν κλαίετε ἐμένα, ἀλλὰ κλαίετε τοῦ λόγου σας, καὶ τὰ παιδιά σας·

29 Ὅτι νὰ, ὁποῦ ἔρχουνται

ραι ἐν αἷς ἐρεῖσι· Μακάριαι αἱ ςεῖραι, καὶ κοιλίαι αἳ οὐκ ἐγέννησαν, καὶ μαςοὶ οἳ οὐκ ἐθήλασαν.

30 Τότε ἄρξονται λέγειν τοῖς ὄρεσι· Πέσετε ἐφ' ἡμᾶς· καὶ τοῖς βυνοῖς· Καλύψατε ἡμᾶς.

31 Ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιῦσιν, ἐν τῷ ξηρῷ τί γένηται;

32 Ἤγοντο δὲ καὶ ἕτεροι δύο κακῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι.

33 Καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν τόπον τὸν καλύμενον Κρανίον, ἐκεῖ ἐςαύρωσαν αὐτὸν καὶ τὺς κακύργυς· ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριςερῶν.

34 Ὁ δὲ Ἰησῦς ἔλεγε· Πάτερ, ἄφες αὐτοῖς· ὐ γὰρ οἴδασι τί ποιῦσι. Διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτῦ, ἔβαλον κλῆρον.

35 Καὶ εἱςήκει ὁ λαὸς θεωρῶν· ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς, λέγοντες· Ἄλλυς ἔσωσε, σωσάτω ἑαυτὸν, εἰ ὗτός ἐςιν ὁ Χριςὸς ὁ τοῦ Θεῦ ἐκλεκτός.

36 Ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ ςρατιῶται, προσερχόμενοι, καὶ ὄξος προσφέροντες αὐτῷ,

37 Καὶ λέγοντες· Εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰυδαίων, σῶσον σεαυτόν.

ἡμέραις εἰς ταῖς ὁποίαις θέλυν εἰπεῖ· καλότυχαις ἡ ςεῖραις, καὶ ἡ κοιλίαις ὁπῦ δὲν ἐγέννησαν, καὶ τὰ βυζιὰ ὁπῦ δὲν ἐβύζασαν.

30 Τότε θέλυν ἀρχίσει νὰ λέγυν εἰς τὰ ὄρη· Πέσετε ἀπάνω μας· καὶ τὰ βυνά· Σκεπάσετέ μας.

31 Ὅτι ἂν εἰς τὸ χλωρὸν ξύλον κάμνυσιν αὐτὰ, εἰς τὸ ξερὸν τί θέλει γένει;

32 Καὶ ἐφέρνυνταν καὶ ἄλλοι δύο κακῦργοι νὰ σκοτωθῦσι μαζὺ μὲ τὸν Ἰησῦν.

33 Καὶ ὅταν ἐπῆγαν εἰς τὸν τόπον ὁπῦ ἐκράζετον Κράνιον, ἐκεῖ τὸν ἐςαύρωσαν, καὶ τὺς κακύργυς· τὸν ἕνα ἀπὸ τὴν δεξιὰν, καὶ τὸν ἄλλον ἀπὸ τὴν ζερβιάν.

34 Καὶ ὁ Ἰησῦς ἔλεγεν· Ὦ πάτερ, συγχώρησέ τυς· διατὶ δὲν ἠξεύρυν τί κάμνυσι. Καὶ διαμοιράζοντες τὰ φορέματά τυ, ἔρριχναν λαχνύς.

35 Καὶ ὁ λαὸς ἐςέκετον καὶ ἔβλεπε· καὶ μαζὺ μετ' αὐτὺς καὶ οἱ ἄρχοντες τὸν ἐγελῦσαν, καὶ ἔλεγαν· Ἄλλυς ἔσωσεν, ἂς σώσει καὶ τῦ λόγυ τυ, ἂν εἶναι ἐτῦτος ὁ Χριςὸς ὁ διαλεγμένος τοῦ Θεῦ.

36 Καὶ τὸν ἀνέμπαιζαν καὶ οἱ ςρατιῶται, ἐρχόμενοι κοντὰ, φέρνοντές τυ ξύδι,

37 Καὶ ἔλεγαν· Ἂν ἐσὺ εἶσαι ὁ βασιλεὺς τῶν Ἰυδαίων, σῶσε τῦ λόγυ συ.

38 Ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν Ἑλληνικοῖς καὶ Ῥωμαϊκοῖς καὶ Ἑβραϊκοῖς· ΟΥ͂ΤΟΣ ἘΣΤΙΝ Ὁ ΒΑΣΙΛΕΥ͂Σ ΤΩ͂Ν ἸΟΥΔΑΙ͂ΩΝ.

39 Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν, λέγων· Εἰ σὺ εἶ ὁ Χριστὸς, σῶσον σεαυτὸν καὶ ἡμᾶς.

40 Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ, λέγων· Οὐδὲ φοβῇ σὺ τὸν Θεὸν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ;

41 Καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε.

42 Καὶ ἔλεγε τῷ Ἰησοῦ· Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

43 Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

44 Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη, καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν, ἕως ὥρας ἐννάτης.

45 Καὶ ἐσκοτίσθη ὁ ἥλιος, καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον.

46 Καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς εἶπε· Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ

38 Ἦτον καὶ ἡ ἀπανωγραφὴ γεγραμμένη ἀποπάνω του μὲ γράμματα Ἑλληνικὰ καὶ Ῥωμαϊκὰ καὶ Ἑβραϊκά· ἘΤΟΥ͂ΤΟΣ ΕἾΝΑΙ Ὁ ΒΑΣΙΛΕΥ͂Σ ΤΩ͂Ν ἸΟΥΔΑΙ͂ΩΝ.

39 Καὶ ἕνας ἀπὸ τοὺς κακοποιοὺς τοὺς κρεμασμένους ἐβλασφήμαν εἰς αὐτὸν, καὶ ἔλεγεν· Ἐὰν εἶσαι ἐσὺ ὁ Χριστὸς, γλύτωσε καὶ τοῦ λόγου σου καὶ ἐμᾶς.

40 Καὶ ὁ ἄλλος ἀπεκρίθη καὶ τὸν ὠνείδισε, καὶ τοῦ εἶπε· Δὲν φοβᾶσαι τὸν Θεὸν, ὅτι ἐσὺ εἶσαι εἰς τὸ αὐτὸ κρίμα;

41 Καὶ ἐμεῖς δικαίως τὰ παθαίνομεν· διατὶ ἀπολαμβάνομεν ἄξια ἐκεινῶν ὁποῦ ἐκάμαμεν· ἀμὴ ἐτοῦτος κανένα ἄτοπον δὲν ἔκαμε.

42 Καὶ ἔλεγεν εἰς τὸν Ἰησοῦν· Αὐθέντη, ἐνθυμήσου με ὅταν ἔλθῃς εἰς τὴν βασιλείαν σου.

43 Καὶ λέγει του ὁ Ἰησοῦς· Βέβαια σοῦ λέγω, σήμερον μετ' ἐμένα θέλεις εἶσαι μέσα εἰς τὸν παράδεισον.

44 Καὶ ἦτον κοντὰ ἕκτη ὥρα τῆς ἡμέρας, καὶ ἔγινε σκοτάδι εἰς ὅλην τὴν γῆν, ἕως τὴν ἐννάτην ὥραν.

45 Καὶ ὁ ἥλιος ἐσκοτίσθη, καὶ τὸ σκέπασμα τοῦ ναοῦ ἐσχίσθη εἰς τὴν μέσην.

46 Καὶ ὁ Ἰησοῦς ἐφώναξε φωνὴν μεγάλην καὶ εἶπεν· Ὦ πάτερ, εἰς τὰ χέριά σου παρα-

πνεῦμά μου. Καὶ ταῦτα εἰπὼν ἐξέπνευσεν.

47 Ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον, ἐδόξασε τὸν Θεὸν, λέγων· Ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν.

48 Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρεφον.

49 Εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ μακρόθεν, καὶ γυναῖκες αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα.

50 Καὶ ἰδοὺ, ἀνὴρ ὀνόματι Ἰωσὴφ, βουλευτὴς ὑπάρχων, ἀνὴρ ἀγαθὸς καὶ δίκαιος,

51 (Οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ καὶ τῇ πράξει αὐτῶν) ἀπὸ Ἀριμαθαίας πόλεως τῶν Ἰουδαίων· ὃς καὶ προσεδέχετο καὶ αὐτὸς τὴν βασιλείαν τοῦ Θεοῦ.

52 Οὗτος προσελθὼν τῷ Πιλάτῳ, ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ.

53 Καὶ καθελὼν αὐτὸ ἐνετύλιξεν αὐτὸ σινδόνι, καὶ ἔθηκεν αὐτὸ ἐν μνήματι λαξευτῷ, οὗ οὐκ ἦν οὐδέπω οὐδεὶς κείμενος.

54 Καὶ ἡμέρα ἦν παρασκευὴ, καὶ σάββατον ἐπέφωσκε.

δίδω τὸ πνεῦμά μου. Καὶ ὡσὰν εἶπεν ἐτοῦτα, ἐξεψύχησε.

47 Καὶ ὁ ἑκατόνταρχος ὡσὰν εἶδεν ἐκεῖνο ὁποῦ ἔγινεν, ἐδόξασε τὸν Θεὸν, λέγωντας· Βέβαια ἐτοῦτος ὁ ἄνθρωπος ἦτον δίκαιος.

48 Καὶ ὅλος ὁ λαὸς ὁποῦ ἐπῆγε μαζὺ εἰς τὴν θεωρίαν ἐκείνην, βλέπωντας ἐκεῖνα ὁποῦ ἐγίνουνταν, κτυπῶντας τὰ στήθη τους ἐγύριζαν.

49 Καὶ ἐστέκουνταν ὅλοι οἱ γνώριμοί του ἀπὸ μακρὰ, καὶ γυναῖκαις ἡ ὁποίαις τὸν ἀκολουθοῦσαν ἀπὸ τὴν Γαλιλαίαν, καὶ ἔβλεπαν ἐτοῦτα.

50 Καὶ νὰ, καὶ ἦτον ἕνας ἄνθρωπος, τὸ ὄνομά του Ἰωσὴφ, ἄνθρωπος ἀγαθὸς καὶ δίκαιος, ὁ ὁποῖος ἦτον βουλευτής·

51 Ἐτοῦτος δὲν ἐσυμφώνησεν εἰς τὴν βουλὴν καὶ εἰς τὴν πρᾶξιν αὐτῶν· ὁ ὁποῖος ἦτον ἀπὸ τὴν Ἀριμαθαίαν πόλιν τῶν Ἰουδαίων, καὶ ἐπροσεδέχετον καὶ αὐτὸς τὴν βασιλείαν τοῦ Θεοῦ.

52 Ἐτοῦτος ἐπῆγεν εἰς τὸν Πιλάτον, καὶ ἐζήτησε τὸ κορμὶ τοῦ Ἰησοῦ.

53 Καὶ τὸ ἐκατέβασε καὶ τὸ ἐτύλιξεν μὲ ἕνα σενδόνι, καὶ τὸ ἔβαλλεν εἰς ἕνα μνῆμα πελεκυτὸν, εἰς τὸ ὁποῖον ἀκόμι κανεὶς δὲν ἦτον βαλμένος.

54 Καὶ ἡ ἡμέρα ἦτον παρασκευὴ, καὶ ἐσήμωνε τὸ σάββατον.

55 Κατακολυθήσασαι δὲ καὶ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τὸ μνημεῖον, καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτῦ.

56 Ὑποςρέψασαι δὲ ἡτοίμασαν ἀρώματα καὶ μύρα· καὶ τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν.

55 Καὶ ἔςωντας νὰ ἀκολυθήσυν καὶ γυναῖκαις, ἡ ὁποίαις εἶχασιν ἔλθη μαζὺ μετ' αὐτὸν ἀπὸ τὴν Γαλιλαίαν, καὶ εἶδασι τὸ μνῆμα, καὶ πῶς ἐβάλθη τὸ σῶμά τυ ἐκεῖ.

56 Καὶ γυρίζοντες ἑτοίμασαν ἀρώματα καὶ μύρα· καὶ ἡσύχασαν τὸ σάββατον κατὰ τὴν ἐντολήν.

Κεφ. κδ'. 24.

ΤΗ͂ δὲ μιᾷ τῶν σαββάτων, ὄρθρυ βαθέος ἦλθον ἐπὶ τὸ μνῆμα φέρυσαι ἃ ἡτοίμασαν ἀρώματα· καί τινες σὺν αὐταῖς.

2 Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείυ.

3 Καὶ εἰσελθῦσαι ὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίυ Ἰησῦ.

4 Καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τύτυ, καὶ ἰδὺ, δύο ἄνδρες ἐπέςησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀςραπτύσαις·

5 Ἐμφόβων δὲ γενομένων αὐτῶν, καὶ κλινυσῶν τὸ πρόσωπον εἰς τὴν γῆν, εἶπον πρὸς αὐτάς· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν;

6 Οὐκ ἔςιν ὧδε, ἀλλ' ἠγέρθη. Μνήσθητε ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ,

ἈΜΗ͂Ν τὴν πρώτην ἡμέραν τῆς ἑβδομάδος, σύννυχτα, ἦλθαν εἰς τὸ μνῆμα αἱ γυναῖκαις ἐκεῖναις, καὶ ἔφερναν τὰ ἠδύσματα ὁπῦ ἑτοίμασαν· καὶ κάποιαις ἄλλαις μαζὺ μετ' αὐταῖς.

2 Καὶ εὕρηκαν τὴν πέτραν κυλισμένην ἀπὸ τὸ μνῆμα.

3 Καὶ ἐμβαίνοντες μέσα δὲν εὕρηκαν τὸ κορμὶ τῦ Κυρίυ Ἰησῦ.

4 Καὶ ἐκεῖ ὁπῦ ἀπορῦσαν διὰ τῦτο τὸ πρᾶγμα, νὰ, καὶ δύο ἄνδρες καὶ ἦλθαν εἰς αὐταῖς μὲ φορέματα ὁπῦ ἄςραπταν.

5 Καὶ ἔςωντας νὰ φοβηθῦσιν ἐκείναις, καὶ νὰ βάλλυν τὸ πρόσωπόν τυς κάτω εἰς τὴν γῆν, ταῖς εἶπαν· Τί ζητεῖτε τὸν ζωντανὸν μὲ τὺς νεκρύς;

6 Δὲν εἶναι ἐδῶ, ἀλλ' ἀναςάθη· Ἐνθυμηθῆτε καθὼς σᾶς εἶπε τότε, ὅταν ἀκόμι εὑρίσκετον εἰς τὴν Γαλιλαίαν,

7 Λέγων· Ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι.

8 Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ.

9 Καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα καὶ πᾶσι τοῖς λοιποῖς.

10 Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία καὶ Ἰωάννα καὶ Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἳ ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα.

11 Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν, ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς.

12 Ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον· καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα· καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός.

13 Καὶ ἰδοὺ, δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἱερουσαλὴμ, ᾗ ὄνομα Ἐμμαούς.

14 Καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων.

7 Λέγωντας· Ὅτι κάμνει χρεία ὁ υἱὸς τοῦ ἀνθρώπου νὰ παραδοθῇ εἰς χέρια ἀνθρώπων ἁμαρτωλῶν, καὶ νὰ σταυρωθῇ· καὶ τῇ τρίτῃ ἡμέρᾳ νὰ ἀναστηθῇ.

8 Καὶ ἐθυμήθηκαν τὰ λόγιά του.

9 Καὶ ὡσὰν ἐγύρισαν ἀπὸ τὸ μνῆμα, τὰ εἶπαν ὅλα ἐτοῦτα εἰς τοὺς ἕνδεκα, καὶ εἰς ὅλους τοὺς ἐπιλοίπους.

10 Καὶ ἦταν ἡ Μαγδαληνὴ Μαρία, καὶ Ἰωάννα, καὶ Μαρία τοῦ Ἰακώβου, καὶ ἡ ἐπίλοιπαις μαζὺ μετ' αὐταῖς, ἡ ὁποίαις ἔλεγαν εἰς τοὺς ἀποστόλους ἐτοῦτα.

11 Καὶ ἐφάνηκαν ὀμπροστά τους ὡσὰν φλυαρία τὰ λόγιά τους, καὶ δὲν ταῖς ἐπίστευσαν.

12 Καὶ ὁ Πέτρος ἐσηκώθη καὶ ἔτρεξεν καὶ ἦλθεν εἰς τὸ μνῆμα· καὶ σκύπτει καὶ βλέπει μοναχὰ τὰ σενδόνια ὁποῦ ἐκείτουνταν· καὶ ἐγύρισεν ὀπίσω, καὶ ἐθαύμαζε μέσα του ἐκεῖνο ὁποῦ ἔγινε.

13 Καὶ νὰ, καὶ δύο ἀπ' αὐτοὺς ὁποῦ ἐπηγένασιν αὐτὴν τὴν ἡμέραν εἰς μίαν χώραν, ἡ ὁποῖα εἶναι μακρὰ ἀπὸ τὴν Ἱερουσαλὴν ἑξῆντα στάδια, τὸ ὄνομά της Ἐμμαούς·

14 Καὶ ἐτοῦτοι ἐσυντύχαιναν ἀνάμεσά τους διὰ ὅλα ἐτοῦτα ὁποῦ ἐσυνέβηκαν.

15 Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς.

16 Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν.

17 Εἶπε δὲ πρὸς αὐτούς· Τίνες οἱ λόγοι οὗτοι οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καί ἐστε σκυθρωποί;

18 Ἀποκριθεὶς δὲ ὁ εἷς ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· Σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλὴμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις;

19 Καὶ εἶπεν αὐτοῖς· Ποῖα; Οἱ δὲ εἶπον αὐτῷ· Τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς τοῦ λαοῦ.

20 Ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρίμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν·

21 Ἡμεῖς δὲ ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ· ἀλλά γε σὺν πᾶσι τούτοις, τρίτην ταύτην ἡμέραν ἄγει σήμερον ἀφ' οὗ ταῦτα ἐγένετο.

22 Ἀλλὰ καὶ γυναῖκές τινες

15 Καὶ ἐκεῖ ὁποῦ ἐσυνομιλοῦσαν καὶ ἐδιαλεγοῦνταν, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐσήμωσε καὶ ἐπάγενε μετ' αὐτούς.

16 Καὶ τὰ μάτιά τους ἐμποδίζουνταν νὰ μὴν τὸν γνωρίσουν.

17 Καὶ εἶπέν τους· Τί εἶναι τὰ λόγια αὐτὰ ὁποῦ συντυχαίνετε ἕνας μὲ τὸν ἄλλον ἐδῶ ὁποῦ περιπατεῖτε, καὶ εἶσθε σκυθρωποί;

18 Καὶ ἀπεκρίθη ὁ ἕνας, τὸ ὄνομά του Κλεόπας, καὶ εἶπέν του· Ἐσὺ κατοικῶντας εἰς τὴν Ἱερουσαλὴμ, μόνος δὲν ἰξεύρεις ἐκεῖνα ὁποῦ ἐγίνηκαν μέσα εἰς αὐτὴν εἰς ταῖς ἡμέραις ἐτούταις;

19 Καὶ λέγει τους· Ποῖα; Καὶ ἐκεῖνοι τοῦ εἶπαν· Τὰ πράγματα ὁποῦ ἐγίνηκαν διὰ τὸν Ἰησοῦν τὸν Ναζωραῖον· ὁ ὁποῖος ἔγινεν ἄνθρωπος προφήτης, δυνατὸς καὶ εἰς ἔργα καὶ εἰς λόγια ὀμπροστὰ εἰς τὸν Θεὸν, καὶ εἰς ὅλον τὸν λαόν.

20 Καὶ πῶς τὸν ἐπαράδωκαν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντές μας εἰς κρίμα θανάτου, καὶ τὸν ἐσταύρωσαν.

21 Καὶ ἐμεῖς ἠλπίζαμεν ὅτι αὐτὸς εἶναι ἐκεῖνος ὁποῦ μέλλει νὰ ἐλευθερώσῃ τὸν Ἰσραήλ· ὅμως μὲ τοῦτα ὅλα τρεῖς ἡμέραις μὲ τούτην τὴν ἡμέραν ἔχει σήμερον, ἀφόντις ἐγίνηκαν ἐτοῦτα.

22 Ἀλλὰ καὶ κάποιαις γυναῖ-

ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενό-
μεναι ὄρθριαι ἐπὶ τὸ μνη-
μεῖον·
23 Καὶ μὴ εὑροῦσαι τὸ σῶμα
αὐτοῦ, ἦλθον, λέγουσαι καὶ
ὀπτασίαν ἀγγέλων ἑωρακέναι,
οἳ λέγουσιν αὐτὸν ζῇν.
24 Καὶ ἀπῆλθόν τινες τῶν
σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ
εὗρον οὕτω καθὼς καὶ αἱ γυναῖ-
κες εἶπον· αὐτὸν δὲ οὐκ εἶ-
δον.
25 Καὶ αὐτὸς εἶπε πρὸς αὐ-
τούς· Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ
καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν
οἷς ἐλάλησαν οἱ προφῆται.
26 Οὐχὶ ταῦτα ἔδει παθεῖν
τὸν Χριστὸν, καὶ εἰσελθεῖν εἰς
τὴν δόξαν αὐτοῦ;
27 Καὶ ἀρξάμενος ἀπὸ
Μωσέως καὶ ἀπὸ πάντων
τῶν προφητῶν, διηρμήνευεν
αὐτοῖς ἐν πάσαις ταῖς γρα-
φαῖς τὰ περὶ αὐτοῦ.
28 Καὶ ἤγγισαν εἰς τὴν κώ-
μην οὗ ἐπορεύοντο· καὶ αὐτὸς
προσεποιεῖτο πο͗ῤῥωτέρω πο-
ρεύεσθαι.
29 Καὶ παρεβιάσαντο αὐ-
τὸν, λέγοντες· Μεῖνον μεθ'
ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶ,
καὶ κέκλικεν ἡ ἡμέρα. Καὶ εἰσ-
ῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς.
30 Καὶ ἐγένετο ἐν τῷ κατα-

καις ἀπὸ ταῖς ἐδικαῖς μας μᾶς
ἐξετρόμαζαν, αἱ ὁποῖαις ἐπῆ-
γαν τὴν αὐγὴν εἰς τὸ μνῆμα·
23 Καὶ μὲ τὸ νὰ μὴν εὕρουσι
τὸ κορμὶ τοῦ Ἰησοῦ, ἦλθαν καὶ
εἶπαν πῶς νὰ εἴδασι καὶ ὀπτα-
σίαν ἀγγέλων, οἱ ὁποῖοι ἄγγελοι
λέγουσιν αὐτὸν πῶς νὰ ζῇ.
24 Καὶ ἐπῆγαν κάποιοι
ἀπ' ἐκείνους ὁποῦ ἦταν μαζὺ
μετ' ἐμᾶς εἰς τὸ μνῆμα, καὶ
εὕρηκαν ἔτζι καθὼς εἶπαν καὶ
αἱ γυναῖκες· ἀμὴ αὐτὸν
δὲν τὸν εἶδαν.
25 Καὶ αὐτὸς τοὺς εἶπεν· Ὦ
ἄγνωστοι καὶ βραδεῖς τῇ καρδίᾳ
εἰς τὸ νὰ πιστεύετε εἰς ἐκεῖνα
ὅλα ὁποῦ ἐλάλησαν οἱ προφῆται.
26 Δὲν ἔπρεπε νὰ τὰ πάθῃ
ἐτοῦτα ὁ Χριστὸς, καὶ νὰ ἔμβῃ
εἰς τὴν δόξαν του;
27 Καὶ ἀρχίζωντας ἀπὸ
τὸν Μωϋσέα καὶ περνῶντας
ἀπὸ ὅλους τοὺς προφήτας, τοὺς
ἐξήγησεν τὰ πράγματα ὁποῦ
ἐγράφηκαν διὰ λόγου του εἰς
ὅλαις ταῖς γραφαῖς.
28 Καὶ ἐσήμωσαν εἰς τὴν
χώραν ὁποῦ ἐπάγεναν· καὶ
αὐτὸς ἐκαμώθη πῶς πάγει
μακρύτερα.
29 Καὶ τὸν ἐβίασαν, λέ-
γοντες· Μεῖνε μετ' ἐμᾶς, ὅτι
βραδιάζει, καὶ ἐπέρασεν ἡ
ἡμέρα. Καὶ ἔμβηκε μέσα νὰ
μείνῃ μετ' αὐτούς.
30 Καὶ ὅταν ἐκάθισεν αὐ-

κλιθῆναι αὐτὸν μετ' αὐτῶν, λαβὼν τὸν ἄρτον εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς.

31 Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ, καὶ ἐπέγνωσαν αὐτόν· καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν.

32 Καὶ εἶπον πρὸς ἀλλήλους· Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς;

33 Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς,

34 Λέγοντας· Ὅτι ἠγέρθη ὁ Κύριος ὄντως, καὶ ὤφθη Σίμωνι.

35 Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ· καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

36 Ταῦτα δὲ αὐτῶν λαλούντων, αὐτὸς ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ αὐτῶν, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν.

37 Πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι ἐδόκουν πνεῦμα θεωρεῖν.

38 Καὶ εἶπεν αὐτοῖς· Τί τεταραγμένοι ἐστὲ, καὶ διατὶ διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν;

τὸς μετ' αὐτοὺς, ἐπῆρε τὸ ψωμὶ, καὶ τὸ εὐλόγησε, καὶ ἔκοψε καὶ τοὺς ἔδιδε.

31 Καὶ τότε ἀνοίχθηκαν τὰ μάτιά τους, καὶ τὸν ἐγνώρισαν· καὶ αὐτὸς ἔγινεν ἄφαντος ἀπ' αὐτούς.

32 Καὶ εἶπαν ἀνάμεσά τους· Δὲν ἦτον ἡ καρδιά μας καϊμένη εἰς ἐμᾶς, ὅταν μᾶς ἐλάλει εἰς τὴν στράτα, καὶ ὅταν μᾶς ἐξῆγαν ταῖς γραφαῖς;

33 Καὶ αὐτοὶ σηκωνώμενοι, ἐκείνην τὴν ὥραν ἐγύρισαν εἰς τὴν Ἱερουσαλὴμ, καὶ εὑρῆκαν μαζωμένους τοὺς ἕνδεκα, καὶ τοὺς ἄλλους ὁποῦ ἦταν μαζὺ μετ' αὐτούς,

34 Ὁποῦ ἔλεγαν· Ὅτι ὁ Κύριος ἀνεστάθη βέβαια, καὶ ἐφάνη εἰς τὸν Σίμωνα.

35 Καὶ αὐτοὶ οἱ δύο ὁποῦ ἦλθαν ἐδιηγοῦνταν τὰ πράγματα ὁποῦ ἔγιναν εἰς τὴν στράταν· καὶ πῶς τὸν ἐγνώρισαν ἐκεῖ ὁποῦ ἔκοπτε τὸ ψωμί.

36 Καὶ ἐκεῖ ὁποῦ ἔλεγαν αὐτοὶ αὐτὰ τὰ λόγια, αὐτὸς ὁ Ἰησοῦς ἐστάθη εἰς τὴν μέσην τους, καὶ λέγει τους· Εἰρήνη εἰς ἐσᾶς·

37 Καὶ ἔστωντας νὰ φοβηθοῦσι δυνατὰ καὶ νὰ τρομάξουν, τοὺς ἐφαίνετον νὰ βλέπουν πνεῦμα.

38 Καὶ λέγει τους· Διατί εἶσθε συγχυσμένοι; καὶ διατί λογισμοὶ ἀναβαίνουσιν εἰς ταῖς καρδίαις σας;

39 Ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου· ὅτι αὐτὸς ἐγώ εἰμι· ψηλαφήσατέ με καὶ ἴδετε· ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα.

40 Καὶ τοῦτο εἰπὼν ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας.

41 Ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς· Ἔχετέ τι βρώσιμον ἐνθάδε;

42 Οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσίου κηρίου.

43 Καὶ λαβὼν, ἐνώπιον αὐτῶν ἔφαγεν.

44 Εἶπε δὲ αὐτοῖς· Οὗτοι οἱ λόγοι οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωσέως, καὶ προφήταις, καὶ ψαλμοῖς περὶ ἐμοῦ.

45 Τότε διήνοιξεν αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς γραφάς·

46 Καὶ εἶπεν αὐτοῖς· Ὅτι οὕτω γέγραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστὸν, καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ,

47 Καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς

39 Ἰδέτε τὰ χέριά μου καὶ τὰ ποδάριά μου· ὅτι αὐτὸς εἶμαι ἐγὼ· ψηλαφήσετέ μου· καὶ ἰδέτε με· διατὶ τὸ πνεῦμα ζάρκα καὶ κόκαλα δὲν ἔχει, καθὼς βλέπετε ἐμένα ὁποῦ ἔχω.

40 Καὶ ὡσὰν εἶπεν ἐτοῦτο, τοὺς ἔδειξε τὰ χέρια καὶ τὰ ποδάρια.

41 Καὶ ἔστωντας νὰ ἀπιστοῦν ἀκόμι ἀπὸ τὴν χαράν τους, καὶ νὰ θαυμάζουν, τοὺς εἶπεν· Ἔχετε τίποτες φαγισερὸν ἐδῶ;

42 Καὶ ἐκεῖνοι τοῦ ἔδωκαν ἕνα κομμάτι ψάρι ψητὸν, καὶ ἀπὸ μελόπητα.

43 Καὶ ἐπῆρεν ὀμπροστά τους καὶ ἔφαγε.

44 Καὶ εἶπέν τους· Ἐτοῦτα εἶναι ἐκεῖνα ὁποῦ σᾶς ἐλάλησα ἀκόμι ὤντας μετ᾽ ἐσᾶς, ὅτι πῶς κάμνει χρεία νὰ πληρωθοῦν ὅλα ἐκεῖνα ὁποῦ εἶναι γραμμένα εἰς τὸν νόμον τοῦ Μωϋσέως, καὶ εἰς τοὺς προφήτας, καὶ εἰς τοὺς Ψαλμοὺς διὰ λόγου μου.

45 Τότε τοὺς ἄνοιξεν τὸν νοῦν τους, νὰ καταλάβουν ταῖς γραφαῖς.

46 Καὶ εἶπέν τους· Ὅτι ἔτζι εἶναι γραμμένον· καὶ τέτοιας λογῆς ἔκαμνε χρεία νὰ πάθῃ ὁ Χριστός· καὶ τὴν τρίτην ἡμέραν νὰ ἀναστηθῇ ἀπὸ τοὺς νεκρούς·

47 Καὶ νὰ κηρυχθῇ εἰς τὸ ὄνομά του μετάνοια καὶ ἄφεσις ἁμαρτιῶν εἰς ὅλα τὰ ἔθνη,

πάντα τὰ ἔθνη, ἀρξάμενον
ἀπὸ Ἱερȣσαλήμ.
48 Ὑμεῖς δέ ἐϛε μάρτυρες
τȣ́των.
49 Καὶ ἰδȣ̀, ἐγὼ ἀποϛέλ-
λω τὴν ἐπαγγελίαν τȣ͂ πατρός
μȣ ἐφ᾽ ὑμᾶς· ὑμεῖς δὲ κα-
θίσατε ἐν τῇ πόλει Ἱερȣσαλὴμ,
ἕως ȣ͂ ἐνδύσησθε δύναμιν ἐξ
ὕψȣς.
50 Ἐξήγαγε δὲ αὐτȣ̀ς ἔξω
ἕως εἰς Βηθανίαν· καὶ ἐπάρας
τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν
αὐτȣ́ς.
51 Καὶ ἐγένετο ἐν τῷ εὐλο-
γεῖν αὐτὸν αὐτȣ̀ς, διέϛη ἀπ᾽
αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν
ȣ̓ρανόν.
52 Καὶ αὐτοὶ προσκυνή-
σαντες αὐτὸν, ὑπέϛρεψαν εἰς
Ἱερȣσαλὴμ μετὰ χαρᾶς με-
γάλης.
53 Καὶ ἦσαν διαπαντὸς
ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ εὐλο-
γοῦντες τὸν Θεόν. Ἀμήν.

ἀρχίζωντας ἀπὸ τὴν Ἱερȣσα-
λήμ.
48 Καὶ ἐσεῖς εἶσθε μάρτυ-
ρες ἐτȣ́των.
49 Καὶ νὰ, ἐγὼ ὁπȣ͂ ϛέλλω
τὸ τάξιμον τοῦ πατρός μȣ εἰς
ἐσᾶς· καὶ ἐσεῖς καθίσατε εἰς
τὴν πόλιν Ἱερȣσαλὴμ, ἕως ȣ͂
νὰ ἐνδυθῆτε δύναμιν ἀπὸ
πάνω.
50 Καὶ εὔγαλέν τȣς ἔξω
ἕως εἰς τὴν Βηθανίαν· καὶ
ἐσήκωσε τὰ χέριά τȣ, καὶ τȣ̀ς
εὐλόγησε.
51 Καὶ ἐκεῖ ὁπȣ͂ αὐτὸς
τȣ̀ς εὐλογȣ͂σεν, ἐχωρίσθη ἀπ᾽
αὐτȣ̀ς, καὶ ἐφέρετον ἀπάνω
εἰς τὸν ȣ̓ρανόν.
52 Καὶ αὐτοὶ ὡσὰν τὸν
ἐπροσκύνησαν, ἐγύρισαν εἰς
τὴν Ἱερȣσαλὴμ μὲ χαρὰν με-
γάλην·
53 Καὶ εὑρίσκȣνταν πάν-
τοτε εἰς τὸ ἱερὸν, ὑμνοῦντες
καὶ εὐλογοῦντες τὸν Θεόν.
Ἀμήν.

ΤῸ ΚΑΤᾺ ἸΩΆΝΝΗΝ

ΕΥ᾿ΑΓΓΕ´ΛΙΟΝ.

Κεφ. ά. 1.

ἘΝ ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος.

2 Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν.

3 Πάντα δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν.

4 Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων·

5 Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.

6 Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης.

7 Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ.

8 Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός.

9 Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.

10 Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ

ΕἸΣ τὴν ἀρχὴν ἦτον ὁ λόγος· καὶ ὁ λόγος ἦτον μὲ τὸν Θεόν· καὶ Θεὸς ἦτον ὁ λόγος.

2 Ἐτοῦτος ἦτον εἰς τὴν ἀρχὴν μὲ τὸν Θεόν.

3 Ὅλα (τὰ πράγματα) διὰ μέσου τοῦ (λόγου) ἐγίνηκαν, καὶ χωρὶς αὐτὸν δὲν ἔγινε κανένα ἀπὸ ὅσα ἔγιναν.

4 Εἰς αὐτὸν ἦτον ζωή· καὶ ἡ ζωὴ ἦτον τὸ φῶς τῶν ἀνθρώπων·

5 Καὶ τὸ φῶς εἰς τὴν σκοτίαν φέγγει, καὶ ἡ σκοτία δὲν τὸ ἐκατάλαβε.

6 Ἔγινεν ἕνας ἄνθρωπος ἀπεσταλμένος ἀπὸ τὸν Θεὸν, τὸ ὄνομά του Ἰωάννης.

7 Ἐτοῦτος ἦλθεν εἰς μαρτυρίαν, νὰ μαρτυρήσῃ διὰ τὸ φῶς, διὰ νὰ πιστεύσουν ὅλοι διὰ μέσου αὐτοῦ.

8 Δὲν ἦτον ἐκεῖνος τὸ φῶς, ἀλλὰ νὰ μαρτυρήσῃ διὰ τὸ φῶς.

9 Ἦτον τὸ φῶς τὸ ἀληθινὸν, τὸ ὁποῖον φωτίζει κάθε ἄνθρωπον ὁποῦ ἔρχεται εἰς τὸν κόσμον.

10 Εἰς τὸν κόσμον ἦτον· καὶ

κόσμος δὶ αὐτοῦ ἐγένετο· καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω.

11 Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν ȣ̓ παρέλαβον.

12 Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξȣσίαν τέκνα Θεȣ̃ γενέσθαι, τοῖς πιςεύȣσιν εἰς τὸ ὄνομα αὐτοῦ·

13 Οἳ οὐκ ἐξ αἱμάτων, ȣ̓δὲ ἐκ θελήματος σαρκὸς, ȣ̓δὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεȣ̃ ἐγεννήθησαν.

14 Καὶ ὁ λόγος σὰρξ ἐγένετο· καὶ ἐσκήνωσεν ἐν ἡμῖν, (καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενȣ̃ς παρὰ πατρὸς,) πλήρης χάριτος καὶ ἀληθείας.

15 Ἰωάννης μαρτυρεῖ περὶ αὐτȣ̃, καὶ κέκραγε, λέγων· Οὗτος ἦν ὃν εἶπον· Ὁ ὀπίσω μȣ ἐρχόμενος, ἔμπροσθέν μȣ γέγονεν· ὅτι πρῶτός μȣ ἦν.

16 Καὶ ἐκ τȣ̃ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος·

17 Ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησȣ̃ Χριςȣ̃ ἐγένετο.

18 Θεὸν ȣ̓δεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς

ὁ κόσμος διὰ μέσȣ αὐτοῦ ἔγινεν· ἀμὴ ὁ κόσμος δὲν τὸν ἐγνώρισεν.

11 Εἰς τὰ ἐδικά τȣ ἦλθεν, καὶ οἱ ἐδικοί τȣ δὲν τὸν ἐδέχθηκαν·

12 Καὶ ὅσοι τὸν ἐδέχθηκαν, εἰς αὐτουνȣ̀ς ἔδωκεν ἐξȣσίαν νὰ γενοῦν τέκνα Θεȣ̃, (τȣ̃τ' ἐςιν,) εἰς ἐκείνȣς ὁπȣ̃ πιςεύουν εἰς τὸ ὄνομά τȣ·

13 Οἱ ὁποῖοι ȣ̓δὲ ἀπὸ αἵματα, ȣ̓δὲ ἀπὸ τὸ θέλημα τῆς σαρκὸς, ȣ̓δὲ ἀπὸ τὸ θέλημα τοῦ ἀνδρὸς, ἀλλὰ ἀπὸ τὸν Θεὸν ἐγεννήθηκαν.

14 Καὶ ὁ λόγος ἔγινε σὰρξ, καὶ ἐκατοίκησεν εἰς ἐμᾶς, καὶ εἴδαμεν τὴν δόξαν τȣ, δόξαν ὡσὰν (υἱȣ̃) μονογενȣ̃ς ἀπὸ τὸν πατέρα, γεμάτος χάριν καὶ ἀλήθειαν.

15 Ὁ Ἰωάννης ἐμαρτύρησε δὶ αὐτὸν, καὶ ἔκραζε, λέγοντας· Ἐτȣ̃τος εἶναι ἐκεῖνος τὸν ὁποῖον σᾶς εἶπα· Ὅτι ἐκεῖνος ὁπȣ̃ ἔρχεται ὀπίσω μȣ, ἔγινεν ὀμπροςὰ μȣ· ὅτι ἦτον προτίτερός μȣ.

16 Καὶ ἀπὸ τὸ πλήρωμά τȣ ἐμεῖς ὅλοι ἀπολαύσαμεν, καὶ ἐπήραμεν χάριν ἀπάνω εἰς χάριν·

17 Ὅτι ὁ νόμος ἐδόθη διὰ μέσȣ τοῦ Μωϋσέως· (ἀμὴ) ἡ χάρις καὶ ἡ ἀλήθεια ἔγινε διὰ μέσȣ τοῦ Ἰησȣ̃ Χριςȣ̃.

18 Τὸν Θεὸν ȣ̓δὲ κανένας ποτὲ δὲν τὸν εἶδεν· ὁ μονογενὴς

τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο.

19 Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ λευΐτας, ἵνα ἐρωτήσωσιν αὐτόν· Σὺ τίς εἶ;

20 Καὶ ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο· καὶ ὡμολόγησεν· Ὅτι οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός.

21 Καὶ ἠρώτησαν αὐτόν· Τί οὖν; Ἠλίας εἶ σύ; Καὶ λέγει· Οὐκ εἰμί. Ὁ προφήτης εἶ σύ; Καὶ ἀπεκρίθη· Οὔ.

22 Εἶπον οὖν αὐτῷ· Τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ;

23 Ἔφη· Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Εὐθύνατε τὴν ὁδὸν Κυρίου· καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης.

24 Καὶ οἱ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων·

25 Καὶ ἠρώτησαν αὐτὸν, καὶ εἶπον αὐτῷ· Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς, οὔτε Ἠλίας, οὔτε ὁ προφήτης;

26 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης, λέγων· Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ

υἱὸς, ὁποῦ εἶναι εἰς τὸν κόρφον τοῦ πατρὸς, ἐκεῖνος τὸν ἐξηγήθη.

19 Καὶ ἐτοῦτη εἶναι ἡ μαρτυρία τοῦ Ἰωάννου, ὁπόταν ἀπέστειλαν οἱ Ἰουδαῖοι ἀπὸ τὰ Ἱεροσόλυμα ἱερεῖς καὶ λευΐτας, νὰ τὸν ἐρωτήσουν· Ἐσὺ ποῖος εἶσαι;

20 Καὶ ὡμολόγησε, καὶ δὲν τὸ ἀρνήθη· ὡμολόγησε, λέγωντας· Ὅτι δὲν εἶμαι ἐγὼ ὁ Χριστός.

21 Καὶ ἐρώτησάν τον· Τί εἶσαι λοιπόν; Ἠλίας εἶσαι ἐσύ; Καὶ λέγει· Δὲν εἶμαι. Ὁ προφήτης εἶσαι; Καὶ ἀπεκρίθη· Ὄχι.

22 Καὶ λέγουν του· Ποῖος εἶσαι λοιπόν; διὰ νὰ δώσωμεν ἀπόκρισιν εἰς ἐκείνους ὁποῦ μᾶς ἐπέμψασι· τί λέγεις διὰ λόγου σου;

23 Εἶπεν· Ἐγὼ εἶμαι ἡ φωνὴ ἐκείνου ὁποῦ βοᾷ μέσα εἰς τὴν ἔρημον· Ἰσιάσατε τὴν στράταν τοῦ Κυρίου· καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης.

24 Καὶ οἱ ἀπεσταλμένοι ἦταν ἀπὸ τοὺς Φαρισαίους.

25 Καὶ ἐρώτησάν τον, καὶ εἶπάν του· Διατὶ λοιπὸν βαπτίζεις, ἐπειδὴ καὶ δὲν εἶσαι ἐσὺ ὁ Χριστὸς, οὔτε Ἠλίας, οὔτε ὁ προφήτης;

26 Ὁ Ἰωάννης ἀπεκρίθη, λέγωντας· Ἐγὼ βαπτίζω εἰς νερόν· ἀμὴ ἐκεῖνος στέκεται εἰς

ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ
οἴδατε·
27 Αὐτός ἐστιν ὁ ὀπίσω μου
ἐρχόμενος, ὃς ἔμπροσθέν μου
γέγονεν· οὗ ἐγὼ οὐκ εἰμὶ ἄξιος
ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα
τοῦ ὑποδήματος.
28 Ταῦτα ἐν Βηθαβαρᾷ
ἐγένετο πέραν τοῦ Ἰορδάνου,
ὅπου ἦν Ἰωάννης βαπτίζων.

29 Τῇ ἐπαύριον βλέπει ὁ
Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον
πρὸς αὐτὸν, καὶ λέγει· Ἴδε ὁ
ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν
ἁμαρτίαν τοῦ κόσμου.

30 Οὗτός ἐστι περὶ οὗ ἐγὼ
εἶπον· Ὀπίσω μου ἔρχεται
ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγο-
νεν· ὅτι πρῶτός μου ἦν.

31 Κἀγὼ οὐκ ᾔδειν αὐτόν·
ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραὴλ,
διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ ὕδα-
τι βαπτίζων.
32 Καὶ ἐμαρτύρησεν Ἰωάν-
νης, λέγων· Ὅτι τεθέαμαι τὸ
Πνεῦμα καταβαῖνον ὡσεὶ πε-
ριστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν
ἐπ' αὐτόν.
33 Κἀγὼ οὐκ ᾔδειν αὐτόν·
ἀλλ' ὁ πέμψας με βαπτίζειν
ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν·
Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα
καταβαῖνον καὶ μένον ἐπ'
αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων
ἐν Πνεύματι ἁγίῳ.

τὴν μέσην σας, τὸν ὁποῖον
ἐσεῖς δὲν τὸν γνωρίζετε·
27 Αὐτὸς εἶναι ὁποῦ ἔρχε-
ται ὀπίσω μου, ὁ ὁποῖος ἔγινεν
ὀμπροστά μου· τοῦ ὁποίου ἐγὼ
δὲν εἶμαι ἄξιος, νὰ λύσω τὸ
λουρίον τοῦ ὑποδημάτου του.
28 Ἐτοῦτα ἐγίνηκαν εἰς
τὴν Βηθαβαρὰν πέραν τοῦ
Ἰορδάνου, ἐκεῖ ὁποῦ ὁ Ἰωάννης
ἐβάπτιζε.
29 Τὴν αὐριοσινὴν (ἡμέ-
ραν) βλέπει ὁ Ἰωάννης τὸν
Ἰησοῦν ὁποῦ ἤρχουντον εἰς
αὐτὸν, καὶ λέγει· Νὰ ὁ ἀμνὸς
τοῦ Θεοῦ ὁποῦ σηκώνει καὶ εὐ-
γάνει τὴν ἁμαρτίαν τοῦ κόσμου.
30 Ἐτοῦτος εἶναι (ἐκεῖνος)
διὰ τὸν ὁποῖον ἐγὼ εἶπα·
Ἄνθρωπος ἔρχεται ὀπίσω μου,
ὁ ὁποῖος ἔγινε ὀμπροστά μου·
ὅτι ἦτον πρῶτός μου.
31 Καὶ ἐγὼ δὲν τὸν ἤξευρα·
ἀμὴ διὰ νὰ φανερωθῇ εἰς τὸν
Ἰσραὴλ, διὰ τοῦτο ἦλθα ἐγὼ
βαπτίζωντας εἰς τὸ νερό.
32 Καὶ ἐμαρτύρησεν ὁ
Ἰωάννης, λέγωντας· Ὅτι εἶδα
τὸ Πνεῦμα ὁποῦ ἐκατέβαινεν
ὡσὰν περιστέρι ἀπὸ τὸν οὐρανὸν,
καὶ ἔμεινεν ἀπάνω του.
33 Καὶ ἐγὼ δὲν τὸν ἐγνώρι-
ζα· ἀμὴ ἐκεῖνος ὁποῦ μὲ ἔπεμ-
ψε νὰ βαπτίζω εἰς τὸ νερὸν,
ἐκεῖνος μοῦ εἶπεν· Εἰς ὅποιον καὶ
ἂν εἴδῃς τὸ Πνεῦμα ὁποῦ νὰ
καταβαίνῃ καὶ νὰ μένῃ εἰς
αὐτὸν, ἐτοῦτος εἶναι ὁποῦ βαπ-
τίζει μὲ Πνεῦμα ἅγιον.

34 Κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐςιν ὁ υἱὸς τοῦ Θεοῦ.

35 Τῇ ἐπαύριον πάλιν εἱςήκει ὁ Ἰωάννης, καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο.

36 Καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ.

37 Καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ.

38 Στραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς.

39 Τί ζητεῖτε; Οἱ δὲ εἶπον αὐτῷ· Ῥαββί, (ὃ λέγεται ἑρμηνευόμενον, Διδάσκαλε,) ποῦ μένεις;

40 Λέγει αὐτοῖς· Ἔρχεσθε καὶ ἴδετε· Ἦλθον καὶ εἶδον ποῦ μένει· καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην· ὥρα δὲ ἦν ὡς δεκάτη.

41 Ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ.

42 Εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ· Εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐςι μεθερμηνευόμενον ὁ Χριςός·

43 Καὶ ἤγαγεν αὐτὸν πρὸς

34 Καὶ ἐγὼ τὸν εἶδα, καὶ ἐμαρτύρησα, ὅτι ἐτοῦτος εἶναι ὁ υἱὸς τοῦ Θεοῦ.

35 Καὶ τὴν αὐριοσινὴν ἡμέραν πάλιν ἐςέκετον ὁ Ἰωάννης, καὶ ἀπὸ τοὺς μαθητάδες του δύο.

36 Καὶ βλέπωντας τὸν Ἰησοῦν ὁποῦ ἐπεριπάτει, λέγει· Ἴδες νὰ ὁ ἀμνὸς τοῦ Θεοῦ.

37 Καὶ ἤκουσάν τον οἱ δύο του μαθητάδες ὁποῦ τὸ εἶπε, καὶ ἀκολούθησαν τὸν Ἰησοῦν.

38 Καὶ ὁ Ἰησοῦς γυρίζωντας, καὶ βλέπωντάς τους ὁποῦ τὸν ἀκολουθοῦσαν, λέγει τους·

39 Τί γυρεύετε; Καὶ ἐκεῖνοι τοῦ εἶπαν· Ῥαββί, (τὸ ὁποῖον θέλει νὰ εἰπεῖ μεταγλωττιζόμενον, Διδάσκαλε,) ποῦ μένεις;

40 Καὶ λέγει τους· Ἐλᾶτε καὶ εἰδῆτε. Ἦλθαν καὶ εἶδαν ποῦ μένει· καὶ ἔμειναν τὴν ἡμέραν ἐκείνην σιμά του· καὶ ἦτον ὡς δεκάτη ὥρα (τῆς ἡμέρας.)

41 Ἦτον ὁ Ἀνδρέας ὁ ἀδελφὸς τοῦ Σίμωνος Πέτρου, ἕνας ἀπὸ τοὺς δύο, ὁποῦ ἄκουσαν ἀπὸ τὸν Ἰωάννην ἐκεῖνον τὸν λόγον, καὶ ἀκολουθήσασι τοῦ Χριςοῦ.

42 Καὶ ἐτοῦτος πρῶτος εὗρε τὸν ἴδιόν του ἀδελφὸν τὸν Σίμωνα, καὶ λέγει του· Εὑρήκαμεν τὸν Μεσσίαν, τὸ ὁποῖον μεταγλωττιζόμενον θέλει νὰ εἰπεῖ ὁ Χριςός·

43 Καὶ ἔφερέν τον εἰς τὸν

τὸν Ἰησοῦν. Ἐμβλέψας δὲ αὐτῷ ὁ Ἰησοῦς, εἶπε· Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος.

44 Τῇ ἐπαύριον ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν· καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ· Ἀκολούθει μοι.

45 Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδὰ, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου.

46 Εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ, καὶ λέγει αὐτῷ· Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρήκαμεν Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσὴφ, τὸν ἀπὸ Ναζαρέτ.

47 Καὶ εἶπεν αὐτῷ Ναθαναήλ. Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; Λέγει αὐτῷ Φίλιππος· Ἔρχου καὶ ἴδε.

48 Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει περὶ αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι.

49 Λέγει αὐτῷ Ναθαναήλ· Πόθεν με γινώσκεις; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε.

50 Ἀπεκρίθη Ναθαναὴλ, καὶ λέγει αὐτῷ· Ῥαββὶ, σὺ εἶ ὁ

Ἰησοῦν. Καὶ ὁ Ἰησοῦς ὡσὰν τὸν εἶδεν, εἶπεν· Ἐσὺ εἶσαι ὁ Σίμων ὁ υἱὸς τοῦ Ἰωνᾶ· ἐσὺ θέλεις καλεσθῇ Κηφᾶς, τὸ ὁποῖον θέλει νὰ εἰπῇ Πέτρος.

44 Καὶ τὴν αὔριοσινὴν ἡμέραν πάλιν ἠθέλησεν (ὁ Ἰησοῦς) νὰ εὔγῃ ἔξω εἰς τὴν Γαλιλαίαν· καὶ εὑρίσκει τὸν Φίλιππον καὶ λέγει του· Ἀκολούθα μου.

45 Καὶ ὁ Φίλιππος ἦτον ἀπὸ τὴν Βηθσαϊδὰ, ἀπὸ τὴν πόλιν τοῦ Ἀνδρέου καὶ Πέτρου.

46 Ὁ Φίλιππος ηὗρε τὸν Ναθαναὴλ, καὶ λέγει του· Ἐκεῖνον ὁποῦ ἔγραψεν ὁ Μωϋσῆς εἰς τὸν νόμον καὶ οἱ προφῆται εὑρήκαμεν, Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσὴφ ἀπὸ τὴν Ναζαρέτ.

47 Καὶ λέγει του ὁ Ναθαναήλ· Ἀπὸ τὴν Ναζαρὲτ ἠμπορεῖ νὰ εἶναι τίποτες καλόν; Λέγει του ὁ Φίλιππος· Ἔλα καὶ ἰδέ.

48 Καὶ ὁ Ἰησοῦς εἶδε τὸν Ναθαναὴλ ὁποῦ ἤρχουντον εἰς αὐτὸν, καὶ εἶπε δι' αὐτόν· Ἴδες ἀληθινὰ Ἰσραηλίτης, εἰς τὸν ὁποῖον δὲν εἶναι δόλος.

49 Λέγει του ὁ Ναθαναήλ· Ἀπὸ ποῦ μὲ γνωρίζεις; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπέν του· Πρὸ τοῦ νὰ σὲ λαλήσῃ ὁ Φίλιππος, ὁποῦ ἤσουν ἀπὸ κάτω εἰς τὴν συκιὰν, σὲ εἶδα.

50 Ὁ Ναθαναὴλ ἀπεκρίθη, καὶ λέγει του· Διδάσκαλε,

υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ.

51 Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ὅτι εἶπόν σοι· Εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις· μείζω τούτων ὄψει.

52 Καὶ λέγει αὐτῷ· Ἀμὴν ἀμὴν λέγω ὑμῖν· Ἀπ᾽ ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου.

ἐσὺ εἶσαι ὁ υἱὸς τοῦ Θεοῦ· ἐσὺ εἶσαι ὁ βασιλεὺς τοῦ Ἰσραήλ.

51 Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπέν του· Διατὶ σοῦ εἶπα πῶς σὲ εἶδα ἀπὸ κάτω εἰς τὴν συκιὰν, πιστεύεις; μεγαλίτερα ἀπὸ τοῦτα θέλεις εἰδῆ.

52 Καὶ λέγει του· Βέβαια βέβαια σᾶς λέγω· ἀπὸ τῶρα καὶ ὀμπροστὰ θέλετε εἰδῆ τὸν οὐρανὸν ἀνοικτὸν, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ὁποῦ νὰ ἀναβαίνουσιν καὶ νὰ καταβαίνουσιν εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου.

Κεφ. β΄. 2.

ΚΑῚ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας· καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ.

2 Ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον.

3 Καὶ ὑστερήσαντος οἴνου, λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν· Οἶνον οὐκ ἔχουσι.

4 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Τί ἐμοὶ καὶ σοί, γύναι; οὔπω ἥκει ἡ ὥρα μου.

5 Λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις· Ὅ, τι ἂν λέγῃ ὑμῖν, ποιήσατε.

6 Ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἓξ, κείμεναι κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων,

ΚΑῚ τὴν τρίτην ἡμέραν ἔγινε γάμος εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας· καὶ ἐκεῖ ἦτον ἡ μητέρα τοῦ Ἰησοῦ.

2 Καὶ ἐκάλεσαν καὶ τὸν Ἰησοῦν, καὶ τοὺς μαθητάδες του εἰς τὸν γάμον.

3 Καὶ ἔστωντας νὰ λείψῃ κρασὶ, λέγει εἰς τὸν Ἰησοῦν ἡ μητέρα του· Κρασὶ δὲν ἔχουσιν.

4 Λέγει της ὁ Ἰησοῦς· Ὦ γυναῖκα, τί ἔχεις (νὰ κάμῃς) ἐσὺ μετ᾽ ἐμένα; ἀκόμι δὲν ἦλθεν ἡ ὥρα μου.

5 Λέγει ἡ μητέρα του εἰς τοὺς ὑπηρέτας· Ὅ, τι καὶ ἂν σᾶς εἰπεῖ, κάμετέ το.

6 Καὶ ἦταν ἐκεῖ πιθάρια πέτρινα ἕξι, ὁποῦ ἐκείτουνται διὰ καθαρισμὸν (κατὰ τὴν

χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς.

7 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Γεμίσατε τὰς ὑδρίας ὕδατος. Καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω.

8 Καὶ λέγει αὐτοῖς· Ἀντλήσατε νῦν, καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ. Καὶ ἤνεγκαν.

9 Ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον, (καὶ οὐκ ᾔδει πόθεν ἐστίν· οἱ δὲ διάκονοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ,) φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος,

10 Καὶ λέγει αὐτῷ· Πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅταν μεθυσθῶσι, τότε τὸν ἐλάσσω· σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι.

8 Ὅτι τὰ λόγια ὅπου μου ἔδωκες, τοὺς ἔδωκα· καὶ αὐτοὶ τὰ ἐπῆραν, καὶ ἐγνώρισαν ἀληθινὰ, ὅτι ἀπὸ ἐσένα εὐγῆκα, καὶ ἐπίστευσαν ὅτι ἐσὺ μὲ ἀπέστειλες.

9 Ἐγὼ δι᾽ αὐτοὺς παρακαλῶ· ὄχι διὰ τὸν κόσμον παρακαλῶ, ἀλλὰ διὰ ἐκείνους ὅπου μοῦ ἔδωκες, διατὶ εἶναι ἐδικοί σου.

10 Καὶ τὰ ἐδικά μου ὅλα, ἐδικά σου εἶναι, καὶ τὰ ἐδικά σου, ἐδικά μου· καὶ ἐδοξάσθηκα εἰς αὐτούς.

11 Καὶ δὲν εἶμαι πλέον εἰς τὸν κόσμον, ἀμὴ ἐτοῦτοι εἶναι εἰς τὸν κόσμον, καὶ ἐγὼ ἔρχομαι εἰς ἐσένα. Πάτερ ἅγιε, φύλαξέ τους εἰς τὸ ὄνομά σου, ἐκείνους ὅπου μοῦ ἔδωκες, διὰ νὰ εἶναι ἕνα ὡσὰν καὶ ἐμεῖς.

12 Ὅταν ἤμουν μετ᾽ αὐτοὺς εἰς τὸν κόσμον, ἐγὼ τοὺς ἐφύλαγα εἰς τὸ ὄνομά σου· ἐκείνους

μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐ-
τῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς
ἀπωλείας· ἵνα ἡ γραφὴ πλη-
ρωθῇ.
13 Νῦν δὲ πρός σε ἔρχο-
μαι, καὶ ταῦτα λαλῶ ἐν τῷ
κόσμῳ, ἵνα ἔχωσι τὴν χαρὰν
τὴν ἐμὴν πεπληρωμένην ἐν
αὐτοῖς.
14 Ἐγὼ δέδωκα αὐτοῖς τὸν
λόγον σου, καὶ ὁ κόσμος ἐμίση-
σεν αὐτοὺς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ
κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ
τοῦ κόσμου.
15 Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐ-
τοὺς ἐκ τοῦ κόσμου, ἀλλ᾽ ἵνα τη-
ρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ.
16 Ἐκ τοῦ κόσμου οὐκ εἰσὶ,
καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ
εἰμί.
17 Ἁγίασον αὐτοὺς ἐν τῇ
ἀληθείᾳ σου· ὁ λόγος ὁ σὸς ἀλή-
θειά ἐστι.
18 Καθὼς ἐμὲ ἀπέστειλας
εἰς τὸν κόσμον, κἀγὼ ἀπέ-
στειλα αὐτοὺς εἰς τὸν κόσμον.
19 Καὶ ὑπὲρ αὐτῶν ἐγὼ
ἁγιάζω ἐμαυτὸν, ἵνα καὶ
αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀλη-
θείᾳ.
20 Οὐ περὶ τούτων δὲ ἐρωτῶ
μόνον, ἀλλὰ καὶ περὶ τῶν
πιστευσόντων διὰ τοῦ λόγου αὐ-
τῶν εἰς ἐμέ·
21 Ἵνα πάντες ἓν ὦσι, κα-
θὼς σὺ, πάτερ, ἐν ἐμοὶ, κἀγὼ ἐν

ὁποῦ μοῦ ἔδωκες τοὺς ἐφύλαξα,
καὶ κανένας ἀπ᾽ αὐτοὺς δὲν ἐχά-
θη, παρὰ ὁ υἱὸς τῆς ἀπωλείας·
διὰ νὰ πληρωθῇ ἡ γραφή.
13 Ἀμὴ τώρα ἔρχομαι εἰς
ἐσένα, καὶ λαλῶ ἐτοῦτα εἰς τὸν
κόσμον, διὰ νὰ ἔχουσι τὴν χα-
ρὰν τὴν ἐδικήν μου τελείαν εἰς
τοῦ λόγου τους.
14 Ἐγὼ τοὺς ἔδωκα τὸν λόγον
σου, καὶ ὁ κόσμος τοὺς ἐμίσησε,
διατὶ δὲν εἶναι ἀπὸ τὸν κόσμον,
καθὼς καὶ ἐγὼ δὲν εἶμαι ἀπὸ
τὸν κόσμον.
15 Δὲν παρακαλῶ νὰ τοὺς
σηκώσῃς ἀπὸ τὸν κόσμον, ἀλλὰ
νὰ τοὺς φυλάξῃς ἀπὸ τὸν πονηρόν.
16 Ἐκεῖνοι δὲν εἶναι ἀπὸ τὸν
κόσμον, καθὼς καὶ ἐγὼ δὲν
εἶμαι ἀπὸ τὸν κόσμον.
17 Ἁγίασέ τους εἰς τὴν ἀλή-
θειάν σου· ὁ λόγος ὁ ἐδικός σου
εἶναι ἀλήθεια.
18 Καθὼς ἔστειλες ἐμένα εἰς
τὸν κόσμον, καὶ ἐγὼ ἔστειλα
αὐτοὺς εἰς τὸν κόσμον.
19 Καὶ διὰ ταυτοὺς ἁγιάζω
ἐγὼ τοῦ λόγου μου, διὰ νὰ εἶναι
καὶ αὐτοὶ ἁγιασμένοι εἰς τὴν
ἀλήθειαν.
20 Καὶ ὄχι μόνον διὰ τούτους
παρακαλῶ, ἀλλὰ καὶ διὰ ἐκεί-
νους ὁποῦ μέλλουν νὰ πιστεύσουν
διὰ μέσου τοῦ λόγου αὐτῶν εἰς
ἐμένα·
21 Διὰ νὰ εἶναι ὅλοι ἕνα, κα-
θὼς εἶσαι καὶ ἐσὺ, πάτερ, εἰς

σοὶ, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν· ἵνα ὁ κόσμος πιςεύσῃ ὅτι σύ με ἀπέςειλας.

22 Καὶ ἐγὼ τὴν δόξαν ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς· ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς ἕν ἐσμεν.

23 Ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοὶ, ἵνα ὦσι τετελειωμένοι εἰς ἓν, καὶ ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέςειλας, καὶ ἠγάπησας αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας.

24 Πάτερ, οὓς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ· ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν ἣν ἔδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου.

25 Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων, καὶ οὗτοι ἔγνωσαν ὅτι σύ με ἀπέςειλας.

26 Καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου, καὶ γνωρίσω· ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με, ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς.

ἐμένα, καὶ ἐγὼ εἰς ἐσένα, νὰ εἶναι καὶ αὐτοὶ ἕνα εἰς ἐμᾶς· διὰ νὰ πιστεύῃ ὁ κόσμος ὅτι ἐσὺ μὲ ἀπέςειλες.

22 Καὶ ἐγὼ τοὺς ἔδωκα τὴν δόξαν ὅπου μοῦ ἔδωκες· διὰ νὰ εἶναι ἕνα, καθὼς καὶ ἐμεῖς εἴμεσθεν ἕνα.

23 Ἐγὼ εἶμαι εἰς αὐτοὺς, καὶ ἐσὺ εἰς ἐμένα, διὰ νὰ εἶναι καὶ αὐτοὶ τελειωμένοι εἰς ἕνα, καὶ διὰ νὰ γνωρίζῃ ὁ κόσμος ὅτι ἐσὺ μὲ ἀπέςειλες, καὶ τοὺς ἀγάπησες, καθὼς ἀγάπησες ἐμένα.

24 Ὦ πάτερ, ἐκείνους ὅπου μοῦ ἔδωκες, θέλω ἐκεῖ ὅπου εἶμαι ἐγὼ, νὰ εἶναι καὶ ἐκεῖνοι μετ' ἐμένα· διὰ νὰ βλέπουσι τὴν δόξαν τὴν ἐδικήν μου ὅπου μοῦ ἔδωκες, ὅτι μὲ ἀγάπησες προτίτερα ἀπὸ τὴν ἀρχὴν τοῦ κόσμου.

25 Ὦ πάτερ δίκαιε, ὁ κόσμος δέν σε ἐγνώρισε, ἀμὴ ἐγώ σε ἐγνώρισα, καὶ ἐτοῦτοι ἐγνώρισαν ὅτι ἐσὺ μὲ ἀπέςειλες.

26 Καὶ ἔκαμα νὰ γνωρίσουν τὸ ὄνομά σου, καὶ ἀκόμι θέλω τὸ κάμει γνώριμον εἰς αὐτούς· διά νὰ εὑρίσκεται εἰς αὐτοὺς ἡ ἀγάπη ὅπου μὲ ἀγάπησες, καὶ ἐγὼ νὰ εὑρίσκομαι εἰς αὐτούς.

Κεφ. ιη΄. 18.

ΤΑῦτα εἰπὼν ὁ Ἰησοῦς ἐξῆλθε σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάῤῥου τῶν Κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ.

2 Ἤδει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν, τὸν τόπον· ὅτι πολλάκις συνήχθη ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ.

3 Ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν, καὶ ἐκ τῶν ἀρχιερέων καὶ Φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων.

4 Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ᾽ αὐτὸν, ἐξελθὼν εἶπεν αὐτοῖς· Τίνα ζητεῖτε;

5 Ἀπεκρίθησαν αὐτῷ· Ἰησοῦν τὸν Ναζωραῖον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐγώ εἰμι. Εἱστήκει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν, μετ᾽ αὐτῶν.

6 Ὡς οὖν εἶπεν αὐτοῖς· Ὅτι ἐγώ εἰμι, ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ ἔπεσον χαμαί.

7 Πάλιν οὖν αὐτοὺς ἐπηρώτησε· Τίνα ζητεῖτε; Οἱ δὲ εἶπον· Ἰησοῦν τὸν Ναζωραῖον.

8 Ἀπεκρίθη ὁ Ἰησοῦς· Εἶ-

Ὡσὰν εἶπεν ἐτοῦτα ὁ Ἰησοῦς, εὐγῆκε μαζὺ μὲ τοὺς μαθητάδες του (καὶ ἐπῆγε) πέρ᾽ ἀπὸ τὸ ποτάμι ὁποῦ λέγεται Κέδρων, ἐκεῖ ὁποῦ ἦτον κῆπος, εἰς τὸν ὁποῖον ἐμβῆκε μέσα αὐτὸς καὶ οἱ μαθητάδες του.

2 Καὶ ὁ Ἰούδας ὁποῦ τὸν ἐπαράδιδεν, ἤξευρε τὸν τόπον· διατὶ πολλαῖς φοραῖς ὁ Ἰησοῦς ἐπῆγεν ἐκεῖ μαζὺ μὲ τοὺς μαθητάδες του.

3 Ὁ Ἰούδας λοιπὸν ἐπῆρε τὸ τάγμα τῶν στρατιωτῶν, καὶ ὑπηρέτας ἀπὸ τοὺς ἀρχιερεῖς καὶ Φαρισαίους, καὶ ἦλθεν ἐκεῖ μὲ φανοὺς καὶ λαμπάδες καὶ ἄρματα.

4 Ὁ Ἰησοῦς λοιπὸν, ὡσὰν εἶδεν ὅλα ἐκεῖνα ὁποῦ ἤρχουνταν ἀπάνω του, εὐγῆκεν ἔξω καὶ λέγει τους· Τίνα ζητᾶτε;

5 Τοῦ ἀπεκρίθηκαν· Ἰησοῦν τὸν Ναζωραῖον. Λέγει τους ὁ Ἰησοῦς· Ἐγὼ εἶμαι. Καὶ ἐστέκετον μετ᾽ αὐτοὺς καὶ ὁ Ἰούδας ὁποῦ τὸν ἐπαράδιδε.

6 Ὡσὰν τοὺς εἶπεν λοιπόν· Ὅτι ἐγὼ εἶμαι, ἐσύρθηκαν ὀπίσω, καὶ ἔπεσαν κάτω.

7 Καὶ πάλιν τοὺς ἐμετερώτησε· Τίνα ζητᾶτε; Καὶ ἐκεῖνοι εἶπαν· Τὸν Ἰησοῦν τὸν Ναζωραῖον.

8 Ὁ Ἰησοῦς τοὺς ἀπεκρίθη·

που ὑμῖν ὅτι ἐγώ εἰμι· εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν.

9 Ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν· Ὅτι οὓς δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα.

10 Σίμων οὖν Πέτρος ἔχων μάχαιραν, εἵλκυσεν αὐτὴν, καὶ ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον, καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν· ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος.

11 Εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· Βάλε τὴν μάχαιράν σου εἰς τὴν θήκην. τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ πατὴρ, οὐ μὴ πίω αὐτό;

12 Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν καὶ ἔδησαν αὐτόν.

13 Καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου.

14 Ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ.

15 Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος, καὶ ὁ ἄλλος μαθητής. ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ

Εἶπά σας ὅτι ἐγὼ εἶμαι· ἐὰν λοιπὸν ζητᾶτε ἐμένα, ἀφῆτε τούτους νὰ πᾶσιν.

9 Διὰ νὰ πληρωθῇ ὁ λόγος τὸν ὁποῖον εἶπεν· Ὅτι ἐκείνους ὁποῦ μοῦ ἔδωκες, δὲν ἔχασα ἀπ' αὐτοὺς κανένα.

10 Ὁ Σίμων Πέτρος λοιπὸν εἶχε σπαθὶ, καὶ εὔγαλέν το, καὶ ἐκτύπησε τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἔκοψε τὸ αὐτί του τὸ δεξιόν· καὶ τὸ ὄνομα τούτου δούλου ἦτον Μάλχος.

11 Ὁ Ἰησοῦς λοιπὸν εἶπε τοῦ Πέτρου· Βάλε τὸ σπαθί σου εἰς τὸ θηκάρι. τὸ ποτήριον ὁποῦ μοῦ ἔδωκεν ὁ πατήρ μου, νὰ μὴν τὸ πίω;

12 Τὸ τάγμα λοιπὸν τὸ στρατιωτικὸν καὶ ὁ χιλίαρχος, καὶ οἱ δουλευτάδες τῶν Ἰουδαίων ἐπίασαν τὸν Ἰησοῦν, καὶ ἔδεσάν τον.

13 Καὶ τὸν ἐπῆγαν πρῶτον εἰς τὸν Ἄνναν· διατὶ ὁ Ἄννας ἦτον πενθερὸς τοῦ Καϊάφα· ὁ ὁποῖος ἦτον ἀρχιερεὺς τοῦ χρόνου ἐκείνου.

14 Καὶ ὁ Καϊάφας ἦτον ὁποῦ ἐσυμβούλευε τοὺς Ἰουδαίους, ὅτι συμφέρει ἕνας ἄνθρωπος νὰ χαλασθῇ διὰ τὸν λαόν.

15 Καὶ ὁ Σίμων Πέτρος καὶ ὁ ἄλλος μαθητὴς ἀκολούθησαν τὸν Ἰησοῦν. καὶ ὁ μαθητὴς ἐκεῖνος ἦτον γνώριμος

συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως.

16 Ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω. ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος ὃς ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ εἶπε τῇ θυρωρῷ, καὶ εἰσήγαγε τὸν Πέτρον.

17 Λέγει οὖν ἡ παιδίσκη ἡ θυρωρὸς τῷ Πέτρῳ· Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; Λέγει ἐκεῖνος· Οὐκ εἰμί.

18 Εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψύχος ἦν, καὶ ἐθερμαίνοντο· ἦν δὲ μετ' αὐτῶν ὁ Πέτρος ἑστὼς καὶ θερμαινόμενος.

19 Ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ, καὶ περὶ τῆς διδαχῆς αὐτοῦ.

20 Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ παῤῥησίᾳ ἐλάλησα τῷ κόσμῳ· ἐγὼ πάντοτε ἐδίδαξα ἐν τῇ συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντοθεν οἱ Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν·

21 Τί με ἐπερωτᾷς; ἐπερώ-

τοῦ ἀρχιερέως, καὶ ἐμβῆκε μέσα μὲ τὸν Ἰησοῦν εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως.

16 Ἀμὴ ὁ Πέτρος ἐστέκουντον ἔξω εἰς τὴν θύραν. εὐγῆκε λοιπὸν ὁ μαθητὴς ὁ ἄλλος, ὁ ὁποῖος ἦτον γνώριμος τοῦ ἀρχιερέως, καὶ εἶπε τῆς πορτάρισσας, καὶ ἔβαλλε μέσα τὸν Πέτρον.

17 Λέγει λοιπὸν ἡ δουλεύτρα ἡ πορτάρισσα τοῦ Πέτρου· Μῆνα εἶσαι καὶ ἐσὺ ἀπὸ τοὺς μαθητάδες τοῦ ἀνθρώπου ἐτούτου; Λέγει ἐκεῖνος· Δὲν εἶμαι.

18 Καὶ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἐστέκουνταν καὶ ἄναπταν ἀνθρακοφωτιάν, ὅτι ἦταν κρύο καὶ ἐζεσταίνουνταν· καὶ ἐστέκετον καὶ ὁ Πέτρος μαζὺ μετ' αὐτοὺς καὶ ἐζεσταίνετον.

19 Ὁ ἀρχιερεὺς λοιπὸν ἐρώτησε τὸν Ἰησοῦν διὰ τοὺς μαθητάδες του, καὶ διὰ τὴν διδαχήν του.

20 Ὁ Ἰησοῦς τοῦ ἀπεκρίθη· Ἐγὼ παῤῥησίᾳ ἐλάλησα εἰς τὸν κόσμον· ἐγὼ πάντα ἐδίδαξα εἰς τὴν συναγωγὴν καὶ εἰς τὸ ἱερὸν, ὅπου πάντοτε μαζώνουνται οἱ Ἰουδαῖοι, καὶ κρυφὰ τίποτες δὲν ἐλάλησα·

21 Τί με ἐρωτᾷς; ἐρώτησε

τησον τοὺς ἀκηκοότας, τί ἐλά-
λησα αὐτοῖς· ἴδε, οὗτοι οἴδασιν
ἃ εἶπον ἐγώ.
22 Ταῦτα δὲ αὐτοῦ εἰπόντος,
εἷς τῶν ὑπηρετῶν παρεστηκὼς
ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ,
εἰπών· Οὕτως ἀποκρίνῃ τῷ
ἀρχιερεῖ;
23 Ἀπεκρίθη αὐτῷ ὁ
Ἰησοῦς· Εἰ κακῶς ἐλάλησα,
μαρτύρησον περὶ τοῦ κακοῦ·
εἰ δὲ καλῶς, τί με δέρεις;
24 Ἀπέστειλεν οὖν αὐτὸν
ὁ Ἄννας δεδεμένον πρὸς Καϊά-
φαν τὸν ἀρχιερέα.
25 Ἦν δὲ Σίμων Πέτρος
ἑστὼς καὶ θερμαινόμενος. εἶπον
οὖν αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῶν
μαθητῶν αὐτοῦ εἶ; Ἠρνή-
σατο ἐκεῖνος, καὶ εἶπεν· Οὐκ
εἰμί.
26 Λέγει εἷς ἐκ τῶν δούλων
τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ
ἀπέκοψε Πέτρος τὸ ὠτίον·
Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ
μετ' αὐτοῦ;
27 Πάλιν οὖν ἠρνήσατο ὁ
Πέτρος, καὶ εὐθέως ἀλέκτωρ
ἐφώνησεν.
28 Ἄγουσιν οὖν τὸν Ἰησοῦν
ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώ-
ριον. ἦν δὲ πρωΐα· καὶ αὐτοὶ
οὐκ εἰσῆλθον εἰς τὸ πραιτώρι-

ἐκείνους ὁποῦ μὲ ἄκουσαν, τί τοὺς
ἐλάλησα· νά, ἐτοῦτοι ἰξεύρουσιν
ἐκεῖνα ὁποῦ εἶπα ἐγώ.
22 Καὶ ὡσὰν εἶπεν ἐτοῦτα,
ἕνας ἀπὸ τοὺς ὑπηρέτας ὁποῦ
ἐπαραστέκουνταν ἐκεῖ, τοῦ ἐκτύ-
πησε ῥάπισμα, καὶ εἶπεν· Ἔτζι
ἀποκρίνεσαι εἰς τὸν ἀρχιερέα;
23 Ὁ Ἰησοῦς τοῦ ἀπεκρίθη·
Ἂν ἐσύντυχα κακά, μαρτύ-
ρησε διὰ τὸ κακόν· ἀμὴ ἂν
(ἐσύντυχα) καλά, τί μὲ
δέρνεις;
24 Ὁ Ἄννας λοιπὸν τὸν
ἔστειλε δεμένον εἰς τὸν Καϊάφαν
τὸν ἀρχιερέα.
25 Καὶ ὁ Σίμων Πέτρος
ἐστέκετον καὶ ἐζεσταίνουντον. καὶ
λέγουν του· Μῆνα εἶσαι καὶ
ἐσὺ ἀπὸ τοὺς μαθητάδες του;
Καὶ ἐκεῖνος ἀρνήθη, καὶ εἶπε·
Δὲν εἶμαι.
26 Λέγει ἕνας ἀπὸ τοὺς
δουλευτάδες τοῦ ἀρχιερέως, ὁ
ὁποῖος ἦτον συγγενὴς ἐκείνου
ὁποῦ ἔκοψεν ὁ Πέτρος τὸ αὐτί
του· Δέν σε εἶδα ἐγὼ εἰς τὸν
κῆπον μετ' αὐτόν;
27 Πάλιν λοιπὸν ἀρνήθηκεν
ὁ Πέτρος, καὶ παρευθὺς ὁ
πετεινὸς ἐλάλησε.
28 Φέρνουσι λοιπὸν τὸν Ἰη-
σοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ
πραιτώριον. καὶ ἦτον ταχύ· καὶ
αὐτοὶ δὲν ἐμβῆκαν μέσα εἰς τὸ
πραιτώριον, διὰ νὰ μὴν μιαν-

ον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα.

29 Ἐξῆλθεν οὖν ὁ Πιλάτος πρὸς αὐτοὺς, καὶ εἶπε· Τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου;

30 Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Εἰ μὴ ἦν οὗτος κακοποιὸς, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν.

31 Εἶπεν οὖν αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα.

32 Ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ, ὃν εἶπε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν.

33 Εἰσῆλθεν οὖν εἰς τὸ πραιτώριον πάλιν ὁ Πιλάτος, καὶ ἐφώνησε τὸν Ἰησοῦν· καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;

34 Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλλοι σοι εἶπον περὶ ἐμοῦ;

35 Ἀπεκρίθη ὁ Πιλάτος· Μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίησας;

36 Ἀπεκρίθη ὁ Ἰησοῦς· Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ κόσμου

θοῦσιν, ἀλλὰ διὰ νὰ φᾶσιν τὸ πάσχα.

29 Εὐγῆκε λοιπὸν ἔξω ὁ Πιλάτος εἰς αὐτοὺς, καὶ εἶπεν· Τί κατηγορίαν ἔχετε ἐναντίον τοῦ ἀνθρώπου ἐτούτου;

30 Ἀπεκρίθηκαν καὶ εἶπάν του· Ἂν δὲν ἦτον ἐτοῦτος ὁ ἄνθρωπος κακοποιὸς, δὲν ἠθέλαμεν σοῦ τὸν παραδώσῃ.

31 Εἶπέν τους λοιπὸν ὁ Πιλάτος· Ἐπάρετέ τον ἐσεῖς, καὶ κατὰ τὸν νόμον σας κρίνετέ τον. Καὶ οἱ Ἰουδαῖοι τοῦ εἶπαν· Ἐμεῖς δὲν ἔχομεν ἐξουσίαν νὰ σκοτώσωμεν οὐδένα.

32 Διὰ νὰ πληρωθῇ ὁ λόγος τοῦ Ἰησοῦ, τὸν ὁποῖον εἶπε σημαδεύωντας μὲ τί θάνατον ἔμελλε νὰ ἀποθάνῃ.

33 Ἐμβῆκε λοιπὸν πάλιν ὁ Πιλάτος εἰς τὸ πραιτώριον, καὶ ἔκραξε τὸν Ἰησοῦν· καὶ εἶπέν του· Ἐσὺ εἶσαι ὁ βασιλεὺς τῶν Ἰουδαίων;

34 Ὁ Ἰησοῦς τοῦ ἀπεκρίθη· Ἀπὸ λόγου σου τὸ λέγεις ἐτοῦτο, ἢ ἄλλος σοῦ τὸ εἶπε διὰ λόγου μου;

35 Ἀπεκρίθη ὁ Πιλάτος· Μῆνα ἐγὼ εἶμαι Ἰουδαῖος; τὸ ἔθνος τὸ ἐδικόν σου καὶ οἱ ἀρχιερεῖς σὲ ἐπαράδωκαν εἰς ἐμένα· τί ἔκαμες;

36 Ὁ Ἰησοῦς τοῦ ἀπεκρίθη· Ἡ βασιλεία ἡ ἐδική μου δὲν εἶναι ἀπὸ τὸν κόσμον ἐτοῦτον· ἂν ἦτον

τούτου ἦν ἡ βασιλεία ἡ ἐμὴ, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν.

37 Εἶπεν οὖν αὐτῷ ὁ Πιλάτος· Οὐκοῦν βασιλεὺς εἶ σύ; Ἀπεκρίθη ὁ Ἰησοῦς· Σὺ λέγεις ὅτι βασιλεύς εἰμι ἐγώ· ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ. Πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς.

38 Λέγει αὐτῷ ὁ Πιλάτος· Τί ἐστιν ἀλήθεια; Καὶ τοῦτο εἰπὼν, πάλιν ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους, καὶ λέγει αὐτοῖς· Ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ.

39 Ἔστι δὲ συνήθεια ὑμῖν ἵνα ἕνα ὑμῖν ἀπολύσω ἐν τῷ πασχα· βούλεσθε οὖν ὑμῖν ἀπολύσω τὸν βασιλέα τῶν Ἰουδαίων;

40 Ἐκραύγασαν οὖν πάλιν πάντες, λέγοντες· Μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν· ἦν δὲ ὁ Βαραββᾶς λῃστής.

ἡ βασιλεία ἡ ἐδική μου ἀπὸ τὸν κόσμον ἐτοῦτον, οἱ ὑπηρέται μου ἤθελαν ἀγωνίζεσθαι νὰ μὴν παραδοθῶ εἰς τοὺς Ἰουδαίους· ἀμὴ τώρα ἡ βασιλεία ἡ ἐδική μου δὲν εἶναι ἀπ᾽ ἐδῶ.

37 Ὁ Πιλάτος τοῦ εἶπε· Τὸ λοιπὸν βασιλεὺς εἶσαι; Ἀπεκρίθη ὁ Ἰησοῦς· Ἐσὺ τὸ λέγεις, ὅτι ἐγὼ εἶμαι βασιλεύς· ἐγὼ διὰ τοῦτο ἐγεννήθηκα, καὶ διὰ τοῦτο ἦλθα εἰς τὸν κόσμον, διὰ νὰ μαρτυρήσω τὴν ἀλήθειαν. Ἐκεῖνος ὁποῦ εἶναι ἀπὸ τὴν ἀλήθειαν, ἀκούει τὴν φωνήν μου.

38 Λέγει του ὁ Πιλάτος· Τί εἶναι ἀλήθεια; Καὶ ὡσὰν εἶπεν ἐτοῦτο, πάλιν εὐγῆκεν ἔξω εἰς τοὺς Ἰουδαίους, καὶ λέγει τους· Ἐγὼ δὲν εὑρίσκω καμίαν ἀφορμὴν εἰς αὐτόν.

39 Καὶ εἶναι συνήθεια εἰς ἐσᾶς, διὰ νὰ σᾶς ἀπολύσω ἕνα εἰς τὸ πάσχα· θέλετε λοιπὸν νὰ σᾶς ἀπολύσω τὸν βασιλέα τῶν Ἰουδαίων;

40 Καὶ πάλιν ἔκραξαν ὅλοι καὶ εἶπαν· Μὴ ἐτοῦτον, ἀλλὰ τὸν Βαραββᾶν· καὶ ὁ Βαραββᾶς ἦτον ἕνας λῃστής.

Κεφ. ιθ΄. 19.

ΤΟΤΕ οὖν ἔλαβεν ὁ Πιλάτος τὸν Ἰησοῦν, καὶ ἐμαστίγωσε.

2 Καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπί-

ΤΟΤΕ λοιπὸν ἐπίασεν ὁ Πιλάτος τὸν Ἰησοῦν, καὶ τὸν ἔδειρε.

2 Καὶ οἱ στρατιῶταις ἔπλεξαν ἕνα στεφάνι ἀπὸ ἀγκάθια,

θηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτόν.

3 Καὶ ἔλεγον· Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων, καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα.

4 Ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει αὐτοῖς· Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω.

5 Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν τὸν ἀκάνθινον στέφανον, καὶ τὸ πορφυροῦν ἱμάτιον. Καὶ λέγει αὐτοῖς· Ἴδε ὁ ἄνθρωπος.

6 Ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν, λέγοντες· Σταύρωσον, σταύρωσον. Λέγει αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν.

7 Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν υἱὸν τοῦ Θεοῦ ἐποίησεν.

8 Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη.

9 Καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν, καὶ λέγει τῷ Ἰησοῦ· Πόθεν εἶ σύ; Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ.

καὶ τὸ ἔβαλαν εἰς τὸ κεφάλι του, καὶ τὸν ἔνδυσαν ἕνα φόρεμα κόκκινον.

3 Καὶ ἔλεγαν· Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων, καὶ τὸν ἔδερναν.

4 Εὐγῆκε πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει τους· Νά, ὁποῦ σᾶς τὸν φέρνω ἔξω, διὰ νὰ γνωρίσετε, ὅτι εἰς αὐτὸν δὲν εὑρίσκω οὐδὲ καμίαν αἰτίαν.

5 Καὶ ὁ Ἰησοῦς εὐγῆκεν ἔξω, καὶ ἐφόρει τὸ ἀγκαθένιον στεφάνι, καὶ τὸ φόρεμα τὸ κόκκινον. Καὶ λέγει τους ὁ Πιλάτος· Νὰ ὁ ἄνθρωπος.

6 Καὶ ὡσὰν τὸν εἶδαν λοιπὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐφώναξαν, καὶ εἶπαν· Σταύρωσον, σταύρωσον αὐτόν. Λέγει τους ὁ Πιλάτος· Ἐπάρετέ τον ἐσεῖς, καὶ σταυρώσετέ τον· διατὶ ἐγὼ καμίαν ἀφορμὴν δὲν εὑρίσκω εἰς αὐτόν.

7 Οἱ Ἰουδαῖοι τοῦ ἀποκρίθηκαν· Ἐμεῖς ἔχομεν νόμον, καὶ κατὰ τὸν νόμον μας χρεωστεῖ νὰ ἀποθάνῃ ὅτι ἔκαμεν τοῦ λόγου του υἱὸν τοῦ Θεοῦ.

8 Ὅταν λοιπὸν ἄκουσεν ὁ Πιλάτος ἐτοῦτον τὸν λόγον, περισσότερον ἐφοβήθηκε.

9 Καὶ ἐμβῆκε πάλιν εἰς τὸ πραιτώριον, καὶ λέγει τοῦ Ἰησοῦ· Ἀπὸ ποῦ εἶσαι ἐσύ; Καὶ ὁ Ἰησοῦς δὲν τοῦ ἀπεκρίθη.

10 Λέγει οὖν αὐτῷ ὁ Πιλάτος· Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε;

11 Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ᾽ ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν· διὰ τοῦτο ὁ παραδιδούς με σοὶ μείζονα ἁμαρτίαν ἔχει.

12 Ἐκ τούτου ἐζήτει ὁ Πιλάτος ἀπολῦσαι αὐτόν· οἱ δὲ Ἰουδαῖοι ἔκραζον, λέγοντες· Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος. πᾶς ὁ βασιλέα αὐτὸν ποιῶν, ἀντιλέγει τῷ Καίσαρι.

13 Ὁ οὖν Πιλάτος ἀκούσας τοῦτον τὸν λόγον, ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ τοῦ βήματος, εἰς τόπον λεγόμενον Λιθόστρωτον, Ἑβραϊστὶ δὲ Γαββαθᾶ.

14 Ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη· καὶ λέγει τοῖς Ἰουδαίοις· Ἴδε ὁ βασιλεὺς ὑμῶν.

15 Οἱ δὲ ἐκραύγασαν· Ἆρον, ἆρον, σταύρωσον αὐτόν· Λέγει αὐτοῖς ὁ Πιλάτος· Τὸν βασιλέα ὑμῶν σταυρώσω; Ἀπεκρίθησαν οἱ ἀρ-

10 Λέγει του ὁ Πιλάτος· Μετ᾽ ἐμένα δὲν λαλεῖς; δὲν ἰξεύρεις ὅτι ἔχω ἐξουσίαν νὰ σὲ σταυρώσω, καὶ ἔχω ἐξουσίαν νὰ σὲ ἀπολύσω;

11 Ὁ Ἰησοῦς ἀπεκρίθη· Οὐδεμίαν ἐξουσίαν δὲν ἤθελες ἔχῃ ἐναντία μου, ἂν δὲν σοῦ ἦτον δεδομένον ἀποπάνω· διὰ τοῦτο ἐκεῖνος ὁποῦ μὲ ἐπαράδωκε εἰς ἐσένα, ἔχει μεγαλίτερην ἁμαρτίαν.

12 Ἀπὸ ἐκείνην τὴν ὥραν ἐζῆτα ὁ Πιλάτος νὰ τὸν ἀπολύσῃ ἀμὴ οἱ Ἰουδαῖοι ἔκραζαν, καὶ ἔλεγαν· Ἂν ἀπολύσῃς ἐτοῦτον, δὲν εἶσαι φίλος τοῦ Καίσαρος. κάθε ἄνθρωπος ὁποῦ κάμνει τοῦ λόγου του βασιλέα, ἐναντιεῖται τὸν Καίσαρα.

13 Ὁ Πιλάτος λοιπὸν ὡσὰν ἄκουσεν ἐτοῦτα τὰ λόγια, εὔγαλεν ἔξω τὸν Ἰησοῦν, καὶ αὐτὸς ἐκάθισεν εἰς τὸ κριτήριον, εἰς ἕνα τόπον ὁποῦ τὸν λέγουν Λιθόστρωτον, καὶ Ἑβραϊκὰ Γαββαθᾶ.

14 Καὶ ἦτον ἡ παρασκευὴ τοῦ πάσχα, κοντὰ ἕκτη ὥρα· καὶ λέγει εἰς τοὺς Ἰουδαίους· Νὰ ὁ βασιλεύς σας.

15 Καὶ ἐκεῖνοι ἐφώναξαν· Σήκωσε, σήκωσε, σταύρωσέ τον. Λέγει τους ὁ Πιλάτος· Τὸν βασιλέα σας νὰ σταυρώσω; Ἀπεκρίθηκαν οἱ ἀρχιερεῖς

χιερεῖς· Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα.

16 Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα σταυρωθῇ. παρέλαβον δὲ τὸν Ἰησοῦν καὶ ἀπήγαγον.

17 Καὶ βαστάζων τὸν σταυρὸν αὐτοῦ ἐξῆλθεν εἰς τὸν λεγόμενον Κρανίου τόπον, ὃς λέγεται Ἑβραϊστὶ Γολγοθᾶ.

18 Ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλλους δύο, ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν.

19 Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλάτος, καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ. ἦν δὲ γεγραμμένον· ἸΗΣΟΥ͂Σ Ὁ ΝΑΖΩΡΑΙ͂ΟΣ Ὁ ΒΑΣΙΛΕΥ͂Σ ΤΩ͂Ν ἸΟΥΔΑΙ͂ΩΝ.

20 Τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων· ὅτι ἐγγὺς ἦν τῆς πόλεως ὁ τόπος ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον Ἑβραϊστί, Ἑλληνιστί, Ῥωμαϊστί.

21 Ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων· Μὴ γράφε· Ὁ βασιλεὺς τῶν Ἰουδαίων· ἀλλ' ὅτι ἐκεῖνος εἶπε· Βασιλεύς εἰμι τῶν Ἰουδαίων.

22 Ἀπεκρίθη ὁ Πιλάτος·

καὶ εἶπαν· Ἐμεῖς δὲν ἔχομεν βασιλέα παρὰ τὸν Καίσαρα.

16 Τότε λοιπὸν τοὺς τὸν ἐπαράδωκεν διὰ νὰ σταυρωθῇ. καὶ ἐπῆραν τὸν Ἰησοῦν καὶ τὸν ἐπάγεναν.

17 Καὶ ἐσήκωνε τὸν σταυρόν του καὶ εὐγῆκεν ἔξω εἰς τὸν τόπον ὅπου ἐλέγετον τόπος Κρανίου, ὁ ὁποῖος λέγεται Ἑβραϊκὰ Γολγοθᾶ.

18 Ἐκεῖ ὅπου τὸν ἐσταύρωσαν, καὶ μετ' αὐτὸν ἄλλους δύο, ἕνα ἀπὸ τὴν μίαν μεραίαν, καὶ ἄλλον ἀπὸ τὴν ἄλλην, καὶ εἰς τὴν μέσην τὸν Ἰησοῦν.

19 Καὶ ὁ Πιλάτος ἔγραψε καὶ ἀπανωγραφήν, καὶ ἔβαλεν ἀπάνω εἰς τὸν σταυρόν. καὶ ἦτον γεγραμμένη· ἸΗΣΟΥ͂Σ Ὁ ΝΑΖΩΡΑΙ͂ΟΣ Ὁ ΒΑΣΙΛΕΥ͂Σ ΤΩ͂Ν ἸΟΥΔΑΙ͂ΩΝ.

20 Ἐτούτην τὴν ἀπανωγραφὴν πολλοὶ ἀπὸ τοὺς Ἰουδαίους τὴν ἀνάγνωσαν· διατὶ ἦτον κοντὰ εἰς τὴν πόλιν ὁ τόπος ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦτον γραμμένη Ἑβραϊκά, Ἑλληνικά, καὶ Λατεινικά.

21 Καὶ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων ἔλεγαν εἰς τὸν Πιλάτον· Μὴν γράφεις· Ὁ βασιλεὺς τῶν Ἰουδαίων· ἀλλ' ὅτι ἐκεῖνος εἶπε· Βασιλεὺς εἶμαι τῶν Ἰουδαίων.

22 Ἀπεκρίθη ὁ Πιλάτος·

Ὃ γέγραφα, γέγραφα.

23 Οἱ οὖν στρατιῶται, ὅτι ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ, (καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος,) καὶ τὸν χιτῶνα· ἦν δὲ ὁ χιτὼν ἄῤῥαφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου.

24 Εἶπον οὖν πρὸς ἀλλήλους· Μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται· ἵνα ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα· Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν.

25 Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή.

26 Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα, καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ μητρὶ αὐτοῦ· Γύναι, ἰδοὺ ὁ υἱός σου.

27 Εἶτα λέγει τῷ μαθητῇ· Ἰδοὺ ἡ μήτηρ σου· Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν αὐτὴν ὁ μαθητὴς εἰς τὰ ἴδια.

Ἐκεῖνο ὁποῦ ἔγραψα, ἔγραψα.

23 Ὅταν λοιπὸν ἐσταύρωσαν οἱ στρατιῶται τὸν Ἰησοῦν, ἐπῆραν τὰ φορέματά του, (καὶ ἔκαμάν τα τέσσαρα μερτικά, καθ' ἑνὸς στρατιώτου τὸ μερτικόν του,) καὶ τὸν χιτῶνα. καὶ ὁ χιτὼν ἦτον ἄῤῥαφος, ἀποπάνω ἕως κάτω ὅλως.

24 Εἶπαν λοιπὸν ἀνάμεσά τους· Ἂς μὴν τὸν σχίσωμεν, ἀλλὰ ἂς ῥίξωμεν λαχνοὺς δι' αὐτόν, τίνος θέλει εἶσθαι· διὰ νὰ πληρωθῇ ἡ γραφὴ ὁποῦ λέγει· Ἐμοίρασαν τὰ φορέματά μου ἀνάμεσά τους, καὶ εἰς τὴν φορεσίαν μου ἔῤῥιξαν λαχνούς. Οἱ στρατιῶται λοιπὸν ἔκαμασιν ἔτουτα.

25 Καὶ ἐστέκουνταν κοντὰ εἰς τὸν σταυρὸν τοῦ Ἰησοῦ ἡ μητέρα του καὶ ἡ ἀδελφὴ τῆς μητρός του, Μαρία ἡ γυναῖκα τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή.

26 Ὅσαν εἶδε λοιπὸν ὁ Ἰησοῦς τὴν μητέρα του, καὶ τὸν μαθητὴν ὁποῦ ἀγάπα ὁποῦ ἐστέκουνταν σιμά, λέγει εἰς τὴν μητέρα του· Ὦ γύναι, νὰ ὁ υἱός σου.

27 Ἀπέκει λέγει εἰς τὸν μαθητήν· Νὰ ἡ μητέρα σου· Καὶ ἀπ' ἐκείνην τὴν ὥραν τὴν ἐπῆρεν ὁ μαθητὴς ἐκεῖνος εἰς τὸ σπῆτί του.

28 Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησῦς ὅτι πάντα ἤδη τετέλεςαι, ἵνα τελειωθῇ ἡ γραφὴ, λέγει· Διψῶ.

29 Σκεῦος ὖν ἔκειτο ὄξυς μεστόν· οἱ δὲ, πλέσαντες σπόγγον ὄξυς, καὶ ὑσσώπῳ περιθέντες, προσήνεγκαν αὐτῷ τῷ ςόματι.

30 Ὅτε ὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησῦς, εἶπε· Τετέλεςαι· καὶ κλίνας τὴν κεφαλὴν, παρέδωκε τὸ πνεῦμα.

31 Οἱ ὖν Ἰυδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ ςαυρῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν, (ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ σαββάτου,) ἠρώτησαν τὸν Πιλάτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν.

32 Ἦλθον ὖν οἱ ςρατιῶται, καὶ τοῦ μὲν πρώτυ κατέαξαν τὰ σκέλη, καὶ τῦ ἄλλυ τοῦ συςαυρωθέντος αὐτῷ.

33 Ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, ὐ κατέαξαν αὐτῦ τὰ σκέλη·

34 Ἀλλ' εἷς τῶν ςρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθὺς ἐξῆλθεν αἷμα καὶ ὕδωρ.

28 Καὶ ὕςερον ἀπὸ τῦτο, ὡσὰν εἶδεν ὁ Ἰησῦς ὅτι ὡραμάν πάντα ἐτελειώθηκαν, διὰ νὰ πληρωθῇ ἡ γραφὴ, λέγει· Διψῶ.

29 Λοιπὸν ἐκείτετον ἐκεῖ ἀγγεῖον γεμάτον ὀξύδι· καὶ ἐκεῖνοι γεμίζοντες τὸ σφογγάρι ὀξύδι, καὶ ἐμπήγοντές τὸ εἰς τὸ καλάμι, τὸ ἔβαλαν εἰς τὸ ςόμα τυ.

30 Ὅταν λοιπὸν ἐπῆρε τὸ ὀξύδι ὁ Ἰησῦς, εἶπεν· Ἐτελειώθη· καὶ σκύπτωντας τὸ κεφάλι τυ, ἐπαράδωκε τὸ πνεῦμα.

31 Καὶ οἱ Ἰυδαῖοι, διὰ νὰ μὴν μείνυσι τὰ κορμία ἀπάνω εἰς τὸν ςαυρὸν τὸ σάββατον, ἐπειδὴ ἦτον παρασκευὴ, (καὶ ἡ ἡμέρα τῦ σαββάτυ ἐκείνυ ἦτον μεγάλη,) ἐπαρακάλεσαν τὸν Πιλάτον, διὰ νὰ τζακίσυν τὰ σκέλιά τυς, καὶ νὰ τὺς σηκώσυν ἀπέκει.

32 Ἦλθαν λοιπὸν οἱ ςρατιῶται, καὶ τοῦ πρώτυ ἐτζάκισαν τὰ σκέλιά τυ, καὶ τοῦ ἄλλυ ὁποῦ ἐςαυρώθη μαζὺ μετ' αὐτόν.

33 Καὶ ἔςωντας νὰ ἔλθυν καὶ εἰς τὸν Ἰησῦν, ὡσὰν εἶδαν ὁπῦ ἦτον ἀποθαμμένος, δὲν ἐτζάκισαν τὰ σκέλιά τυ·

34 Ἀλλὰ ἕνας ἀπὸ τὺς ςρατιώτας ἐκέντησε τὴν πλευράν τυ μὲ λόγχην, καὶ παρευθὺς εὐγῆκεν αἷμα καὶ νερόν.

35 Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ ἐστιν ἡ μαρτυρία· κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα ὑμεῖς πιστεύσητε.

36 Ἐγένετο γὰρ ταῦτα ἵνα ἡ γραφὴ πληρωθῇ· Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ.

37 Καὶ πάλιν ἑτέρα γραφὴ λέγει· Ὄψονται εἰς ὃν ἐξεκέντησαν.

38 Μετὰ δὲ ταῦτα ἠρώτησε τὸν Πιλάτον ὁ Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, (ὢν μαθητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων,) ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ Πιλάτος· ἦλθεν οὖν καὶ ἦρε τὸ σῶμα τοῦ Ἰησοῦ.

39 Ἦλθε δὲ καὶ Νικόδημος, (ὁ ἐλθὼν πρὸς τὸν Ἰησοῦν νυκτὸς τὸ πρῶτον,) φέρων μίγμα σμύρνης καὶ ἀλόης ὡσεὶ λίτρας ἑκατόν.

40 Ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ἔδησαν αὐτὸ ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν.

41 Ἦν δὲ ἐν τῷ τόπῳ ὅπου ἐσταυρώθη κῆπος, καὶ ἐν τῷ κήπῳ μνημεῖον καινόν, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη.

35 Καὶ ἐκεῖνος ὁποῦ τὸ εἶδε τὸ ἐμαρτύρησε, καὶ ἀληθινὴ εἶναι ἡ μαρτυρία του· καὶ ἐκεῖνος τὸ ἰξεύρει ὅτι ἀλήθεια λέγει, διὰ νὰ πιστεύσετε ἐσεῖς.

36 Διατὶ ἐτοῦτα ἔγιναν διὰ νὰ πληρωθῇ ἡ γραφὴ ὁποῦ λέγει· Κόκκαλον δὲν θέλει τζακισθῇ ἀπ' αὐτόν.

37 Καὶ πάλιν ἄλλη γραφὴ λέγει· Θέλουν εἰδῆ εἰς ἐκεῖνον ὁποῦ ἐκέντησαν.

38 Καὶ ὕστερον ἀπὸ τοῦτα ὁ Ἰωσὴφ ὁποῦ ἦτον ἀπὸ τὴν Ἀριμαθαίαν, (ὁ ὁποῖος ἦτον μαθητὴς τοῦ Ἰησοῦ, ἀμὴ ἦτον κρυμμένος διὰ τὸν φόβον τῶν Ἰουδαίων,) ἐζήτησεν ἀπὸ τὸν Πιλάτον, νὰ σηκώσῃ τὸ κορμὶ τοῦ Ἰησοῦ· καὶ ὁ Πιλάτος τοῦ ἔδωσεν ἄδειαν· ἐπῆγε λοιπὸν καὶ ἐσήκωσε τὸ κορμὶ τοῦ Ἰησοῦ.

39 Καὶ ἦλθε καὶ ὁ Νικόδημος, (ὁ ὁποῖος ἦλθε τὸ πρῶτον εἰς τὸν Ἰησοῦν νύκτα,) καὶ ἔφερεν ἕνα μίγμα, σμύρνα καὶ ἀλόην ἕως ἑκατὸν λίτραις.

40 Ἐπῆραν λοιπὸν τὸ κορμὶ τοῦ Ἰησοῦ, καὶ ἔδεσάν το μὲ σενδόνια μαζὺ μὲ τὰ μυριστικά, καθὼς εἶναι συνήθεια εἰς τοὺς Ἰουδαίους.

41 Καὶ ἐκεῖ εἰς τὸν τόπον ὁποῦ ἐσταυρώθη ὁ Ἰησοῦς ἦτον κῆπος, καὶ μέσα εἰς τὸν κῆπον ἦτον ἕνα μνῆμα καινούριον, εἰς τὸ ὁποῖον ἀκόμι κανένας δὲν ἐβάλθη.

42 Ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

42 Ἐκεῖ λοιπὸν ἔβαλαν τὸν Ἰησοῦν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων, διατὶ ἦτον τὸ μνῆμα κοντά.

Κεφ. κ'. 20.

ΤΗ δὲ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωῒ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον· καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου.

2 Τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ Ἰησοῦς· καὶ λέγει αὐτοῖς· Ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν.

3 Ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητὴς, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον.

4 Ἔτρεχον δὲ οἱ δύο ὁμοῦ, καὶ ὁ ἄλλος μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου, καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον.

5 Καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια· οὐ μέντοι εἰσῆλθεν.

6 Ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα,

7 Καὶ τὸ σουδάριον ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν

ΚΑΙ τὴν πρώτην ἡμέραν τῆς ἑβδομάδος, ἔρχεται Μαρία ἡ Μαγδαληνὴ τὴν αὐγὴν, ὁποῦ ἦτον ἀκόμι σκοτάδι, εἰς τὸ μνῆμα· καὶ βλέπει τὴν πέτραν σηκωμένην ἀπὸ τὸ μνῆμα.

2 Τρέχει λοιπὸν καὶ ἔρχεται πρὸς τὸν Σίμωνα τὸν Πέτρον, καὶ τὸν ἄλλον μαθητὴν, ὁποῦ ἀγάπαν ὁ Ἰησοῦς· καὶ λέγει τους· Ἐσήκωσαν τὸν Κύριον ἀπὸ τὸ μνῆμα, καὶ δὲν ἠξεύρομεν ποῦ τὸν ἔβαλαν.

3 Εὐγῆκε λοιπὸν ἔξω ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητὴς, καὶ ἤρχουνταν εἰς τὸ μνῆμα.

4 Καὶ ἔτρεχαν καὶ οἱ δύο μαζὺ, ἀμὴ ὁ ἄλλος μαθητὴς ἐπρόδραμε γλιγωρώτερα ἀπὸ τὸν Πέτρον, καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον.

5 Καὶ σκύπτωντας βλέπει ὁποῦ ἐκείτουνταν τὰ σενδόνια· ὅμως δὲν ἐμβῆκε (μέσα.)

6 Ἔρχεται λοιπὸν ὁ Σίμων Πέτρος ἀκολουθῶντάς τον, καὶ ἐμβῆκεν μέσα εἰς τὸ μνημεῖον, καὶ βλέπει τὰ σενδόνια ὁποῦ ἐκείτουνταν,

7 Καὶ τὸ μανδύλι, τὸ ὁποῖον ἦτον ἀπάνω εἰς τὸ κεφάλι του,

ὀθονίων κείμενον, ἀλλὰ χωρὶς
ἐντετυλιγμένον εἰς ἕνα τό-
πον.
8 Τότε οὖν εἰσῆλθε καὶ ὁ
ἄλλος μαθητὴς ὁ ἐλθὼν
πρῶτος εἰς τὸ μνημεῖον, καὶ
εἶδε, καὶ ἐπίστευσεν.
9 Οὐδέπω γὰρ ᾔδεισαν
τὴν γραφὴν, ὅτι δεῖ αὐτὸν
ἐκ νεκρῶν ἀναστῆναι.

10 Ἀπῆλθον οὖν πάλιν
πρὸς ἑαυτοὺς οἱ μαθηταί.
11 Μαρία δὲ εἱστήκει πρὸς
τὸ μνημεῖον κλαίουσα ἔξω·
ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς
τὸ μνημεῖον·
12 Καὶ θεωρεῖ δύο ἀγγέλους
ἐν λευκοῖς καθεζομένους, ἕνα
πρὸς τῇ κεφαλῇ, καὶ ἕνα
πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο
τὸ σῶμα τοῦ Ἰησοῦ.

13 Καὶ λέγουσιν αὐτῇ
ἐκεῖνοι· Γύναι, τί κλαίεις;
Λέγει αὐτοῖς· Ὅτι ἦραν τὸν
Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ
ἔθηκαν αὐτόν.
14 Καὶ ταῦτα εἰποῦσα,
ἐστράφη εἰς τὰ ὀπίσω, καὶ
θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα·
καὶ οὐκ ᾔδει ὅτι ὁ Ἰησοῦς
ἐστι.
15 Λέγει αὐτῇ ὁ Ἰησοῦς·
Γύναι, τί κλαίεις; τίνα ζητεῖς;
Ἐκείνη, δοκοῦσα ὅτι ὁ κηπουρός
ἐστι, λέγει αὐτῷ· Κύριε, εἰ σὺ
ἐβάστασας αὐτὸν, εἰπέ μοι ποῦ

ὄχι μὲ τὰ σενδόνια κείμενον,
ἀλλὰ χώρια τυλιγμένον εἰς
ἕνα τόπον.
8 Τότε λοιπὸν ἐμβῆκε μέσα
καὶ ὁ ἄλλος μαθητὴς, ὁποῦ
ἦλθε πρῶτος εἰς τὸ μνῆμα,
καὶ εἶδε, καὶ ἐπίστευσε.
9 Διατὶ ἀκόμι δὲν ἤξευραν
τὴν γραφὴν, ὅτι κάμνει χρεία
αὐτὸς νὰ ἀνασταθῇ ἐκ νε-
κρῶν.
10 Ἐγύρισαν πάλιν οἱ
μαθητάδες εἰς τοὺς ἰδικούς τους.
11 Καὶ ἡ Μαρία ἐστέκουνταν
ἔξω εἰς τὸ μνῆμα, καὶ ἔκλαιεν·
ὡσὰν ἔκλαιε λοιπὸν, ἐπαρά-
σκυψεν εἰς τὸ μνῆμα·
12 Καὶ βλέπει δύο ἀγγέ-
λους ὁποῦ ἐκάθουνταν μὲ ἄσπρα
φορέματα, ἕνα εἰς τὴν κεφα-
λὴν, καὶ ἕνα εἰς τὰ ποδάρια,
ἐκεῖ ὁποῦ ἐκείτουνταν τὸ κορμὶ
τοῦ Ἰησοῦ.
13 Καὶ λέγουν της ἐκεῖνοι·
Ὦ γυναῖκα, τί κλαίεις; Λέ-
γει τους· Ὅτι ἐσήκωσαν τὸν
Αὐθέντην μου, καὶ δὲν ἠξεύρω
ποῦ τὸν ἔβαλαν.
14 Καὶ ὡσὰν εἶπεν
ἐτοῦτα, ἐγύρισεν ὀπίσω, καὶ
βλέπει τὸν Ἰησοῦν ὁποῦ ἔστεκε·
καὶ δὲν ἤξευρεν ὅτι εἶναι ὁ
Ἰησοῦς.
15 Λέγει της ὁ Ἰησοῦς· Ὦ
γυναῖκα, διατί κλαίεις; τίνα
ζητᾷς; Ἐκείνη, λογιάζοντας ὅτι
εἶναι ὁ περιβολάρης, τοῦ λέγει·
Αὐθέντη, ἐὰν ἐσὺ τὸν ἐπίασες,

αὐτὸν ἔθηκας· κἀγὼ αὐτὸν
ἀρῶ.
16 Λέγει αὐτῇ ὁ Ἰησȣ̃ς·
Μαρία. Στραφεῖσα ἐκείνη
λέγει αὐτῷ· Ῥαββȣνὶ, ὃ
λέγεται, διδάσκαλε.
17 Λέγει αὐτῇ ὁ Ἰησȣ̃ς·
Μή μȣ ἅπτȣ· ȣ̓́πω γὰρ
ἀναβέβηκα πρὸς τὸν πατέρα
μȣ· πορεύȣ δὲ πρὸς τȣ̀ς
ἀδελφȣ́ς μȣ, καὶ εἰπὲ αὐτοῖς·
Ἀναβαίνω πρὸς τὸν πατέρα
μȣ καὶ πατέρα ὑμῶν, καὶ
Θεόν μȣ καὶ Θεὸν ὑμῶν.
18 Ἔρχεται Μαρία ἡ
Μαγδαληνὴ, ἀπαγγέλλȣσα
τοῖς μαθηταῖς, ὅτι ἑώρακε
τὸν Κύριον, καὶ ταῦτα εἶπεν
αὐτῇ.
19 Οὔσης ȣ̓̃ν ὀψίας τῇ
ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν
σαββάτων, καὶ τῶν θυρῶν
κεκλεισμένων, ὅπȣ ἦσαν οἱ
μαθηταὶ συνηγμένοι διὰ τὸν
φόβον τῶν Ἰȣδαίων, ἦλθεν
ὁ Ἰησȣ̃ς, καὶ ἔςη εἰς τὸ μέσον,
καὶ λέγει αὐτοῖς· Εἰρήνη
ὑμῖν.
20 Καὶ τȣ̃το εἰπὼν, ἔδειξεν
αὐτοῖς τὰς χεῖρας καὶ τὴν
πλευρὰν αὐτοῦ. Ἐχάρησαν
ȣ̓̃ν οἱ μαθηταὶ ἰδόντες τὸν
Κύριον.
21 Εἶπεν ȣ̓̃ν αὐτοῖς ὁ Ἰησȣ̃ς
πάλιν· Εἰρήνη ὑμῖν· καθὼς
ἀπέςαλκέ με ὁ πατὴρ, κἀγὼ
πέμπω ὑμᾶς.
22 Καὶ τȣ̃το εἰπὼν, ἐνε-

εἰπέ μȣ πȣ̃ τὸν ἔβαλλες· καὶ
ἐγὼ θέλω τὸν σηκώσει.
16 Λέγει της ὁ Ἰησȣ̃ς·
Μαρία. Ἐκείνη ἐγύρισε, καὶ
λέγει τȣ· Ῥαββȣνί· τὸ ὁποῖον
θέλει νὰ εἰπῇ, διδάσκαλε.
17 Λέγει της ὁ Ἰησοῦς·
Μή με πιάνεις· διατὶ ἀκόμι
δὲν ἀνέβηκα εἰς τὸν πατέρα
μȣ· ἀμὴ σύρε εἰς τȣ̀ς ἀδελ-
φȣ́ς μȣ, καὶ εἰπέ τȣς· Ἀνα-
βαίνω εἰς τὸν πατέρα μȣ καὶ
πατέρα σας, καὶ Θεόν μȣ
καὶ Θεόν σας.
18 Ἦλθεν ἡ Μαρία ἡ
Μαγδαληνὴ, καὶ εἶπεν ἐτȣ̃τα
εἰς τȣ̀ς μαθητάδες, ὅτι εἶδε
τὸν Κύριον, καὶ πῶς τῆς
εἶπεν αὐτὰ τὰ λόγια.
19 Ὡσὰν ἐβραδίασε λοι-
πὸν τὴν ἡμέραν ἐκείνην τὴν
πρώτην τῆς ἑβδομάδ⊛, ὄντες
ἡ θύραις σφαλισμέναις, ἐκεῖ
ὁπȣ̃ ἦταν οἱ μαθητάδες μαζω-
μένοι διὰ τὸν φόβον τῶν
Ἰȣδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ
ἐςάθη εἰς τὸ μέσον, καὶ λέ-
γει τȣς· Εἰρήνη εἰς ἐσᾶς.
20 Καὶ ὡσὰν εἶπεν ἐτȣ̃-
τον τὸν λόγον, τȣ̀ς ἔδειξε τὰ
χέριά τȣ καὶ τὴν πλευράν
τȣ. Και οἱ μαθητάδες ἐχάρη-
καν ὡσὰν εἶδαν τὸν Κύριον.
21 Καὶ ὁ Ἰησοῦς πάλιν
τȣ̀ς εἶπεν· Εἰρήνη εἰς ἐσᾶς·
καθὼς μὲ ἔςειλεν ὁ πατὴρ,
καὶ ἐγὼ πέμπω ἐσᾶς.
22 Καὶ ὡσὰν εἶπεν ἐτȣ̃το,

φύσησε, καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα ἅγιον.

23 Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται.

24 Θωμᾶς δὲ, εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησȣ̃ς.

25 Ἔλεγον ȣ̃ν αὐτῷ οἱ ἄλλοι μαθηταί· Ἑωράκαμεν τὸν Κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτȣ̃ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μȣ εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μȣ εἰς τὴν πλευρὰν αὐτοῦ, ȣ̓ μὴ πιϛεύσω.

26 Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ' αὐτῶν· ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔϛη εἰς τὸ μέσον, καὶ εἶπεν· Εἰρήνη ὑμῖν.

27 Εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σȣ ὧδε, καὶ ἴδε τὰς χεῖράς μȣ· καὶ φέρε τὴν χεῖρά σȣ, καὶ βάλε εἰς τὴν πλευράν μȣ· καὶ μὴ γίνȣ ἄπιϛος, ἀλλὰ πιϛός.

28 Καὶ ἀπεκρίθη ὁ Θωμᾶς, καὶ εἶπεν αὐτῷ· Ὁ Κύριός μȣ καὶ ὁ Θεός μȣ

29 Λέγει αὐτῷ ὁ Ἰησȣ̃ς· Ὅτι ἑώρακάς με, Θωμᾶ, πε-

ἐνεφύσησεν εἰς αὐτȣ̀ς, καὶ εἶπε· Λάβετε Πνεῦμα ἅγιον.

23 Καὶ ὅποιων ἁμαρτίαις συγχωρήσετε, εἶναι συγχωρημέναις· καὶ ὅποιων κρατῆτε, εἶναι κρατημέναις.

24 Καὶ ὁ Θωμᾶς, ὁ λεγόμενος Δίδυμος, ἕνας ἀπὸ τȣ̀ς δώδεκα, δὲν ἦτον ἐκεῖ μετ' αὐτȣ̀ς, ὅταν ἦλθεν ὁ Ἰησȣ̃ς.

25 Ἔλεγάν τȣ λοιπὸν οἱ ἄλλοι μαθητάδες· Εἴδαμεν τὸν Κύριον. Καὶ ἐκεῖνος τȣ̀ς εἶπεν· Ἂν δὲν εἰδῶ εἰς τὰ χέρια τȣ τὰ σημάδια τῶν καρφίων, καὶ ἂν δὲν βάλλω τὸν δάκτυλόν μȣ εἰς τὰ σημάδια τῶν καρφίων, καὶ ἂν δὲν βάλλω τὸ χέρι μȣ εἰς τὴν πλευράν τȣ, δὲν θέλει πιϛεύσει.

26 Καὶ ὕϛερα ἀπὸ ὀκτὼ ἡμέραις, πάλιν ἦταν οἱ μαθητάδες μέσα, καὶ ὁ Θωμᾶς μετ' αὐτȣ́ς· καὶ ἦλθεν ὁ Ἰησȣ̃ς ὄντες ἡ θύραις σφαλισμέναις, καὶ ἐϛάθη εἰς τὸ μέσον, καὶ εἶπεν· Εἰρήνη εἰς ἐσᾶς.

27 Ἀπέκει λέγει εἰς τὸν Θωμᾶν· Φέρε τὸν δάκτυλόν σȣ ἐδῶ, καὶ ἰδὲ τὰ χέρια μȣ· καὶ φέρε τὸ χέρι σȣ, καὶ βάλλε το εἰς τὴν πλευράν μȣ· καὶ μὴν γίνεσαι ἄπιϛος, ἀλλὰ πιϛός.

28 Καὶ ἀπεκρίθη ὁ Θωμᾶς, καὶ εἶπέν τȣ· Ὁ Κύριός μȣ, καὶ ὁ Θεός μȣ.

29 Λέγει τȣ ὁ Ἰησȣ̃ς· Διατί μὲ εἶδες, Θωμᾶ, ἐπίϛευ-

πίστευκας· μακάριοι, οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες.

30 Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ.

31 Ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε, ὅτι ὁ Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

στες· καλότυχοι εἶναι ἐκεῖνοι ὁποῦ δὲν εἶδαν, καὶ ἐπίστευσαν.

30 Καὶ ἄλλα πολλὰ σημεῖα λοιπὸν ἔκαμεν ὁ Ἰησοῦς ὀμπροστὰ εἰς τοὺς μαθητάδες του, τὰ ὁποῖα δὲν εἶναι γραμμένα εἰς τὸ βιβλίον ἐτοῦτο.

31 Καὶ ἐτοῦτα ἐγράφηκαν, διὰ νὰ πιστεύσετε, ὅτι ὁ Ἰησοῦς εἶναι ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, καὶ διὰ νὰ ἔχετε ζωὴν αἰώνιον πιστεύοντες εἰς τὸ ὄνομά του.

Κεφ. κα΄. 21.

ΜΕΤΑ` ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· ἐφανέρωσε δὲ οὕτως.

2 Ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο.

3 Λέγει αὐτοῖς Σίμων Πέτρος· Ὑπάγω ἁλιεύειν. Λέγουσιν αὐτῷ· Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοι. Ἐξῆλθον, καὶ ἀνέβησαν εἰς τὸ πλοῖον εὐθὺς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν.

4 Πρωΐας δὲ ἤδη γενομένης ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέντοι ᾔδεισαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς ἐστι.

ΚΑΙ` ὕστερον ἀπὸ τοῦτα πάλιν ἐφανέρωσε τοῦ λόγου του ὁ Ἰησοῦς εἰς τοὺς μαθητάδες του εἰς τὴν θάλασσαν τῆς Τιβεριάδος· καὶ ἐφανέρωσε τέτοιας λογῆς.

2 Ἦσαν μαζὺ ὁ Σίμων Πέτρος καὶ Θωμᾶς ὁποῦ ἐλέγετον Δίδυμος, καὶ Ναθαναὴλ ὁποῦ ἦτον ἀπὸ τὴν Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ δύο υἱοὶ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι δύο ἀπὸ τοὺς μαθητάδες του.

3 Λέγει τους ὁ Σίμων Πέτρος· Ἐγὼ πάγω νὰ ψαρεύω. Λέγουν του οἱ ἄλλοι· Ἐρχόμεσθε καὶ ἐμεῖς μαζύ σου. Εὐγῆκαν ἔξω, καὶ ἐμβῆκαν εἰς τὸ μονόξυλον εὐθὺς, καὶ ἐκείνην τὴν νύκτα δὲν ἐπίασαν τίποτες.

4 Καὶ ὅταν ἔφεγξεν, ἐστάθη ὁ Ἰησοῦς εἰς τὸ παραγιάλι· ὅμως οἱ μαθητάδες δὲν ἤξευραν ὅτι εἶναι ὁ Ἰησοῦς.

5 Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Παιδία, μή τι προσφάγιον ἔχετε; Ἀπεκρίθησαν αὐτῷ· Οὔ.

6 Ὁ δὲ εἶπεν αὐτοῖς· Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. Ἔβαλον οὖν, καὶ οὐκ ἔτι αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων.

7 Λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ· Ὁ Κύριός ἐστι. Σίμων οὖν Πέτρος, ἀκούσας ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο, (ἦν γὰρ γυμνὸς,) καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν.

8 Οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον. (οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων,) σύροντες τὸ δίκτυον τῶν ἰχθύων.

9 Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην, καὶ ὀψάριον ἐπικείμενον, καὶ ἄρτον.

10 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν.

11 Ἀνέβη Σίμων Πέτρος, καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντηκοντατριῶν· καὶ τοσούτων ὄντων οὐκ ἐσχίσθη τὸ δίκτυον.

12 Λέγει αὐτοῖς ὁ Ἰησοῦς·

5 Λέγει τους ὁ Ἰησοῦς· Παίδια, μῆνα ἔχετε τίποτες προσφάγι; Ἀπεκρίθηκάν του· Ὄχι.

6 Καὶ ὁ Ἰησοῦς τοὺς εἶπε· Ῥίξετε τὸ δίκτυον εἰς τὴν δεξιὰν μερίαν τοῦ μονοξύλου, καὶ θέλετε εὕρει. Ἔρριξάν το λοιπὸν, καὶ πλέον δὲν ἠμπορoῦσαν νὰ τὸ σύρουσιν ἀπὸ τὸ πλῆθος τῶν ψαρίων.

7 Ὁ μαθητὴς λοιπὸν ἐκεῖνος ὁποῦ ἀγάπα ὁ Ἰησοῦς, λέγει τοῦ Πέτρου· Ὁ Κύριος εἶναι. Καὶ ὁ Σίμων Πέτρος, ὡσὰν ἄκουσεν ὅτι ὁ Κύριος εἶναι, ἐζώσθη τὸ ὑποκάμισον, (διατὶ ἦτον γυμνὸς,) καὶ ἔρριξε τοῦ λόγου του εἰς τὴν θάλασσαν.

8 Καὶ οἱ ἄλλοι μαθητάδες ἦλθαν μὲ τὸ μονοξύλον, (διατὶ δὲν ἦταν μακρὰ ἀπὸ τὴν γῆν, ἀλλὰ ἕως διακόσιαις πῆχαις,) σύροντες τὸ δίκτυον τῶν ψαρίων.

9 Ὡσὰν εὐγῆκαν λοιπὸν εἰς τὴν γῆν, βλέπουσι ἀνθρακοφωτιὰν ὁποῦ ἐκείτετον, καὶ ψάρι ὁποῦ ἐκείτετον ἀπάνω εἰς τὴν ἀνθρακοφωτιὰν, καὶ ψωμί.

10 Λέγει τους ὁ Ἰησοῦς· Φέρετε ἀπὸ τὰ ψάρια ὁποῦ ἐπιάσετε τώρα.

11 Ἀνέβη ὁ Σίμων Πέτρος, καὶ ἔσυρε τὸ δίκτυον ἀπάνω εἰς τὴν γῆν, γεμάτον ψάρια μεγάλα ἑκατὸν πενῆντα τρία· καὶ τόσα ὁποῦ ἦταν, δὲν ἐσχίσθη τὸ δίκτυον.

12 Λέγει τους ὁ Ἰησοῦς· Ἐλᾶ-

Δεῦτε, ἀριστήσατε. Οὐδεὶς δὲ
ἐτόλμα τῶν μαθητῶν ἐξε-
τάσαι αὐτὸν, Σὺ τίς εἶ;
εἰδότες ὅτι ὁ Κύριός ἐστιν.
13 Ἔρχεται οὖν ὁ Ἰησοῦς, καὶ
λαμβάνει τὸν ἄρτον, καὶ δίδωσιν
αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως.
14 Τοῦτο ἤδη τρίτον ἐφανε-
ρώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς
αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν.

15 Ὅτε οὖν ἠρίστησαν, λέγει
τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς·
Σίμων Ἰωνᾶ, ἀγαπᾷς με
πλεῖον τούτων; Λέγει αὐτῷ·
Ναὶ Κύριε· σὺ οἶδας ὅτι
φιλῶ σε. Λέγει αὐτῷ· Βόσκε
τὰ ἀρνία μου.
16 Λέγει αὐτῷ πάλιν δεύ-
τερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς
με; Λέγει αὐτῷ· Ναὶ Κύριε·
σὺ οἶδας ὅτι φιλῶ σε· Λέγει αὐ-
τῷ· Ποίμαινε τὰ πρόβατά μου.
17 Λέγει αὐτῷ τὸ τρίτον·
Σίμων Ἰωνᾶ φιλεῖς με; Ἐλυ-
πήθη ὁ Πέτρος ὅτι εἶπεν αὐτῷ
τὸ τρίτον· Φιλεῖς με; καὶ
εἶπεν αὐτῷ· Κύριε, σὺ πάντα
οἶδας σὺ γινώσκεις ὅτι φιλῶ
σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς·
Βόσκε τὰ πρόβατά μου.
18 Ἀμὴν ἀμὴν λέγω σοι,
ὅτε ἦς νεώτερος, ἐζώννυες σε-
αυτὸν, καὶ περιεπάτεις ὅπου
ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκ-
τενεῖς τὰς χεῖράς σου, καὶ
ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου
οὐ θέλεις.

τε, φᾶτε. Καὶ κανένας δὲν ἀπο-
κόταν ἀπὸ τοὺς μαθητάδες νὰ
τὸν ἐξετάξῃ, Ἐσύ ποῖος εἶσαι;
ἐξεύροντες ὅτι ἦτον ὁ Κύριος.
13 Ἦλθε λοιπὸν ὁ Ἰησοῦς,
καὶ ἐπῆρε τὸ ψωμὶ, καὶ τοὺς τὸ
ἔδωσε, καὶ τὸ ψάρι ὁμοίως.
14 Ἐτοῦτη ἦτον τότε τρίτη
φορὰ ὁποῦ ἐφανερώθη ὁ Ἰησοῦς
εἰς τοὺς μαθητάδες του, ἀφόντις
ἀναστάθη ἐκ νεκρῶν.
15 Ἀφόντις λοιπὸν ἔφαγαν,
λέγει ὁ Ἰησοῦς εἰς τὸν Σίμωνα
Πέτρον· Ὦ Σίμων (υἱὲ τοῦ) Ἰωνᾶ,
ἀγαπᾷς με περισσότερον ἀπὸ
τούτους; Λέγει του· Ναὶ Αὐθέντη·
ἐσὺ ἐξεύρεις ὅτι ἀγαπῶ σε. Λέ-
γει του· Βόσκε τὰ ἀρνία μου.
16 Λέγει του πάλιν δεύτερον·
Ὦ Σίμων (υἱὲ τοῦ) Ἰωνᾶ, ἀγα-
πᾷς με; Λέγει του· Ναὶ Αὐθέντη·
ἐσὺ ἐξεύρεις ὅτι ἀγαπῶ σε. Λέγει
του· Ποίμαινε τὰ πρόβατά μου.
17 Λέγει του τὸ τρίτον Ὦ
Σίμων (υἱὲ τοῦ) Ἰωνᾶ, φιλεῖς
με; Ἐλυπήθη ὁ Πέτρος, ὅτι
τοῦ εἶπεν τὸ τρίτον Φιλεῖς
με; καὶ λέγει του· Αὐθέντη, ἐσὺ
ἐξεύρεις ὅλα· ἐσὺ γνωρίζεις ὅτι
σὲ ἀγαπῶ. Λέγει του ὁ Ἰησοῦς·
Βόσκε τὰ πρόβατά μου.
18 Βέβαια βέβαια σοῦ λέγω,
ὅταν ἤσουν νεώτερος, ἐζώνουσουν,
καὶ ἐπεριπάτεις ὅπου ἤθελες·
ἀμὴ ὅταν γηράσῃς, θέλεις
ἁπλώσει τὰ χέριά σου, καὶ ἄλ-
λος θέλει σε ζώσει, καὶ θέλεις
πάγει ἐκεῖ ὁποῦ δὲν θέλεις.

19 Τοῦτο δὲ εἶπε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. Καὶ τοῦτο εἰπών, λέγει αὐτῷ· Ἀκολούθει μοι.

20 Ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ, καὶ εἶπε· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε;

21 Τοῦτον ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί;

22 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε; σὺ ἀκολούθει μοι.

23 Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφούς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει· καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνήσκει· ἀλλ'· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε;

24 Οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα· καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ.

25 Ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἀμήν.

19 Καὶ τοῦτο τὸ εἶπε, σημαδεύωντας μὲ τὶ λογῆς θάνατον θέλει δοξάσει τὸν Θεόν. Καὶ ὡσὰν εἶπεν ἐτοῦτο, λέγει του· Ἀκολούθα μου.

20 Καὶ γυρίζωντας ὁ Πέτρος βλέπει ὅπου ἀκολούθαν ὁ μαθητὴς ὅπου ἀγάπαν ὁ Ἰησοῦς, ὁ ὁποῖος ἔπεσεν εἰς τὸ στῆθός του εἰς τὸν δεῖπνον, καὶ εἶπεν· Αὐθέντη, ποῖος εἶναι ὅπου σὲ παραδίδει;

21 Ὡσὰν εἶδεν ὁ Πέτρος ἐτοῦτον, λέγει εἰς τὸν Ἰησοῦν· Αὐθέντη, ἀμὴ ἐτοῦτος τί (θέλει γένει;)

22 Λέγει του ὁ Ἰησοῦς· Ἐὰν ἐγὼ θέλω νὰ στέκῃ αὐτὸς ἕως ὅπου νὰ ἔλθω, τί σὲ μέλει ἐσένα; ἐσὺ ἀκολούθα μου.

23 Εὐγῆκε λοιπὸν ἔξω ὁ λόγος ἐτοῦτος εἰς τοὺς ἀδελφούς, ὅτι ὁ μαθητὴς ἐκεῖνος δὲν ἀποθνήσκει· ἀμὴ δὲν τοῦ εἶπεν ὁ Ἰησοῦς ὅτι δὲν ἀποθαίνει· ἀλλά· Ἐὰν ἐγὼ θέλω νὰ εὑρίσκεται ἕως ὅπου νὰ ἔλθω, τί σε μέλει ἐσένα;

24 Ἐτοῦτος εἶναι ὁ μαθητὴς ὅπου μαρτυρᾷ διὰ ἐτοῦτα, καὶ ὅπου ἔγραψεν ἐτοῦτα· καὶ ἠξεύρομεν ὅτι ἀληθινὴ εἶναι ἡ μαρτυρία του.

25 Καὶ εἶναι καὶ ἄλλα πολλὰ ὅσα ἔκαμεν ὁ Ἰησοῦς, τὰ ὁποῖα ἐὰν γράφωνται καθ' ἕνα, λογιάζω οὐδὲ αὐτὸς ὁ κόσμος ἤθελε χωρέσῃ τὰ βιβλία ὅπου ἤθελαν γραφῇ. Ἀμήν.

ΠΡΑ'ΞΕΙΣ

ΤΩ͂Ν Α'ΓΙ'ΩΝ 'ΑΠΟΣΤΟ'ΛΩΝ.

Κεφ. α'. 1.

ΤΟ`Ν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν,

2 Ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ Πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη.

3 Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

4 Καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς, ἣν ἠκούσατέ μου·

5 Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας.

6 Οἱ μὲν οὖν συνελθόντες, ἐπηρώτων αὐτὸν, λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ

ΕΓΩ`, ὦ Θεόφιλε, ἔγραψα τὸν πρῶτον λόγον διὰ ὅλα ἐκεῖνα, ὁποῦ ἄρχισεν ὁ Ἰησοῦς νὰ κάμνῃ καὶ νὰ διδάσκῃ,

2 Ἕως τὴν ἡμέραν ἐκείνην ὁποῦ ἀνελήφθη, ἔστωντας καὶ νὰ ἐπρόσταξε τοὺς ἀποστόλους διὰ μέσου τοῦ ἁγίου Πνεύματος, τοὺς ὁποίους ἐδιάλεξεν.

3 Εἰς τοὺς ὁποίους καὶ ἐπαράστησεν τοῦ λόγου του ζωντανὸν ὕστερα ἀπὸ τὸ πάθος, μὲ πολλὰ σημάδια, σαράντα ἡμέραις φαινόμενος εἰς αὐτοὺς, καὶ λέγωντας τὰ πράγματα τῆς βασιλείας τοῦ Θεοῦ.

4 Καὶ συναναστρεφόμενος μετ' αὐτοὺς τοὺς ἐπαράγγειλεν, ἀπὸ τὴν Ἱερουσαλὴμ νὰ μὴν χωρίσουν, ἀλλὰ νὰ προσμένουν τὸ τάξιμον τοῦ πατρὸς, τὸ ὁποῖον ἀκούσετε, ὁποῦ σᾶς εἶπα·

5 Ὅτι ὁ Ἰωάννης ἐβάπτισε μὲ νερὸν, ἀμὴ ἐσεῖς θέλετε βαπτισθῆ μὲ Πνεῦμα ἅγιον, εἰς ὀλίγαις ἡμέραις.

6 Οἱ ἀπόστολοι λοιπὸν ἔστωντας νὰ μαζωχθοῦσιν εἰς μίαν μερίαν, τὸν ἐρωτοῦσαν, λέγον-

ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;

7 Εἶπε δὲ πρὸς αὐτούς· Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.

8 Ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ᾽ ὑμᾶς· καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.

9 Καὶ ταῦτα εἰπών, βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

10 Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανόν, πορευομένου αὐτοῦ, καὶ ἰδού, ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ.

11 Οἳ καὶ εἶπον· Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ᾽ ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.

12 Τότε ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ

τες· Αὐθέντη, τάχα εἰς τὸν χρόνον τοῦτον ἀποκαταστάινεις τὴν βασιλείαν εἰς τὸ γένος τοῦ Ἰσραήλ;

7 Καὶ λέγει τους· Δὲν εἶναι ἐδικόν σας νὰ γνωρίζετε χρόνους ἢ καιρούς, τοὺς ὁποίους ὁ πατὴρ τοὺς ἔθεσε εἰς τὴν ἐξουσίαν του.

8 Ἀλλὰ ὡσὰν ἔλθῃ τὸ Πνεῦμα τὸ ἅγιον εἰς ἐσᾶς, θέλετε πάρει δύναμιν ἀπ᾽ αὐτό· καὶ θέλετε εἶσθαι μάρτυρές μου, καὶ εἰς τὴν Ἱερουσαλήμ, καὶ εἰς ὅλην τὴν Ἰουδαίαν, καὶ εἰς τὴν Σαμάρειαν, καὶ ἕως εἰς τὴν ἄκραν τῆς γῆς.

9 Καὶ ὡσὰν εἶπεν ἐτοῦτα, βλέποντες ἐκεῖνοι, ὑψώθη, καὶ ἕνα σύννεφον τὸν ἐπῆρεν ἀπ᾽ ὀμπροστὰ ἀπὸ τὰ μάτιά τους.

10 Καὶ ἐκεῖ ὁποῦ ἐστέκουνταν καὶ ἔβλεπαν ἀπάνω εἰς τὸν οὐρανόν, πηγένωντας ἐκεῖνος, καὶ νά, καὶ δύο ἄνδρες καὶ ἐστάθηκαν σιμὰ εἰς αὐτοὺς μὲ φορέματα ἄσπρα.

11 Οἱ ὁποῖοι καὶ εἶπαν· Ὦ ἄνδρες Γαλιλαῖοι, διατί στέκεσθε βλέποντες εἰς τὸν οὐρανόν; ἐτοῦτος ὁ Ἰησοῦς ὁποῦ ἀνελήφθηκεν ἀπὸ σᾶς εἰς τὸν οὐρανόν, τέτοιας λογῆς θέλει ἔλθῃ πάλιν, καθὼς τὸν εἴδετε πηγένοντα εἰς τὸν οὐρανόν.

12 Τότε ἐγύρισαν εἰς τὴν Ἱερουσαλὴμ ἀπὸ τὸ ὄρος ὁποῦ

καλεμένε Ἐλαιῶνος, ὅ ἐςιν ἐγγὺς Ἱερεσαλὴμ, σαββάτε ἔχον ὁδόν.

13 Καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον, ἓ ἦσαν καταμένοντες, ὅ, τε Πέτρος καὶ Ἰάκωβος, καὶ Ἰωάννης, καὶ Ἀνδρέας, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίε καὶ Σίμων ὁ Ζηλωτὴς, καὶ Ἰέδας Ἰακώβε.

14 Οὗτοι πάντες ἦσαν προσκαρτερῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει, σὺν γυναιξὶ, καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησῦ, καὶ σὺν τοῖς ἀδελφοῖς αὐτῦ.

15 Καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναςὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν, εἶπεν· (ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς ἑκατὸν εἴκοσιν.)

16 Ἄνδρες ἀδελφοὶ, ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην ἣν προεῖπε τὸ Πνεῦμα τὸ ἅγιον διὰ ςόματος Δαβὶδ, περὶ Ἰέδα τοῦ γενομένε ὁδηγῦ τοῖς συλλαβῦσι τὸν Ἰησῦν·

17 Ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης.

18 Οὗτος μὲν ὖν ἐκτήσατο

ἐκράζετον Ἐλαιῶν, τὸ ὁποῖον εἶναι σιμὰ εἰς τὴν Ἱερεσαλὴμ, ἔχοντας διάςημα ςράταν σαββάτε.

13 Καὶ ὡσὰν ἐμβῆκαν εἰς τὸ σπῆτι, ἀνέβηκαν εἰς τὸ ἀνώγεον, ὁπῦ ἐκάθεντον ὁ Πέτρος καὶ ὁ Ἰάκωβος, καὶ Ἰωάννης καὶ Ἀνδρέας, καὶ Φίλιππος καὶ ὁ Θωμᾶς, καὶ Βαρθολομαῖος· καὶ ὁ Ματθαῖος, Ἰάκωβος Ἀλφαίε καὶ Σίμων ὁ Ζηλωτὴς, καὶ Ἰέδας Ἰακώβε.

14 Ἐτῦτοι ὅλοι ἐπροσκαρτερῦσαν ὁμοψύχως εἰς τὴν προσευχὴν καὶ εἰς τὴν δέησιν, μαζὺ μὲ ταῖς γυναῖκες, καὶ μὲ τὴν Μαρίαν τὴν μητέρα τοῦ Ἰησῦ, καὶ μὲ τῦς ἀδελφῦς τυ.

15 Καὶ εἰς ταῖς ἡμέραις τῦταις ἐσηκώθη ὁ Πέτρος εἰς τὴν μέσην τῶν μαθητῶν, καὶ εἶπεν· (καὶ ἦτον πλῆθος, εἰς μίαν μεραίαν, ὡς ἑκατὸν εἴκοσι ὀνομάτοι.)

16 Ὦ ἄνδρες ἀδελφοὶ, ἔκαμνε χρεία νὰ πληρωθῇ ἡ γραφὴ ἐτῦτη, τὴν ὁποίαν ἐπροεῖπε τὸ Πνεῦμα τὸ ἅγιον διὰ μέσε τοῦ ςόματος τοῦ Δαβὶδ, διὰ τὸν Ἰέδα ὁπῦ ἔγινεν ὁδηγὸς εἰς ἐκείνες ὁπῦ ἐπίασαν τὸν Ἰησῦν·

17 Διατὶ ἦτον συναριθμημένος μετ' ἐμᾶς, καὶ ἐπῆρε τὸν λαχνὸν τῆς ὑπηρεσίας ἐτῦτης.

18 Ἐτῦτος λοιπὸν ἀπόκτη-

χωρίον ἐκ τοῦ μισθοῦ τῆς
ἀδικίας· καὶ πρηνὴς γενόμενος
ἐλάκησε μέσος, καὶ ἐξεχύθη
πάντα τὰ σπλάγχνα αὐτοῦ.

19 Καὶ γνωστὸν ἐγένετο
πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσα-
λὴμ, ὥστε κληθῆναι τὸ χωρίον
ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν,
Ἀκελδαμὰ, τουτέστι, χωρίον
αἵματος.

20 Γέγραπται γὰρ ἐν
βίβλῳ ψαλμῶν· Γενηθήτω ἡ
ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ
ἔστω ὁ κατοικῶν ἐν αὐτῷ. Καί·
Τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι
ἕτερος.

21 Δεῖ οὖν τῶν συνελθόν-
των ἡμῖν ἀνδρῶν ἐν παντὶ
χρόνῳ, ἐν ᾧ εἰσῆλθε καὶ
ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος
Ἰησοῦς,

22 Ἀρξάμενος ἀπὸ τοῦ
βαπτίσματος Ἰωάννου ἕως
τῆς ἡμέρας ἧς ἀνελήφθη ἀφ'
ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως
αὐτοῦ γενέσθαι σὺν ἡμῖν ἕνα
τούτων.

23 Καὶ ἔστησαν δύο, Ἰωσὴφ
τὸν καλούμενον Βαρσαβᾶν, ὃς
ἐπεκλήθη Ἰοῦστος, καὶ Ματ-
θίαν.

24 Καὶ προσευξάμενοι
εἶπον· Σὺ Κύριε καρδιογνῶστα

σεν ἕνα χωράφι ἀπὸ τὴν πλη-
ρωμὴν τῆς ἀδικίας· καὶ ἔπεσε
προύμητα, καὶ ἔσκασεν εἰς τὴν
μέσην, καὶ ἐχύθηκαν ἔξω ὅλα
τὰ ἐντόσθιά του.

19 Καὶ τοῦτο ἐγνωρίσθη εἰς
ὅλους ὁποῦ κατοικοῦν εἰς τὴν
Ἱερουσαλὴμ, τόσον ὁποῦ ἐκα-
λέσθη τὸ χωράφι ἐκεῖνο εἰς
τὴν γλῶσσαν τὴν ἐδικήν τους,
Ἀκελδαμὰ, ὡσὰν νὰ εἰπῇς,
χωράφι αἵματος.

20 Διατὶ εἶναι γραμμένον
εἰς τὸ βιβλίον τῶν ψαλμῶν· Ἂς
γένει ἡ κατοικία του ἔρημος,
καὶ ἂς μὴν εἶναι κανένας,
ὁποῦ νὰ κατοικῇ εἰς αὐτήν.
Καί· Τὸ ἀξίωμά του, ἂς τὸ
πάρῃ ἄλλος.

21 Κάμνει χρεία λοιπὸν
ἀπὸ ἐκείνους τοὺς ἄνδρας ὁποῦ
ἦλθαν μετ' ἐμᾶς εἰς ὅλον τὸν
καιρὸν, ὁποῦ ἐμβῆκε καὶ εὐγῆ-
κεν εἰς ἐμᾶς ὁ Αὐθέντης ὁ
Ἰησοῦς,

22 Ἀρχίζωντας ἀπὸ τὸ
βάπτισμα τοῦ Ἰωάννου ἕως
τὴν ἡμέραν ὁποῦ ἀνελήφθη ἀπὸ
ἐμᾶς, ἕνας ἀπὸ τούτους μαζὺ
μετ' ἐμᾶς νὰ γένῃ μάρτυρας
τῆς ἀναστάσεώς του.

23 Καὶ ἔβαλλαν δύο, τὸν
Ἰωσὴφ ὁποῦ ἐκαλεῖτον Βαρσα-
βᾶς, ὁ ὁποῖος ὀνομάζετον
Ἰοῦστος, καὶ τὸν Ματθίαν.

24 Καὶ προσευχόμενοι εἶ-
παν· Ἐσὺ, ὦ Αὐθέντη, ὁποῦ γνω-

πάντων, ἀνάδειξον ἐκ τȣ́των τῶν δύο ἕνα ὃν ἐξελέξω,

25 Λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἐξ ἧς παρέβη Ἰȣ́δας, πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον.

26 Καὶ ἔδωκαν κλήρους αὐτῶν, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων.

ρίζεις ταῖς καρδίαις ὅλονῶν, φανέρωσε ἐκεῖνον ὁπȣ̃ ἐδιάλεξες ἀπὸ τȣ́τȣς τȣ̀ς δύο τὸν ἕνα,

25 Νὰ πάρῃ τὸν λαχνὸν τῆς ὑπηρεσίας ἐτȣ́της καὶ τῆς ἀποστολῆς, ἀπὸ τὴν ὁποῖαν ἐπαρέβη ὁ Ἰȣ́δας, νὰ πάγῃ εἰς τὸν τόπον τȣ τὸν ἴδιον.

26 Καὶ ἔρριξαν λαχνȣ̀ς, καὶ ἔπεσεν ὁ λαχνὸς εἰς τὸν Ματθίαν, καὶ συναριθμήθη μαζὺ μὲ τȣ̀ς ἕνδεκα ἀποστόλȣς.

Κεφ. β'. 2.

ΚΑῚ ἐν τῷ συμπληρȣ̃σθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς, ἦσαν ἅπαντες ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό.

2 Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ ȣ̓ρανȣ̃ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον ȣ̃ ἦσαν καθήμενοι.

3 Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν.

4 Καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίȣ, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδȣ αὐτοῖς ἀποφθέγγεσθαι.

5 Ἦσαν δὲ ἐν Ἱερȣσαλὴμ κατοικοῦντες Ἰȣδαῖοι, ἄνδρες εὐλαβεῖς, ἀπὸ παντὸς ἔθνȣς

ΚΑῚ ὅταν ἦλθεν ἡ ἡμέρα τῆς Πεντηκοστῆς, ἦταν ὅλοι μαζωμένοι ὁμοψύχως εἰς ἕνα τόπον.

2 Καὶ παρευθὺς ἔγινε μία βοὴ ἀπὸ τὸν ȣ̓ρανὸν ὡσὰν νὰ ἤρχουντον φυσιματία δυνατὴ, καὶ ἐγέμισε τὸ σπῆτι ἐκεῖ ὁπȣ̃ ἐκάθουνταν.

3 Καὶ τȣ̀ς ἐφάνηκαν γλώσσαις ὁπȣ̃ ἐδιαμοιράζουνταν ὡσὰν φωτία, καὶ ἐκάθισεν ἀπάνω εἰς κάθ' ἕνα ἀπ' αὐτȣ́ς.

4 Καὶ ἐγέμισαν ὅλοι Πνεῦμα ἅγιον, καὶ ἄρχισαν νὰ λαλοῦν ξέναις γλώσσαις, καθὼς τὸ Πνεῦμα τȣ̀ς ἔδιδε νὰ λαλοῦν.

5 Καὶ ἐκατοικȣ̃σαν εἰς τὴν Ἱερȣσαλὴμ ἄνδρες Ἰȣδαῖοι εὐλαβεῖς, ἀπὸ κάθε λογῆς

τῶν ὑπὸ τὸν ἐρανόν.

6 Γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος, καὶ συνεχύθη· ὅτι ἤκεον εἷς ἕκαςος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν.

7 Ἐξίςαντο δὲ πάντες καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλες· Οὐκ ἰδὲ πάντες ἕτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι;

8 Καὶ πῶς ἡμεῖς ἀκέομεν ἕκαςΘ τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν;

9 Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰεδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν,

10 Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον, καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰεδαῖοί τε καὶ προσήλυτοι,

11 Κρῆτες καὶ Ἄραβες, ἀκέομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεῦ.

12 Ἐξίςαντο δὲ πάντες καὶ διηπόρουν, ἄλλΘ πρὸς ἄλλον λέγοντες· Τί ἂν θέλοι τῦτο εἶναι;

ἔθνΘ ὁπε εἶναι ἀποκάτω εἰς τὸν ἐρανόν.

6 Καὶ ὡσὰν ἔγινεν ἡ φωνὴ ἐκείνη, ἐμαζώχθη τὸ πλῆθΘ, καὶ ἐσυγχύσθη· ὅτι ἄκεε κάθ' ἕνας ὁπε ἐσυντυχαίναν τὴν γλῶσσάν τε.

7 Καὶ ἐτρόμαζαν ὅλοι καὶ ἐθαύμαζαν, καὶ ἔλεγαν ἕνας εἰς τὸν ἄλλον· Δὲν εἶναι ὅλοι ἐτῦτοι ὁπε συντυχαίνουν Γαλιλαῖοι;

8 Καὶ πῶς ἐμεῖς τὲς ἀκέομεν πᾶσα ἕνας τὴν ἐδικήν μας γλῶσσαν, εἰς τὴν ὁποίαν ἐγεννηθήκαμεν;

9 Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ ἐκεῖνοι ὁπε κατοικεσι τὴν Μεσοποταμίαν, τὴν Ἰεδαίαν καὶ τὴν Καππαδοκίαν, τὸν Πόντον καὶ τὴν Ἀσίαν,

10 Τὴν Φρυγίαν καὶ Παμφυλίαν, τὴν Αἴγυπτον, καὶ τὰ μέρη τῆς Λιβύης, ὁπε εἶναι ἀγνάντια εἰς τὴν Κυρήνην, καὶ οἱ Ῥωμαῖοι οἱ ξένοι, Ἰεδαῖοί τε καὶ προσήλυτοι,

11 Κρητικοὶ καὶ Ἀράπιδες, γροικεμεν ὁπε λέγουν αὐτοὶ μὲ ταὶς γλώσσαις ταῖς ἐδικαῖς μας τὰ μεγαλεῖα τε Θεῦ.

12 Καὶ ὅλοι ἐθαύμαζαν περισσὰ καὶ ἀπορεσαν, λέγοντες ἕνας εἰς τὸν ἄλλον· Τί θέλει νὰ εἶναι ἐτετο;

13 Ἕτεροι δὲ χλευάζοντες ἔλεγον· Ὅτι γλεύκους μεμεστωμένοι εἰσί.

14 Σταθεὶς δὲ Πέτρος σὺν τοῖς ἕνδεκα, ἐπῆρε τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς· Ἄνδρες Ἰουδαῖοι, καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου.

15 Οὐ γὰρ, ὡς ὑμεῖς ἀπολαμβάνετε, οὗτοι μεθύουσιν· ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας·

16 Ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ·

17 Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, (λέγει ὁ Θεὸς,) ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται.

18 Καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, καὶ προφητεύσουσι.

19 Καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ.

13 Καὶ ἄλλοι ἀναμπαίζοντες ἔλεγαν· Ὅτι εἶναι μουστωμένοι.

14 Καὶ ὁ Πέτρος ἐστάθη μαζὺ μὲ τοὺς ἕνδεκα, καὶ ἐσήκωσε τὴν φωνήν του, καὶ τοὺς εἶπεν· Ὦ ἄνδρες Ἰουδαῖοι, καὶ ἐσεῖς ὅλοι ὁποῦ κατοικᾶτε τὴν Ἱερουσαλὴμ, ἂς εἶναι γνώριμον ἐτοῦτο εἰς τοῦ λόγου σας, καὶ ἀκούσετε τὰ λογιά μου.

15 Διατὶ ὄχι, καθὼς ἐσεῖς λογιάζετε, ἐτοῦτοι μεθοῦσι· διατὶ ἀκόμι τρίτη ὥρα εἶναι τῆς ἡμέρας·

16 Ἀλλὰ τοῦτο εἶναι ἐκεῖνο ὁποῦ ἐλαλήθη διὰ μέσου τοῦ προφήτου Ἰωήλ·

17 Καὶ εἰς ταῖς ὑστεριναῖς ἡμέραις, (λέγει ὁ Θεὸς,) θέλω χύσει ἀπὸ τὸ Πνεῦμά μου εἰς πᾶσαν σάρκα· καὶ θέλουν προφητεύσει οἱ υἱοί σας καὶ αἱ θυγατέραις σας, καὶ οἱ νεανίσκοι σας θέλουν εἰδῇ ὁράσεις, καὶ οἱ γεροντώτεροί σας θέλουν ἐνυπνιασθῇ ἐνύπνια.

18 Καὶ θέλω χύσει ἀπὸ τὸ Πνεῦμά μου εἰς ταῖς ἡμέραις ἐκείναις εἰς τοὺς δούλους μου καὶ εἰς ταῖς δούλαις μου, καὶ θέλουν προφητεύσει.

19 Καὶ θέλω δώσει τέρατα ἀπάνω εἰς τὸν οὐρανὸν, καὶ σημάδια κάτω εἰς τὴν γῆν, αἷμα καὶ φωτία καὶ ἀτμίδα καπνοῦ.

20 Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ.

21 Καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται.

22 Ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους· Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις οἷς ἐποίησε δι᾽ αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε,

23 Τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε.

24 Ὃν ὁ Θεὸς ἀνέστησε, λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ᾽ αὐτοῦ.

25 Δαβὶδ γὰρ λέγει εἰς αὐτόν· Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ.

26 Διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου· ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ᾽ ἐλπίδι,

20 Ὁ ἥλιος θέλει γυρίσει εἰς σκότος, καὶ τὸ φεγγάρι εἰς αἷμα, πρὸ τοῦ παρὰ νὰ ἔλθη ἡ ἡμέρα Κυρίου ἡ μεγάλη καὶ λαμπρά.

21 Καὶ θέλει εἶσθαι, ὅποιος ἐπικαλεσθῇ τὸ ὄνομα Κυρίου, θέλει σωθῇ.

22 Ὦ ἄνδρες Ἰσραηλῖται, ἀκούσετε ἐτοῦτα τὰ λόγια· τὸν Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα φανερωμένον εἰς ἐσᾶς ἀπὸ τὸν Θεὸν μὲ δύναμαις καὶ μὲ τέρατα καὶ μὲ σημάδια, τὰ ὁποῖα ὁ Θεὸς τὰ ἔκαμε διὰ μέσου αὐτοῦ ἀνάμεσα εἰς ἐσᾶς, καθὼς τὰ ἰξεύρετε καὶ ἐσεῖς·

23 Ἐτοῦτον δεδομένον μὲ τὴν ὡρισμένην βουλὴν καὶ μὲ τὴν πρόγνωσιν τοῦ Θεοῦ πιάνοντές τον ἐσεῖς, καὶ διὰ μέσου ἀνόμων ἀνδρῶν σταυρώντές τον τὸν ἐσκοτώσετε·

24 Τὸν ὁποῖον ὁ Θεὸς ἀνέστησε, λύωντας τοὺς πόνους τοῦ θανάτου, εἰς ὅσον δὲν ἦτον δυνατὸν νὰ τὸν κρατῇ ὁ θάνατος.

25 Διατὶ καὶ ὁ Δαβὶδ λέγει δὶ αὐτόν· Ἐπρόβλεπα τὸν Αὐθέντην πάντοτε ὀμπροστά μου, ὅτι εἶναι ἀπὸ τὴν δεξιάν μου, διὰ νὰ μὴν σαλευθῶ.

26 Διὰ τοῦτο ἡ καρδία μου εὐφράνθη, καὶ ἡ γλῶσσά μου ἠγαλλιάσθη· καὶ ἀκόμι καὶ τὸ κορμί μου θέλει κατοικίσει μὲ ἐλπίδα·

27 Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.

28 Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου.

29 Ἄνδρες ἀδελφοὶ, ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβὶδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη, καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης.

30 Προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς, ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστὸν, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ,

31 Προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅτι οὐ κατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν.

32 Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεὸς, οὗ πάντες ἡμεῖς ἐσμεν μάρτυρες.

33 Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθεὶς, τήν τε ἐπαγγελίαν τοῦ ἁγίου Πνεύματος λαβὼν παρὰ τοῦ πατρὸς, ἐξέχεε τοῦτο ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε.

34 Οὐ γὰρ Δαβὶδ ἀνέβη εἰς

27 Διατὶ δὲν θέλεις ἀφήσει τὴν ψυχήν μου εἰς τὸν ᾅδην, οὐδὲ θέλεις δώσει τὸν ὅσιόν σου νὰ εἴδῃ διαφθοράν.

28 Ἔκαμές με νὰ γνωρίσω ταῖς στράταις τῆς ζωῆς· θέλεις μὲ γεμίσει χαρὰν διὰ μέσου τοῦ προσώπου σου.

29 Ὦ ἄνδρες ἀδελφοὶ, ἠμποροῦμεν νὰ εἰποῦμεν μετὰ παῤῥησίας εἰς ἐσᾶς διὰ τὸν πατριάρχην Δαβὶδ, ὅτι καὶ ἀπέθανε καὶ ἐθάπτη, καὶ τὸ μνῆμά του εἶναι εἰς ἐμᾶς ἕως τὴν ἡμέραν ἐτούτην.

30 Ὡσὰν λοιπὸν προφήτης, καὶ ἐξεύρωντας ὅτι ὁ Θεὸς τοῦ ὤμωσεν ὅρκον, ἀπὸ τὸν καρπὸν τῆς μέσης του νὰ ἀναστήσῃ τὸν Χριστὸν κατὰ σάρκα, καὶ νὰ τὸν καθίσῃ εἰς τὸν θρόνον του,

31 Προγνωρίζωντας ἐλάλησε διὰ τὴν ἀνάστασιν τοῦ Χριστοῦ, ὅτι δὲν ἀπόμεινεν ἡ ψυχή του εἰς τὸν ᾅδην, οὐδὲ τὸ κορμί του εἶδε διαφθοράν.

32 Ἐτοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεὸς, τοῦ ὁποίου ὅλοι ἐμεῖς εἴμεσθε μάρτυρες.

33 Ἐκεῖνος λοιπὸν ἔστωντας νὰ ὑψωθῇ μὲ τὴν δεξιὰν τοῦ Θεοῦ, καὶ νὰ πάρῃ ἀπὸ τὸν πατέρα τὸ τάξιμον τοῦ ἁγίου Πνεύματος, ἐξέχεεν ἐτοῦτο ὁποῦ βλέπετε καὶ ἀκούετε ἐσεῖς τώρα.

34 Διατὶ ὁ Δαβὶδ δὲν ἀ-

τοὺς οὐρανούς· λέγει δὲ αὐτός· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου,

35 Ἕως ἂν θῶ τοὺς ἐχθροὺς σου ὑποπόδιον τῶν ποδῶν σου.

36 Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ, ὅτι Κύριον καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς ἐποίησε, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε.

37 Ἀκούσαντες δὲ κατενύγησαν τῇ καρδίᾳ, εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους· Τί ποιήσομεν, ἄνδρες ἀδελφοί;

38 Πέτρος δὲ ἔφη πρὸς αὐτούς· Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος·

39 Ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσι τοῖς εἰς μακρὰν, ὅσους ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν.

40 Ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρετο, καὶ παρεκάλει, λέγων· Σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης.

41 Οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ,

νέβη εἰς τοὺς οὐρανούς· ἀμὴ αὐτὸς λέγει· Εἶπεν ὁ Κύριος εἰς τὸν Κύριόν μου· Κάθου ἐκ δεξιῶν μου,

35 Ἕως ὁποῦ νὰ βάλλω τοὺς ἐχθρούς σου ἀποκατωπάτημα εἰς τὰ ποδάριά σου.

36 Ἄς γνωρίζῃ λοιπὸν ὅλον τὸ σπῆτι τοῦ Ἰσραὴλ μὲ ἀσφάλειαν, ὅτι ἐτοῦτον τὸν Ἰησοῦν τὸν ὁποῖον ἐσεῖς ἐσταυρώσετε ὁ Θεὸς τὸν ἔκαμεν Αὐθέντην καὶ Χριστόν.

37 Καὶ ὡσὰν τὸ ἄκουσαν ἐκατανύχθη ἡ καρδία τους, καὶ εἶπαν εἰς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους· Τί νὰ κάμωμεν, ὦ ἄνδρες ἀδελφοί;

38 Καὶ ὁ Πέτρος τοὺς εἶπε· Μετανοήσετε, καὶ ἂς βαπτισθῇ κάθ' ἕνας ἀπὸ σᾶς εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ εἰς συγχώρησιν ἁμαρτιῶν· καὶ θέλετε πάρει τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος·

39 Διατὶ εἰς ἐσᾶς εἶναι τὸ τάξιμον καὶ εἰς τὰ παιδιά σας, καὶ εἰς ὅλους τοὺς μακρυνοὺς, ὅσους ἂν προσκαλέσῃ Κύριος ὁ Θεός μας.

40 Καὶ μὲ ἄλλα λόγια περισσότερα τοὺς ἐμαρτύρα, καὶ τοὺς ἐπαρακίνα, λέγωντας· Φυλαχθῆτε ἀπὸ τὴν γενεὰν ἐτούτην τὴν διεστραμμένην.

41 Καὶ ἐκεῖνοι ὁποῦ ἐδέχθηκαν τὸν λόγον του μετὰ χαρᾶς,

ἐβαπτίσθησαν· καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι.

42 Ἦσαν δὲ προσκαρτεροῦντες τῇ διδαχῇ τῶν ἀποστόλων, καὶ τῇ κοινωνίᾳ καὶ τῇ κλάσει τοῦ ἄρτου, καὶ ταῖς προσευχαῖς.

43 Ἐγένετο δὲ πάσῃ ψυχῇ φόβος· πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγίνετο.

44 Πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον ἅπαντα κοινά.

45 Καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον, καὶ διεμέριζον αὐτὰ πᾶσι, καθότι ἄν τις χρείαν εἶχε.

46 Καθ' ἡμέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ, κλῶντές τε κατ' οἶκον ἄρτον, μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας,

47 Αἰνοῦντες τὸν Θεὸν, καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν. Ὁ δὲ Κύριος προσετίθει τοὺς σωζομένους κάθ' ἡμέραν τῇ ἐκκλησίᾳ.

ἐβαπτίσθηκαν· καὶ τὴν ἡμέραν ἐκείνην ἐπροστέθηκαν εἰς τὴν ἐκκλησίαν κοντὰ τρεῖς χιλιάδες ψυχαῖς.

42 Καὶ ἐκαρτεροῦσαν εἰς τὴν διδαχὴν τῶν ἀποστολῶν, εἰς τὴν κοινωνίαν καὶ εἰς τὸ κόψιμον τοῦ ψωμίου, καὶ εἰς ταῖς προσευχαῖς.

43 Καὶ κάθε ψυχὴ ἐφοβᾶτον· καὶ πολλὰ τέρατα καὶ σημεῖα ἐγίνουνταν διὰ μέσου τῶν ἀποστόλων.

44 Καὶ ὅλοι ὅσοι ἐπίστευσαν ἦταν εἰς ἕνα τόπον, καὶ εἶχαν ὅλα κοινά.

45 Καὶ τὰ κτήματα καὶ τὰ ὑπάρχοντά τους τὰ ἐπουλοῦσαν, καὶ τὰ ἐμοίραζαν εἰς ὅλους, ὅ, τι καὶ ἂν ἤθελε χρειασθῇ κάθε ἕνας.

46 Καὶ πᾶσα ἡμέρα ἐστέκουνταν εἰς τό ἱερὸν ὁμοψύχως, καὶ κόπτοντες ψωμὶ ἀπὸ σπῆτι εἰς σπῆτι, ἐμεταλάμβανον τροφὴν μὲ χαρὰν καὶ μὲ ἁπλὴν καρδίαν.

47 Ὑμνοῦντες τὸν Θεὸν, καὶ ἔχοντες παῤῥησίαν καὶ χάριν εἰς ὅλον τὸν λαόν. Καὶ ὁ Κύριος ἐπρόστιθεν πᾶσα ἡμέρα εἰς τὴν ἐκκλησίαν ἐκείνους ὁποῦ ἔμελλαν νὰ σωθοῦσι.

Κεφ. γ'. 3.

ἘΠΙ` τὸ αὐτὸ δὲ Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην.

2 Καί τις ἀνὴρ χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων, ἐβαστάζετο· ὃν ἐτίθουν καθ' ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱερȣ̃ τὴν λεγομένην Ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν.

3 Ὃς ἰδὼν Πέτρον καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸ ἱερὸν, ἠρώτα ἐλεημοσύνην λαβεῖν.

4 Ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ, εἶπε· Βλέψον εἰς ἡμᾶς.

5 Ὁ δὲ ἐπεῖχεν αὐτοῖς, προσδοκῶν τι παρ' αὐτῶν λαβεῖν.

6 Εἶπε δὲ Πέτρος· Ἀργύριον καὶ χρυσίον ȣ̓χ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τȣ̃το σοι δίδωμι· Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίȣ ἔγειραι καὶ περιπάτει.

7 Καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρε· παραχρῆμα δὲ ἐστερεώθησαν αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά.

ΚΑΙ` ὁ Πέτρος καὶ ὁ Ἰωάννης ἀνέβαιναν μαζὺ εἰς τὸ ἱερὸν εἰς τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην.

2 Καὶ κάποιος ἄνθρωπος, ὁπȣ̃ ἦτον κȣτζὸς ἀπὸ τὴν κοιλίαν τῆς μάνας τȣ, τὸν ἐσήκωναν· τὸν ὁποῖον τὸν ἔβαναν κάθε ἡμέραν εἰς τὴν θύραν τοῦ ἱερȣ̃ τὴν λεγομένην Ὡραίαν, νὰ ζητᾷ ἐλεημοσύνην ἀπ' ἐκείνȣς ὁπȣ̃ ἐμβαίνασιν εἰς τὸ ἱερόν.

3 Ὁ ὁποῖος ὡσὰν εἶδε τὸν Πέτρον καὶ Ἰωάννην, ὁπȣ̃ ἐμέλλασι νὰ ἐμβȣ̃σιν εἰς τὸ ἱερὸν, ἐζῆτα ἐλεημοσύνην.

4 Καὶ ὁ Πέτρος ἀτενίζωντας εἰς αὐτον μαζὺ μὲ τὸν Ἰωάννην, εἶπε· Στοχάσου εἰς ἐμᾶς.

5 Καὶ ἐκεῖνος εἶχε τὰ μάτιά τȣ εἰς αὐτȣ̀ς, ἀναμένωντας νὰ πάρῃ τίποτες ἀπ' αὐτȣ̃ς.

6 Καὶ ὁ Πέτρος εἶπεν· Ἀσήμι καὶ χρυσάφι δὲν ἔχω· ἀμὴ ἐκεῖνο ὁπȣ̃ ἔχω, ἐκεῖνο σοῦ δίδω· Εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστȣ̃ τοῦ Ναζωραίȣ σήκω ἀπάνω καὶ περιπάτει.

7 Καὶ πιάνωντάς τον ἀπὸ τὸ δεξιὸν χέρι τὸν ἐσήκωσε· καὶ παρευθὺς ἐστερεώθηκαν ἡ πατȣ̃ιαις τȣ, καὶ οἱ ἀστραγάλοι τȣ.

8 Καὶ ἐξαλλόμενος ἔστη, καὶ περιεπάτει· καὶ εἰσῆλθε σὺν αὐτοῖς εἰς τὸ ἱερὸν, περιπατῶν καὶ ἀλλόμενος, καὶ αἰνῶν τὸν Θεόν.

9 Καὶ εἶδεν αὐτὸν πᾶς ὁ λαὸς περιπατοῦντα καὶ αἰνοῦντα τὸν Θεόν·

10 Ἐπεγίνωσκόν τε αὐτὸν ὅτι οὗτος ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ Ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ· καὶ ἐπλήσθησαν θάμβους καὶ ἐκστάσεως ἐπὶ τῷ συμβεβηκότι αὐτῷ.

11 Κρατοῦντος δὲ τοῦ ἰαθέντος χωλοῦ τὸν Πέτρον καὶ Ἰωάννην, συνέδραμε πρὸς αὐτοὺς πᾶς ὁ λαὸς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶντος ἔκθαμβοι.

12 Ἰδὼν δὲ Πέτρος ἀπεκρίνατο πρὸς τὸν λαόν· Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;

13 Ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ὁ Θεὸς τῶν πατέρων ὑμῶν ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν, ὃν ὑμεῖς παρεδώκατε, καὶ ἠρνήσασθε αὐτὸν κατὰ πρόσωπον Πιλάτου,

8 Καὶ πηδῶντας ἐστάθη, καὶ ἐπεριπάτει· καὶ ἐμβῆκε μαζὺ μετ᾽ αὐτοὺς εἰς τὸ ἱερὸν, περιπατῶντας καὶ πηδῶντας καὶ ὑμνῶντας τὸν Θεόν.

9 Καὶ ὅλος ὁ λαὸς τὸν εἶδεν ὅπου ἐπεριπάτει καὶ ὕμνει τὸν Θεόν·

10 Καὶ τὸν ἐγνώριζαν πῶς ἦτον ἐτοῦτος ὅπου ἐκάθουνταν εἰς τὴν Ὡραίαν πύλην τοῦ ἱεροῦ ζητῶντας ἐλεημοσύνην· καὶ πολλὰ ἐθαύμασαν, καὶ ἔγιναν ἐκστατικοὶ εἰς ἐκεῖνο ὅπου τοῦ ἐσυνέβη.

11 Καὶ ὁ κουτζὸς ὅπου ἰατρεύθη ἔμεινεν ἀχώριστος ἀπὸ τὸν Πέτρον καὶ Ἰωάννην, καὶ ὁ λαὸς ὅλος ὤντας ἐκπεπληγμένος ἔτρεξεν εἰς αὐτοὺς εἰς τὴν καμάραν ὅπου ἐκράζετον τοῦ Σολομῶντος.

12 Καὶ ὁ Πέτρος ὡσὰν εἶδεν ἐτοῦτο, εἶπεν εἰς τὸν λαόν· Ὦ ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε εἰς ἐτοῦτο, ἢ τί ἀτενίζετε εἰς ἐμᾶς, ὡσὰν νὰ τὸ ἐκάμαμε μὲ δύναμιν ἢ εὐσέβειαν ἐδικήν μας νὰ περιπατῇ αὐτός;

13 Ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἐδόξασε τὸ παιδί του τὸν Ἰησοῦν, τὸν ὁποῖον ἐσεῖς τὸν ἐπαραδώκετε, καὶ τὸν ἀρνηθήκετε ὀμπροστὰ εἰς τὸ

κρίναντος ἐκείνου ἀπολύειν.

14 Ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν.

15 Τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν·

16 Καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ· καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν.

17 Καὶ νῦν, ἀδελφοὶ, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν.

18 Ὁ δὲ Θεὸς ἃ προκατήγγειλε διὰ στόματος πάντων τῶν προφητῶν αὐτοῦ, παθεῖν τὸν Χριστὸν, ἐπλήρωσεν οὕτω.

19 Μετανοήσατε οὖν καὶ ἐπιστρέψατε, εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας· ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ προσώπου τοῦ Κυρίου.

20 Καὶ ἀποστείλῃ τὸν προ-

πρόσωπον τοῦ Πιλάτου, ὁποῦ ἔκρινεν ἐκεῖνος νὰ τὸν ἀπολύσῃ.

14 Ἀμὴ ἐσεῖς ἀρνηθήκετε τὸν ἅγιον καὶ δίκαιον, καὶ ἐζητήσετε νὰ σᾶς χαρίσουν ἕνα ἄνδρα φονέα.

15 Καὶ ἐκεῖνον ὁποῦ εἶναι ἀρχηγὸς τῆς ζωῆς τὸν ἐσκοτώσετε, τὸν ὁποῖον ὁ Θεὸς τὸν ἀνάστησεν ἀπὸ τοὺς νεκρούς· τοῦ ὁποίου ἐμεῖς εἴμεσθε μάρτυρες·

16 Καὶ εἰς τὴν πίστιν τοῦ ὀνόματός του, τὸ ὄνομά του ἐστερέωσεν ἐτοῦτον, τὸν ὁποῖον βλέπετε καὶ ἰξεύρετε· καὶ ἡ πίστις ὁποῦ εἶναι δι' αὐτοῦ τοῦ ἔδωκεν ἐτούτην τὴν ὑγιείαν ὅλου τοῦ σώματος, ὀμπροστὰ εἰς ὅλους σας.

17 Καὶ τώρα, ἀδελφοὶ, ἰξεύρω, ὅτι μὴν ἰξεύροντες τὸ ἐκάμετε, καθὼς καὶ οἱ ἄρχοντές σας.

18 Ἀμὴ ὁ Θεὸς ἐκεῖνα ὁποῦ ἐπροεῖπε διὰ μέσου τοῦ στόματος ὅλων τῶν προφητῶν του, νὰ πάθῃ ὁ Χριστὸς, ἔτζι τὰ ἐτελείωσεν.

19 Μετανοήσετε λοιπὸν καὶ γυρίσετε, διὰ νὰ ἐξαλειφθοῦν ἡ ἁμαρτίαις σας· διὰ νὰ ἔλθουν καιροὶ παρηγορίας ἀπὸ τὸ πρόσωπον τοῦ Κυρίου.

20 Καὶ νὰ στείλῃ ἐκεῖνον

κεκηρυγμένον ὑμῖν Ἰησοῦν Χριστὸν,

21 Ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων ὧν ἐλάλησεν ὁ Θεὸς διὰ στόματος πάντων ἁγίων αὐτοῦ προφητῶν ἀπ' αἰῶνος.

22 Μωσῆς μὲν γὰρ πρὸς τοὺς πατέρας εἶπεν· Ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς·

23 Ἔσται δὲ, πᾶσα ψυχὴ, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ.

24 Καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς, ὅσοι ἐλάλησαν, καὶ προκατήγγειλαν τὰς ἡμέρας ταύτας.

25 Ὑμεῖς ἐστε υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης ἧς διέθετο ὁ Θεὸς πρὸς τοὺς πατέρας ἡμῶν, λέγων πρὸς Ἀβραάμ· Καὶ τῷ σπέρματί σου ἐνευλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς.

26 Ὑμῖν πρῶτον ὁ Θεὸς ἀναστήσας τὸν παῖδα αὐτοῦ Ἰησοῦν, ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς, ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν ὑμῶν.

ὁποῦ ἦτον προτίτερα κηρυγμένος εἰς ἐσᾶς, τὸν Ἰησοῦν Χριστὸν,

21 Τὸν ὁποῖον εἶναι ἀναγκαῖον νὰ τὸν ἔχῃ ὁ οὐρανὸς, ἕως τὸν καιρὸν ὁποῦ νὰ ἀποκατασταθοῦν ὅλα τὰ πράγματα, τὰ ὁποῖα ἐλάλησεν ὁ Θεὸς διὰ στόματος ὅλων τῶν ἁγίων αὐτοῦ προφητῶν ἀπὸ τὴν ἀρχήν.

22 Διατὶ ὁ Μωϋσῆς εἶπεν εἰς τοὺς πατέρας· Ὅτι ὁ Αὐθέντης ὁ Θεός σας θέλει σᾶς ἀναστήσει ἕνα προφήτην ἀπὸ τοὺς ἀδελφούς σας, ὡσὰν ἐμένα· αὐτουνοῦ νὰ ἀκούσετε εἰς ὅλα ὅσα λαλήσῃ εἰς ἐσᾶς·

23 Καὶ πᾶσα ψυχὴ ὁποῦ νὰ μὴν ἀκούσῃ τοῦ προφήτου ἐκείνου, θέλει ἐξολοθρευθῇ ἀπὸ τὸν λαόν.

24 Καὶ ὅλοι οἱ προφῆται ἀπὸ τὸν Σαμουὴλ καὶ ἐδῶθεν, ὅσοι ἐλάλησαν, ἐπροεῖπαν καὶ ταῖς ἡμέραις ἐτούταις.

25 Ἐσεῖς εἶσθε υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης ὁποῦ ἔκαμεν ὁ Θεὸς εἰς τοὺς πατέρας μας, λέγοντας εἰς τὸν Ἀβραάμ· Καὶ εἰς τὸ σπέρμα σου θέλουν εὐλογηθῇ ὅλαις ἡ γενεαῖς τῆς γῆς.

26 Ὁ Θεὸς πρῶτον ἀνέστησεν εἰς ἐσᾶς τὸ παιδί του τὸν Ἰησοῦν, καὶ τὸν ἔστειλεν νὰ σᾶς εὐλογᾷ, γυρίζοντας καθένας ἀπὸ ταῖς πονηρίαις σας.

Κεφ. δ᾽. 4.

ΛΑλούντων δὲ αὐτῶν πρὸς τὸν λαὸν, ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ σαδδουκαῖοι,

2 Διαπονούμενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαὸν, καὶ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν.

3 Καὶ ἐπέβαλον αὐτοῖς τὰς χεῖρας, καὶ ἔθεντο εἰς τήρησιν εἰς τὴν αὔριον· ἦν γὰρ ἑσπέρα ἤδη.

4 Πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν· καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιάδες πέντε.

5 Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ πρεσβυτέρους καὶ γραμματεῖς εἰς Ἱερουσαλήμ·

6 Καὶ Ἄνναν τὸν ἀρχιερέα καὶ Καϊάφαν καὶ Ἰωάννην καὶ Ἀλέξανδρον, καὶ ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ.

7 Καὶ στήσαντες αὐτοὺς ἐν τῷ μέσῳ, ἐπυνθάνοντο· Ἐν ποίᾳ δυνάμει ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς;

8 Τότε Πέτρος πλησθεὶς Πνεύματος ἁγίου εἶπε πρὸς

ΚΑΙ᾽ ἐκεῖ ὁποῦ ἐσυντύχαιναν αὐτοὶ ἐτοῦτα τὰ λόγια εἰς τὸν λαὸν, ἔφθασαν εἰς αὐτοὺς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ σαδδουκαῖοι,

2 Λυπημένοι πολλὰ διατὶ ἐδίδασκαν αὐτοὶ τὸν λαὸν, καὶ ἐκήρυτταν εἰς τὸν Ἰησοῦν τὴν ἀνάστασιν ἐκ νεκρῶν.

3 Καὶ ἔβαλαν τὰ χέριά τους ἀπάνω τους, καὶ τοὺς ἐφυλάκωσαν ἕως τὴν αὔριον· διατὶ τότε ἦτον βράδυ.

4 Καὶ πολλοὶ ἀπ᾽ ἐκείνους ὁποῦ ἄκουσαν τὸν λόγον ἐπίστευσαν· καὶ ὁ λογαριασμὸς τῶν ἀνδρῶν ἔγινεν ἕως πέντε χιλιάδες.

5 Καὶ τὴν ἄλλην ἡμέραν ἐμαζώχθηκαν οἱ ἄρχοντές τους καὶ οἱ πρεσβύτεροι καὶ οἱ γραμματεῖς εἰς τὴν Ἱερουσαλήμ·

6 Καὶ Ἄννας ὁ ἀρχιερεὺς καὶ Καϊάφας καὶ Ἰωάννης καὶ Ἀλέξανδρος, καὶ ὅσοι ἦσαν ἀπὸ γένος ἀρχιερατικόν.

7 Καὶ ἔστησάν τους εἰς τὸ μέσον, καὶ τοὺς ἐρωτοῦσαν· Μὲ ποίαν δύναμιν ἢ εἰς ποῖον ὄνομα ἐκάμετε τοῦτο ἐσεῖς;

8 Τότε ὁ Πέτρος ἐπλήσθη Πνεύματος ἁγίου, καὶ τοὺς

αὐτούς· Ἄρχοντες τοῦ λαοῦ, καὶ πρεσβύτεροι τοῦ Ἰσραὴλ,

9 Εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται·

10 Γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ παντὶ τῷ λαῷ Ἰσραὴλ, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής.

11 Οὗτός ἐστιν ὁ λίθος ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδομούντων, ὁ γενόμενος εἰς κεφαλὴν γωνίας·

12 Καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· οὔτε γὰρ ὄνομά ἐστιν ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς.

13 Θεωροῦντες δὲ τὴν τοῦ Πέτρου παῤῥησίαν καὶ Ἰωάννου, καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν·

14 Τὸν δὲ ἄνθρωπον βλέποντες σὺν αὐτοῖς ἑστῶτα τὸν τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν.

εἶπεν· Ἄρχοντες τοῦ λαοῦ, καὶ πρεσβύτεροι τοῦ Ἰσραὴλ,

9 Ἐπειδὴ ἐμεῖς σήμερον ἐξεταζόμεσθε διὰ εὐεργεσίαν ἀνθρώπου ἀσθενημένου, μὲ τί τρόπον ἐτοῦτος ἰατρεύθη·

10 Ἂς εἶναι γνώριμον εἰς ὅλους ἐσᾶς καὶ εἰς ὅλον τὸν λαὸν τοῦ Ἰσραὴλ, ὅτι εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὁποῦ ἐσεῖς ἐσταυρώσετε, τὸν ὁποῖον ὁ Θεὸς ἀνάστησεν ἐκ νεκρῶν, εἰς τοῦτο (λέγω) τὸ ὄνομα ἐτοῦτος παραστέκεται γερὸς ὀμπροστά σας.

11 Ἐτοῦτος εἶναι ἐκεῖνος ὁ λίθος ὁποῦ ἐκαταφρονέθη ἀπὸ σᾶς τοὺς οἰκοδόμους, καὶ ἔγινεν κεφαλὴ τῆς γωνίας.

12 Καὶ δὲν εἶναι σωτηρία εἰς ἄλλον κανένα· διατὶ δὲν εἶναι ἄλλο ὄνομα ἀποκάτω εἰς τὸν οὐρανὸν ὁποῦ νὰ ἐδόθη εἰς τοὺς ἀνθρώπους, εἰς τὸ ὁποῖον κάμνει χρεία νὰ σωθοῦμεν.

13 Καὶ βλέποντες ἐκεῖνοι τὴν παῤῥησίαν τοῦ Πέτρου καὶ Ἰωάννου, καὶ καταλαμβάνοντες ὅτι εἶναι ἄνθρωποι ἀγράμματοι καὶ ἰδιῶται, ἐθαύμαζαν, καὶ ἐγνώρισάν τους πῶς εἶχαν σταθῆ προτίτερα μαζὺ μὲ τὸν Ἰησοῦν.

14 Καὶ βλέποντες τὸν ἄνθρωπον τὸν ἰατρεμένον ὁποῦ ἐστέκουντον μαζὺ μετ' αὐτοὺς, δὲν ἠμποροῦσαν νὰ ἐναντιωθοῦσι τίποτες.

15 Κελεύσαντες δὲ αὐτὲς ἔξω τοῦ συνεδρίε ἀπελθεῖν, συνέβαλον πρὸς ἀλλήλες,	15 Ἀμὴ ἔςωντας νὰ τὲς προςάξεν νὰ εὔγεν ἔξω ἀπὸ τὴν σύνοδον, ἐσυμβελεύθηκαν ἀνάμεσά τες,
16 Λέγοντες· Τί ποιήσομεν τοῖς ἀνθρώποις τέτοις; ὅτι μὲν γὰρ γνωςὸν σημεῖον γέγονε δι᾽ αὐτῶν, πᾶσι τοῖς κατοικεσιν Ἱερεσαλὴμ φανερὸν, καὶ οὐ δυνάμεθα ἀρνήσασθαι.	16 Λέγοντες· Τί να τὲς κάμωμεν τὲς ἀνθρώπες ἐτέτες; διατὶ, ὅτι πῶς να ἔγινε διὰ μέσε αὐτῶν σημάδι γνώριμον, εἰς ὅλες εἶναι φανερὸν ἐτέτες ὁπε κατοικοῦν εἰς τὴν Ἱερεσαλὴμ, καὶ δὲν ἠμποροῦμεν νὰ τὸ ἀρνηθεμεν·
17 Ἀλλ᾽ ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαὸν, ἀπειλῇ ἀπειλησώμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τέτῳ μηδενὶ ἀνθρώπων.	17 Ἀλλὰ διὰ νὰ μὴν διασκορπισθῇ περισσότερον τὸ πρᾶγμα εἰς τὸν λαὸν, νὰ τὲς φοβερίσωμεν νὰ μὴν λαλεσι πλέον εἰς τὸ ὄνομα ἐτετο εἰς κανένα ἄνθρωπον.
18 Καὶ καλέσαντες αὐτὲς, παρήγγειλαν αὐτοῖς τὸ καθόλε μὴ φθέγγεσθαι μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ.	18 Καὶ ἔκραξάν τες, καὶ τὲς ἐπαράγγειλαν καθόλε μηδὲ νὰ λέγεσι, μηδὲ νὰ διδάσκεσιν εἰς τὸ ὄνομα τοῦ Ἰησε.
19 Ὁ δὲ Πέτρος καὶ Ἰωάννης ἀποκριθέντες πρὸς αὐτὲς, εἶπον· Εἰ δίκαιόν ἐςιν ἐνώπιον τοῦ Θεε, ὑμῶν ἀκέειν μᾶλλον ἢ τοῦ Θεε, κρίνατε·	19 Καὶ ἀπεκρίθηκαν ὁ Πέτρος καὶ ὁ Ἰωάννης, καὶ τὲς εἶπαν· Ἂν εἶναι δίκαιον ὀμπροςὰ εἰς τὸν Θεὸν, νὰ ἀκέωμεν ἐσᾶς περισσότερον παρὰ τὸν Θεὸν, κρίνετέ το·
20 Οὐ δυνάμεθα γὰρ ἡμεῖς, ἃ εἴδομεν καὶ ἠκέσαμεν, μὴ λαλεῖν.	20 Ἐμεῖς δὲν ἠμπορεμεν, νὰ μὴν λαλεμεν ἐκεῖνα, ὁπε εἴδαμεν καὶ ἀκέσαμεν.
21 Οἱ δὲ προσαπειλησάμενοι ἀπέλυσαν αὐτὲς, μηδὲν εὑρίσκοντες τὸ πῶς κολάσωνται αὐτὲς, διὰ τὸν λαόν· ὅτι πάντες ἐδόξαζον τὸν Θεὸν ἐπὶ τῷ γεγονότι·	21 Καὶ ἐκεῖνοι ἔςωντας νὰ τὲς μεταφοβερίσουν τὲς ἀπόλυσαν, διατὶ δὲν εὑρίσκασιν τίποτες ἀφορμὴν πῶς νὰ τὲς τιμωρήσουν διὰ τὸν λαὸν ὅτι ὅλοι ἐδόξαζαν τὸν Θεὸν εἰς ἐκεῖνο ὁπε ἔγινε·

22 Ἐτῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα ὁ ἄνθρωπος ἐφ' ὃν ἐγεγόνει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως.

23 Ἀπολυθέντες δὲ ἦλθον πρὸς τοὺς ἰδίους, καὶ ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον.

24 Οἱ δὲ ἀκούσαντες, ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν Θεὸν, καὶ εἶπον· Δέσποτα, σὺ ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς·

25 Ὁ διὰ στόματος Δαβὶδ τοῦ παιδός σου εἰπών· Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;

26 Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.

27 Συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐπὶ τὸν ἅγιον παῖδά σου Ἰησοῦν, ὃν ἔχρισας, Ἡρώδης τε καὶ Πόντιος Πιλάτος, σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραὴλ,

28 Ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε γενέσθαι.

22 Διατὶ ὁ ἄνθρωπος, εἰς τὸν ὁποῖον ἔγινε τὸ σημεῖον ἐτοῦτο τῆς ἰατρείας, ἦτον περισσότερον παρὰ σαράντα χρονῶν.

23 Καὶ ὡσὰν ἀπολύθηκαν ἦλθαν εἰς τοὺς ἐδικούς τους, καὶ εἶπαν ὅσα τοὺς εἶπαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι.

24 Καὶ ἐκεῖνοι ὡσὰν τὸ ἄκουσαν, ὅλοι μὲ μίαν ψυχὴν ἐσήκωσαν φωνὴν εἰς τὸν Θεὸν, καὶ εἶπαν· Ὦ Δέσποτα, ἐσὺ ὁ Θεὸς ὁποῦ ἔκαμες τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ ὅλα ὅσα εἶναι μέσα εἰς αὐτά·

25 Ἐσὺ ὁποῦ εἶπες διὰ μέσου τοῦ στόματος τοῦ Δαβὶδ τοῦ παιδός σου· Διατί ἐσυγχύσθηκαν τὰ ἔθνη, καὶ οἱ λαοὶ ἐμελετήσασιν εὔκαιρα;

26 Ἐπαραστάθηκαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες ἐμαζώχθηκαν ἐπιταυτοῦ ἐναντίον τοῦ Κυρίου καὶ ἐναντίον τοῦ Χριστοῦ του.

27 Διατὶ ἐπ' ἀληθείας ἐμαζώχθηκαν εἰς τὴν πόλιν ἐτούτην ἐναντία τοῦ ἁγίου παιδός σου τοῦ Ἰησοῦ, τὸν ὁποῖον ἔχρισες, καὶ ὁ Ἡρώδης καὶ ὁ Πόντιος ὁ Πιλάτος, μὲ τὰ ἔθνη καὶ μὲ τοὺς λαοὺς τοῦ Ἰσραὴλ,

28 Νὰ κάμουσιν ὅσα προώρισε τὸ χέρι σου καὶ ἡ βουλή σου νὰ γένουν.

29 Καὶ τὰ νῦν Κύριε ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς δȣ́λοις σȣ μετὰ παῤῥησίας πάσης λαλεῖν τὸν λόγον σȣ,

30 Ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν σε εἰς ἴασιν, καὶ σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίȣ παιδός σȣ Ἰησȣ̃.

31 Καὶ δεηθέντων αὐτῶν ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι· καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου, καὶ ἐλάλουν τὸν λόγον τοῦ Θεȣ̃ μετὰ παῤῥησίας.

32 Τȣ̃ δὲ πλήθȣς τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία· καὶ ȣ̉δ' εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά.

33 Καὶ μεγάλῃ δυνάμει ἀπεδίδουν τὸ μαρτύριον οἱ ἀπόστολοι τῆς ἀναστάσεως τοῦ Κυρίȣ Ἰησοῦ· χάρις τε μεγάλη ἦν ἐπὶ πάντας αὐτȣ́ς.

34 Οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν αὐτοῖς· ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων,

35 Καὶ ἐτίθουν παρὰ τȣ̀ς πόδας τῶν ἀποστόλων· διεδί-

29 Καὶ τώρα, Αὐθέντη, ϛοχάσȣ εἰς τȣ̀ς φοβερισμȣ̀ς τȣς, καὶ δὸς εἰς τȣ̀ς δȣ́λȣς σȣ νὰ λαλȣ̃σι τὸν λόγον σȣ μὲ κάθε λογῆς παῤῥησίαν,

30 Ἁπλώνωντας τὸ χέρι σȣ εἰς ἰατρείαν, καὶ νὰ γίνονται σημεῖα καὶ τέρατα διὰ μέσȣ τȣ̃ ὀνόματος τȣ̃ ἁγίȣ παιδός σȣ τοῦ Ἰησȣ̃.

31 Καὶ ὡσὰν ἐπαρακάλεσαν, ὁ τόπος ὅλος ἐσαλεύθη ἐκεῖ ὁπȣ̃ ἦταν μαζωμένοι· καὶ ἐγέμισαν ὅλοι ἀπὸ Πνεῦμα ἅγιον, καὶ ἐλάλουν τὸν λόγον τοῦ Θεȣ̃ μὲ παῤῥησίαν.

32 Καὶ τὸ πλῆθος ὁποῦ ἐπίστευσεν, ἦταν ἡ καρδία τȣς καὶ ἡ ψυχή τȣς μία· καὶ ȣ̉δὲ κανένας ἀπὸ τὰ ὑπάρχοντά τȣ ἔλεγεν νὰ εἶναι τίποτες ἐδικόν τȣ, ἀλλὰ ὅλα ἦταν εἰς αὐτȣ̀ς κοινά.

33 Καὶ οἱ ἀπόστολοι μὲ μεγάλην δύναμιν ἐπαράδιδαν τὸ μαρτύριον τῆς ἀναστάσεως τοῦ Κυρίȣ Ἰησοῦ καὶ χάρις μεγάλη ἦτον εἰς ὅλȣς αὐτȣ́ς.

34 Διατὶ ȣ̉δὲ κανένας ἦτον ἐνδεὴς εἰς αὐτȣ́ς· καὶ ὅσοι ἦταν κτήτορες τόπων ἢ σπητίων, ἐπȣλȣ̃σαν καὶ ἔφερναν ταῖς τιμαῖς ἐκεινῶν ὁπȣ̃ ἐπȣλοῦνταν·

35 Καὶ τὰ ἔῤῥιχνον εἰς τὰ ποδάρια τῶν ἀποστόλων· καὶ

δοτο δὲ ἑκάςῳ καθότι ἄν τις χρείαν εἶχεν.

36 Ἰωσῆς δὲ, ὁ ἐπικληθεὶς Βαρνάβας ὑπὸ τῶν ἀποςόλων, (ὅ ἐστι μεθερμηνευόμενον, υἱὸς παρακλήσεως,) Λευΐτης, Κύπριος τῷ γένει,

37 Ὑπάρχοντος αὐτῷ ἀγρȣ͂, πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τȣ̀ς πόδας τῶν ἀποςόλων.

ἐδίδȣνταν εἰς καθένα καθὼς τȣ͂ ἔκαμνε χρεία.

36 Καὶ ὁ Ἰωσῆς, ὁπȣ͂ ἐκαλέσθη ἀπὸ τȣ̀ς ἀποςόλȣς Βαρνάβας, (τὸ ὁποῖον μεθερμηνεύεται υἱὸς παρηγορίας,) ὤντας Λευΐτης, τὸ γένος τȣ Κύπριος,

37 Εἶχεν ἕνα χωράφι, καὶ τὸ ἐπȣ́λησε, καὶ ἔφερε τὰ ἄσπρα, καὶ τὰ ἔβαλεν σημὰ εἰς τὰ ποδάρια τῶν ἀποςόλων.

Κεφ. ε'. 5.

ΑΝὴρ δέ τις Ἀνανίας ὀνόματι, σὺν Σαπφείρῃ τῇ γυναικὶ αὐτοῦ ἐπώλησε κτῆμα·

2 Καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνειδυίας καὶ τῆς γυναικὸς αὐτȣ͂· καὶ ἐνέγκας μέρος τι, παρὰ τȣ̀ς πόδας τῶν ἀποςόλων ἔθηκεν.

3 Εἶπε δὲ Πέτρος· Ἀνανία, διατί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σȣ, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίȣ;

4 Οὐχὶ μένον, σοὶ ἔμενε, καὶ πραθὲν ἐν τῇ σῇ ἐξȣσίᾳ ὑπῆρχε; τί ὅτι ἔθȣ ἐν τῇ καρδίᾳ σȣ τὸ πρᾶγμα τȣ͂το; οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ.

ΚΑὶ κάποιος ἄνθρωπος τὸ ὄνομά τȣ Ἀνανίας, μαζὺ μὲ τὴν γυναῖκά τȣ τὴν Σαπφείραν ἐπȣ́λησε χωράφι·

2 Καὶ ἐχώρισε διὰ λόγȣ τȣ μερικὰ ἄσπρα ἀπὸ τὴν τιμήν τȣ, καὶ τὸ ἤξευρεν καὶ ἡ γυναῖκά τȣ· καὶ ἔφερεν ἕνα μέρος, καὶ τὸ ἔβαλλεν εἰς τὰ ποδάρια τῶν ἀποςόλων.

3 Καὶ ὁ Πέτρος τȣ͂ εἶπεν· Ἀνανία, διατί ἐγέμισεν ὁ Σατανᾶς τὴν καρδίαν σȣ, νὰ εἴπῃς ψέμματα εἰς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ νὰ ξεχωρίσῃς διὰ λόγȣ σȣ ἀπὸ τὴν τιμὴν τοῦ χωραφίȣ;

4 Ἂν τὸ ἐκράτῃς, δὲν ἦτον εἰς ἐσένα; καὶ ὡσὰν ἐπȣλήθη, δὲν ἦτον εἰς τὴν ἐξȣσίαν σȣ; διὰ τί ἔβαλλες τοῦτο τὸ πρᾶγμα μέσα εἰς τὴν καρδίαν σȣ; δὲν ἐγέλασες ἀνθρώπȣς, ἀλλὰ τὸν Θεόν.

5 Ἀκέων δὲ Ἀνανίας τὲς λόγες τέτες, πεσὼν ἐξέψυξε· καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας τὲς ἀκέοντας ταῦτα.

6 Ἀναςάντες δὲ οἱ νεώτεροι συνέςειλαν αὐτὸν, καὶ ἐξενέγκαντες ἔθαψαν.

7 Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάςημα, καὶ ἡ γυνὴ αὐτῦ μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθεν·

8 Ἀπεκρίθη δὲ αὐτῇ ὁ Πέτρος· Εἰπέ μοι, εἰ τοσέτε τὸ χωρίον ἀπέδοσθε; Ἡ δὲ εἶπε· Ναὶ, τοσέτε.

9 Ὁ δὲ Πέτρος εἶπε πρὸς αὐτήν· Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ πνεῦμα Κυρίε; ἰδὲ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σε, ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοίσεσί σε.

10 Ἔπεσε δὲ παραχρῆμα παρὰ τὲς πόδας αὐτῦ, καὶ ἐξέψυξεν· εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν νεκρὰν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς.

11 Καὶ ἐγένετο φόβος μέγας ἐφ' ὅλην τὴν ἐκκλησίαν, καὶ ἐπὶ πάντας τὲς ἀκέοντας ταῦτα.

12 Διὰ δὲ τῶν χειρῶν τῶν ἀποςόλων ἐγίνετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά·

5 Καὶ ὁ Ἀνανίας ὡσὰν ἄκεσεν ἐτῦτα τὰ λόγια, ἔπεσε καὶ ἐξεψύχησε· καὶ ἔγινε μεγάλος φόβος εἰς ὅλες ἐκείνες ὅπε τὰ ἄκεσαν,

6 Καὶ ἐσηκώθηκαν οἱ νέοι, καὶ τὸν ἐσυμάζωξαν, καὶ εὔγαλαν καὶ ἐπῆγαν καὶ ἔθαψάν τον.

7 Καὶ ἐπέρασαν ἕως τρεῖς ὥραις, καὶ ἡ γυναῖκά τε μὴ ἰξεύρωντας ἐκεῖνο ὅπε ἔγινεν ἐμβῆκε μέσα.

8 Καὶ ὁ Πέτρος τῆς εἶπεν· Εἰπέ με, ἂν ἐπελήσετε τὸ χωράφι τόσα ἄσπρα; Καὶ ἐκείνη εἶπε· Ναὶ, τόσα.

9 Καὶ ὁ Πέτρος τῆς εἶπε· Διατί ἐσυμφωνήσετε ἐσεῖς νὰ πειράξετε τὸ πνεῦμα τῦ Κυρίε; νὰ, τὰ ποδάρια ἐκεινῶν ὅπε ἔθαψαν τὸν ἄνδρα σε, εἰς τὴν θύραν, καὶ θέλεσιν εὐγάλει καὶ ἐσένα.

10 Καὶ παρευθὺς ἔπεσεν εἰς τὰ ποδάριά τε, καὶ ἐξεψύχησε· καὶ ὡσὰν ἐμβῆκαν μέσα οἱ νέοι, τὴν εὐρῆκαν ἀπεθαμένην, καὶ εὔγαλαν καὶ ἐκείνην καὶ τὴν ἔθαψαν κοντὰ εἰς τὸν ἄνδρα της.

11 Καὶ ἔγινε φόβος μεγάλος εἰς ὅλην τὴν ἐκκλησίαν, καὶ εἰς ὅλους ἐκείνους ὁποῦ ἄκεαν ἐτῦτα.

12 Καὶ πολλὰ σημεῖα καὶ τέρατα ἐγίνεντον εἰς τὸν λαὸν διαμέσε τῶν χειρῶν τῶν

(καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες
ἐν τῇ στοᾷ Σολομῶντος.

ἀποστόλων· (καὶ μὲ μίαν ψυ-
χὴν ὅλοι εὑρίσκουνται εἰς τὴν
καμάραν τοῦ Σολομῶντος.

13 Τῶν δὲ λοιπῶν οὐδεὶς
ἐτόλμα κολλᾶσθαι αὐτοῖς·
ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ
λαός.

13 Καὶ ἀπὸ τοὺς ἐπίλοιπους
κανένας δὲν ἀποκόταν νὰ πάγῃ
νὰ σταθῇ κοντὰ τους· ἀλλὰ ὁ
λαὸς τοὺς ἐτίμα μεγάλως.

14 Μᾶλλον δὲ προσετί-
θεντο πιστεύοντες τῷ Κυρίῳ,
πλήθη ἀνδρῶν τε καὶ γυ-
ναικῶν.)

14 Καὶ περισσότερον αὐ-
ξάνασιν τὸ πλῆθος τῶν ἀν-
δρῶν καὶ τῶν γυναικῶν, ὁποῦ
ἐπίστευαν εἰς τὸν Κύριον.)

15 Ὥστε κατὰ τὰς πλα-
τείας ἐκφέρειν τοὺς ἀσθενεῖς,
καὶ τιθέναι ἐπὶ κλινῶν καὶ
κραββάτων, ἵνα ἐρχομένου
Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ
τινὶ αὐτῶν.

15 Εἰς τόσον ὁποῦ εὐγάνα-
σιν ἔξω τοὺς ἀσθενεῖς εἰς ταῖς
πλατείαις στράταις, καὶ τοὺς
ἔβαναν εἰς μικραῖς κλίναις καὶ
κρεββάτια, διὰ νὰ ἐπισκιάσῃ
κἂν εἰς κανένα ἀπ' αὐτοὺς ὁ
ἴσκιος τοῦ Πέτρου ὅταν περνᾷ.

16 Συνήρχετο δὲ καὶ τὸ
πλῆθος τῶν πέριξ πόλεων εἰς
Ἱερουσαλὴμ, φέροντες ἀσθενεῖς
καὶ ὀχλουμένους ὑπὸ πνευμά-
των ἀκαθάρτων· οἵτινες ἐθε-
ραπεύοντο ἅπαντες.

16 Καὶ τὸ πλῆθος τῶν πό-
λεων ὁποῦ ἦταν τριγύρω ἐμα-
ζώνουνταν εἰς τὴν Ἱερουσαλὴμ,
καὶ ἐφέρνασι τοὺς ἀσθενεῖς,
καὶ ἐκείνους ὁποῦ ἐπειράζουνταν
ἀπὸ πνεύματα ἀκάθαρτα· οἱ
ὁποῖοι ὅλοι ἰατρεύουνταν.

17 Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς
καὶ πάντες οἱ σὺν αὐτῷ, (ἡ
οὖσα αἵρεσις τῶν σαδδουκαίων,)
ἐπλήσθησαν ζήλου·

17 Καὶ ἐσηκώθη ὁ ἀρχιε-
ρεὺς καὶ ὅλοι ἐκεῖνοι ὁποῦ ἦταν
μαζύ του, (ὁποῦ ἦτον ἡ αἵρεσις
τῶν σαδδουκαίων,) καὶ ἐγί-
μισαν φθόνον·

18 Καὶ ἐπέβαλον τὰς χεῖ-
ρας αὐτῶν ἐπὶ τοὺς ἀποστόλους,
καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει
δημοσίᾳ.

18 Καὶ ἅπλωσαν τὰ χέ-
ρια τους εἰς τοὺς ἀποστόλους,
καὶ ἔβαλάν τους εἰς φύλαξιν
κοινήν.

19 Ἄγγελος δὲ Κυρίου διὰ
τῆς νυκτὸς ἤνοιξε τὰς θύρας
τῆς φυλακῆς· ἐξαγαγών τε
αὐτοὺς, εἶπε·

19 Ἀμὴ ἄγγελος Κυρίου
τὴν νύκτα ἄνοιξε ταῖς θύραις
τῆς φυλακῆς· καὶ εὔγαλέν τους
ἔξω, καὶ εἶπε·

20 Πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης.

21 Ἀκούσαντες δὲ εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκον. Παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον καὶ πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραὴλ καὶ ἀπέστειλαν εἰς τὸ δεσμωτήριον, ἀχθῆναι αὐτούς.

22 Οἱ δὲ ὑπηρέται παραγενόμενοι οὐχ εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ· ἀναστρέψαντες δὲ ἀπήγγειλαν,

23 Λέγοντες· Ὅτι τὸ μὲν δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ, καὶ τοὺς φύλακας ἔξω ἑστῶτας πρὸ τῶν θυρῶν· ἀνοίξαντες δὲ, ἔσω οὐδένα εὕρομεν.

24 Ὡς δὲ ἤκουσαν τοὺς λόγους τούτους ὅ, τε ἱερεὺς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, διηπόρουν περὶ αὐτῶν, τί ἂν γένοιτο τοῦτο.

25 Παραγενόμενος δέ τις ἀπήγγειλεν αὐτοῖς, λέγων· Ὅτι ἰδοὺ, οἱ ἄνδρες οὓς ἔθεσθε ἐν τῇ φυλακῇ, εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες, καὶ διδάσκοντες τὸν λαόν.

26 Τότε ἀπελθὼν ὁ στρατη-

20 Παγένετε, καὶ σταθέντες λαλήσετε εἰς τὸ ἱερὸν εἰς τὸν λαὸν ὅλα τὰ λόγια ἐτούτης τῆς ζωῆς.

21 Καὶ ὡσὰν τὸ ἄκουσαν, ἀπὸ τὴν αὐγὴν ἐμβῆκαν εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκαν. Καὶ ὡσὰν ἐπῆγεν ὁ ἀρχιερεὺς καὶ ἐκεῖνοι ὁποῦ ἦταν μαζὺ μετ' αὐτὸν, ἐκάλεσαν τὸ συνέδριον καὶ ὅλην τὴν σύναξιν τῶν γερόντων τῶν υἱῶν τοῦ Ἰσραὴλ· καὶ ἔστειλαν ἀνθρώπους εἰς τὴν φυλακὴν, νὰ τοὺς φέρουν.

22 Καὶ οἱ ὑπηρέται ὡσὰν ἐπῆγαν, δὲν τοὺς εὑρῆκαν εἰς τὴν φυλακήν· ἀμὴ γυρίζοντες ἀνέφεραν,

23 Λέγοντες· Ὅτι τὴν φυλακὴν τὴν εὑρήκαμεν σφαλισμένην πολλὰ φυλαγμένα, καὶ τοὺς φύλακας ἔξω ὁποῦ ἐστέκουνταν ὀμπροστὰ εἰς ταῖς θύραις· ἀμὴ ὡσὰν ἀνοίξαμεν, δὲν ηὕραμεν μέσα κανένα.

24 Καὶ ὡσὰν ἄκουσαν τὰ λόγια ἐτοῦτα ὁ ἱερεὺς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, ἀποροῦσαν δι' αὐτοὺς πῶς θέλει καταντήσει ἐτοῦτο (τὸ πρᾶγμα).

25 Καὶ κάποιος ἐπῆγε καὶ τοὺς εἶπε· Ὅτι τοὺς ἀνθρώπους ὁποῦ ἐβάλλετε εἰς τὴν φυλακὴν, νά τους ὁποῦ εἶναι μέσα εἰς τὸ ἱερὸν καὶ στέκουνται καὶ διδάσκουν τὸν λαόν.

26 Τότε ἐπῆγεν ὁ στρατηγὸς

γὸς σὺν τοῖς ὑπηρέταις, ἤγαγεν αὐτοὺς, οὐ μετὰ βίας· (ἐφοβοῦντο γὰρ τὸν λαὸν ἵνα μὴ λιθασθῶσιν.)

27 Ἀγαγόντες δὲ αὐτοὺς ἔστησαν ἐν τῷ συνεδρίῳ· καὶ ἐπηρώτησεν αὐτοὺς ὁ ἀρχιερεὺς,

28 Λέγων· Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; καὶ ἰδοὺ, πεπληρώκατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου.

29 Ἀποκριθεὶς δὲ ὁ Πέτρος καὶ οἱ ἀπόστολοι, εἶπον· Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις.

30 Ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν, ὃν ὑμεῖς διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου.

31 Τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ, δοῦναι μετάνοιαν τῷ Ἰσραὴλ, καὶ ἄφεσιν ἁμαρτιῶν.

32 Καὶ ἡμεῖς ἐσμεν αὐτοῦ μάρτυρες τῶν ῥημάτων τούτων, καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον, ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ.

33 Οἱ δὲ, ἀκούσαντες διεπρίοντο, καὶ ἐβουλεύοντο ἀνελεῖν αὐτούς·

μαζὺ μὲ τοὺς ὑπηρέτας, καὶ τοὺς ἔφερε, ὄχι στανικῶς· (διατὶ ἐφοβοῦνταν τὸν λαὸν, νὰ μὴν τοὺς λιθάσουν.)

27 Καὶ ὡσὰν τοὺς ἔφεραν, τοὺς ἔστησαν εἰς τὸ συνέδριον· καὶ τοὺς ἐρώτησεν ὁ ἀρχιερεὺς,

28 Καὶ εἶπε· Δὲν σᾶς ἐπαραγγείλαμεν ἐμεῖς παντελῶς νὰ μὴν διδάσκετε εἰς τὸ ὄνομα τοῦτο; καὶ νὰ, ἐσεῖς ὡραμάν ἐγεμίσετε τὴν Ἱερουσαλὴμ ἀπὸ τὴν διδαχήν σας, καὶ βούλεσθε νὰ ῥίξετε ἀπάνω μας τὸ αἷμα τοῦ ἀνθρώπου ἐτούτου.

29 Καὶ ἀπεκρίθη ὁ Πέτρος καὶ οἱ ἀπόστολοι καὶ εἶπαν· Κάμνει χρεία περισσότερον νὰ ὑπακούῃ τινὰς τοῦ Θεοῦ παρὰ τῶν ἀνθρώπων.

30 Ὁ Θεὸς τῶν πατέρων μας ἀνάστησε τὸν Ἰησοῦν, τὸν ὁποῖον ἐσεῖς τὸν ἐσκοτώσετε, μὲ τὸ νὰ τὸν κρεμάσετε εἰς τὸ ξύλον.

31 Ὁ Θεὸς ἐτοῦτον τὸν ὕψωσε μὲ τὴν δεξιάν του (καὶ τὸν ἔκαμεν) ἀρχηγὸν καὶ σωτῆρα, νὰ δώσῃ μετάνοιαν εἰς τὸν Ἰσραὴλ, καὶ συγχώρησιν ἁμαρτιῶν.

32 Καὶ ἐμεῖς εἴμεσθεν μάρτυρες αὐτουνοῦ ἐτούτων τῶν λόγων, καὶ ἀκόμι τὸ Πνεῦμα τὸ ἅγιον, ὁποῦ ἔδωκεν ὁ Θεὸς εἰς ἐκείνους ὁποῦ τοῦ ὑπακούουσιν.

33 Καὶ ἐκεῖνοι ὡσὰν τὰ ἄκουσαν, ἔτριζαν τὰ δόντιά τους, καὶ ἐσυμβουλεύονταν νὰ τοὺς φονεύσουν.

34 Ἀναστὰς δέ τις ἐν τῷ συνεδρίῳ Φαρισαῖος, ὀνόματι Γαμαλιὴλ, νομοδιδάσκαλος, τίμιος παντὶ τῷ λαῷ, ἐκέλευσεν ἔξω βραχύ τι τοὺς ἀποστόλους ποιῆσαι·

35 Εἶπέ τε πρὸς αὐτούς· Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις, τί μέλλετε πράσσειν.

36 Πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτὸν, ᾧ προσεκολλήθη ἀριθμὸς ἀνδρῶν ὡσεὶ τετρακοσίων· ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ, διελύθησαν, καὶ ἐγένοντο εἰς οὐδέν.

37 Μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος, ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησε λαὸν ἱκανὸν ὀπίσω αὐτοῦ· κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ, διεσκορπίσθησαν.

38 Καὶ τὰ νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων, καὶ ἐάσατε αὐτούς· ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον τοῦτο, καταλυθήσεται·

39 Εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δύνασθε καταλῦσαι αὐτὸ, μήποτε καὶ θεομάχοι εὑρεθῆτε.

34 Ἀλλὰ ἐσηκώθη μέσα εἰς τὴν σύναξιν ἕνας Φαρισαῖος, τὸ ὄνομά του Γαμαλιὴλ, νομοδιδάσκαλος, τιμημένος εἰς ὅλον τὸν λαὸν, καὶ ἐπρόσταξε νὰ εὐγάλουν ἔξω καμπόσον τοὺς ἀποστόλους·

35 Καὶ εἶπέν τους· Ἄνδρες Ἰσραηλῖται, στοχασθῆτε, τί μέλλετε νὰ κάμετε εἰς τοὺς ἀνθρώπους ἐτούτους.

36 Διατὶ προτίτερα ἀπὸ τούταις ταῖς ἡμέραις ἐσηκώθη ὁ Θευδᾶς, λέγωντας τοῦ λόγου του, πῶς νὰ εἶναι κάποιος μέγας, εἰς τὸν ὁποῖον ἐκολλήθηκαν ἄνδρες ἕως τετρακόσιοι τὸν ἀριθμόν· ὁ ὁποῖος ἐσκοτώθη, καὶ ὅλοι ὅσοι τὸν ἐπίστευαν, ἐσκορπίσθηκαν, καὶ ἐγίνηκαν ἀδελίπολες

37 Καὶ ὕστερα ἀπὸ τοῦτον ἐσηκώθη ὁ Ἰούδας ὁ Γαλιλαῖος, εἰς ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἔσυρε λαὸν ἀρκετὸν ὀπίσω του· καὶ ἐχαλάσθη καὶ ἐκεῖνος, καὶ ὅλοι ὅσοι τὸν ἐπίστευαν, ἐσκορπίσθηκαν.

38 Καὶ τώρα σᾶς λέγω, λείπετε ἀπὸ τοὺς ἀνθρώπους τούτους, καὶ ἀφῆτε τους· καὶ ἂν εἶναι ἡ βουλὴ ἐτούτη ἢ τὸ ἔργον ἐτοῦτο ἀπὸ ἀνθρώπους, θέλει χαλασθῆ·

39 Ἀμὴ ἂν εἶναι ἀπὸ τὸν Θεὸν, δὲν ἠμπορεῖτε νὰ τὸ χαλάσετε, μήπως καὶ εὑρεθῆτε καὶ θεομάχοι.

40 Ἐπείσθησαν δὲ αὐτῷ· καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους, δείραντες παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ, καὶ ἀπέλυσαν αὐτούς.

41 Οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ κατηξιώθησαν ἀτιμασθῆναι·

42 Πᾶσάν τε ἡμέραν ἐν τῷ ἱερῷ καὶ κατ᾽ οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν τὸν Χριστόν.

40 Καὶ ἐκαταπείσθηκαν εἰς αὐτόν· καὶ ἐκάλεσαν τοὺς ἀποστόλους, καὶ τοὺς ἔδειραν, καὶ τοὺς ἐπαράγγειλαν νὰ μὴν λαλοῦν πλέον εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ, καὶ τοὺς ἀπόλυσαν.

41 Καὶ οἱ ἀπόστολοι λοιπὸν ἐπάγεναν ἀπὸ τὸ πρόσωπον τῆς συνόδου μὲ χαράν, ὅτι ἐκαταξιώθηκαν νὰ ἀτιμασθοῦν διὰ τὸ ὄνομα τοῦ Ἰησοῦ.

42 Καὶ ὅλαις ταῖς ἡμέραις δὲν ἔπαυαν νὰ διδάσκουν, καὶ νὰ εὐαγγελίζουν τὸν Ἰησοῦν Χριστόν, καὶ εἰς τὸ ἱερὸν καὶ εἰς τὰ σπήτια.

Κεφ. ς'. 6.

ἘΝ δὲ ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν.

2 Προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· Οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις.

3 Ἐπισκέψασθε οὖν, ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτὰ, πλήρεις πνεύματος ἁγίου καὶ σοφίας, οὓς καταστήσωμεν ἐπὶ τῆς χρείας ταύτης.

4 Ἡμεῖς δὲ τῇ προσευχῇ

ΚΑῚ ταῖς ἡμέραις ἐκείναις ὡσὰν ἐπλήθυναν οἱ μαθητάδες, ἐγόγγυζαν οἱ Ἑλληνισταὶ εἰς τοὺς Ἑβραίους, ὅτι αἱ χῆραίς τους ἐπαραβλέπουνταν εἰς τὴν καθημερινὴν ὑπηρεσίαν.

2 Καὶ οἱ δώδεκα ἐπροσκάλεσαν τὸ πλῆθος τῶν μαθητῶν, καὶ εἶπαν· Δὲν μᾶς πρέπει νὰ ἀφίνωμεν τὸν λόγον τοῦ Θεοῦ, νὰ ὑπηρετοῦμεν τράπεζαις.

3 Προμηθεύσετε λοιπὸν ἀπὸ λόγου σας ἑπτὰ ἄνδρας, ἀδελφοί, ὁποῦ νὰ εἶναι μαρτυρημένοι, γεμάτοι ἀπὸ πνεῦμα ἅγιον καὶ σοφίαν, τοὺς ὁποίους θέλομεν καταστήσει εἰς τὴν χρείαν ἐτούτην.

4 Καὶ ἐμεῖς θέλομεν εὑρί-

καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν.

5 Καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους· καὶ ἐξελέξαντο Στέφανον, ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα.

6 Οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων· καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας.

7 Καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἱερουσαλὴμ σφόδρα· πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκουον τῇ πίστει.

8 Στέφανος δὲ πλήρης πίστεως καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ.

9 Ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ.

10 Καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει.

11 Τότε ὑπέβαλον ἄνδρας

σκεσθαι εἰς τὴν προσευχὴν καὶ εἰς τὴν ὑπηρεσίαν τοῦ λόγου.

5 Καὶ ἄρεσεν ὁ λόγος ὀμπροστὰ εἰς ὅλον τὸ πλῆθος· καὶ ἐδιάλεξαν τὸν Στέφανον, ἄνθρωπον γεμάτον ἀπὸ πίστιν καὶ πνεῦμα ἅγιον, καὶ τὸν Φίλιππον, καὶ τὸν Πρόχορον, καὶ τὸν Νικάνορα, καὶ τὸν Τίμωνα, καὶ τὸν Παρμενᾶν, καὶ τὸν Νικόλαον τὸν Ἀντιοχέα τὸν προσήλυτον.

6 Τοὺς ὁποίους ἔστησαν ὀμπροστὰ εἰς τοὺς ἀποστόλους· καὶ ὡσὰν ἐπροσευχήθηκαν, ἔβαλλαν ἀπάνω τους τὰ χέριά τους.

7 Καὶ ὁ λόγος τοῦ Θεοῦ ηὐξάνετον, καὶ ὁ ἀριθμὸς τῶν μαθητῶν ἐπλήθυνεν κατὰ πολλὰ μέσα εἰς τὴν Ἱερουσαλήμ· καὶ πολὺ πλῆθος ἀπὸ τοὺς ἱερεῖς ὑπακούασιν εἰς τὴν πίστιν.

8 Καὶ ὁ Στέφανος μὲ τὸ νὰ εἶναι γεμάτος πίστιν καὶ δύναμιν ἔκαμνε μεγάλα σημεῖα καὶ τέρατα εἰς τὸν λαόν.

9 Καὶ ἐσηκώθηκαν κάποιοι ἀπὸ τὴν συναγωγὴν ὁποῦ ἐλέγειον τῶν Λιβερτίνων, καὶ ἀπὸ τὴν συναγωγὴν τῶν Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ ἀπὸ ἐκείνους ὁποῦ ἦταν ἀπὸ τὴν Κιλικίαν καὶ Ἀσίαν, καὶ ἐφιλονεικοῦσαν μὲ τὸν Στέφανον.

10 Καὶ δὲν ἐδύνουνταν νὰ ἀντισταθοῦσι τὴν σοφίαν καὶ τὸ πνεῦμα μὲ τὸ ὁποῖον ἐλάλει.

11 Τότε ἔβαλλαν κρυφὰ ἄν-

λέγοντας ὅτι ἀκηκόαμεν αὐτȣ̃ λαλȣ̃ντος ῥήματα βλάσφημα εἰς Μωσῆν καὶ τὸν Θεόν.

12 Συνεκίνησάν τε τὸν λαὸν καὶ τȣ̀ς πρεσβυτέρȣς καὶ τȣ̀ς γραμματεῖς· καὶ ἐπιςάντες συνήρπασαν αὐτὸν, καὶ ἤγαγον εἰς τὸ συνέδριον.

13 Ἔςησάν τε μάρτυρας ψευδεῖς, λέγοντας· Ὁ ἄνθρωπος ȣ̃τος ȣ̓ παύεται ῥήματα βλάσφημα λαλῶν κατὰ τοῦ τόπȣ τοῦ ἁγίȣ τȣ́τȣ καὶ τοῦ νόμȣ.

14 Ἀκηκόαμεν γὰρ αὐτȣ̃ λέγοντος ὅτι Ἰησȣ̃ς ὁ Ναζωραῖος ȣ̃τος καταλύσει τὸν τόπον, τȣ̃τον, καὶ ἀλλάξει τὰ ἔθη ἃ παρέδωκεν ὑμῖν Μωϋσῆς.

15 Καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτȣ̃ ὡσεὶ πρόσωπον ἀγγέλȣ.

δρας ὁπȣ̃ ἔλεγαν, ὅτι ἀκȣ́σαμεν ἀπ' αὐτὸν ὁπȣ̃ ἐλάλει λόγια βλάσφημα εἰς τὸν Μωϋσῆν καὶ εἰς τὸν Θεόν.

12 Καὶ ἐπαρακίνησαν τὸν λαὸν καὶ τοὺς πρεσβυτέρȣς καὶ τȣ̀ς γραμματεῖς· καὶ ἦλθαν καὶ τὸν ἅρπαξαν, καὶ τὸν ἔφεραν εἰς τὴν σύναξιν.

13 Καὶ ἔβαλλαν μάρτυρες ψεύςαις, ὁπȣ̃ ἔλεγαν· Ἐτȣ̃τος ὁ ἄνθρωπος δὲν παύει νὰ λαλῇ λόγια βλάσφημα ἐναντία τȣ̃ ἁγίȣ τόπȣ ἐτȣ́τȣ, καὶ τȣ̃ νόμȣ.

14 Διατὶ ἀκȣ́σαμεν αὐτὸν ὁπȣ̃ ἔλεγεν, ὅτι ὁ Ἰησȣ̃ς ἐτȣ̃τος ὁ Ναζωραῖος θέλει χαλάσει ἐτȣ̃τον τὸν τόπον, καὶ θέλει ἀλλάξει ταῖς τάξαις ὁπȣ̃ μᾶς ἐπαράδωκεν ὁ Μωϋσῆς.

15 Καὶ ὅλοι ὅσοι ἐκάθȣνταν εἰς τὴν σύναξιν, ἀναντράνισαν εἰς αὐτὸν, καὶ εἶδαν τὸ πρόσωπόν τȣ ὡσὰν πρόσωπον ἀγγέλȣ.

Κεφ. ζ'. 7.

ΕἾΠΕ δὲ ὁ ἀρχιερεύς· Εἰ ἄρα ταῦτα ȣ̔́τως ἔχει;

2 Ὁ δὲ ἔφη· Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκȣ́σατε· Ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαῤῥάν·

ΚΑῚ ὁ ἀρχιερεὺς εἶπεν εἰς τὸν Στέφανον· Ἀνίσως καὶ τάχα εἶναι τέτοιαις λογῆς ἐτȣ̃τα;

2 Καὶ ὁ Στέφανος εἶπεν· Ὦ ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκȣ́σατε· Ὁ Θεὸς τῆς δόξης ἐφάνη εἰς τὸν πατέρα μας τὸν Ἀβραὰμ (ἀκόμι) ὅταν ἦτον εἰς τὴν Μεσοποταμίαν, πρὶν παρὰ νὰ κατοικήσῃ εἰς τὴν Χαῤῥάν·

3 Καὶ εἶπε πρὸς αὐτόν· Ἔξελθε ἐκ τῆς γῆς σȣ καὶ ἐκ τῆς συγγενείας σȣ, καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω.

4 Τότε ἐξελθὼν ἐκ γῆς Χαλδαίων, κατῴκησεν ἐν Χαῤῥάν. Κἀκεῖθεν, μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε.

5 Καὶ ȣ̓κ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ, ȣ̓δὲ βῆμα ποδός· καὶ ἐπηγγείλατο αὐτῷ δȣ̃ναι εἰς κατάσχεσιν αὐτήν, καὶ τῷ σπέρματι αὐτȣ̃ μετ᾽ αὐτόν, οὐκ ὄντος αὐτῷ τέκνȣ.

6 Ἐλάλησε δὲ ȣ̔́τως ὁ Θεός· Ὅτι ἔςαι τὸ σπέρμα αὐτȣ̃ πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτὸ καὶ κακώσȣσιν ἔτη τετρακόσια.

7 Καὶ τὸ ἔθνος, ᾧ ἐὰν δȣλεύσωσι, κρινῶ ἐγώ, εἶπεν ὁ Θεός· καὶ μετὰ ταῦτα ἐξελεύσονται, καὶ λατρεύσȣσί μοι ἐν τῷ τόπῳ τȣ́τῳ.

8 Καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς· καὶ ȣ̔́τως ἐγέννησε τὸν Ἰσαάκ, καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ· καὶ ὁ Ἰσαὰκ τὸν Ἰακώβ, καὶ ὁ Ἰακὼβ τȣ̀ς δώδεκα πατριάρχας.

9 Καὶ οἱ πατριάρχαι ζηλώσαντες, τὸν Ἰωσὴφ ἀπέδοντο

3 Καὶ εἶπέν τȣ· Εὔγα ἀπὸ τὴν γὴν σȣ καὶ ἀπὸ τὴν γενεάν σȣ, καὶ ἔλα εἰς τὴν γὴν ὁπȣ̃ θέλω σȣ̃ δείξει.

4 Τότε εὐγένωντας ἀπὸ τὴν γῆν τῶν Χαλδαίων, ἐκατοίκησεν εἰς τὴν Χαῤῥάν. Καὶ ἀπεκεῖ, ὕςερα ἀφόντις ἀπέθανεν ὁ πατέρας τȣ, τὸν ἐμετακατοίκισεν ὁ Θεὸς εἰς τὴν γῆν ἐτȣ́την, εἰς τὴν ὁποίαν ἐσεῖς κατοικᾶτε τῶρα.

5 Καὶ δὲν τοῦ ἔδωκεν εἰς αὐτὴν κληρονομίαν, ȣ̓δὲ ἕνα πάτημα ποδαρίȣ· καὶ τοῦ ἔταξε νὰ τοῦ τὴν δώσῃ διὰ κληρονομίαν, καὶ εἰς τὸ σπέρμα τȣ ὕςερα ἀπ᾽ αὐτόν, μὴ ἔχωντας αὐτὸς παιδί.

6 Καὶ ὁ Θεὸς τȣ̃ εἶπεν ἔτζι· Ὅτι τὸ σπέρμα σȣ θέλει εἶσθαι πάροικον εἰς ξένην γῆν, καὶ θέλȣν τὸ σκλαβώσει, καὶ νὰ τὸ ταλαιπωρήσȣν τετρακόσιȣς χρόνȣς.

7 Καὶ τὸ ἔθνος, ὁπȣ̃ θέλȣν δȣλεύσει, ἐγὼ θέλω τὸ κρίνει, εἶπεν ὁ Θεός· καὶ ὕςερα θέλȣσιν εὔγει, καὶ θέλȣν μὲ λατρεύσει εἰς τὸν τόπον ἐτȣ̃τον.

8 Καὶ ὁ Θεὸς τȣ̃ ἔδωκεν διαθήκην περιτομῆς· καὶ ἔτζι ἐγέννησε τὸν Ἰσαάκ, καὶ εἰς ταῖς ὀκτὼ τὸν περιέτεμε· καὶ ὁ Ἰσαὰκ (ἐγέννησε τὸν Ἰακώβ, καὶ ὁ Ἰακὼβ τȣ̀ς δώδεκα πατριάρχας.

9 Καὶ οἱ πατριάρχαι ἐζήλευσαν τὸν Ἰωσήφ, καὶ τὸν ἐπȣ́λη-

εἰς Αἴγυπτον· καὶ ἦν ὁ Θεὸς μετ' αὐτοῦ·

10 Καὶ ἐξείλετο αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ χάριν καὶ σοφίαν ἐναντίον Φαραὼ βασιλέως Αἰγύπτου, καὶ κατέστησεν αὐτὸν ἡγούμενον ἐπ' Αἴγυπτον καὶ ὅλον τὸν οἶκον αὐτοῦ.

11 Ἦλθε δὲ λιμὸς ἐφ' ὅλην τὴν γῆν Αἰγύπτου καὶ Χαναὰν, καὶ θλίψις μεγάλη· καὶ οὐχ εὕρισκον χορτάσματα οἱ πατέρες ἡμῶν.

12 Ακούσας δὲ Ἰακὼβ ὄντα σῖτα ἐν Αἰγύπτῳ, ἐξαπέστειλε τοὺς πατέρας ἡμῶν πρῶτον.

13 Καὶ ἐν τῷ δευτέρῳ ἀνεγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ φανερὸν ἐγένετο τῷ Φαραὼ τὸ γένος τοῦ Ἰωσήφ.

14 Ἀποστείλας δὲ Ἰωσὴφ μετεκαλέσατο τὸν πατέρα αὐτοῦ Ἰακὼβ, καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ, ἐν ψυχαῖς ἑβδομήκοντα πέντε.

15 Κατέβη δὲ Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἐτελεύτησεν αὐτὸς καὶ οἱ πατέρες ἡμῶν.

16 Καὶ μετετέθησαν εἰς Συχὲμ, καὶ ἐτέθησαν ἐν τῷ μνήματι ὃ ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὸρ τοῦ Συχέμ.

σαν (νὰ φερθῇ) εἰς τὴν Αἴγυπτον· ἀμὴ ὁ Θεὸς ἦτον μετ' αὐτόν·

10 Καὶ ἐλευθέρωσέν τον ἀπὸ ὅλαις ταῖς πίκραις του, καὶ ἔδωκέν του χάριν καὶ σοφίαν ὀμπροστὰ εἰς τὸν Φαραὼ τὸν βασιλέα τῆς Αἰγύπτου, καὶ τὸν ἐκατάστησεν ἡγούμενον εἰς τὴν Αἴγυπτον καὶ εἰς ὅλην του τὸ σπῆτι.

11 Καὶ ἦλθε πεῖνα εἰς ὅλην τὴν γῆν τῆς Αἰγύπτου καὶ Χαναὰν, καὶ μεγάλη στενοχωρία· καὶ οἱ πατέρες μας δὲν εὕρισκαν φαγητά.

12 Καὶ ὁ Ἰακὼβ ὡσὰν τὸ ἄκουσε πῶς εἶναι σιτάρι εἰς τὴν Αἴγυπτον, ἔστειλε τοὺς πατέρας μας πρῶτα.

13 Καὶ τὴν δεύτερην φορὰν ἐγνωρίσθη ὁ Ἰωσὴφ εἰς τοὺς ἀδελφούς του, καὶ ἐφανερώθη τὸ γένος τοῦ Ἰωσὴφ εἰς τὸν Φαραώ.

14 Καὶ ἔστειλεν ὁ Ἰωσὴφ καὶ ἐπροσκάλεσε τὸν πατέρα του τὸν Ἰακὼβ, καὶ ὅλην του τὴν γενεὰν, οἱ ὁποῖοι ἦσαν ἕως ἑβδομηνταπέντε ψυχαῖς.

15 Καὶ ὁ Ἰακὼβ ἐκατέβη εἰς τὴν Αἴγυπτον, καὶ ἀπέθανεν αὐτὸς καὶ οἱ πατέρες μας.

16 Καὶ τοὺς ἐμελατόπισαν εἰς τὴν Συχὲμ, καὶ τοὺς ἔβαλλαν εἰς τὸ μνῆμα ὅπου ἀγόρασεν ὁ Ἀβραὰμ μὲ ἄσημι ἀπὸ τοὺς υἱοὺς τοῦ Ἐμμὸρ τοῦ Συχέμ.

17 Καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας ἧς ὤμοσεν ὁ Θεὸς τῷ Ἀβραὰμ, ηὔξησεν ὁ λαὸς καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ,

18 Ἄχρις οὗ ἀνέστη βασιλεὺς ἕτερος ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ·

19 Οὗτος κατασοφισάμενος τὸ γένος ἡμῶν, ἐκάκωσε τοὺς πατέρας ἡμῶν, τοῦ ποιεῖν ἔκθετα τὰ βρέφη αὐτῶν, εἰς τὸ μὴ ζωογονεῖσθαι.

20 Ἐν ᾧ καιρῷ ἐγεννήθη Μωσῆς, καὶ ἦν ἀστεῖος τῷ Θεῷ, ὃς ἀνετράφη μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ.

21 Ἐκτεθέντα δὲ αὐτὸν, ἀνείλετο αὐτὸν ἡ θυγάτηρ Φαραὼ, καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς υἱόν.

22 Καὶ ἐπαιδεύθη Μωσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων· ἦν δὲ δυνατὸς ἐν λόγοις καὶ ἐν ἔργοις.

23 Ὡς δὲ ἐπληροῦτο αὐτῷ τεσσαρακονταετὴς χρόνος, ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ.

24 Καὶ ἰδών τινα ἀδικούμενον, ἠμύνατο, καὶ ἐποίησεν ἐκδίκησιν τῷ καταπονουμένῳ, πατάξας τὸν Αἰγύπτιον.

17 Καὶ καθὼς ἐσήμωνεν ὁ χρόνος τοῦ ταξίματος τοῦ ὁποίου ὤμοσεν ὁ Θεὸς εἰς τὸν Ἀβραὰμ, αὔξησεν ὁ λαὸς, καὶ ἐπληθύνθη εἰς τὴν Αἴγυπτον,

18 Ἕως ὅπου ἐσηκώθη ἄλλος βασιλεὺς εἰς τὴν Αἴγυπτον, ὁ ὁποῖος δὲν ἐγνώριζε τὸν Ἰωσήφ.

19 Ἐτοῦτος ἐκατατέχνευσε τὸ γένος μας, καὶ ἐκακοποίησε τοὺς πατέρας μας, μὲ τὸ νὰ κάμῃ νὰ ῥίχνουσι τὰ βρέφη τους, νὰ μὴν ζωογονοῦνται.

20 Εἰς τὸν ὁποῖον καιρὸν ἐγεννήθη ὁ Μωϋσῆς, καὶ εἶχε θείαν εὐμορφίαν, ὁ ὁποῖος ἀνεθράφη τρεῖς μῆνες εἰς τὸ σπῆτι τοῦ πατρός του.

21 Καὶ ὡσὰν τὸν ἔῤῥιξαν, τὸν ἐπῆρεν ἡ θυγατέρα τοῦ Φαραὼ, καὶ τὸν ἀνέθρεψε διὰ υἱόν της.

22 Καὶ ἐπαιδεύθη ὁ Μωϋσῆς εἰς κάθε λογῆς σοφίαν τῶν Αἰγυπτίων· καὶ ἦτον δυνατὸς εἰς λόγια καὶ ἔργα.

23 Καὶ ὡσὰν ἐτελείωσε τὸν τεσσαρακοστὸν χρόνον, ἦλθεν εἰς τὴν καρδίαν του, νὰ πάγῃ νὰ εἰδῇ τοὺς ἀδελφούς του, τοὺς υἱοὺς τοῦ Ἰσραήλ.

24 Καὶ ἔστωντας νὰ εἰδῇ κάποιον ἀπὸ τὸ γένος του ὅπου ἀδικεῖτον, τοῦ ἐβοήθησε, καὶ ἔκαμε τὴν ἐκδίκησιν εἰς τὸν καταπονούμενον, φονεύωντας τὸν Αἰγύπτιον.

25 Ἐνόμιζε δὲ συνιέναι
τοὺς ἀδελφοὺς αὐτοῦ, ὅτι ὁ Θεὸς
διὰ χειρὸς αὐτοῦ δίδωσιν αὐ-
τοῖς σωτηρίαν· οἱ δὲ οὐ συνῆ-
καν.

26 Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ
ὤφθη αὐτοῖς μαχομένοις, καὶ
συνήλασεν αὐτοὺς εἰς εἰρήνην,
εἰπών· Ἄνδρες, ἀδελφοί ἐστε
ὑμεῖς, ἵνα τί ἀδικεῖτε ἀλλή-
λους;
27 Ὁ δὲ ἀδικῶν τὸν
πλησίον, ἀπώσατο αὐτὸν,
εἰπών· Τίς σε κατέστησεν
ἄρχοντα καὶ δικαστὴν ἐφ'
ἡμᾶς;
28 Μὴ ἀνελεῖν με σὺ
θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς
τὸν Αἰγύπτιον;
29 Ἔφυγε δὲ Μωσῆς ἐν
τῷ λόγῳ τούτῳ, καὶ ἐγένετο
πάροικος ἐν γῇ Μαδιὰμ, οὗ
ἐγέννησεν υἱοὺς δύο.

30 Καὶ πληρωθέντων ἐτῶν
τεσσαράκοντα, ὤφθη αὐτῷ ἐν
τῇ ἐρήμῳ τοῦ ὄρους Σινᾶ
ἄγγελος Κυρίου ἐν φλογὶ
πυρὸς βάτου.

31 Ὁ δὲ Μωσῆς ἰδὼν,
ἐθαύμασε τὸ ὅραμα· προ-
σερχομένου δὲ αὐτοῦ κατανοῆ-
σαι, ἐγένετο φωνὴ Κυρίου πρὸς
αὐτόν·
32 Ἐγὼ ὁ Θεὸς τῶν πατέ-
ρων σου, ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ

25 Καὶ ἐλογίαζε πῶς νὰ
γροικοῦν οἱ ἀδελφοί του, ὅτι ὁ
Θεὸς διὰ μέσου τῆς χειρὸς
αὐτουνοῦ θέλει νὰ τοὺς δώσῃ
σωτηρίαν· ἀμὴ ἐκεῖνοι δὲν τὸ
ἐγροίκησαν.
26 Καὶ τὴν ἄλλην ἡμέραν
ἐφάνη εἰς αὐτοὺς ὁποῦ ἐμάχουν-
ταν, καὶ τοὺς ἀνάγκασε διὰ νὰ
κάμουν εἰρήνην, λέγωντάς τους·
Ὦ ἄνδρες, ἐσεῖς εἶσθε ἀδελφοί,
διατί ἀδικᾶ ἕνας τὸν ἄλλον;
27 Καὶ ἐκεῖνος ὁποῦ ἀδι-
κοῦσε τὸν γείτονά του, τὸν
ἄμπωσε, καὶ εἶπε· Ποῖος σὲ
κατέστησεν ἄρχοντα καὶ κριτὴν
ἀπάνω εἰς ἐμᾶς;
28 Μήνα θέλεις νὰ μὲ σκο-
τώσῃς καὶ ἐμένα, καθὼς ἐσκό-
τωσες ἐχθὲς τὸν Αἰγύπτιον;
29 Καὶ ὁ Μωϋσῆς ὡσὰν
ἄκουσε τὸν λόγον ἐτοῦτον ἔφυγε,
καὶ ἔγινε πάροικος εἰς τὴν
γῆν Μαδιὰμ, ἐκεῖ ὁποῦ ἐγέν-
νησε δύο υἱούς.
30 Καὶ ὡσὰν ἐτελείωσαν
οἱ σαράντα χρόνοι, ἄγγελος
Κυρίου ἐφάνη εἰς αὐτὸν μέσα
εἰς τὴν ἔρημον τοῦ ὄρους τοῦ
Σινᾶ, εἰς τὴν φλόγα τῆς
φωτιᾶς τῆς βάτου.
31 Καὶ ὁ Μωϋσῆς ὡσὰν
εἶδεν, τὸ ὅραμα ἐθαύμαζε·
καὶ πηγένωντας κοντὰ νὰ κα-
ταλάβῃ ἐτοῦτο, τοῦ ἦλθε φωνὴ
Κυρίου ὁποῦ τοῦ ἔλεγεν·
32 Ἐγὼ εἶμαι ὁ Θεὸς τῶν
πατέρων σου, ὁ Θεὸς τοῦ

Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ. Ἔντρομος δὲ γενόμενος Μωσῆς οὐκ ἐτόλμα κατανοῆσαι.

33 Εἶπε δὲ αὐτῷ ὁ Κύριος· Λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας, γῆ ἁγία ἐστίν.

34 Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα, καὶ κατέβην ἐξελέσθαι αὐτούς· καὶ νῦν δεῦρο, ἀποστελῶ σε εἰς Αἴγυπτον.

35 Τοῦτον τὸν Μωϋσῆν ὃν ἠρνήσαντο, εἰπόντες· Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστήν; τοῦτον ὁ Θεὸς ἄρχοντα καὶ λυτρωτὴν ἀπέστειλεν ἐν χειρὶ ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ.

36 Οὗτος ἐξήγαγεν αὐτοὺς, ποιήσας τέρατα καὶ σημεῖα ἐν γῇ Αἰγύπτου, καὶ ἐν ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐν τῇ ἐρήμῳ, ἔτη τεσσαράκοντα.

37 Οὗτός ἐστιν ὁ Μωϋσῆς ὁ εἰπὼν τοῖς υἱοῖς Ἰσραήλ· Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε.

38 Οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ, μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ ἐν τῷ ὄρει Σινᾶ, καὶ τῶν πατέρων ἡμῶν, ὃς ἐδέ-

Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ. Καὶ ὁ Μωϋσῆς ἐτρόμαξε, καὶ δὲν ἀποκότησε νὰ ἀτενίσῃ νὰ εἰδῇ.

33 Καὶ ὁ Κύριος τοῦ εἶπε· Λῦσε τὸ ὑπόδημα ἀπὸ τὰ ποδάριά σου· διατὶ ὁ τόπος ὁποῦ στέκεσαι, εἶναι γῆ ἁγία.

34 Εἶδα εἶδα τὴν κακοπάθειαν τοῦ λαοῦ μου ὁποῦ εἶναι εἰς τὴν Αἴγυπτον, καὶ ἄκουσα τοὺς στεναγμούς των, καὶ ἐκατέβηκα νὰ τοὺς ἐλευθερώσω· καὶ τῶρα ἔλα, νὰ σὲ στείλω εἰς τὴν Αἴγυπτον.

35 Ἐτοῦτον τὸν Μωϋσῆν τὸν ὁποῖον ἀρνήθηκαν, λέγοντες· Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστήν; ἐτοῦτον ὁ Θεὸς ἀπέστειλεν ἄρχοντα καὶ λυτρωτὴν μὲ τὸ χέρι τοῦ ἀγγέλου ὁποῦ τοῦ ἐφάνη εἰς τὴν βάτον.

36 Ἐτοῦτος τοὺς εὔγαλεν, μὲ τὸ νὰ κάμῃ τέρατα καὶ σημεῖα εἰς τὴν Αἴγυπτον καὶ εἰς τὴν ἐρυθρὰν θάλασσαν, καὶ εἰς τὴν ἔρημον, σαράντα χρόνους.

37 Ἐτοῦτος εἶναι ὁ Μωϋσῆς ὁποῦ εἶπεν εἰς τοὺς υἱοὺς τοῦ Ἰσραήλ· Ὅτι Αὐθέντης ὁ Θεός σας θέλει σᾶς ἀναστήσει προφήτην ἀπὸ τοὺς ἀδελφούς σας ὡσὰν ἐμένα· αὐτουνοῦ νὰ ἀκούσετε.

38 Ἐτοῦτος εἶναι ὁποῦ ἦτον εἰς τὴν ἐκκλησίαν εἰς τὴν ἔρημον, μαζὺ μὲ τὸν ἄγγελον ὁποῦ τοῦ ἐσυντύχαινεν εἰς τὸ ὄρος τὸ Σινᾶ, καὶ μαζὺ μὲ τοὺς πατέ-

ξατο λόγια ζῶντα, δοῦναι ἡμῖν.

39 Ὧι οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ πατέρες ἡμῶν, ἀλλ' ἀπώσαντο, καὶ ἐστράφησαν ταῖς καρδίαις αὐτῶν εἰς Αἴγυπτον,

40 Εἰπόντες τῷ Ἀαρών· Ποίησον ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωσῆς οὗτος ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ.

41 Καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίαν τῷ εἰδώλῳ, καὶ εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν.

42 Ἔστρεψε δὲ ὁ Θεὸς, καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ· καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν· Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ;

43 Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥεμφὰν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς· καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος.

44 Ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν ἐν τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ, καθὼς διετάξατο ὁ λα-

ρες μας, ὁ ὁποῖος ἐδέχθηκε λόγια ζωντανὰ νὰ μᾶς τὰ δώσῃ.

39 Τοῦ ὁποίου δὲν ἠθέλησαν οἱ πατέρες μας νὰ τοῦ ὑπακούσουν, ἀλλὰ τὸν ἀπεδίωξαν, καὶ ἐγύρισαν μὲ τὴν καρδίαν τους εἰς τὴν Αἴγυπτον,

40 Καὶ εἶπαν εἰς τὸν Ἀαρών· Κάμε μας Θεοὺς, ὁποῦ νὰ πηγένουν ὀμπροστά μας· διατὶ ὁ Μωϋσῆς ἐτοῦτος ὁποῦ μᾶς εὔγαλεν ἀπὸ τὴν Αἴγυπτον, δὲν ἰξεύρομεν τί ἔγινεν εἰς αὐτόν.

41 Καὶ ἔκαμαν δαμάλι εἰς ταῖς ἡμέραις ἐκείναις, καὶ ἐθυσίασαν εἰς τὸ εἴδωλον, καὶ εὐφραίνουνταν εἰς τὰ ἔργα τῶν χειρῶν τους.

42 Καὶ ὁ Θεὸς ἐγύρισε τὸ πρόσωπόν του ἀπ' αὐτοὺς, καὶ τοὺς ἐπαράδωκε νὰ λατρεύουσι τὴν στρατιὰν τοῦ οὐρανοῦ· καθὼς εἶναι γραμμένον εἰς τὸ βιβλίον τῶν προφητῶν· Ὦ σπῆτι τοῦ Ἰσραὴλ, μῆνα μοῦ ἐφέρετε σφακτὰ καὶ θυσίαις σαράντα χρόνους μέσα εἰς τὴν ἔρημον;

43 Ἀλλὰ ἐπήρατε τὴν σκηνὴν τοῦ Μολὸχ καὶ τὸ ἄστρον τοῦ Θεοῦ σας Ῥεμφὰν, τοὺς τύπους τοὺς ὁποίους ἐκάμετε νὰ τοὺς προσκυνᾶτε· καὶ θέλω σᾶς μετακατοικίσει παραπάνω ἀπὸ τὴν Βαβυλῶνα.

44 Ἡ σκηνὴ τοῦ μαρτυρίου ἦτον μὲ τοὺς πατέρες μας εἰς τὴν ἔρημον, καθὼς ἐκεῖνος ὁποῦ

λῶν τῷ Μωσῇ, ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν ἑωράκει.

45 Ἣν καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν μετὰ Ἰησῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν, ὧν ἔξωσεν ὁ Θεὸς ἀπὸ προσώπυ τῶν πατέρων ἡμῶν, ἕως τῶν ἡμερῶν Δαβίδ·

46 Ὃς εὗρε χάριν ἐνώπιον τοῦ Θεῦ, καὶ ἠτήσατο εὑρεῖν σκήνωμα τῷ Θεῷ Ἰακώβ.

47 Σολομῶν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον.

48 Ἀλλ' ὐχ' ὁ ὕψιϛος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς ὁ προφήτης λέγει·

49 Ὁ ὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μυ· Ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύριος· ἢ τίς τόπος τῆς καταπαύσεώς μυ;

50 Οὐχὶ ἡ χείρ μυ ἐποίησε ταῦτα πάντα;

51 Σκληροτράχηλοι, καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσὶν, ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς.

52 Τίνα τῶν προφητῶν οὐκ

ἐλάλει μὲ τὸν Μωϋσῆν ἐδιάταξε, νὰ τὴν κάμῃ κατὰ τὸν τύπον ὁπῦ ἔβλεπε.

45 Τὴν ὁποίαν σκηνὴν ἔϛωντας νὰ τὴν διαδεχθῦσιν οἱ πατέρες μας μαζὺ μὲ τὸν Ἰησῦν τὴν ἔμβασαν μέσα εἰς τὸν τόπον ὁπῦ ἐκυρίευσαν καὶ εἶχαν τὰ ἔθνη, τὰ ὁποῖα τὰ ἐξώρισεν ὁ Θεὸς ἀπὸ τὸ πρόσωπον τῶν πατέρων μας, ἕως ταῖς ἡμέραις τῦ Δαβίδ·

46 Ὁ ὁποῖος ηὗρε χάριν ὀμπροςὰ εἰς τὸν Θεὸν, καὶ ἐζήτησε νὰ εὕρῃ κατοικίαν διὰ τὸν Θεὸν τοῦ Ἰακώβ.

47 Καὶ ὁ Σολομῶν τῦ ἔκαμεν ἕνα σπῆτι.

48 Ἀλλὰ ὁ ὕψιϛος δὲν κατοικᾷ εἰς ναὺς ὁπῦ γίνυνται μὲ χέρια, καθὼς λέγει ὁ προφήτης·

49 Ὁ ὐρανὸς εἶναι θρόνος μυ, καὶ ἡ γῆ εἶναι ὑποπόδιον τῶν ποδῶν μυ· Ποῖον σπῆτι θέλετε μῦ κάμει, λέγει Κύριος· ἢ ποῖος τόπος εἶναι τῆς ἀναπαύσεώς μυ;

50 Ἐτῦτα ὅλα δὲν τὰ ἔκαμε τὸ χέρι μυ;

51 Ὦ σκληροτράχηλοι, καὶ ὁπῦ δὲν ἔχετε περιτομὴν τῆς καρδίας καὶ τῶν αὐτίων, ἐσεῖς πάντοτε ἐναντιεῖσθε τὸ Πνεῦμα τὸ ἅγιον, καθὼς οἱ πατέρες σας ἔτζι καὶ ἐσεῖς.

52 Ποῖον ἀπὸ τὺς προφήτας

ἐδίωξαν οἱ πατέρες ὑμῶν; καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου, οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς γεγένησθε·

53 Οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.

54 Ἀκούοντες δὲ ταῦτα, διεπρίοντο ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ᾽ αὐτόν.

55 Ὑπάρχων δὲ πλήρης Πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ·

56 Καὶ εἶπεν· Ἰδοὺ, θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ.

57 Κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ᾽ αὐτόν.

58 Καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν· καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου,

59 Καὶ ἐλιθοβόλουν τὸν Στέφανον, ἐπικαλούμενον καὶ λέ-

δὲν ἐδίωξαν οἱ πατέρες σας; καὶ ἐσκότωσαν ἐκείνους ὁποῦ ἐπροεῖπαν διὰ τὸν ἐρχομὸν ἐτούτου τοῦ δικαίου, τοῦ ὁποίου τώρα ἐσεῖς ἐγινήκετε προδόται καὶ φονιάδες·

53 Οἱ ὁποῖοι (ἐσεῖς) ἐπήρετε τὸν νόμον, διὰ μέσου τῆς τακτικῆς ὑπηρεσίας τῶν ἀγγέλων, καὶ δὲν τὸν ἐφυλάξετε.

54 Καὶ ἐκεῖνοι ὡσὰν ἄκουσαν ἐτοῦτα, ἐκόπτουνταν ἡ καρδίαις τους, καὶ ἔτριζαν εἰς ἐκεῖνον τὰ δόντιά τους.

55 Καὶ ἐκεῖνος μὲ τὸ νὰ εἶναι γεμάτος ἀπὸ Πνεῦμα ἅγιον ἀτένισεν εἰς τὸν οὐρανὸν, καὶ εἶδε τὴν δόξαν τοῦ Θεοῦ, καὶ εἶδε καὶ τὸν Ἰησοῦν ὁποῦ ἐστέκετον ἀπὸ τὴν δεξιὰν τοῦ Θεοῦ·

56 Καὶ εἶπε· Νὰ, ὁποῦ βλέπω τοὺς οὐρανοὺς ἀνοικτοὺς, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου, ὁποῦ στέκεται ἀπὸ τὴν δεξιὰν τοῦ Θεοῦ.

57 Καὶ κράζοντες μεγάλην φωνὴν, ἔφραξαν τὰ αὐτία τους, καὶ ὥρμησαν ὅλοι μὲ ἕνα θυμὸν ἀπάνω του.

58 Καὶ τὸν εὔγαλαν ἔξω ἀπὸ τὴν πόλιν, καὶ τὸν ἐλιθοβολοῦσαν· καὶ οἱ μάρτυρες εὔγαλαν καὶ ἔθεσαν τὰ φορέματά τους εἰς τὰ ποδάρια κάποιου νέου, ὁποῦ ἐκράζετον Σαῦλος.

59 Καὶ ἐλιθοβολοῦσαν τὸν Στέφανον, ὁ ὁποῖος ἐπροσεύ-

γοντα· Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου.

60 Θεὶς δὲ τὰ γόνατα, ἔκραξε φωνῇ μεγάλῃ· Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Καὶ τοῦτο εἰπὼν, ἐκοιμήθη.

χετον καὶ ἔλεγεν· Ὦ Αὐθέντα Ἰησοῦ, δέξου τὴν ψυχήν μου.

60 Καὶ γονατίζωντας, ἔκραξε μὲ μεγάλην φωνὴν καὶ εἶπεν· Κύριε, μὴν τοὺς λογαριάσῃς τὴν ἁμαρτίαν ἐτούτην. Καὶ ὡσὰν εἶπεν ἐτοῦτον τὸν λόγον, ἐκοιμήθη.

Κεφ. η΄. 8.

ΣΑῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. Ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις· πάντες τε διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν ἀποστόλων.

ΚΑῚ ὁ Σαῦλος ἦτον συμφωνημένος εἰς τὸν φόνον τοῦ Στεφάνου. Καὶ ἐκείνην τὴν ἡμέραν ἔγινε μεγάλος διωγμὸς εἰς τὴν ἐκκλησίαν, ὅπου ἦτον εἰς τὴν Ἱερουσαλήμ· καὶ ὅλοι ἐσκορπίσθηκαν εἰς ταῖς χώραις τῆς Ἰουδαίας καὶ Σαμαρείας, ἔξω ἀπὸ τοὺς ἀποστόλους.

2 Συνεκόμισαν δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς, καὶ ἐποιήσαντο κοπετὸν μέγαν ἐπ᾽ αὐτῷ.

2 Καὶ ἄνδρες εὐλαβεῖς ἔφεραν εἰς τὸ μνῆμα τὸν Στέφανον, καὶ ἔκαμαν μεγάλον θρῆνον εἰς αὐτόν.

3 Σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκκλησίαν κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας, παρεδίδου εἰς φυλακήν.

3 Καὶ ὁ Σαῦλος ἐκαταρήμαζεν τὴν ἐκκλησίαν, ἐμβαίνωντας μέσα εἰς τὰ σπῆτια, καὶ σύρνωντας ἄνδρες καὶ γυναῖκαις, τοὺς ἐπαράδιδεν εἰς τὴν φυλακήν.

4 Οἱ μὲν οὖν διασπαρέντες διῆλθον, εὐαγγελιζόμενοι τὸν λόγον.

4 Ἐκεῖνοι λοιπὸν ὅπου ἐδιασκορπίσθηκαν (ἀπὸ τὴν Ἱερουσαλὴμ) ἐτρυγύριζαν, εὐαγγελίζοντες τὸν λόγον τοῦ Θεοῦ.

5 Φίλιππος δὲ κατελθὼν εἰς πόλιν τῆς Σαμαρείας, ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν.

5 Καὶ ὁ Φίλιππος ἐκατέβη εἰς πόλιν τῆς Σαμαρείας, καὶ ἐκεῖ τοὺς ἐκήρυττε τὸν Χριστόν.

6 Προσεῖχόν τε οἱ ὄχλοι

6 Καὶ τὸ πλῆθος ἐσοχά-

τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδὸν, ἐν τῷ ἀκούειν αὐτοὺς καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει.

7 Πολλῶν γὰρ τῶν ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα μεγάλῃ φωνῇ ἐξήρχετο· πολλοὶ δὲ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν.

8 Καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τῇ πόλει ἐκείνῃ.

9 Ἀνὴρ δέ τις ὀνόματι Σίμων, προϋπῆρχεν ἐν τῇ πόλει μαγεύων καὶ ἐξιστῶν τὸ ἔθνος τῆς Σαμαρείας, λέγων εἶναί τινα ἑαυτὸν μέγαν.

10 Ὧι προσεῖχον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου, λέγοντες· Οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ ἡ μεγάλη.

11 Προσεῖχον δὲ αὐτῷ, διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις ἐξεστακέναι αὐτούς.

12 Ὅτε δὲ ἐπίστευσαν τῷ Φιλίππῳ εὐαγγελιζομένῳ τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο ἄνδρες τε καὶ γυναῖκες.

13 Ὁ δὲ Σίμων καὶ αὐτὸς ἐπίστευσε, καὶ βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ Φιλίππῳ· θεωρῶν τε ση-

ζουνταν ὅλοι ὁμοψύχως εἰς ἐκεῖνα ὅπου ἔλεγεν ὁ Φίλιππος, μὲ τὸ νὰ ἀκούουσιν αὐτοὶ καὶ νὰ βλέπουσι τὰ σημεῖα ὅπου ἔκαμνε.

7 Διατὶ πολλὰ πνεύματα ἀκάθαρτα εὐγένασιν ἀπ' αὐτοὺς, ὅπου τὰ εἶχασιν, μὲ μεγάλην φωνὴν φωνάζωντας· καὶ πολλοὶ παράλυτοι καὶ κουτζοὶ ἰατρεύθηκαν.

8 Καὶ μεγάλη χαρὰ ἔγινεν εἰς ἐκείνην τὴν πόλιν.

9 Καὶ κάποιος ἄνθρωπος, τὸ ὄνομά του Σίμων, ἦτον ἀπὸ προτίτερα εἰς τὴν πόλιν καὶ ἐμάγευε καὶ εὔγαζε τὸ ἔθνος τῆς Σαμαρείας ἀπὸ τὸν νοῦν τους, λέγωντας τοῦ λόγου του νὰ εἶναι κανένας μεγάλος.

10 Εἰς τὸν ὁποῖον ὅλοι ἀπὸ μικροῦ ἕως μεγάλου εἶχαν τὸν νοῦν τους, καὶ ἔλεγαν· Ἐτοῦτος εἶναι ἡ μεγάλη δύναμις τοῦ Θεοῦ.

11 Καὶ ἀπόβλεπαν εἰς αὐτὸν, διατὶ τοὺς εὔγαλεν ἀπὸ τὸν νοῦν τους ἀρκετὸν καιρὸν μὲ ταῖς μαγείαις του.

12 Ἀμὴ ὅταν ἐπίστευσαν εἰς τὸν Φίλιππον, ὅπου εὐαγγέλιζε τὰ πράγματα τῆς βασιλείας τοῦ Θεοῦ, καὶ τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ, ἐβαπτίζουνταν ἄνδρες καὶ γυναῖκαις.

13 Καὶ αὐτὸς ὁ Σίμων ἐπίστευσε, καὶ ὡσὰν ἐβαπτίσθη, ἐστέκετον μαζὺ μὲ τὸν Φίλιππον· καὶ βλέπωντας

μεῖα καὶ δυνάμεις μεγάλας γινομένας, ἐξίστατο.

14 Ἀκούσαντες δὲ οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς τὸν Πέτρον καὶ Ἰωάννην·

15 Οἵτινες καταβάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσι Πνεῦμα ἅγιον.

16 (Οὔπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκὸς, μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.)

17 Τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτοὺς, καὶ ἐλάμβανον Πνεῦμα ἅγιον.

18 Θεασάμενος δὲ ὁ Σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα,

19 Λέγων· Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἐὰν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ Πνεῦμα ἅγιον.

20 Πέτρος δὲ εἶπε πρὸς αὐτόν· Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι.

21 Οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ

τὰ σημεῖα καὶ ταῖς μεγάλαις δύναμαις, ὁποῦ ἐγίνουνταν ἀπ' αὐτὸν, ἐθαύμαζε κατὰ πολλά.

14 Καὶ ὡσὰν ἄκουσαν οἱ ἀπόστολοι ὁποῦ ἦταν εἰς τὴν Ἱερουσαλὴμ, ὅτι ἡ Σαμάρεια ἐδέχθη τὸν λόγον τοῦ Θεοῦ, ἔστειλαν εἰς αὐτοὺς τὸν Πέτρον καὶ Ἰωάννην·

15 Οἱ ὁποῖοι ὅταν ἐκατέβηκαν ἐπροσευχήθηκαν διὰ τ' αὐτοὺς, διὰ νὰ λάβουν Πνεῦμα ἅγιον.

16 (Διατὶ ἀκόμι δὲν εἶχεν πέσει εἰς κανένα ἀπ' αὐτοὺς, ἀμὴ μοναχὰ ἦταν βαπτισμένοι εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.)

17 Καὶ τότε ἔβαναν τὰ χέριά τους ἀπάνω εἰς αὐτοὺς, καὶ ἔπερναν Πνεῦμα ἅγιον.

18 Καὶ ὡσὰν εἶδεν ὁ Σίμων, ὅτι μὲ τὸ νὰ βάνουν οἱ ἀπόστολοι τὰ χέριά τους ἀπάνω, δίδεται τὸ Πνεῦμα τὸ ἅγιον, τοὺς ἔφερεν ἄσπρα.

19 Λέγωντας· Δότε μου καὶ ἐμένα τὴν ἐξουσίαν αὐτὴν, εἰς ὅποιον βάλλω τὸ χέρι μου ἀπάνω του, νὰ πέρνῃ Πνεῦμα ἅγιον.

20 Καὶ ὁ Πέτρος τοῦ εἶπε· Τὰ ἄσπρα σου ἂς εἶναι μαζῦ μετ' ἐσένα εἰς ἀπώλειαν, διατὶ ἐλογίασες ὅτι ἡ δωρεὰ τοῦ Θεοῦ νὰ ἀποκτᾶται μὲ ἄσπρα.

21 Δὲν ἔχεις ἐσὺ μερτικὸν οὐδὲ κληρονομίαν εἰς τὸ πρᾶ-

καρδία σȣ οὐκ ἔςιν εὐθεῖα ἐνώπιον τοῦ Θεȣ̃.

22 Μετανόησον ȣ̃ν ἀπὸ τῆς κακίας σȣ ταύτης, καὶ δεήθητι τοῦ Θεȣ̃, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σȣ.

23 Εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα.

24 Ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπε· Δεήθητε ὑμεῖς ὑπὲρ ἐμȣ̃ πρὸς τὸν Κύριον, ὅπως μηδὲν ἐπέλθῃ ἐπ᾽ ἐμὲ ὧν εἰρήκατε.

25 Οἱ μὲν ȣ̃ν, διαμαρτυράμενοι, καὶ λαλήσαντες τὸν λόγον τοῦ Κυρίȣ, ὑπέςρεψαν εἰς Ἰερȣσαλὴμ, πολλάς τε κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο.

26 Ἄγγελος δὲ Κυρίȣ ἐλάλησε πρὸς Φίλιππον, λέγων· Ἀνάςηθι καὶ πορεύȣ κατὰ μεσημβρίαν, ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνȣσαν ἀπὸ Ἰερȣσαλὴμ εἰς Γάζαν· αὕτη ἐςὶν ἔρημος.

27 Καὶ ἀναςὰς ἐπορεύθη· καὶ ἰδȣ̀, ἀνὴρ Αἰθίοψ εὐνȣ̃χος, δυνάςης Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς γάζης αὐτῆς, ὃς ἐληλύθει προσκυνήσων εἰς Ἰερȣσαλήμ.

γμα τȣ̃το· διατὶ ἡ καρδία σȣ δὲν εἶναι ἴσια ὀμπροςὰ εἰς τὸν Θεόν.

22 Μετανόησε λοιπὸν ἀπὸ τȣ́την τὴν κακίαν σȣ, καὶ παρακάλεσε τὸν Θεὸν, ἂν τύχῃ νὰ σȣ̃ συγχωρηθῇ ὁ λογισμὸς τῆς καρδίας σȣ.

23 Διατὶ βλέπω πῶς εἶσαι εἰς χολὴν πικρίας καὶ εἰς τὸν δεσμὸν τῆς ἀδικίας.

24 Ἀπεκρίθη ὁ Σίμων καὶ εἶπε· Παρακαλέσετε ἐσεῖς τὸν Κύριον διὰ λόγȣ μȣ, διὰ νὰ μὴν ἔλθῃ τίποτες κακὸν εἰς ἐμένα ἀπ᾽ ἐκεῖνα ὁπȣ̃ εἴπετε.

25 Ἐκεῖνοι λοιπὸν, ἀφόντις ἐμαρτύρησαν, καὶ ἐλάλησαν τὸν λόγον τȣ̃ Κυρίȣ, ἐγύρισαν εἰς τὴν Ἰερȣσαλὴμ, καὶ εἰς πολλαῖς χώραις τῶν Σαμαρειτῶν ἐκήρυξαν τὸ εὐαγγέλιον.

26 Καὶ ἄγγελος Κυρίȣ ἐλάλησεν εἰς τὸν Φίλιππον, καὶ εἶπε· Σήκω καὶ πάγενε εἰς τὸ μέρος τῆς μεσημβρίας, εἰς τὴν ςράταν ὁπȣ̃ κατεβαίνει ἀπὸ τὴν Ἰερȣσαλὴμ εἰς τὴν Γάζαν· καὶ αὐτὴ εἶναι ἔρημος.

27 Καὶ ἐσηκώθη καὶ ἐπῆγε· καὶ νὰ, ἕνας ἄνθρωπος ἀπὸ τὴν Αἰθιοπίαν εὐνȣ̃χος, δυνάςης τῆς Κανδάκης τῆς βασίλισσας τῶν Αἰθιόπων, ὁ ὁποῖος ἦτον προεςὼς εἰς ὅλον τὸν πλȣ̃τον αὐτῆς τῆς βασίλισσας, καὶ ἦλθεν νὰ προσκυνήσῃ εἰς τὸν Ἰερȣσαλήμ.

28 Ἦν τε ὑποςρέφων, καὶ καθήμενος ἐπὶ τȣ̃ ἅρματος αὐτȣ̃, καὶ ἀνεγίνωσκε τὸν προφήτην Ἡσαΐαν.

29 Εἶπε δὲ τὸ Πνεῦμα τῷ Φιλίππῳ· Πρόσελθε, καὶ κολλήθητι τῷ ἅρματι τȣ́τῳ.

30 Προσδραμὼν δὲ ὁ Φίλιππος ἤκȣσεν αὐτȣ̃ ἀναγινώσκοντος τὸν προφήτην Ἡσαΐαν, καὶ εἶπεν· Ἆρα γε γινώσκεις ἃ ἀναγινώσκεις;

31 Ὁ δὲ εἶπε· Πῶς γὰρ ἂν δυναίμην, ἐὰν μήτις ὁδηγήσῃ με; Παρεκάλεσε τε τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ.

32 Ἡ δὲ περιοχὴ τῆς γραφῆς ἣν ἀνεγίνωσκεν, ἦν αὕτη· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη· καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, ȣ̎τως οὐκ ἀνοίγει τὸ ςόμα αὐτȣ̃.

33 Ἐν τῇ ταπεινώσει αὐτȣ̃ ἡ κρίσις αὐτȣ̃ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτȣ̃.

34 Ἀποκριθεὶς δὲ ὁ εὐνȣ̃χος τῷ Φιλίππῳ, εἶπε· Δέομαί σε, περὶ τίνος ὁ προφήτης λέγει τȣ̃το; περὶ ἑαυτȣ̃, ἢ περὶ ἑτέρȣ τινός;

35 Ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα αὐτȣ̃, καὶ ἀρξάμενος

28 Καὶ γυρίζωντας ἐκάθȣντον ἀπάνω εἰς τὸ ἁλογάμαξόν τȣ, καὶ ἐδιάϐαζε τὸν προφήτην Ἡσαΐαν.

29 Καὶ τὸ Πνεῦμα εἶπε εἰς τὸν Φίλιππον· Σύρε κοντὰ, καὶ κόλλησε εἰς τὸ ἁλογάμαξον τȣ̃το.

30 Καὶ ὁ Φίλιππος ἔδραμε καὶ τὸν ἄκȣσεν ὁπȣ̃ ἐδιάϐαζε τὸν προφήτην Ἡσαΐαν, καὶ εἶπεν· Τάχα γνωρίζεις αὐτὰ ὁποῦ διαϐάζεις;

31 Καὶ ὁ εὐνȣ̃χος εἶπε· Πῶς ἤθελα ἠμπορέσῃ, ἐὰν δὲν μȣ̃ δείξῃ κανεὶς τὴν ςράταν; Καὶ ἐπαρακάλεσε τὸν Φίλιππον νὰ ἀνέϐῃ νὰ καθίσῃ μετ᾽ αὐτόν.

32 Καὶ τὸ μέρος τῆς γραφῆς ὁπȣ̃ ἐδιάϐαζεν, ἦτον ἐτȣ̃το· Ὡσὰν πρόβατον ἐφέρθη εἰς τὴν σφαγήν· καὶ ὡσὰν κριάρι ὀμπροςὰ εἰς ἐκεῖνον ὁπȣ̃ τὸ κȣρεύει εἶναι ἄφωνον, τέτοιας λογῆς δὲν ἀνοίγει τὸ ςόμα τȣ.

33 Εἰς τὴν ταπείνωσίν τȣ ἐσηκώθη ἡ κρίσις τȣ· ἀμὴ τὴν γενεάν τȣ τίς ἠμπορεῖ νὰ τὴν διηγηθῇ; διὰ τȣ̃το σηκώνεται ἀπὸ τὴν γῆν ἡ ζωή τȣ.

34 Καὶ ὁ εὐνȣ̃χος ἀπεκρίθη καὶ εἶπεν εἰς τὸν Φίλιππον. Παρακαλῶ σε, ὁ προφήτης διὰ ποῖον τὸ λέγει ἐτȣ̃το; διὰ λόγȣ τȣ, ἢ διὰ ἄλλον κανένα;

35 Καὶ ὁ Φίλιππος ἄνοιξε τὸ ςόμα τȣ, καὶ ἀρχίζωντας ἀπὸ

ἀπὸ τῆς γραφῆς ταύτης, εὐηγ-
γελίσατο αὐτῷ τὸν Ἰησοῦν.
36 Ὡς δὲ ἐπορεύοντο κατὰ
τὴν ὁδὸν, ἦλθον ἐπί τι ὕδωρ·
καί φησιν ὁ εὐνοῦχος· Ἰδοὺ
ὕδωρ· τί κωλύει με βαπ-
τισθῆναι;
37 Εἶπε δὲ ὁ Φίλιππος·
Εἰ πιστεύεις ἐξ ὅλης τῆς
καρδίας, ἔξεστιν· Ἀποκριθεὶς
δὲ εἶπε· Πιστεύω τὸν υἱὸν
τοῦ Θεοῦ εἶναι τὸν Ἰησοῦν
Χριστόν.
38 Καὶ ἐκέλευσε στῆναι τὸ
ἅρμα· καὶ κατέβησαν ἀμφό-
τεροι εἰς τὸ ὕδωρ, ὅ, τε Φίλιπ-
πος καὶ ὁ εὐνοῦχος· καὶ ἐβά-
πτισεν αὐτόν.
39 Ὅτε δὲ ἀνέβησαν ἐκ τοῦ
ὕδατος, Πνεῦμα Κυρίου ἥρπα-
σε τὸν Φίλιππον, καὶ οὐκ
εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος·
ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ
χαίρων.
40 Φίλιππος δὲ εὑρέθη
εἰς Ἄζωτον· καὶ διερχόμενος
εὐηγγελίζετο τὰς πόλεις πά-
σας, ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς
Καισάρειαν.

τὴν γραφὴν ἐτούτην, τοῦ εὐαγ-
γέλισε τὸν Ἰησοῦν.
36 Καὶ καθὼς ἐπεριπατοῦ-
σαν εἰς τὴν στράταν, ἐπήγασιν
εἰς ἕνα νερόν· καὶ λέγει ὁ
εὐνοῦχος· Νὰ νερόν· τί με
ἐμποδίζει νὰ βαπτισθῶ;
37 Καὶ ὁ Φίλιππος εἶπεν·
Ἂν πιστεύῃς μὲ ὅλην σου τὴν
καρδίαν, ἠμπορεῖς· Καὶ ἐκεῖ-
νος ἀπεκρίθη καὶ εἶπε· Πιστεύω
τὸν υἱὸν τοῦ Θεοῦ, νὰ εἶναι
ὁ Ἰησοῦς Χριστός.
38 Καὶ ἐπρόσταξε νὰ σταθῇ
τὸ ἀλογάμαξόν του· καὶ ἐκατέ-
βηκαν καὶ οἱ δύο εἰς τὸ νερὸ,
καὶ ὁ Φίλιππος καὶ ὁ εὐνοῦ-
χος· καὶ τὸν ἐβάπτισεν.
39 Καὶ ὅταν εὐγῆκαν
ἀπὸ τὸ νερὸ, Πνεῦμα Κυρίου
ἅρπαξε τὸν Φίλιππον, καὶ
δὲν τὸν εἶδεν πλέον ὁ εὐνοῦχος·
καὶ ἐπάγενε τὴν στράτα του
χαρούμενος.
40 Καὶ ὁ Φίλιππος εὑρέθη
εἰς τὴν Ἄζωτον· καὶ περνῶν-
τας διὰ μέσου εὐαγγέλιζε ταῖς
πόλεις ὅλαις, ἕως νὰ πάγῃ εἰς
τὴν Καισάρειαν.

Κεφ. θ'. 9.

Ὁ δὲ Σαῦλος ἔτι ἐμπνέων
ἀπειλῆς καὶ φόνου εἰς τοὺς
μαθητὰς τοῦ Κυρίου, προσελθὼν
τῷ ἀρχιερεῖ,
2 Ἠτήσατο παρ' αὐτοῦ ἐπι-
στολὰς εἰς Δαμασκὸν πρὸς τὰς

ΚΑῚ ὁ Σαῦλος ἀκόμη πνέ-
οντας φοβερισμοὺς καὶ
φόνους ἐναντία τῶν μαθητῶν τοῦ
Κυρίου, ἐπῆγεν εἰς τὸν ἀρχιερέα,
2 Καὶ ἐζήτησεν ἀπ' αὐτὸν
ἐπιστολαῖς εἰς τὰ συναγώγια

συναγωγὰς, ὅπως ἐάν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς Ἱερουσαλήμ.

3 Ἐν δὲ τῷ πορεύεσθαι, ἐγένετο αὐτὸν ἐγγίζειν τῇ Δαμασκῷ· καὶ ἐξαίφνης περιέστραψεν αὐτὸν φῶς ἀπὸ τοῦ οὐρανοῦ·

4 Καὶ πεσὼν ἐπὶ τὴν γῆν, ἤκουσε φωνὴν λέγουσαν αὐτῷ· Σαοὺλ, Σαοὺλ, τί με διώκεις;

5 Εἶπε δέ· Τίς εἶ, Κύριε; Ὁ δὲ Κύριος εἶπεν· Ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις· σκληρόν σοι πρὸς κέντρα λακτίζειν.

6 Τρέμων τε καὶ θαμβῶν εἶπε· Κύριε, τί με θέλεις ποιῆσαι; Καὶ ὁ Κύριος πρὸς αὐτόν. Ἀνάστηθι καὶ εἴσελθε εἰς τὴν πόλιν, καὶ λαληθήσεταί σοι τί σε δεῖ ποιεῖν.

7 Οἱ δὲ ἄνδρες οἱ συνοδεύοντες αὐτῷ, εἱστήκεισαν ἐννεοί, ἀκούοντες μὲν τῆς φωνῆς, μηδένα δὲ θεωροῦντες.

8 Ἠγέρθη δὲ ὁ Σαῦλος ἀπὸ τῆς γῆς· ἀνεῳγμένων δὲ τῶν ὀφθαλμῶν αὐτοῦ, οὐδένα ἔβλεπε· χειραγωγοῦντες δὲ αὐτὸν, εἰσήγαγον εἰς Δαμασκόν.

ὁποῦ ἦταν εἰς τὴν Δαμασκὸν ἂν εὕρῃ ἐκεῖ τινὰς ὁποῦ εἶναι ἀπὸ τὴν αἵρεσιν αὐτὴν ἄνδρες καὶ γυναῖκαις, νὰ τοὺς φέρῃ δεμένους εἰς τὴν Ἱερουσαλήμ.

3 Καὶ παγένωντας, ἐκεῖ ὁποῦ ἐσίμωνεν εἰς τὴν Δαμασκὸν, ἐξαίφνης ἔστραψε τριγύρω του ἕνα φῶς ἀπὸ τὸν οὐρανόν·

4 Καὶ πέφτωντας εἰς τὴν γῆν, ἄκουε φωνὴν ὁποῦ τοῦ ἔλεγε· Σαοὺλ, Σαοὺλ, τί με διώχνεις;

5 Καὶ αὐτὸς εἶπε· Ποῖος εἶσαι ἐσὺ, Αὐθέντη; Καὶ ὁ Κύριος τοῦ εἶπεν· Ἐγὼ εἶμαι ὁ Ἰησοῦς ὁποῦ ἐσὺ κατατρέχεις· κακόν σου εἶναι νὰ κλοτζᾷς εἰς τὰ κεντρίδια.

6 Καὶ ὁ Σαοὺλ τρέμωντας καὶ ἀπορῶντας εἶπεν· Αὐθέντη, τί με ὁρίζεις νὰ κάμω; Καὶ ὁ Κύριος τοῦ εἶπε· Σήκω καὶ ἔμβα μέσα εἰς τὴν πόλιν, καὶ θέλει σοῦ λαληθῇ, τί κάμνει χρεία νὰ κάμῃς.

7 Καὶ οἱ ἄνθρωποι ὁποῦ τὸν ἐσυνόδευαν, ἐστέκονταν (ἐξεστηκότες καὶ) ἄφωνοι, ἔστωντας νὰ ἀκούωσι τὴν φωνὴν, καὶ κανένα νὰ μὴν βλέπουσι.

8 Καὶ ὁ Σαῦλος ἐσηκώθη ἀπὸ τὴν γῆν· καὶ εἶχε τὰ μάτιά του ἀνοικτὰ, ἀμὴ κανένα ἄνθρωπον δὲν ἔβλεπε· καὶ οἱ σύντροφοί του βαστῶντές τον ἀπὸ τὸ χέρι, τὸν ἔμβασαν μέσα εἰς τὴν Δαμασκόν.

9 Καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων· καὶ οὐκ ἔφαγεν, οὐδὲ ἔπιεν.

10 Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ ὀνόματι Ἀνανίας, καὶ εἶπε πρὸς αὐτὸν ὁ Κύριος ἐν ὁράματι· Ἀνανία. Ὁ δὲ εἶπεν· Ἰδοὺ ἐγὼ, Κύριε.

11 Ὁ δὲ Κύριος πρὸς αὐτόν· Ἀναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην, Εὐθεῖαν, καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι, Ταρσέα· ἰδοὺ γὰρ προσεύχεται.

12 Καὶ εἶδεν ἐν ὁράματι ἄνδρα ὀνόματι Ἀνανίαν εἰσελθόντα, καὶ ἐπιθέντα αὐτῷ χεῖρα, ὅπως ἀναβλέψῃ.

13 Ἀπεκρίθη δὲ ὁ Ἀνανίας· Κύριε, ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου ἐν Ἱερουσαλήμ·

14 Καὶ ὧδε ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων, δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου.

15 Εἶπε δὲ πρὸς αὐτὸν ὁ Κύριος· Πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοι ἐστὶν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν, καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ.

9 Καὶ ἔκαμε τρεῖς ἡμέραις ὁποῦ δὲν ἔβλεπε· καὶ μηδὲ ἔφαγε, μηδὲ ἔπιε.

10 Καὶ ἐκεῖ εἰς τὴν Δαμασκὸν ἦτον ἕνας μαθητὴς τὸ ὄνομά του Ἀνανίας, καὶ εἶπέν του ὁ Κύριος διὰ ὁράματος· Ὢ Ἀνανία. Καὶ ἐτοῦτος εἶπεν· Νά με ἐδῶ, Αὐθέντη.

11 Καὶ λέγει του ὁ Κύριος· Σήκω καὶ σύρε εἰς τὴν στράταν ὁποῦ κράζητε Ἴσα, καὶ ζήτησε εἰς τὸ σπῆτι τοῦ Ἰούδα κάποιον τὸ ὄνομά του Σαῦλον, ὁποῦ εἶναι Ταρσεύς· διατὶ τούτην τὴν ὥραν προσεύχεται.

12 Καὶ ὁ Σαῦλος εἶδεν διὰ μέσου ὁράματος ἕνα ἄνθρωπον τὸ ὄνομά του Ἀνανίαν, ὁποῦ ἐμβῆκε μέσα, καὶ ἔβαλλεν ἀπάνω του τὸ χέρι του, διὰ νὰ ξαναβλέψῃ.

13 Καὶ ὁ Ἀνανίας ἀπεκρίθη· Αὐθέντη, ἤκουσα ἀπὸ πολλοὺς διὰ τὸν ἄνδρα τοῦτον, πόσα κακὰ ἔκαμε εἰς τοὺς ἁγίους σου εἰς τὴν Ἱερουσαλήμ·

14 Καὶ ἐδῶ ἔχει ἐξουσίαν ἀπὸ τοὺς ἀρχιερεῖς, νὰ δέσῃ ὅλους, ὅσους ἐπικαλοῦνται τὸ ὄνομά σου.

15 Καὶ ὁ Κύριος τοῦ εἶπε· Σύρε, ὅτι ἐτοῦτος εἶναι ἀγγεῖον μου διαλεγμένον, νὰ βαστάξῃ τὸ ὄνομά μου ὄμπροστὰ εἰς τὰ ἔθνη, καὶ εἰς τοὺς βασιλεῖς, καὶ εἰς τοὺς υἱοὺς τοῦ Ἰσραήλ.

16 Ἐγὼ γὰρ ὑποδείξω αὐτῷ ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μȣ παθεῖν.

17 Ἀπῆλθε δὲ Ἀνανίας καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν· καὶ ἐπιθεὶς ἐπ' αὐτὸν τὰς χεῖρας, εἶπε· Σαȣλ ἀδελφὲ, ὁ Κύριος ἀπέςαλκέ με, (Ἰησȣς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχȣ,) ὅπως ἀναβλέψῃς, καὶ πλησθῇς Πνεύματος ἁγίȣ.

18 Καὶ εὐθέως ἀπέπεσον ἀπὸ τῶν ὀφθαλμῶν αὐτȣ ὡσεὶ λεπίδες, ἀνέβλεψέ τε παραχρῆμα· καὶ ἀναςὰς ἐβαπτίσθη.

19 Καὶ λαβὼν τροφὴν ἐνίσχυσεν· Ἐγένετο δὲ ὁ Σαῦλος μετὰ τῶν ἐν Δαμασκῷ μαθητῶν ἡμέρας τινάς.

20 Καὶ εὐθέως ἐν ταῖς συναγωγαῖς ἐκήρυσσε τὸν Χριςὸν, ὅτι ȣτός ἐςιν ὁ υἱὸς τοῦ Θεȣ.

21 Ἐξίςαντο δὲ πάντες οἱ ἀκȣοντες, καὶ ἔλεγον· Οὐχ ȣτός ἐςιν ὁ πορθήσας ἐν Ἱερȣσαλὴμ τȣς ἐπικαλȣμένȣς τὸ ὄνομα τȣτο· καὶ ὧδε εἰς τȣτο ἐληλύθει ἵνα δεδεμένȣς αὐτȣς ἀγάγῃ ἐπὶ τȣς ἀρχιερεῖς;

22 Σαῦλος δὲ μᾶλλον ἐνεδυναμȣτο, καὶ συνέχυνε τȣς Ἰȣδαίȣς τȣς κατοικȣντας ἐν

16 Διατὶ ἐγὼ θέλω τοῦ δείξει, ὅσα πρέπει νὰ πάθῃ αὐτὸς διὰ τὸ ὄνομά μȣ.

17 Καὶ ὁ Ἀνανίας ἐπῆγε, καὶ ἐμβῆκε μέσα εἰς τὸ σπῆτι ἐκεῖνο· καὶ βάζωντας τὰ χέριά τȣ ἀπάνω εἰς αὐτὸν, εἶπε· Σαȣλ ἀδελφὲ, ὁ Κύριος, (ὁ Ἰησȣς, ὁπȣ σȣ ἐφάνη εἰς τὴν ςράταν ὁπȣ ἤρχȣσȣν,) μὲ ἔςειλεν, διὰ νὰ ξαναβλέψῃς, καὶ νὰ γεμισθῇς Πνεῦμα ἅγιον.

18 Καὶ παρευθὺς ἔπεσαν κάτω ἀπὸ τὰ μάτιά τȣ ὡσὰν λέπια, καὶ ἐκείνην τὴν ὥραν ἐμεταεῖδε· καὶ ὡσὰν ἐσηκώθη, ἐβαπτίσθη.

19 Καὶ τρώγωντας φαγὶ ἐδυνάμωσε τοῦ λόγȣ τȣ· Καὶ ἔκαμε καμπόσαις ἡμέραις ὁ Σαῦλος ἐκεῖ μὲ τȣς μαθητάδες, ὁπȣ ἦταν εἰς τὴν Δαμασκόν.

20 Καὶ παρευθὺς μέσα εἰς τὰ συναγώγια ἐκήρυττε τὸν Χριςὸν, ὅτι ἐτȣτος εἶναι ὁ υἱὸς τȣ Θεȣ.

21 Καὶ ὅλοι ὅσοι τὸν ἄκȣαν ἐθαυμάζȣνταν, καὶ ἔλεγαν· Δὲν εἶναι ἐτȣτος ὁπȣ ἐκȣρσευεν εἰς τὴν Ἱερȣσαλὴμ ἐκείνȣς ὁπȣ ἐπικαλȣνται τὸ ὄνομα ἐτȣτο· καὶ διὰ τȣτο ἦλθε καὶ ἐδῶ, διὰ νὰ τȣς πάγῃ δεμένȣς εἰς τȣς ἀρχιερεῖς;

22 Καὶ ὁ Σαῦλος περισσότερον ἐδυναμώνετον, καὶ ἐσύγχυζε τȣς Ἰȣδαίȣς ὁπȣ

Δαμασκῷ, συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός.

23 Ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναὶ, συνεβουλεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν.

24 Ἐγνώσθη δὲ τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν· παρετήρουν τε τὰς πύλας ἡμέρας τε καὶ νυκτὸς, ὅπως αὐτὸν ἀνέλωσι.

25 Λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτὸς καθῆκαν διὰ τοῦ τείχους, χαλάσαντες ἐν σπυρίδι.

26 Παραγενόμενος δὲ ὁ Σαῦλος εἰς Ἱερουσαλὴμ, ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς· καὶ πάντες ἐφοβοῦντο αὐτὸν, μὴ πιστεύοντες ὅτι ἐστὶ μαθητής.

27 Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν, ἤγαγε πρὸς τοὺς ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον, καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ ἐπαῤῥησιάσατο ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ.

28 Καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμενος καὶ ἐκπορευόμενος ἐν Ἱερουσαλὴμ, καὶ παῤῥησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ.

29 Ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς· οἱ δὲ ἐπεχείρουν αὐτὸν ἀνελεῖν.

30 Ἐπιγνόντες δὲ οἱ ἀδελ-

ἐκάθουνταν εἰς τὴν Δαμασκὸν, βεβαιώνωντας ὅτι ἐτοῦτος εἶναι ὁ Χριστός.

23 Καὶ ὡσὰν ἐπέρασαν ἡμέραις πολλαῖς, ἐσυμβουλεύθηκαν οἱ Ἰουδαῖοι νὰ τὸν σκοτώσουν.

24 Ἀμὴ ὁ Σαῦλος ἔμαθε τὴν ἐπιβουλήν τους· καὶ ἐπαραφύλαγαν ταῖς πόρταις ἡμέρα καὶ νύκτα, διὰ νὰ τὸν σκοτώσουν.

25 Ἀμὴ οἱ μαθητάδες πέρνοντές τον τὴν νύκτα τὸν ἔβαλαν εἰς ἕνα κοφίνι, καὶ τὸν ἐκατέβασαν ἀπὸ τὸ τεῖχον.

26 Καὶ ὡσὰν ἐπῆγεν ὁ Σαῦλος εἰς τὴν Ἱερουσαλὴμ, ἐδοκίμαζε νὰ κολλήσῃ μὲ τοὺς μαθητάδες· καὶ ὅλοι τὸν ἐφοβοῦνταν, διατὶ δὲν ἐπίστευαν ὅτι εἶναι μαθητής.

27 Ἀμὴ ὁ Βαρνάβας πέρνωντάς τον, τὸν ἐπῆγεν εἰς τοὺς ἀποστόλους, καὶ τοὺς ἐδιηγήθη, πῶς εἰς τὴν στράταν εἶδε τὸν Κύριον, καὶ ὅτι ἐσύντυχε μετ' αὐτὸν, καὶ πῶς εἰς τὴν Δαμασκὸν ἐπαῤῥησιάσθη εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ.

28 Καὶ ἐσυναναστρέφετο μετ' αὐτοὺς εἰς τὴν Ἱερουσαλὴμ, καὶ ἐπαῤῥησιάζετον εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.

29 Καὶ ἐλάλει καὶ ἐφιλονείκα μὲ τοὺς Ἑβραίους ὁποῦ ἐλλήνιζαν· καὶ ἐκεῖνοι ἐδοκίμαζαν νὰ τὸν σκοτώσουν.

30 Ἀμὴ οἱ ἀδελφοὶ ὡσὰν

φοὶ κατήγαγον αὐτὸν εἰς Καισάρειαν, καὶ ἐξαπέστειλαν αὐτὸν εἰς Ταρσόν.

31 Αἱ μὲν οὖν ἐκκλησίαι καθ' ὅλης τῆς Ἰουδαίας καὶ Γαλιλαίας καὶ Σαμαρείας εἶχον εἰρήνην, οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ τοῦ Κυρίου, καὶ τῇ παρακλήσει τοῦ ἁγίου Πνεύματος ἐπληθύνοντο.

32 Ἐγένετο δὲ Πέτρον διερχόμενον διὰ πάντων, κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν.

33 Εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραββάτῳ, ὃς ἦν παραλελυμένος.

34 Καὶ εἶπεν αὐτῷ ὁ Πέτρος· Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός· ἀνάστηθι, καὶ στρῶσον σεαυτῷ. Καὶ εὐθέως ἀνέστη.

35 Καὶ εἶδον αὐτὸν πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν Σάρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον.

36 Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά, ἣ διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει.

37 Ἐγένετο δὲ ἐν ταῖς ἡμέ-

τὸ ἐγνώρισαν, τὸν ἔφεραν εἰς τὴν Καισάρειαν, καὶ ἀπ' ἐκεῖ τὸν ἔστειλαν εἰς τὴν Ταρσόν.

31 Αἱ ἐκκλησίαι λοιπὸν ὁποῦ ἦταν εἰς ὅλην τὴν Ἰουδαίαν, καὶ εἰς τὴν Γαλιλαίαν, καὶ εἰς τὴν Σαμάρειαν, εἶχαν εἰρήνην, καὶ οἰκοδομοῦνταν, καὶ ἐπάγεναν μὲ τὸν φόβον τοῦ Κυρίου, καὶ μὲ τὴν παρηγορίαν τοῦ ἁγίου Πνεύματος ἐπληθύνουνταν.

32 Καὶ περνῶντας ὁ Πέτρος διὰ μέσου ὅλονῶν, ἐκατέβη καὶ εἰς τοὺς ἁγίους ὁποῦ ἐκατοικοῦσαν εἰς τὴν Λύδδαν.

33 Καὶ ἐκεῖ εὑρῆκεν ἕνα ἄνθρωπον τὸ ὄνομά του Αἰνέαν, ὁποῦ ἐκείτετον ἀπὸ ὀκτὼ χρόνους εἰς τὸ κρεββάτι, καὶ ἦτον παράλυτος.

34 Καὶ εἶπέν του ὁ Πέτρος· Αἰνέα, ὁ Ἰησοῦς Χριστὸς σὲ ἰατρεύει· σήκω ἀπάνω, καὶ στρῶσαι τὸ κρεββάτι σου. Καὶ παρευθὺς ἐσηκώθη.

35 Καὶ εἶδάν τον ὅλοι ἐκεῖνοι ὁποῦ ἐκατοικοῦσαν Λύδδαν καὶ τὸν Σάρωνα, οἱ ὁποῖοι ἐγύρισαν εἰς τὸν Κύριον.

36 Καὶ εἰς τὴν Ἰόππην ἦτον κάποια μαθήτρια, τὸ ὄνομά της Ταβιθὰ, ἡ ὁποῖα μεταγλωττιζομένη λέγεται Ζαρκάδι· ἐτοῦτη ἦτον γεμάτη ἀπὸ καλὰ ἔργα καὶ ἀπὸ ἐλεημοσύναις ὁποῦ ἔκαμνε.

37 Καὶ ταῖς ἡμέραις ἐκεί-

ραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν· λούσαντες δὲ αὐτὴν ἔθηκαν ἐν ὑπερῴῳ.

38 Ἐγγὺς δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ, οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτὸν, παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν.

39 Ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον· καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι, καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ᾽ αὐτῶν οὖσα ἡ Δορκάς.

40 Ἐκβαλὼν δὲ ἔξω πάντας ὁ Πέτρος, θεὶς τὰ γόνατα προσηύξατο· καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα, εἶπε· Ταβιθὰ, ἀνάστηθι. Ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον, ἀνεκάθισε.

41 Δοὺς δὲ αὐτῇ χεῖρα, ἀνέστησεν αὐτήν· φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας, παρέστησεν αὐτὴν ζῶσαν.

42 Γνωστὸν δὲ ἐγένετο καθ᾽ ὅλης τῆς Ἰόππης· καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον.

43 Ἐγένετο δὲ ἡμέρας ἱκανὰς μεῖναι αὐτὸν ἐν Ἰόππῃ

ναις ἐσυνέβη καὶ ἀσθένησε καὶ ἀπέθανε· καὶ ὡσὰν τὴν ἔλουσαν τὴν ἔβαλαν εἰς τὸ ἀνώγι.

38 Καὶ μὲ τὸ εἶναι σημὰ εἰς τὴν Ἰόππην ἡ Λύδδα, οἱ μαθητάδες ὡσὰν ἄκουσαν, ὅτι ὁ Πέτρος εἶναι εἰς τὴν Λύδδαν, ἀπέστειλαν δύο ἄνδρας εἰς αὐτὸν, παρακαλοῦντες τὸν νὰ μὴν ὀκνήσῃ νὰ ἔλθῃ ἕως εἰς αὐτούς.

39 Καὶ ὁ Πέτρος ἐσηκώθη καὶ ἦλθε μαζὺ μετ᾽ αὐτούς· ὁ ὁποῖος ὡσὰν ἦλθε τὸν ἀνέβασαν εἰς τὸ ἀνώγι· καὶ ἐστάθηκαν τρυγύρω του ὅλαις ἡ χήραις, καὶ ἔκλαιαν, καὶ τοῦ ἔδειχναν τὰ ὑποκάμισα καὶ τὰ φορέματα ὁποῦ ἔκαμε ὅταν ἦτον μετ᾽ αὐταῖς ἡ Ζαρκάδι.

40 Καὶ ὁ Πέτρος τοὺς εὔγαλεν ὅλους ἔξω, καὶ γονατίζωντας ἐπροσευχήθη· καὶ ἐγύρισεν εἰς τὸ κορμὶ, καὶ εἶπεν· Ταβιθὰ, σήκω ἀπάνω. Καὶ ἐκείνη ἄνοιξε τὰ μάτιά της, καὶ ὡσὰν εἶδε τὸν Πέτρον, ἀνεκάθισε.

41 Καὶ δίδωντάς της τὸ χέρι του, τὴν ἐσήκωσε. καὶ ἐλάλησε τοὺς ἁγίους, καὶ ταῖς χήραις, καὶ τοὺς τὴν ἐπαράστησε ζωντανήν.

42 Καὶ ἐμαθητεύθη ἐτοῦτο εἰς ὅλην τὴν Ἰόππην· καὶ πολλοὶ ἐπίστευσαν εἰς τὸν Κύριον.

43 Καὶ αὐτὸς ἀνέμεινεν ἀρκεταῖς ἡμέραις εἰς τὴν Ἰόπ-

παρά τινι Σίμωνι βυρσεῖ.

πην, σημὰ εἰς κάποιον Σίμωνα γναφέα.

Κεφ. ι'. 10.

ΑΝΗ'Ρ δέ τις ἦν ἐν Καισαρείᾳ ὀνόματι Κορνήλιος, ἑκατοντάρχης ἐκ σπείρης τῆς καλουμένης Ἰταλικῆς,

2 Εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν, σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν τε ἐλεημοσύνας πολλὰς τῷ λαῷ, καὶ δεόμενος τοῦ Θεοῦ διαπαντός·

3 Εἶδεν ἐν ὁράματι φανερῶς, ὡσεὶ ὥραν ἐννάτην τῆς ἡμέρας, ἄγγελον τοῦ Θεοῦ εἰσελθόντα πρὸς αὐτὸν, καὶ εἰπόντα αὐτῷ· Κορνήλιε.

4 Ὁ δὲ ἀτενίσας αὐτῷ, καὶ ἔμφοβος γενόμενος, εἶπε· Τί ἐστι Κύριε; Εἶπε δὲ αὐτῷ· Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ.

5 Καὶ νῦν πέμψον εἰς Ἰόππην ἄνδρας, καὶ μετάπεμψαι Σίμωνα ὃς ἐπικαλεῖται Πέτρος.

6 Οὗτος ξενίζεται παρά τινι Σίμωνι βυρσεῖ, ᾧ ἐστιν οἰκία παρὰ θάλασσαν· οὗτος λαλήσει σοι τί σε δεῖ ποιεῖν.

ΚΑΙ' κάποιος ἄνθρωπος ὁποῦ ἦτον εἰς τὴν Καισάρειαν, τὸ ὄνομά του Κορνήλιος, ἑκατόνταρχος ἀπὸ τὸ τάγμα ὁποῦ ἐκράζετον Ἰταλικὸν,

2 Εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν, μὲ ὅλον του τὸ σπῆτι, κάμνωντας ἐλεημοσύναις πολλαῖς εἰς τὸν λαὸν, καὶ παρακαλῶντας τὸν Θεὸν πάντοτε·

3 Εἶδεν εἰς τὸ ὅραμά του φανερὰ, σημὰ εἰς τὴν ἐννάτην ὥραν τῆς ἡμέρας, ἕνα ἄγγελον τοῦ Θεοῦ ὁποῦ ἦλθεν εἰς αὐτὸν, καὶ τοῦ εἶπεν· Ὦ Κορνήλιε.

4 Καὶ ἐκεῖνος ἀτένισεν εἰς αὐτὸν, καὶ ἐφοβήθη, καὶ εἶπέν του· Τί εἶναι, Αὐθέντη; Καὶ ὁ ἄγγελος τοῦ εἶπε· Αἱ προσευχαί σου καὶ ἐλεημοσύναι σου ἀνέβηκαν εἰς μνημόσυνον ὀμπροστὰ εἰς τὸν Θεόν.

5 Καὶ τώρα πέμψαι εἰς τὴν Ἰόππην ἄνδρας, καὶ προσκάλεσε κάποιον Σίμωνα ὁ ὁποῖος κράζεται Πέτρος.

6 Ἐτοῦτος εὑρίσκεται σημὰ εἰς κάποιον Σίμωνα γναφέα, τοῦ ὁποίου τὸ σπῆτι εἶναι εἰς τὸ παραγιάλι· καὶ αὐτὸς θέλει σοῦ εἰπεῖ τί κάμνει χρεία νὰ κάμῃς.

7 Ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν τῷ Κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ, καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ,

7 Καὶ ὡσὰν ἐδιέβη ὁ ἄγγελος ὁποῦ ἐλάλει εἰς τὸν Κορνήλιον, αὐτὸς ἐλάλησε δύο ἀπὸ τοὺς δουλευτάδες του, καὶ ἕνα στρατιώτην εὐσεβῆ ἀπὸ ἐκείνους ὁποῦ ἐστέκουνταν πάντα μετ' αὐτὸν,

8 Καὶ ἐξηγησάμενος αὐτοῖς ἅπαντα, ἀπέστειλεν αὐτοὺς εἰς τὴν Ἰόππην.

8 Καὶ ἐδιηγήθηκέν τους ὅλα τὰ πράγματα, καὶ τοὺς ἔστειλεν εἰς τὴν Ἰόππην.

9 Τῇ δὲ ἐπαύριον ὁδοιπορούντων ἐκείνων, καὶ τῇ πόλει ἐγγιζόντων, ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι, περὶ ὥραν ἕκτην.

9 Καὶ τὴν ἄλλην ἡμέραν περιπατῶντες αὐτοὶ, καὶ σημώνοντες εἰς τὴν πόλιν, ἀνέβη ὁ Πέτρος εἰς τὸ δῶμα νὰ προσευχηθῇ, κοντὰ εἰς τὴν ἕκτην ὥραν.

10 Ἐγένετο δὲ πρόσπεινος, καὶ ἤθελε γεύσασθαι· παρασκευαζόντων δὲ ἐκείνων, ἐπέπεσεν ἐπ' αὐτὸν ἔκστασις·

10 Καὶ ἔστωντας νὰ πεινάσῃ, ἤθελε νὰ γευθῇ· καὶ ὅσην ὥραν ἑτοίμαζαν οἱ ἄνθρωποι τοῦ σπητίου φαγητὸν, ἔπεσεν εἰς αὐτὸν ἔκστασις·

11 Καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ καταβαῖνον ἐπ' αὐτὸν σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς δεδεμένον, καὶ καθιέμενον ἐπὶ τῆς γῆς·

11 Καὶ βλέπει τὸν οὐρανὸν ἀνοικτὸν, καὶ ἕνα ἀγγεῖον ὁποῦ ἐκατέβαινεν εἰς αὐτὸν, ὡσὰν σενδόνι μεγάλον, δεμένον ἀπὸ ταῖς τέσσαρες ἄκραις, καὶ καταβαζόμενον ἀπάνω εἰς τὴν γῆν·

12 Ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

12 Εἰς τὸ ὁποῖον σενδόνι ἦταν ὅλα τὰ τετράποδα τῆς γῆς, καὶ ὅλα τὰ θηρία, καὶ ὅλα τὰ ἑρπετὰ, καὶ ὅλα τὰ πατεινὰ τοῦ οὐρανοῦ.

13 Καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· Ἀναστὰς, Πέτρε, θῦσον καὶ φάγε.

13 Καὶ φωνὴ ἦλθε πρὸς αὐτὸν καὶ ἔλεγεν· Ὦ Πέτρε, σήκω, σφάξε καὶ φάγε.

14 Ὁ δὲ Πέτρος εἶπε· Μηδαμῶς, Κύριε· ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον.

15 Καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν· Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.

16 Τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς· καὶ πάλιν ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν.

17 Ὡς δὲ ἐν ἑαυτῷ διηπόρει ὁ Πέτρος τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδε, καὶ ἰδοὺ, οἱ ἄνδρες οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ Κορνηλίου, διερωτήσαντες τὴν οἰκίαν Σίμωνος, ἐπέστησαν ἐπὶ τὸν πυλῶνα·

18 Καὶ φωνήσαντες ἐπυνθάνοντο εἰ Σίμων ὁ ἐπικαλούμενος Πέτρος ἐνθάδε ξενίζεται.

19 Τοῦ δὲ Πέτρου ἐνθυμουμένου περὶ τοῦ ὁράματος, εἶπεν αὐτῷ τὸ Πνεῦμα· Ἰδοὺ, ἄνδρες τρεῖς ζητοῦσί σε·

20 Ἀλλὰ ἀναστὰς κατάβηθι, καὶ πορεύου σὺν αὐτοῖς, μηδὲν διακρινόμενος· διότι ἐγὼ ἀπέσταλκα αὐτούς.

21 Καταβὰς δὲ Πέτρος πρὸς τοὺς ἄνδρας τοὺς ἀπεσταλμένους ἀπὸ τοῦ Κορνηλίου πρὸς αὐτὸν, εἶπεν· Ἰδοὺ, ἐγώ εἰμι ὃν

14 Καὶ ὁ Πέτρος εἶπεν· Ὄχι, Αὐθέντη· διατὶ ποτὲ δὲν ἔφαγα τίποτες συγχαμένον καὶ ἀκάθαρτον.

15 Καὶ πάλιν δεύτερον τοῦ ἦλθε φωνὴ καὶ ἔλεγεν· Ἐκεῖνα ὁποῦ ὁ Θεὸς ἐκαθάρισεν, ἐσὺ μὴν τὰ συγχαίνεσαι.

16 Καὶ τοῦτο ἔγινε τρεῖς φοραῖς· καὶ πάλιν ἀνελήφθη τὸ ἀγγεῖον ἐκεῖνο εἰς τὸν οὐρανόν.

17 Καὶ ἀπορῶντας ὁ Πέτρος εἰς τοῦ λόγου του τί νὰ ἤθελεν εἶσθαι τὸ ὅραμα ὁποῦ εἶδε, καὶ νὰ, οἱ ἄνδρες ὁποῦ ἦταν ἀπεσταλμένοι ἀπὸ τὸν Κορνήλιον, κατερωτῶντες τὸ σπῆτι τοῦ Σίμωνος, καὶ ἦλθαν εἰς τὴν θύραν·

18 Καὶ κράζοντες ἐρώτησαν ἀνίσως ὁ Σίμων ὁποῦ κράζεται Πέτρος εἶναι κονεμμένος ἐδῶ.

19 Καὶ ὁ Πέτρος ἐνθυμούμενος τὸ ὅραμα, τοῦ εἶπε τὸ Πνεῦμα· Νὰ, τρεῖς ἄνδρες ὁποῦ σὲ ζητοῦσι·

20 Καὶ σήκω καὶ κατέβα, καὶ σύρε μετ' αὐτοὺς, καὶ τίποτες νὰ μὴν ἀμφιβάλλῃς· διατὶ ἐγὼ τοὺς ἔστειλα.

21 Καὶ ἐκατέβη ὁ Πέτρος εἰς τοὺς ἄνδρας ὁποῦ ἦταν ἀπεσταλμένοι ἀπὸ τὸν Κορνήλιον εἰς αὐτὸν, καὶ εἶπεν· Νὰ, ἐγὼ

ζητεῖτε· τίς ἡ αἰτία δι' ἣν πάρεστε;

22 Οἱ δὲ εἶπον· Κορνήλιος ἑκατοντάρχης, ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν Θεὸν μαρτυρούμενός τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ.

23 Εἰσκαλεσάμενος οὖν αὐτοὺς ἐξένισε. Τῇ δὲ ἐπαύριον ὁ Πέτρος ἐξῆλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ τῆς Ἰόππης συνῆλθον αὐτῷ·

24 Καὶ τῇ ἐπαύριον εἰσῆλθον εἰς τὴν Καισάρειαν· ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτούς, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους.

25 Ὡς δὲ ἐγένετο εἰσελθεῖν τὸν Πέτρον, συναντήσας αὐτῷ ὁ Κορνήλιος, πεσὼν ἐπὶ τοὺς πόδας, προσεκύνησεν.

26 Ὁ δὲ Πέτρος αὐτὸν ἤγειρε, λέγων· Ἀνάστηθι· κἀγὼ αὐτὸς ἄνθρωπός εἰμι.

27 Καὶ συνομιλῶν αὐτῷ, εἰσῆλθε, καὶ εὑρίσκει συνεληλυθότας πολλούς.

εἶμαι ἐκεῖνος ὁποῦ ζητᾶτε· τί εἶναι ἡ ἀφορμὴ ὁποῦ ἤλθετε ἐδῶ;

22 Καὶ ἐκεῖνοι εἶπαν· Ὁ Κορνήλιος ὁ ἑκατόνταρχος, ἄνθρωπος δίκαιος καὶ φοβούμενος τὸν Θεόν, μαρτυρημένος ἀπὸ ὅλον τὸ ἔθνος τῶν Ἰουδαίων, ἐπροστάχθη ἀπὸ τὸν Θεὸν διὰ μέσου ἑνὸς ἁγίου ἀγγέλου, νὰ σὲ προσκαλέσῃ εἰς τὸ σπῆτί του, καὶ νὰ ἀκούσῃ λόγια ἀπὸ λόγου σου.

23 Ὁ Πέτρος λοιπὸν προσκαλῶντάς τους μέσα τοὺς ἐκόνεψε. Καὶ τὴν ἄλλην ἡμέραν ὁ Πέτρος εὐγῆκε μαζὺ μετ' αὐτούς, καὶ κάποιοι ἀπὸ τοὺς ἀδελφοὺς ὁποῦ ἦταν ἀπὸ τὴν Ἰόππην ἐπῆγαν μετ' αὐτόν·

24 Καὶ τὴν ἄλλην ἡμέραν ἐμβήκασιν εἰς τὴν Καισάρειαν· καὶ ὁ Κορνήλιος τοὺς ἐκαρτέρει, προσκαλεσάμενος ὁμοῦ τοὺς συγγενεῖς του καὶ τοὺς φίλους του τοὺς ἀναγκαίους.

25 Καὶ ὡσὰν ἐμβῆκεν ὁ Πέτρος, τὸν ἐσυναπάντησεν ὁ Κορνήλιος, καὶ ἔπεσεν εἰς τὰ ποδάριά του, καὶ τὸν ἐπροσκύνησε.

26 Ἀμὴ ὁ Πέτρος τὸν ἐσήκωσε, καὶ εἶπε· Σήκω ἀπάνω· καὶ ἐγὼ ἄνθρωπος εἶμαι.

27 Καὶ συνομιλῶντας μετ' αὐτόν, ἐμβῆκε μέσα, καὶ εὑρῆκε πολλοὺς συμμαζωμένους.

28 Ἔφη τε πρὸς αὐτούς· Ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ· καὶ ἐμοὶ ὁ Θεὸς ἔδειξε μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον.

29 Διὸ καὶ ἀναντιῤῥήτως ἦλθον μεταπεμφθείς. Πυνθάνομαι οὖν, τίνι λόγῳ μετεπέμψασθέ με;

30 Καὶ ὁ Κορνήλιος ἔφη· Ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην νηστεύων, καὶ τὴν ἐννάτην ὥραν προσευχόμενος ἐν τῷ οἴκῳ μου· καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ·

31 Καὶ φησί· Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχὴ, καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ Θεοῦ.

32 Πέμψον οὖν εἰς Ἰόππην, καὶ μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος· οὗτος ξενίζεται ἐν οἰκίᾳ Σίμωνος βυρσέως παρὰ θάλασσαν· ὃς παραγενόμενος λαλήσει σοι.

33 Ἐξαυτῆς οὖν ἔπεμψα πρός σε· σύ τε καλῶς ἐποίησας παραγενόμενος· νῦν οὖν πάν-

28 Καὶ τοὺς εἶπεν· Ἐσεῖς ἰξεύρετε καλὰ ὅτι εἶναι ἀνομία εἰς ἄνθρωπον Ἰουδαῖον νὰ συγκολλίεται ἢ νὰ σμίγῃ μὲ ἀλλόφυλον ἄνθρωπον· ἀλλὰ ὁ Θεὸς μοῦ τὸ ἔδειξεν νὰ μὴν λέγω κανένα ἄνθρωπον συγχαντὸν ἢ ἀκάθαρτον.

29 Διὰ τοῦτο μὲ τὸ νὰ προσκαλεσθῶ ἦλθα χωρὶς ἀντιλογίαν. Ἐρωτῶ σας λοιπὸν, διὰ ποῖον λογαριασμὸν μὲ ἐπροσκαλέσετε;

30 Καὶ ὁ Κορνήλιος εἶπεν· Ἀπεδῶ καὶ τέσσαρες ἡμέραις ἕως ἐτούτην τὴν ὥραν ἐνήστευα, καὶ τὴν ἐννάτην ὥραν ἐπροσευχόμουν εἰς τὸ σπῆτί μου· καὶ νὰ, ἕνας ἄνθρωπος καὶ ἐστάθη ὀμπροστά μου μὲ φόρεμα λαμπρόν·

31 Καὶ λέγει· Ὦ Κορνήλιε, ἡ προσευχή σου εἰσηκούσθη, καὶ αἱ ἐλεημοσύναι σου ἀνεθυμίσθηκαν ὀμπροστὰ εἰς τὸν Θεόν.

32 Πέμψε λοιπὸν εἰς τὴν Ἰόππην, καὶ προσκάλεσε τὸν Σίμωνα, ὃ ὁποῖος κράζεται Πέτρος· ἐτοῦτος εἶναι κονεμένος εἰς σπῆτι κάποιου Σίμωνος γναφέα ὁποῦ εἶναι εἰς τὸ παραγιάλι· καὶ ἐκεῖνος ὡσὰν ἔλθῃ θέλει σοῦ συντύχει.

33 Καὶ ἀπ' ἐκείνην τὴν ὥραν ἔπεμψα τοὺς ἀνθρώπους εἰς ἐσένα· καλὰ ἔκαμες καὶ ἐσὺ

τές ἡμεῖς ἐνώπιον τοῦ Θεȣ̃ πάρεσμεν, ἀκȣ̃σαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεȣ̃.

34 Ἀνοίξας δὲ Πέτρος τὸ ϛόμα, εἶπεν· Ἐπ' ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ ἔϛι προσωπολήπτης ὁ Θεός·

35 Ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβȣ́μενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐϛι.

36 Τὸν λόγον ὃν ἀπέϛειλε τοῖς υἱοῖς Ἰσραὴλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριϛȣ̃· ȣ̃τός ἐϛι πάντων Κύριος.

37 Ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰȣδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας, μετὰ το βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης·

38 Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τȣ̀ς καταδυναϛευομένȣς ὑπὸ τοῦ διαβόλȣ, ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ.

39 Καὶ ἡμεῖς ἐσμεν μάρτυρες πάντων ὧν ἐποίησεν ἔν τε τῇ χώρᾳ τῶν Ἰȣδαίων καὶ ἐν Ἱερουσαλήμ· ὃν ἀνεῖλον κρεμάσαντες ἐπὶ ξύλου.

ὁπȣ̃ ἦλθες· τῶρα λοιπὸν ἐμεῖς ὅλοι εὑρισκόμεθα ἐδῶ ὀμπροϛὰ εἰς τὸν Θεὸν, νὰ ἀκȣ́σωμεν ὅλα ἐκεῖνα ὁπȣ̃ σε ἐπρόϛαξεν ὁ Θεός.

34 Καὶ ὁ Πέτρος ἄνοιξε τὸ ϛόμα τȣ, καὶ εἶπεν· Ἐπ' ἀληθείας γνωρίζω, ὅτι ὁ Θεὸς δὲν ἀποβλέπει εἰς πρόσωπα·

35 Ἀλλὰ εἰς κάθε ἔθνος ἐκεῖνον ὁπȣ̃ τὸν φοβᾶται, καὶ κάμνει δικαιοσύνην, τὸν ἰδέχεται.

36 Κατὰ τὸν λόγον ὁπȣ̃ ἔϛειλεν εἰς τοὺς υἱοὺς τοῦ Ἰσραὴλ εὐαγγελίζωντας εἰρήνην διὰ μέσȣ τοῦ Ἰησȣ̃ Χριϛȣ̃· ἐτȣ̃τος εἶναι Αὐθέντης ὁλονῶν.

37 Ἐσεῖς ἰξεύρετε τὸ πρᾶγμα ὁπȣ̃ ἔγινεν εἰς ὅλην τὴν Ἰȣδαίαν, ἀρχίζοντας ἀπὸ τὴν Γαλιλαίαν, ὕϛερα ἀπὸ τὸ βάπτισμα ὁπȣ̃ ἐκήρυξεν ὁ Ἰωάννης·

38 Τὸν Ἰησοῦν ὁπȣ̃ ἦτον ἀπὸ τὴν Ναζαρὲτ, πῶς τὸ ἔχρισεν ὁ Θεὸς μὲ Πνεῦμα ἅγιον καὶ μὲ δύναμιν, ὁ ὁποῖος ἐπέρασεν εὐεργετῶντας καὶ ἰατρεύωντας ὅλȣς ἐκείνȣς ὁπȣ̃ ἐτυραννοῦνταν ἀπὸ τὸν διάβολον, διατὶ ὁ Θεὸς ἦταν μετ' αὐτόν.

39 Καὶ ἐμεῖς εἴμεσθε μάρτυρες ὁλωνῶν τῶν πραγμάτων ὁπȣ̃ ἔκαμεν, καὶ εἰς τὴν χώραν τῶν Ἰȣδαίων καὶ εἰς τὴν Ἱερȣσαλήμ· τὸν ὁποῖον ἐκεῖνοι τὸν ἐφόνευσαν κρεμάζοντές τον εἰς τὸ ξύλον.

40 Τοῦτον ὁ Θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι·

41 Οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ, ἡμῖν, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν.

42 Καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ, καὶ διαμαρτύρασθαι ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν.

43 Τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν.

44 Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἐπέπεσε τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον.

45 Καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοὶ ὅσοι συνῆλθον τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος ἐκκέχυται·

46 Ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις, καὶ μεγαλυνόντων τὸν Θεόν. Τότε ἀπεκρίθη ὁ Πέτρος·

47 Μήτι τὸ ὕδωρ κωλῦσαι δύναταί τις τοῦ μὴ βαπτισθῆναι τούτους, οἵτινες τὸ Πνεῦμα τὸ ἅγιον ἔλαβον καθὼς καὶ ἡμεῖς;

40 Ἐτοῦτον ὁ Θεὸς τὸν ἀνάστησε τὴν τρίτην ἡμέραν, καὶ τὸν ἔκαμε νὰ φανερωθῇ·

41 Ὄχι εἰς ὅλον τὸν λαὸν, ἀλλὰ εἰς ἐμᾶς ὁποῦ εἴμεσθαν μάρτυρες προτίτερα χειροτονημένοι ἀπὸ τὸν Θεόν, οἱ ὁποῖοι ἐμεῖς ἐσυνεφάγαμεν καὶ ἐσυνεπίαμεν μετ' αὐτὸν, ὕστερα ἀφόντις ἀνεστάθη ἐκ νεκρῶν.

42 Καὶ μᾶς ἐπαράγγειλε, νὰ κηρύξωμεν εἰς τὸν λαὸν καὶ νὰ μαρτυρήσωμεν, ὅτι αὐτὸς εἶναι διωρισμένος ἀπὸ τὸν Θεὸν κριτὴς καὶ τῶν ζωντανῶν καὶ τῶν νεκρῶν.

43 Καὶ ὅλοι οἱ προφῆται ἐτοῦτον μαρτυροῦσιν, ὅτι κάθε ἕνας ὁποῦ πιστεύει εἰς αὐτὸν πέρνει τὴν ἄφεσιν τῶν ἁμαρτιῶν του διὰ τὸ ὄνομά του.

44 Καὶ ἀκόμι ὁ Πέτρος ἐλάλει ἐτοῦτα τὰ λόγια, καὶ τὸ Πνεύμα τὸ ἅγιον ἔπεσεν ἀπάνω εἰς ὅλους ἐκείνους ὁποῦ ἄκουαν τὸν λόγον.

45 Καὶ ὅσοι πιστοὶ ἀπὸ τοὺς Ἰουδαίους ἦλθαν μαζὺ μὲ τὸν Πέτρον, ἐτρόμαξαν, ὅτι ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος ἐχύθηκε καὶ εἰς τὰ ἔθνη·

46 Διατὶ ἄκουαν αὐτοὺς ὁποῦ ἐλαλοῦσαν γλώσσαις, καὶ ἐμεγάλυναν τὸν Θεόν. Τότε ἀπεκρίθη ὁ Πέτρος·

47 Μήνα ἠμπορεῖ κανένας νὰ ἐμποδίσῃ τὸ νερὸν νὰ μὴν βαπτισθοῦσιν ἐτοῦτοι, οἱ ὁποῖοι ἔλαβαν τὸ Πνεῦμα τὸ ἅγιον, ὡσὰν καὶ ἐμεῖς;

48 Προσέταξέ τε αὐτὰς βαπτισθῆναι ἐν τῷ ὀνόματι τοῦ Κυρίȣ. Τότε ἠρώτησαν αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς.

48 Καὶ ἐπρόςαξε νὰ βαπτισθοῦν αὐτοὶ εἰς τὸ ὄνομα τοῦ Κυρίȣ. Τότε τὸν ἐπαρακάλεσαν, νὰ ἀπομείνῃ καμπόσαις ἡμέραις.

Κεφ. ια'. 11.

ἬΚȣσαν δὲ οἱ ἀπόςολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν Ἰȣδαίαν, ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ Θεȣ̃.

2 Καὶ ὅτε ἀνέβη Πέτρος εἰς Ἱεροσόλυμα, διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς,

3 Λέγοντες· Ὅτι πρὸς ἄνδρας ἀκροβυςίαν ἔχοντας εἰσῆλθες, καὶ συνέφαγες αὐτοῖς.

4 Ἀρξάμενος δὲ ὁ Πέτρος, ἐξετίθετο αὐτοῖς καθεξῆς, λέγων·

5 Ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος· καὶ εἶδον ἐν ἐκςάσει ὅραμα, καταβαῖνον σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ ȣ̓ρανȣ̃, καὶ ἦλθεν ἄχρις ἐμȣ̃·

6 Εἰς ἣν ἀτενίσας κατενόουν· καὶ εἶδον τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετεινὰ τοῦ ȣ̓ρανȣ̃.

ΚΑΙ ἄκȣσαν οἱ ἀπόςολοι καὶ οἱ ἀδελφοὶ ὁπȣ̃ ἦταν εἰς τὴν Ἰȣδαίαν, ὅτι καὶ τὰ ἔθνη ἐδέχθηκαν τὸν λόγον τοῦ Θεȣ̃.

2 Καὶ ὅταν ὁ Πέτρος ἀνέβη εἰς τὰ Ἱεροσόλυμα, ἐφιλονεικȣ̃σαν μετ' αὐτὸν ἐκεῖνοι ὁπȣ̃ εἶχαν περιτομὴν,

3 Καὶ ἔλεγαν· Ὅτι μὲ ἀνθρώπȣς ὁπȣ̃ ἔχουν ἀκροβυςίαν ἐπῆγες, καὶ ἔφαγες μετ' αὐτȣ́ς.

4 Καὶ ὁ Πέτρος ἄρχισε, καὶ τȣ̀ς ἐδίδασκε τὰ πράγματα κατὰ τάξιν, καὶ ἔλεγεν·

5 Ἐγὼ ἤμουν εἰς τὴν πόλιν τὴν Ἰόππην καὶ ἐπροσευχȣ́μουν· καὶ εἶδα εἰς τὴν ἔκςασίν μȣ ἕνα ὅραμα, ἕνα ἀγγεῖον ὡσὰν σενδόνι μεγάλον κρεμασμένον ἀπὸ ταῖς τέσσαρες ἄκραις, καὶ ἐκατέβαινεν ἀπὸ τὸν ȣ̓ρανὸν, καὶ ἦλθεν ἕως ἐμένα·

6 Εἰς τὸ ὁποῖον ἀναντράνισα καὶ ἐςοχάσθηκα· καὶ εἶδα ὅλα τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετόμενα τοῦ ȣ̓ρανȣ̃.

7 Ἤκουσα δὲ φωνῆς λεγούσης μοι· Ἀναςὰς, Πέτρε, θῦσον καὶ φάγε.
8 Εἶπον δέ· Μηδαμῶς, Κύριε· ὅτι πᾶν κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ ςόμα μου.

9 Ἀπεκρίθη δέ μοι φωνὴ ἐκ δευτέρου ἐκ τοῦ οὐρανοῦ· Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.

10 Τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς· καὶ πάλιν ἀνεσπάσθη ἅπαντα εἰς τὸν οὐρανόν.
11 Καὶ ἰδοὺ, ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέςησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἤμην, ἀπεςαλμένοι ἀπὸ Καισαρείας πρός με.
12 Εἶπε δέ μοι τὸ Πνεῦμα συνελθεῖν αὐτοῖς, μηδὲν διακρινόμενον· ἦλθον δὲ σὺν ἐμοὶ καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι, καὶ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀνδρός.

13 Ἀπήγγειλέ τε ἡμῖν πῶς εἶδε τὸν ἄγγιλον ἐν τῷ οἴκῳ αὐτοῦ ςαθέντα καὶ εἰπόντα αὐτῷ· Ἀπόςειλον εἰς Ἰόππην ἄνδρας καὶ μετάπεμψαι Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον,
14 Ὃς λαλήσει ῥήματα πρός σε, ἐν οἷς σωθήσῃ σὺ

7 Καὶ ἄκουσα φωνὴν ὁποῦ μοῦ ἔλεγεν· Ὦ Πέτρε, σήκω καὶ σφάξε καὶ φάγε.
8 Καὶ ἐγὼ εἶπα· Ὄχι, Αὐθέντη· ὅτι κανένα συγχαμένον ἢ ἀκάθαρτον οὐδὲ καμία φορὰ δὲν ἐμβῆκεν εἰς τὸ ςόμα μου.
9 Καὶ μοῦ ἀπεκρίθη μία φωνὴ δεύτερον ἀπὸ τὸν οὐρανόν· Ἐκεῖνα ὁποῦ ὁ Θεὸς ἐκαθάρισεν, ἐσὺ μὴν τὰ συγχαίνεσε.
10 Καὶ τοῦτο ἔγινε τρεῖς φοραῖς· καὶ πάλιν ἐσύρθηκαν ὅλα εἰς τὸν οὐρανόν.
11 Καὶ νὰ, πάραυτα τρεῖς ἄνδρες καὶ ἦλθαν εἰς τὸ σπῆτι ὁποῦ ἤμουν, ἀπεςαλμένοι ἀπὸ τὴν Καισάρειαν εἰς ἐμένα.
12 Καὶ τὸ Πνεῦμα μοῦ εἶπε νὰ πάγω μετ' αὐτοὺς, καὶ νὰ μὴν ἀμφιβάλλω τίποτες· καὶ ἦλθαν μαζύ μου καὶ οἱ ἓξ ἐτοῦτοι ἀδελφοὶ, καὶ ἐπήγαμεν καὶ ἐμβήκαμεν εἰς τὸ σπῆτι τοῦ ἀνθρώπου ἐκείνου.
13 Καὶ ἐκεῖνος μᾶς εἶπε πῶς εἶδε τὸν ἄγγελον εἰς τὸ σπῆτί του ὁποῦ ἐςάθη, καὶ τοῦ εἶπεν· Στεῖλε ἀνθρώπους εἰς τὴν Ἰόππην, καὶ προσκάλεσε τὸν Σίμωνα, ὁποῦ κράζεται Πέτρος,
14 Ὁ ὁποῖος θέλει σοῦ εἰπεῖ λόγια, διὰ μέσου τῶν

καὶ πᾶς ὁ οἶκός σȣ.

15 Ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν, ἐπέπεσε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτȣ̀ς, ὥσπερ καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ.

16 Ἐμνήσθην δὲ τοῦ ῥήματος Κυρίȣ, ὡς ἔλεγεν· Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ.

17 Εἰ οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ Θεὸς ὡς καὶ ἡμῖν, πιςεύσασιν ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριςὸν, ἐγὼ δὲ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεόν;

18 Ἀκȣ́σαντες δὲ ταῦτα ἡσύχασαν, καὶ ἐδόξαζον τὸν Θεὸν, λέγοντες· Ἄρα γε καὶ τοῖς ἔθνεσιν ὁ Θεὸς τὴν μετάνοιαν ἔδωκεν εἰς ζωήν.

19 Οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ, διῆλθον ἕως Φοινίκης καὶ Κύπρȣ καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον Ἰȣδαίοις.

20 Ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες εἰσελθόντες εἰς Ἀντιόχειαν, ἐλάλȣν πρὸς τȣ̀ς Ἑλληνιςὰς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν.

ὁποίων θέλεις σωθῇ ἐσὺ καὶ ὅλον σȣ τὸ σπῆτι.

15 Καὶ ἐκεῖ ὁπȣ̃ ἄρχισα ἐγὼ νὰ τȣ̀ς λαλῶ, ἔπεσεν ἀπάνω τȣς τὸ Πνεῦμα τὸ ἅγιον, ὡσὰν ἔπεσε καὶ εἰς ἐμᾶς εἰς τὴν ἀρχήν.

16 Καὶ ἐθυμήθηκα τὸν λόγον τοῦ Κυρίȣ, ὁπȣ̃ ἔλεγεν· Ὅτι ὁ Ἰωάννης μὲν ἐβάπτισε μὲ νερὸν, ἀμὴ ἐσεῖς θέλετε βαπτισθῇ μὲ Πνεῦμα ἅγιον.

17 Ἐπειδὴ λοιπὸν καὶ ὁ Θεὸς αὐτȣ̀ς ὁπȣ̃ ἐπίςευσαν εἰς τὸν Κύριον Ἰησοῦν Χριςὸν, τȣ̀ς ἔδωκε τὴν ἴσιαν χάριν ὡσὰν καὶ ἐμᾶς, ἐγὼ τί ἤσουν δυνατὸς νὰ ἐμποδίσω τὸν Θεόν;

18 Ὡσὰν ἄκȣσαν ἐτȣ̃τα ἡσύχασαν, καὶ ἐδόξαζαν τὸν Θεὸν, καὶ ἔλεγαν· Ὁ Θεὸς λοιπὸν καὶ εἰς τὰ ἔθνη ἔδωκε μετάνοιαν εἰς ζωήν.

19 Ἐκεῖνοι λοιπὸν ὁπȣ̃ ἐδιασκορπίσθηκαν διὰ τὴν θλίψιν ὁπȣ̃ ἔγινεν εἰς τὸν Στέφανον, ἐπέρασαν ἕως τὴν Φοινίκην καὶ Κύπρον καὶ Ἀντιόχειαν, καὶ δὲν ἐλαλȣ̃σαν εἰς κανένα τὸν λόγον τοῦ Κυρίȣ, παρὰ μοναχὰ εἰς τȣ̀ς Ἰȣδαίȣς.

20 Καὶ κάποιοι ἄνδρες ἀπ' αὐτȣ̀ς ἦταν Κύπριοι καὶ Κυρηναῖοι, οἱ ὁποῖοι ὡσὰν ἐμβῆκαν εἰς τὴν Ἀντιόχειαν, ἐλαλȣ̃σαν εἰς τȣ̀ς Ἑλληνιστὰς, καὶ εὐαγγέλιζαν τὸν Κύριον Ἰησοῦν.

21 Καὶ ἦν χεὶρ Κυρίου μετ' αὐτῶν· πολύς τε ἀριθμὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν Κύριον.

22 Ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς ἐν Ἱεροσολύμοις περὶ αὐτῶν· καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας.

23 Ὃς παραγενόμενος, καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ, ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ·

24 Ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης Πνεύματος ἁγίου καὶ πίστεως· καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ.

25 Ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας ἀναζητῆσαι Σαῦλον· καὶ εὑρὼν αὐτὸν ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν.

26 Ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ, καὶ διδάξαι ὄχλον ἱκανόν, χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς Χριστιανούς.

27 Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱεροσολύμων προφῆται εἰς Ἀντιόχειαν.

28 Ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν ὀνόματι Ἄγαβος, ἐσήμανε διὰ

21 Καὶ τὸ χέρι τοῦ Κυρίου ἦτον μετ' αὐτούς· καὶ πολὺς ἀριθμὸς (ἀνθρώπων) ἐπίστευσε καὶ ἐγύρισεν εἰς τὸν Κύριον.

22 Καὶ ἡ φήμη τους ἀκούσθη εἰς τὰ αὐτία τῆς ἐκκλησίας ὅπου ἦταν εἰς τὴν Ἱερουσαλήμ· καὶ ἔστειλαν τὸν Βαρνάβαν νὰ ἔλθῃ ἕως εἰς τὴν Ἀντιόχειαν.

23 Ὁ ὁποῖος ὡσὰν ἐπῆγε, καὶ εἶδε τὴν χάριν τοῦ Θεοῦ, ἐχάρη, καὶ ἐνουθέταν ὅλους νὰ στέκουνται στερεοὶ εἰς τὸν Κύριον μὲ τὴν ὄρεξιν τῆς καρδίας τους·

24 Διατὶ ἦτον ἄνθρωπος ἀγαθὸς καὶ γεμάτος Πνεῦμα ἅγιον καὶ πίστιν· καὶ πολὺ πλῆθος αὐξήνθη εἰς τὸν Κύριον.

25 Καὶ ὁ Βαρνάβας εὐγῆκε καὶ ἐπῆγεν εἰς τὴν Ταρσὸν νὰ ἀναγυρέψῃ τὸν Σαῦλον· καὶ ὡσὰν τὸν ηὗρεν τὸν ἔφερεν εἰς τὴν Ἀντιόχειαν.

26 Καὶ ἕναν χρόνον σωστὸν ἐσυνάζουνταν αὐτοὶ εἰς τὴν ἐκκλησίαν, καὶ ἐδίδαξαν πλῆθος πολύ, καὶ πρῶτον εἰς τὴν Ἀντιόχειαν οἱ μαθητάδες ὀνομάσθηκαν Χριστιανοί.

27 Καὶ εἰς ἐκείναις ταῖς ἡμέραις ἐκατέβηκαν ἀπὸ τὰ Ἱεροσόλυμα προφῆται εἰς τὴν Ἀντιόχειαν.

28 Καὶ ἐσηκώθη ἕνας ἀπ' αὐτουνοὺς τὸ ὄνομά του Ἄγα-

τοῦ Πνεύματος, λιμὸν μέγαν μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκȣμένην· ὅϛις καὶ ἐγένετο ἐπὶ Κλαυδίȣ Καίσαρος.

ϐος, καὶ ἐφανέρωσε διὰ τοῦ Πνεύματος, πῶς μέλλει νὰ γένη μεγάλη πεῖνα εἰς ὅλην τὴν οἰκȣμένην· ἡ ὁποῖα καὶ ἔγινεν εἰς τὸν καιρὸν τοῦ Κλαυδίȣ τοῦ Καίσαρος.

29 Τῶν δὲ μαθητῶν, καθὼς ηὐπορεῖτό τις, ὥρισαν ἕκαϛος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικȣ͂σιν ἐν τῇ Ἰȣδαίᾳ ἀδελφοῖς·

29 Καὶ κάθε ἕνας ἀπὸ τȣ̀ς μαθητάδες ὥρισαν, καθὼς ἠμπόριεν κάθε ἕνας νὰ πέμψȣσι διακονίαν εἰς τȣ̀ς ἀδελφȣ̀ς ὁπȣ͂ ἐκάθουνταν εἰς τὴν Ἰȣδαίαν·

30 Ὃ καὶ ἐποίησαν, ἀποϛείλαντες πρὸς τȣ̀ς πρεσβυτέρȣς διὰ χειρὸς Βαρνάβα καὶ Σαύλȣ.

30 Τὸ ὁποῖον τὸ ἔκαμαν, ἀποϛέλλοντές την εἰς τȣ̀ς πρεσβυτέρȣς διὰ μέσȣ τῶν χειρῶν τοῦ Βαρνάβα καὶ τοῦ Σαύλȣ.

Κεφ. ιϐ'. 12.

ΚΑΤ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν Ἡρώδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας.

ΕΙΣ ἐκεῖνον τὸν καιρὸν ἔβαλλε τὰ χέριά τȣ ὁ Ἡρώδης ὁ βασιλεὺς νὰ κακοποιήσῃ μερικȣ̀ς τῶν ἐκκλησιαϛικῶν.

2 Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννȣ, μαχαίρᾳ.

2 Καὶ ἐφόνευσε τὸν Ἰάκωϐον τὸν ἀδελφὸν τοῦ Ἰωάννȣ μὲ σπαθί.

3 Καὶ ἰδὼν ὅτι ἀρεϛόν ἐϛι τοῖς Ἰȣδαίοις, προσέθετο συλλαϐεῖν καὶ Πέτρον· (ἦσαν δὲ ἡμέραι τῶν ἀζύμων·)

3 Καὶ ὡσὰν εἶδεν ὅτι ἐτȣ͂το ἀρέσει εἰς τȣ̀ς Ἰȣδαίȣς, ἐπρόσθεσε καὶ τȣ͂το νὰ πιάσῃ καὶ τὸν Πέτρον· (καὶ ἔλαχαν καὶ ἦταν ἡμέραις τῶν ἀζύμων·)

4 Ὃν καὶ πιάσας ἔθετο εἰς φυλακὴν, παραδȣ̀ς τέσσαρσι τετραδίοις ϛρατιωτῶν φυλάσσειν αὐτόν· βȣλόμενος μετὰ

4 Τὸν ὁποῖον ὡσὰν τὸν ἐπίασε τὸν ἔβαλλεν εἰς τὴν φυλακὴν, παραδίδωντάς τον εἰς δεκαέξι ϛρατιώτας νὰ τὸν φυλά-

τὸ πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ.

5 Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ.

6 Ὅτε δὲ ἔμελλεν αὐτὸν προάγειν ὁ Ἡρώδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν, δεδεμένος ἁλύσεσι δυσὶ, φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν.

7 Καὶ ἰδοὺ, ἄγγελος Κυρίου ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου, ἤγειρεν αὐτὸν, λέγων· Ἀνάστα ἐν τάχει. Καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν.

8 Εἶπέ τε ὁ ἄγγελος πρὸς αὐτόν· Περίζωσαι, καὶ ὑπόδησαι τὰ σανδάλιά σου. Ἐποίησε δὲ οὕτω. Καὶ λέγει αὐτῷ· Περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι.

9 Καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν.

10 Διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον

γοῦσι· θέλωντας ὕστερα ἀπὸ τὸ πάσχα νὰ τὸν φέρῃ ἔξω εἰς τὸν λαόν.

5 Ὁ Πέτρος λοιπὸν ἐφυλάττετον εἰς τὴν φυλακήν· καὶ ἡ ἐκκλησία ἐπροσεύχετον κατὰ πολλὰ πάντοτε εἰς τὸν Θεὸν διὰ λόγου του.

6 Καὶ ὁπόταν ὁ Ἡρώδης ἔμελλε νὰ τὸν ὑπάγῃ εἰς τὸν λαὸν, τὴν νύκτα ἐκείνην ὁ Πέτρος ἐκοιμᾶτον ἀνάμεσα εἰς δύο στρατιώταις, δεμένος μὲ δύο ἁλυσίδες, καὶ ἐφύλαγαν καὶ φυλακάτορες ὀμπροστὰ εἰς τὴν θύραν τῆς φυλακῆς.

7 Καὶ νὰ, καὶ ἦλθεν ἄγγελος Κυρίου, καὶ φῶς ἔλαμψε ἐκεῖ ὁποῦ ἐκάθετον, καὶ ἐκτύπησε τὴν πλευρὰν τοῦ Πέτρου, καὶ τὸν ἐσήκωσε, καὶ εἶπε· Σήκω γλίγωρα. Καὶ αἱ ἁλυσίδες ἔπεσαν ἀπὸ τὰ χέριά του.

8 Καὶ εἶπέν του ὁ ἄγγελος· Ζῶσου καὶ βάλλε τὰ σανδάλιά σου. Καὶ ἔκαμεν ἔτζι. Καὶ λέγει του· Βάλλε τὸ ἀπανωφόρεμά σου, καὶ ἀκολούθα μου.

9 Καὶ εὐγῆκεν ἔξω καὶ τοῦ ἀκολούθαν, καὶ δὲν ἐγνώριζε ὅτι εἶναι ἀληθινὸν ἐκεῖνο ὁποῦ ἐγίνετον ἀπὸ τὸν ἄγγελον· ἀλλὰ τοῦ ἐφαίνετον νὰ βλέπῃ ὅραμα.

10 Καὶ ὡσὰν ἐπέρασαν τὴν πρώτην φύλαξιν καὶ τὴν δεύ-

ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν, τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς· καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν· καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ' αὐτοῦ.

τερην, ἔφθασαν εἰς τὴν θύραν τὴν σιδηρένιαν, ὅπου πάγει εἰς τὴν πόλιν, ἡ ὁποῖα μοναχή της τοὺς ἀνοίχθη· καὶ ὡσὰν εὐγῆκαν ἐπῆγαν ὀμπροστὰ εἰς μίαν ῥύμνην· καὶ παρευθὺς ὁ ἄγγελος ἐδιέβη ἀπ' αὐτόν.

11 Καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ, εἶπε· Νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλε Κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου, καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων.

τὸν Τιμόθεον, νὰ ἔλθȣσι
πολλὰ γλίγωρα εἰς αὐτὸν,
εὐγῆκαν.

16 Ἐν δὲ ταῖς Ἀθήναις
ἐκδεχομένȣ αὐτȣ̀ς τοῦ Παύλȣ,
παρωξύνετο τὸ πνεῦμα αὐτȣ̃
ἐν αὐτῷ, θεωρȣ̃ντι κατείδωλον
ȣ̃σαν τὴν πόλιν.

16 Καὶ καρτερῶντάς τȣς
ὁ Παῦλ☉ εἰς ταῖς Ἀθήναις,
ἐπικραίνετον μέσα τὸ πνεῦμά
τȣ, βλέπωντας τὴν πόλιν
ὀπȣ̃ ἦτον ὅλη γεμάτη εἴ-
δωλα.

17 Διελέγετο μὲν ȣ̃ν ἐν
τῇ συναγωγῇ τοῖς Ἰȣδαίοις
καὶ τοῖς σεβομένοις, καὶ
ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν

17 Καὶ ἐσυντύχαινεν εἰς τὴν
συναγωγὴν τȣ̀ς Ἰȣδαίȣς, καὶ
ἐκείνȣς ὀπȣ̃ ἦταν εὐσεβεῖς εἰς
τὸν Θεὸν, καὶ εἰς τὴν ἀγορὰν

ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας.

18 Τινὲς δὲ τῶν Ἐπικουρείων καὶ τῶν Στωϊκῶν φιλοσόφων συνέβαλλον αὐτῷ· καὶ τινες ἔλεγον· Τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν; Οἱ δέ· Ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι· ὅτι τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν αὐτοῖς εὐηγγελίζετο.

19 Ἐπιλαβόμενοί τε αὐτοῦ, ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον, λέγοντες· Δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή;

20 Ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν· βουλόμεθα οὖν γνῶναι τί ἂν θέλοι ταῦτα εἶναι.

21 (Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι εἰς οὐδὲν ἕτερον εὐκαίρουν ἢ λέγειν τι καὶ ἀκούειν καινότερον.)

22 Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου, ἔφη· Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ.

23 Διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα

ἐδίδασκε κάθε ἡμέραν ὅσους ἤθελεν εὕρῃ.

18 Καὶ κάποιοι ἀπὸ τοὺς Ἐπικουρείους, καὶ ἀπὸ τοὺς Στωϊκοὺς φιλοσόφους ἐδιαλέγουνταν μετ᾽ αὐτόν· καὶ κάποιοι ἔλεγαν· Τί τάχα θέλει νὰ εἰπῇ ἐτοῦτος ὁ σπερμολόγος; Καὶ ἄλλοι ἔλεγαν· Φαίνεται νὰ εἶναι μηνυτὴς ξένων Θεῶν· διατὶ τοὺς εὐαγγέλιζε τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν.

19 Καὶ πιάνοντές τον, τὸν ἐπῆγαν εἰς τὸν Ἄρειον πάγον, καὶ εἶπαν· (Τάχα) ἠμποροῦμεν νὰ μάθωμεν, ποῖα εἶναι ἐτούτη ἡ καινούρια διδαχὴ, ὁποῦ λέγεις ἐσύ;

20 Διατὶ φέρνεις κάποια παράξενα πράγματα εἰς τὰ αὐτία μας· καὶ θέλομεν λοιπὸν νὰ μάθωμεν, τί θέλει νὰ εἶναι αὐτά.

21 (Καὶ ὅλοι οἱ Ἀθηναῖοι καὶ οἱ ξένοι ὁποῦ ἐκατοικοῦσαν ἐκεῖ, εἰς ἄλλο τίποτες δὲν εἶχαν νὰ κάμουν, παρὰ νὰ λέγουν καὶ νὰ ἀκούουν τίποτες καινούριον.)

22 Καὶ ὁ Παῦλος ἐστάθη εἰς τὴν μέσην τοῦ Ἀρείου πάγου, καὶ εἶπεν· Ὦ ἄνδρες Ἀθηναῖοι, ἐγὼ καθολικὰ σᾶς βλέπω πῶς εἶσθε εἰς κάποιον τρόπον εὐλαβεῖς περισσότερον ἀπ᾽ ἐκεῖνο ὁποῦ πρέπει.

23 Διατὶ περνῶντας καὶ βλέποντας τὰ σεβάσματά

ὑμῶν εὗρον καὶ βωμὸν, ἐν ᾧ ἐπεγέγραπτο· Ἀγνώστῳ Θεῷ. Ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν.

24 Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς Κύριος ὑπάρχων, οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ·

25 Οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται, προσδεόμενός τινος, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα.

26 Ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς, ὁρίσας προτεταγμένους καιροὺς, καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν·

27 Ζητεῖν τὸν Κύριον, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν· καί τοι γε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα.

28 Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν· ὡς καὶ τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι· Τοῦ γὰρ καὶ γένος ἐσμέν.

29 Γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυ-

σας εὕρηκα καὶ βωμὸν, εἰς τὸν ὁποῖον ἦτον ἀπανωγεγραμμένον· Ἀγνώστῳ Θεῷ. Ἐτοῦτον τὸν Θεὸν τὸν ὁποῖον ἐσεῖς μὴ ἰξεύροντες λατρεύετε, ἐτοῦτον ἐγὼ σᾶς καταγγέλλω.

24 Ὁ Θεὸς ὁποῦ ἔκαμε τὸν κόσμον καὶ ὅλα ἐκεῖνα ὁποῦ εἶναι μέσα εἰς αὐτὸν, ἐτοῦτος ἔστωντας νὰ εἶναι Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, δὲν κατοικεῖ εἰς ναοὺς ὁποῦ γίνονται μὲ χέρια·

25 Οὐδὲ λατρεύεται ἀπὸ χέρια ἀνθρώπων, ὡσὰν νὰ χρειάζεται τίποτες, δίδωντας αὐτὸς εἰς ὅλα τὴν ζωὴν καὶ τὴν πνοὴν, καὶ τὰ ὅλα.

26 Καὶ ἀπὸ ἕνα αἷμα ἔκαμεν ὅλα τὰ ἔθνη τῶν ἀνθρώπων, νὰ κατοικοῦσιν ἀπάνω εἰς τὸ πρόσωπον τῆς γῆς, καὶ ἐχώρισε καιροὺς (διωρισμένους) καὶ τὰ ὁροθέσια τῆς κατοκίας των·

27 Νὰ ζητοῦσι τὸν Κύριον, ἐὰν εἰς κάποιον τρόπον ψηλαφῶντες θέλουσι τὸν εὕρει· ἀγκαλὰ καὶ δὲν εἶναι μακρὰ ἀπὸ κάθε ἕνα ἀπὸ ἐμᾶς.

28 Διατὶ εἰς αὐτὸν ζοῦμεν, καὶ κινούμεθα, καὶ εἴμεσθε· καθὼς καὶ μερικοὶ ἀπὸ τοὺς ἐδικούς σας τοὺς ποιητὰς εἴπασι· Ὅτι τοῦ Θεοῦ γένος εἴμεσθε.

29 Ἐπειδὴ λοιπὸν εἴμεσθε γένος τοῦ Θεοῦ, δὲν χρεωστοῦμεν νὰ λογιάζομεν πῶς ὁ Θεὸς εἶναι ὅμοιος χρυσάφι ἢ ἀσήμι ἢ

μήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον.

30 Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν.

31 Διότι ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν ἀναστήσας αὐτὸν ἐκ νεκρῶν.

32 Ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον· Ἀκουσόμεθά σου πάλιν περὶ τούτου.

33 Καὶ οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν.

34 Τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ, ἐπίστευσαν· ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς.

πέτραις, ἢ τὰ χαράγματα ὁποῦ εἶναι ἔργα τῆς τέχνης καὶ τῆς ἐπινοίας τοῦ ἀνθρώπου.

30 Διατὶ τοὺς χρόνους τῆς ἀγνωσίας ὁ Θεὸς ἔστωντας καὶ νὰ τοὺς παραβλέψῃ, τώρα παραγγέλλει εἰς ὅλους τοὺς ἀνθρώπους καὶ πανταχοῦ νὰ μετανοήσουν.

31 Διατὶ ἐδιώρισεν μίαν ἡμέραν, εἰς τὴν ὁποίαν μέλλει νὰ κρίνῃ, τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, διὰ μέσου ἀνδρὸς, τὸν ὁποῖον ὥρισε, καὶ τοῦτο τὸ ἐπίστωσε φανερὰ εἰς ὅλους, ἔστωντας νὰ τὸν ἀναστήσῃ ἐκ νεκρῶν.

32 Καὶ ὡσὰν ἄκουσαν ἀνάστασιν νεκρῶν, ἄλλοι τοῦ ἐπεριγέλασαν, ἄλλοι εἶπαν· Θέλομεν σοῦ ἀκούσει πάλιν διὰ τοῦτο τὸ πρᾶγμα.

33 Καὶ τέτοιας λογῆς ὁ Παῦλος εὐγῆκεν ἀπὸ τὴν μέσην τους.

34 Καὶ κάποιοι ἄνδρες τὸν ἐκολλήθηκαν, καὶ ἐπίστευσαν· ἀνάμεσα εἰς τοὺς ὁποίους ἦτον καὶ ὁ Διονύσιος ὁ Ἀρεοπαγίτης· καὶ μία γυναῖκα τὸ ὄνομά της Δάμαρις, καὶ ἄλλοι μαζὺ μετ' αὐτούς.

Κεφ. ιη'. 18.

ΜΕΤΑ' δὲ ταῦτα χωρισθεὶς ὁ Παῦλος ἐκ τῶν Ἀθηνῶν, ἦλθεν εἰς Κόρινθον.

ΚΑΙ' ὕστερον ἐχώρισεν ὁ Παῦλος ἀπὸ ταῖς Ἀθήναις, καὶ ἦλθεν εἰς τὴν Κόρινθον.

2 Καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ, (διὰ τὸ διατεταχέναι Κλαύδιον χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἐκ τῆς Ῥώμης,) προσῆλθεν αὐτοῖς·

3 Καὶ διὰ τὸ ὁμότεχνον εἶναι, ἔμενε παρ' αὐτοῖς, καὶ εἰργάζετο· ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην.

4 Διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον, ἔπειθέ τε Ἰουδαίους καὶ Ἕλληνας.

5 Ὡς δὲ κατῆλθον ἀπὸ τῆς Μακεδονίας ὅ τε Σίλας καὶ ὁ Τιμόθεος, συνείχετο τῷ πνεύματι ὁ Παῦλος, διαμαρτυρόμενος τοῖς Ἰουδαίοις τὸν Χριστὸν Ἰησοῦν.

6 Ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων, ἐκτιναξάμενος τὰ ἱμάτια, εἶπε πρὸς αὐτούς· Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν· καθαρὸς ἐγὼ, ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι.

7 Καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς οἰκίαν τινὸς ὀνόματι Ἰούστου, σεβομένου τὸν Θεὸν, οὗ ἡ

2 Καὶ εὑρίσκωντας κάποιον Ἰουδαῖον τὸ ὄνομά του Ἀκύλαν, Μαυροθαλασσίτην τὸ γένος, ὁ ὁποῖος ἦλθε τότε κοντὰ ἀπὸ τὴν Ἰταλίαν, μὲ τὴν Πρίσκιλλαν τὴν γυναῖκά του, (διατὶ ἐπρόσταξεν ὁ Κλαύδιος, νὰ ἀναχωρίσουν οἱ Ἰουδαῖοι ὅλοι ἀπὸ τὴν Ῥώμην,) ἔσμιξε μετ' αὐτούς·

3 Καὶ διὰ νὰ εἶναι συντεχνίτης, εὑρίσκετον σιμὰ εἰς αὐτοὺς, καὶ ἐδούλευε· διατὶ ἡ τέχνη τους ἦταν νὰ κάμνουν σκηνάς.

4 Καὶ κάθε σάββατον ὡμίλει εἰς τὴν συναγωγὴν, καὶ ἐκατέπειθε τοὺς Ἰουδαίους καὶ τοὺς Ἕλληνας.

5 Καὶ ὡσὰν ἐκατέβηκαν ἀπὸ τὴν Μακεδονίαν ὁ Σίλας καὶ ὁ Τιμόθεος, ἐστεναχωρεῖνταν ὁ Παῦλος εἰς τὴν ψυχὴν καὶ ἐμαρτύραν εἰς τοὺς Ἰουδαίους πῶς νὰ εἶναι ὁ Ἰησοῦς ὁ Χριστός.

6 Καὶ ἐτοῦτοι ἐστέκουνταν ἐναντίον καὶ ἐβλασφημοῦσαν, καὶ ὁ Παῦλος τινάζωντας τὰ φορέματά του, τοὺς εἶπε· Τὸ αἷμά σας ἂς εἶναι εἰς τὸ κεφάλι σας· ἐγὼ καθαρὸς εἶμαι, ἀπὸ τώρα καὶ ὀμπροστὰ θέλω πάγει εἰς τὰ ἔθνη.

7 Καὶ μετατοπίζωντας ἀπ' ἐκεῖ, ἐπῆγεν εἰς ἕνα σπῆτι κάποιου τὸ ὄνομά του Ἰούστου, ὁποῦ

οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ.

8 Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ· καὶ πολλοὶ τῶν Κορινθίων ἀκούοντες ἐπίστευον, καὶ ἐβαπτίζοντο.

9 Εἶπε δὲ ὁ Κύριος δι' ὁράματος ἐν νυκτὶ τῷ Παύλῳ· Μὴ φοβοῦ, ἀλλὰ λάλει, καὶ μὴ σιωπήσῃς·

10 Διότι ἐγώ εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε· διότι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ.

11 Ἐκάθισέ τε ἐνιαυτὸν καὶ μῆνας ἕξ, διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ.

12 Γαλλίωνος δὲ ἀνθυπατεύοντος τῆς Ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ, καὶ ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα,

13 Λέγοντες· Ὅτι παρὰ τὸν νόμον οὗτος ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν Θεόν.

14 Μέλλοντος δὲ τοῦ Παύλου ἀνοίγειν τὸ στόμα, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους· Εἰ μὲν οὖν ἦν ἀδίκημά τι ἢ ῥᾳδιούργημα

ἐφοβοῦντον τὸν Θεὸν, τοῦ ὁποίου τὸ σπῆτι ἦτον σύμπλιον μὲ τὸ συναγώγι.

8 Καὶ ὁ Κρίσπος ὁ ἀρχισυνάγωγος ἐπίστευσεν εἰς τὸν Κύριον μὲ ὅλον του τὸ σπῆτι· καὶ πολλοὶ ἀπὸ τοὺς Κορινθίους ἀκούοντες ἐπίστευαν, καὶ ἐβαπτίζουνταν.

9 Καὶ ὁ Κύριος εἶπεν εἰς τὸν Παῦλον τὴν νύκτα εἰς τὸ ὅραμά του· Μὴν φοβᾶσαι, ἀλλὰ λάλει, καὶ μὴν σιωπήσῃς·

10 Διατὶ ἐγὼ εἶμαι μετ' ἐσένα, καὶ κανένας δὲν θέλει βάλλει χέρι ἀπάνω σου, νὰ σε κακοποιήσῃ· διατὶ πολὺς λαός μου εἶναι εἰς ἐτούτην τὴν πόλιν.

11 Καὶ ἐκάθισεν εἰς τὴν Κόρινθον ἕνα χρόνον καὶ ἕξι μῆνας, διδάσκωντας εἰς αὐτοὺς τὸν λόγον τοῦ Θεοῦ.

12 Ἀμὴ ὅταν ὁ Γαλλίων ἔγινεν ἀνθύπατος τῆς Ἀχαΐας, ἐσηκώθηκαν ὅλοι οἱ Ἰουδαῖοι μὲ μίαν γνώμην ἐναντία τοῦ Παύλου, καὶ ἔφεράν τον εἰς τὸ κριτήριον,

13 Καὶ ἔλεγαν· Ἐτοῦτος ὁ ἄνθρωπος καταπείθει τοὺς ἀνθρώπους νὰ σέβουνται τὸν Θεὸν ἔξω ἀπὸ τὸν νόμον.

14 Καὶ ἐκεῖ ὅπου ἔμελλεν ὁ Παῦλος νὰ ἀνοίξῃ τὸ στόμα του, εἶπεν ὁ Γαλλίων εἰς τοὺς Ἰουδαίους· Ἂν ἴσως καὶ ἦτον, ὦ Ἰουδαῖοι, τίποτες ἀδίκημα, ἢ κάμωμα

πονηρὸν, ὦ Ἰουδαῖοι, κατὰ
λόγον ἂν ἠνεσχόμην ὑμῶν·
15 Εἰ δὲ ζήτημά ἐστι περὶ
λόγου καὶ ὀνομάτων καὶ νόμου
τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐ-
τοί· κριτὴς γὰρ ἐγὼ τούτων οὐ
βούλομαι εἶναι.

16 Καὶ ἀπήλασεν αὐτοὺς
ἀπὸ τοῦ βήματος.
17 Ἐπιλαβόμενοι δὲ πάν-
τες οἱ Ἕλληνες Σωσθένην τὸν
ἀρχισυνάγωγον, ἔτυπτον ἔμ-
προσθεν τοῦ βήματος· καὶ
οὐδὲν τούτων τῷ Γαλλίωνι
ἔμελεν.
18 Ὁ δὲ Παῦλος ἔτι
προσμείνας ἡμέρας ἱκανὰς,
τοῖς ἀδελφοῖς ἀποταξάμενος,
ἐξέπλει εἰς τὴν Συρίαν· καὶ
σὺν αὐτῷ Πρίσκιλλα καὶ
Ἀκύλας, κειράμενος τὴν
κεφαλὴν ἐν Κεγχρεαῖς· εἶχε
γὰρ εὐχήν.

19 Κατήντησε δὲ εἰς
Ἔφεσον, κἀκείνους κατέλιπεν
αὐτοῦ· αὐτὸς δὲ εἰσελθὼν εἰς
τὴν συναγωγὴν, διελέχθη τοῖς
Ἰουδαίοις.

20 Ἐρωτώντων δὲ αὐτῶν
ἐπὶ πλείονα χρόνον μεῖναι
παρ' αὐτοῖς, οὐκ ἐπένευ-
σεν.
21 Ἀλλ' ἀπετάξατο αὐτοῖς,
εἰπών· Δεῖ με πάντως τὴν ἑορ-
τὴν τὴν ἐρχομένην ποιῆσαι εἰς
Ἱεροσόλυμα· πάλιν δὲ ἀνα-

κακὸν, ἤθελα σᾶς ὑπομείνη
κατὰ τὸ δίκαιον·
15 Ἀμὴ ἐπειδὴ καὶ εἶναι
ζήτημα διὰ λόγους καὶ ὀνό-
ματα, καὶ νόμον τὸν ἰδικόν
σας, ἐσεῖς θέλετε τὰ εἰδῆ·
ἐγὼ δὲν θέλω νὰ γενῶ κριτὴς
ἐτούτων τῶν πραγμάτων.
16 Καὶ τοὺς ἐδίωξεν ἀπὸ
τὸ κριτήριον.
17 Καὶ ὅλοι οἱ Ἕλληνες
πιάνοντες τὸν Σωσθένην τὸν
ἀρχισυνάγωγον, τὸν ἔδερναν
ὀμπροστὰ εἰς τὸ κριτήριον· καὶ
διὰ τοῦτο τὸ πρᾶγμα τὸν Γαλ-
λίωνα δὲν τὸν ἔμελεν τίποτες.
18 Καὶ ὁ Παῦλος ἀπόμει-
νεν ἐκεῖ ἀκόμι ἀρκεταῖς ἡμέ-
ραις, ἐν τὰ ἐχαιρέτησε τοὺς
ἀδελφοὺς, καὶ ἔπλευσεν εἰς τὴν
Συρίαν· καὶ μετ' αὐτὸν μαζὺ
ὁ Ἀκύλας καὶ ἡ Πρίσκιλλα,
καὶ ὁ Ἀκύλας ἐκουρεύθη εἰς
ταῖς Κεγχρεαῖς· διατὶ εἶχεν
ἀπάνω του τάξιμον.
19 Καὶ ὁ Παῦλος ἐκατάν-
τησεν εἰς τὴν Ἔφεσον, καὶ
ἐκείνους τοὺς ἄφησεν ἐκεῖ· καὶ
αὐτὸς ἐμβαίνωντας εἰς τὸ
συναγώγι, ἐδιαλέγοντον μὲ
τοὺς Ἰουδαίους.
20 Καὶ ἐκεῖνοι τὸν ἐπαρα-
καλοῦσαν νὰ σταθῇ σιμὰ εἰς
αὐτοὺς περισσότερον καιρὸν,
ἀλλὰ δὲν ἔκλινεν.
21 Ἀλλὰ μισεύωντας τοὺς
ἐχαιρέτησε, καὶ εἶπε· Χρεία
εἶναι βέβαια, τὴν ἐρχομένην
ἑορτὴν νὰ τὴν κάμω εἰς τὰ

κάμψω πρὸς ὑμᾶς, τοῦ Θεοῦ θέλοντος. Καὶ ἀνήχθη ἀπὸ τῆς Ἐφέσου.

22 Καὶ κατελθὼν εἰς Καισάρειαν, ἀναβὰς, καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν.

23 Καὶ ποιήσας χρόνον τινὰ, ἐξῆλθε, διερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, ἐπιστηρίζων πάντας τοὺς μαθητάς.

24 Ἰουδαῖος δέ τις Ἀπολλὼς ὀνόματι, Ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς γραφαῖς.

25 Οὗτος ἦν κατηχημένος τὴν ὁδὸν τοῦ Κυρίου· καὶ ζέων τῷ πνεύματι, ἐλάλει καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Κυρίου, ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάννου.

26 Οὗτός τε ἤρξατο παῤῥησιάζεσθαι ἐν τῇ συναγωγῇ. Ἀκούσαντες δὲ αὐτοῦ Ἀκύλας καὶ Πρίσκιλλα, προσελάβοντο αὐτὸν, καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ Θεοῦ ὁδόν.

27 Βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν Ἀχαΐαν, προτρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν

Ἱεροσόλυμα· καὶ πάλιν ἂν θέλῃ ὁ Θεὸς, θέλω γυρίσει εἰς ἐσᾶς. Καὶ εὐγῆκεν μὲ τὸ καράβι ἀπὸ τὴν Ἔφεσον.

22 Καὶ ἐκατέβη εἰς τὴν Καισάρειαν, ἔπειτα ἀνέβη εἰς τὴν Ἱερουσαλὴμ καὶ ἐχαιρέτησε τὴν ἐκκλησίαν, ἔπειτα ἐκατέβη εἰς τὴν Ἀντιόχειαν.

23 Καὶ ὡσὰν ἔκαμεν ἐκεῖ καμπόσον καιρὸν, εὐγῆκε, καὶ ἤρχουντον τρυγύρω ἀράδα τὸν τόπον τῆς Γαλατίας καὶ τὴν Φρυγίαν, ἐπιστηρίζων ὅλους τοὺς μαθητάδες.

24 Καὶ κάποιος Ἰουδαῖος τὸ ὄνομά του Ἀπολλὼς, Ἀλεξανδρεὺς τὸ γένος, ἄνθρωπος λόγιος, ἐκατάντησεν εἰς τὴν Ἔφεσον, καὶ ἦτον δυνατὸς εἰς ταῖς γραφαῖς.

25 Ἐτοῦτος ἦτον διδαγμένος τὴν στράταν τοῦ Κυρίου· καὶ θερμότατος κατὰ τὸ πνεῦμα, καὶ ἐλάλει καὶ ἐδίδασκε καταλεπτῶς τὰ πράγματα τοῦ Κυρίου, ἰξεύροντας μόνον τὸ βάπτισμα τοῦ Ἰωάννου.

26 Ἐτοῦτος ἄρχισε νὰ παῤῥησιάζεται εἰς τὴν συναγωγήν. Καὶ ἀκούοντές τον ὁ Ἀκύλας καὶ ἡ Πρίσκιλλα, τὸν ἐπῆραν εἰς τοῦ λόγου τους, καὶ τὸν ἐδίδαξαν ἀκριβέστερον τὴν στράταν τοῦ Θεοῦ.

27 Καὶ θέλωντας αὐτὸς νὰ πάγῃ εἰς τὴν Ἀχαΐαν, τὸν ἐπαρακίνησαν καὶ οἱ ἀδελφοὶ, καὶ

τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν· ὅς παραγενόμενος, συνεβάλετο πολὺ τοῖς πεπιστευκόσι διὰ τῆς χάριτος.

28 Εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο δημοσίᾳ, ἐπιδεικνὺς διὰ τῶν γραφῶν, εἶναι τὸν Χριστὸν Ἰησοῦν.

ἔγραψαν εἰς τοὺς μαθητάδες νὰ τὸν δεχθοῦσιν· ὁ ὁποῖος παγένωντας εἰς ἐκείνους, ἐβοήθησε πολλὰ ἐκείνους ὁποῦ ἐπίστευσαν διὰ μέσου τῆς χάριτος.

28 Διατὶ ἔλεγχε δυνατὰ τοὺς Ἰουδαίους παῤῥησίᾳ, δείχνωντας ἀπὸ ταῖς γραφαῖς, πῶς ὁ Ἰησοῦς εἶναι ὁ Χριστός.

Κεφ. ιθ'. 19.

ἘΓένετο δὲ ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ, Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν εἰς Ἔφεσον· καὶ εὑρών τινας μαθητὰς,

2 Εἶπε πρὸς αὐτούς· Εἰ Πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; Οἱ δὲ εἶπον πρὸς αὐτόν· Ἀλλ' οὐδὲ εἰ Πνεῦμα ἅγιόν ἐστιν, ἠκούσαμεν.

3 Εἶπέ τε πρὸς αὐτούς· Εἰς τί οὖν ἐβαπτίσθητε; Οἱ δὲ εἶπον· Εἰς τὸ Ἰωάννου βάπτισμα.

4 Εἶπε δὲ Παῦλος· Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων, εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι, τουτέστιν, εἰς τὸν Χριστὸν Ἰησοῦν.

5 Ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.

ΚΑῚ ὅταν ἦτον ὁ Ἀπολλῶς εἰς τὴν Κόρινθον, ὁ Παῦλος ἐπέρασε τὰ ἀπάνω μέρη, καὶ ἦλθεν εἰς τὴν Ἔφεσον· καὶ εὐρῆκε κάποιους μαθητάδες,

2 Καὶ εἶπέν τους· Ἐλάβετε Πνεῦμα ἅγιον, ὅταν ἐπιστεύσατε; Καὶ ἐκεῖνοι τοῦ εἶπαν· Ἀλλὰ οὐδὲ ἂν εἶναι Πνεῦμα ἅγιον, ἀκούσαμεν.

3 Καὶ ἐκεῖνος τοὺς εἶπεν· Εἰς τί λοιπὸν ἐβαπτίσθητε; Καὶ ἐκεῖνοι εἶπαν· Εἰς τὸ βάπτισμα τοῦ Ἰωάννου.

4 Καὶ ὁ Παῦλος εἶπεν· Ὁ Ἰωάννης ἐβάπτισε βάπτισμα μετανοίας, λέγωντας εἰς τὸν λαὸν, διὰ νὰ πιστεύσουν εἰς ἐκεῖνον ὁποῦ ἔρχεται καταπόδι ἀπ' αὐτὸν, τουτέστιν, εἰς τὸν Χριστὸν Ἰησοῦν.

5 Καὶ ἐκεῖνοι ὁποῦ τὸ ἄκουσαν ἐβαπτίσθηκαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.

6 Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλȣ τὰς χεῖρας, ἦλθε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτȣ́ς· ἐλάλουν τε γλώσσαις, καὶ προεφήτευον.

7 Ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο.

8 Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν, ἐπαῤῥησιάζετο, ἐπὶ μῆνας τρεῖς διαλεγόμενος καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ Θεȣ͂.

9 Ὡς δέ τινες ἐσκληρύνοντο καὶ ἠπείθουν, κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθȣς, ἀποστὰς ἀπ' αὐτῶν, ἀφώρισε τȣ̀ς μαθητὰς, καθ' ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ Τυράννȣ τινός.

10 Τȣ͂το δὲ ἐγένετο ἐπὶ ἔτη δύο· ὥστε πάντας τȣ̀ς κατοικοῦντας τὴν Ἀσίαν ἀκȣ͂σαι τὸν λόγον τοῦ Κυρίȣ Ἰησοῦ, Ἰουδαίους τε καὶ Ἕλληνας.

11 Δυνάμεις τε ȣ̓ τὰς τυχȣ́σας ἐποίει ὁ Θεὸς διὰ τῶν χειρῶν Παύλȣ·

12 Ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τȣ͂ χρωτὸς αὐτȣ͂ σουδάρια ἢ σιμικίνθια, καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσȣς, τὰ

6 Καὶ ὡσὰν ἔβαλεν ὁ Παῦλος τὰ χέριά τȣ ἀπάνω τȣς, ἦλθε τὸ Πνεῦμα τὸ ἅγιον εἰς αὐτȣ́ς· καὶ ἐσυντύχαιναν γλώσσαις, καὶ ἐπροφήτευαν.

7 Καὶ ὅλοι ἦταν ἕως δώδεκα ἄνδρες.

8 Καὶ ὁ Παῦλος ἐπάγενεν εἰς τὴν συναγωγὴν, καὶ ἐπαῤῥησιάζουντον, εἰς τρεῖς μῆνες διαλεγόμενος καὶ πείθωντάς τȣς εἰς τὰ πράγματα τῆς βασιλείας τȣ͂ Θεȣ͂.

9 Καὶ ἐπειδὴ κάποιοι ἐσκληρύνουνταν καὶ δὲν ἐπείθουνταν, ἀμὴ ἐκακολογȣ͂σαν τὴν πίστιν τȣ͂ Χριστȣ͂ ὀμπροστὰ εἰς τὸ πλῆθος, μακρύνωντας ἀπ' αὐτȣ̀ς, ἐχώρισε τȣ̀ς μαθητάδες, καὶ ἐδιαλέγουντον κάθε ἡμέραν εἰς σχολεῖον κάποιȣ ὁπȣ͂ ἐλέγετον Τύραννος.

10 Καὶ τȣ͂το ἐγίνετον δύο χρόνȣς· εἰς τόσον ὁπȣ͂ ὅλοι ὅσοι ἐκατοικȣ͂σαν τὴν Ἀσίαν, καὶ οἱ Ἰȣδαῖοι καὶ οἱ Ἕλληνες, ἄκȣσαν τὸν λόγον τοῦ Κυρίȣ Ἰησοῦ.

11 Καὶ διὰ μέσου τῶν χειρῶν τοῦ Παύλȣ ὁ Θεὸς ἔκαμε δυνάμεις πολλὰ μεγάλαις·

12 Εἰς τόσον ὁπȣ͂ ἐφέρνασιν εἰς τȣ̀ς ἀσθενημένȣς ἀπὸ τὸ κορμί τȣ μανδύλια ἢ ποδίαις, καὶ ἐλευθερώνουνται αὐτοὶ ἀπὸ ταῖς ἀσθένειαις,

τε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ' αὐτῶν.

13 Ἐπεχείρησαν δέ τινες ἀπὸ τῶν περιερχομένων Ἰουδαίων ἐξορκιστῶν ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, λέγοντες· Ὁρκίζομεν ὑμᾶς τὸν Ἰησοῦν ὃν ὁ Παῦλος κηρύσσει.

14 Ἦσαν δέ τινες υἱοὶ Σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ, οἱ τοῦτο ποιοῦντες.

15 Ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν, εἶπε· Τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι· ὑμεῖς δὲ τίνες ἐστέ;

16 Καὶ ἐφαλλόμενος ἐπ' αὐτοὺς ὁ ἄνθρωπος ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρὸν, καὶ κατακυριεύσας αὐτῶν, ἴσχυσε κατ' αὐτῶν, ὥστε γυμνοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου.

17 Τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλλησι τοῖς κατοικοῦσι τὴν Ἔφεσον· καὶ ἐπέπεσε φόβος ἐπὶ πάντας αὐτοὺς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ·

18 Πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο, ἐξομολογού-

καὶ τὰ πονηρὰ πνεύματα εὔγιναν ἀπ' αὐτούς.

13 Καὶ κάποιοι ἀπὸ τοὺς Ἰουδαίους ἐξορκιστάδες ὁποῦ ἤρχουνταν τρυγύρω ἄρχισαν νὰ ὀνομάζουν τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ εἰς ἐκείνους ὁποῦ εἶχαν τὰ πονηρὰ πνεύματα, λέγοντες· Σᾶς ὁρκίζομεν εἰς τὸν Ἰησοῦν, τὸν ὁποῖον ὁ Παῦλος κηρύττει.

14 Καὶ ἐκεῖνοι ὁποῦ ἔκαμαν ἐτοῦτο, ἦταν οἱ ἑπτὰ υἱοὶ ἑνὸς Ἰουδαίου ἀρχιερέως, τὸ ὄνομά του Σκευᾶ.

15 Καὶ τοὺς ἀπεκρίθη τὸ πνεῦμα τὸ πονηρὸν, καὶ εἶπε· Ἐγὼ τὸν Ἰησοῦν τὸν γνωρίζω, καὶ τὸν Παῦλον τὸν ἐξεύρω· ἀμὴ ἐσεῖς ποῖοι εἶσθε;

16 Καὶ ἐπήδησεν ἀπάνω τους ὁ ἄνθρωπος εἰς τὸν ὁποῖον ἦτον κατοικημένον τὸ πνεῦμα τὸ πονηρὸν, καὶ ἐδυναμώθη ἐναντία τους, τόσον ὁποῦ ἔφυγαν γυμνοὶ καὶ πληγωμένοι ἀπὸ τὸ σπῆτι ἐκεῖνο.

17 Καὶ τοῦτο τὸ ἔμαθαν ὅλοι οἱ Ἰουδαῖοι καὶ οἱ Ἕλληνες ὁποῦ ἐκατοικοῦσαν τὴν Ἔφεσον· καὶ μεγάλος φόβος ἔπεσεν εἰς αὐτοὺς ὅλους, καὶ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ ἐμεγαλύνουνταν·

18 Καὶ πολλοὶ ἀπ' ἐκείνους ὁποῦ ἐπίστευσαν ἤρχουνταν, καὶ

μενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν.

19 Ἱκανοὶ δὲ τῶν τὰ περίεργα πραξάντων, συνενέγκαντες τὰς βίβλους, κατέκαιον ἐνώπιον πάντων· καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν, καὶ εὗρον ἀργυρίου μυριάδας πέντε.

20 Οὕτω κατὰ κράτος ὁ λόγος τοῦ Κυρίου ηὔξανε καὶ ἴσχυεν.

21 Ὡς δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος ἐν τῷ πνεύματι, διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, πορεύεσθαι εἰς Ἱερουσαλὴμ, εἰπών· Ὅτι μετὰ τὸ γενέσθαι με ἐκεῖ, δεῖ με καὶ Ῥώμην ἰδεῖν.

22 Ἀποστείλας δὲ εἰς τὴν Μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ, Τιμόθεον καὶ Ἔραστον, αὐτὸς ἐπέσχε χρόνον εἰς τὴν Ἀσίαν.

23 Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ.

24 Δημήτριος γάρ τις ὀνόματι, ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος, παρείχετο τοῖς τεχνίταις ἐργασίαν οὐκ ὀλίγην.

25 Οὓς συναθροίσας, καὶ

ἐξομολογοῦνταν, καὶ ἔλεγαν τὰ καμώματά τους.

19 Καὶ πολλοὶ ἀπὸ ἐκείνους ὁποῦ ἔκαμαν τὰ μαγικὰ πράγματα, ἐμάζωξαν καὶ ἔφεραν τὰ βιβλία τους, καὶ τὰ ἔκαιαν ὀμπροστὰ εἰς ὅλους· καὶ ἐλογάριασαν τὴν τιμήν τους, καὶ εὑρῆκαν καὶ ἄχριζαν πενῆντα χιλιάδες ἀργύρια.

20 Τέτοιας λογῆς ὁ λόγος τοῦ Κυρίου αὔξανε δυνατὰ, καὶ ἐδυναμώνετον.

21 Καὶ ὡσὰν ἐτελειώθηκαν ἐτοῦτα, ὁ Παῦλος ἔβαλλεν εἰς τὸν νοῦν του, γυρίζωντας τὴν Μακεδονίαν καὶ τὴν Ἀχαΐαν, νὰ πάγῃ εἰς τὴν Ἱερουσαλὴμ, λέγωντας· Ὅτι ἀφόντις πάγω ἐκεῖ, κάμνει χρεία νὰ εἰδῶ καὶ τὴν Ῥώμην.

22 Καὶ ἔστειλε δύο ἀπ' ἐκείνους ὁποῦ τὸν ὑπηρετοῦσαν, τὸν Τιμόθεον καὶ τὸν Ἔραστον, εἰς τὴν Μακεδονίαν, καὶ αὐτὸς ἐστάθη καμπόσον καιρὸν εἰς τὴν Ἀσίαν.

23 Καὶ τὸν καιρὸν ἐκεῖνον ἔγινε ταραχὴ μεγάλη διὰ τὴν στράταν (τῆς πίστεως.)

24 Διατὶ κάποιος τὸ ὄνομά του Δημήτριος, ἀργυροχόος, κάμνωντας ναοὺς ἀσημένιους τῆς Ἀρτέμιδος, ἔδιδε εἰς τοὺς τεχνίτας μεγάλον διάφορον.

25 Τοὺς ὁποίους τεχνίτας, καὶ

τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν· Ἄνδρες, ἐπίστασθε ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐπορία ἡμῶν ἐστι·

26 Καὶ θεωρεῖτε καὶ ἀκούετε ὅτι οὐ μόνον Ἐφέσου, ἀλλὰ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος οὗτος πείσας μετέστησεν ἱκανὸν ὄχλον, λέγων ὅτι οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν γινόμενοι.

27 Οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς Ἀρτέμιδος ἱερὸν εἰς οὐδὲν λογισθῆναι, μέλλειν τε καὶ καθαιρεῖσθαι τὴν μεγαλειότητα αὐτῆς, ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται.

28 Ἀκούσαντες δὲ, καὶ γενόμενοι πλήρεις θυμοῦ, ἔκραζον, λέγοντες· Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων.

29 Καὶ ἐπλήσθη ἡ πόλις ὅλη συγχύσεως· ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον, συναρπάσαντες Γάϊον καὶ Ἀρίσταρχον Μακεδόνας, συνεκδήμους τοῦ Παύλου.

30 Τοῦ δὲ Παύλου βουλομένου

ἐργάτας ὁποῦ ἦταν εἰς τέτοια πράγματα, τοὺς ἐμάζωξε, καὶ εἶπεν· Ὦ ἄνδρες, ἠξεύρετε καλὰ ὅτι ἀπὸ τούτην τὴν δουλείαν εἶναι τὸ κέρδος τῆς ζωῆς μας·

26 Καὶ τώρα βλέπετε καὶ ἀκούετε, ὅτι ὄχι μόνον τὴν Ἔφεσον, ἀλλὰ ὡραμὰν ὅλην τὴν Ἀσίαν ἐτοῦτος ὁ Παῦλος ἔπεισε καὶ ἐμεταγύρισε πολὺν λαὸν, μὲ τὸ νὰ λέγῃ πῶς δὲν εἶναι Θεοὶ ἐκεῖνοι ὁποῦ γένουνται μὲ χέρια.

27 Καὶ ὄχι μόνον εἶναι κίνδυνος εἰς ἐμᾶς νὰ ἐλεγχθῇ τοῦτο τὸ μέρος τῆς τέχνης, ἀλλὰ κινδυνεύει καὶ τὸ ἱερὸν τῆς μεγάλης Θεᾶς τῆς Ἀρτέμιδος, νὰ μὴν ψηφᾶται πλέον διὰ οὐδετίποτες, καὶ μέλλει νὰ χαλασθῇ τὸ μεγαλεῖόν της, τὴν ὁποίαν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη τιμᾷ.

28 Καὶ ἐκεῖνοι ὡσὰν τὸ ἄκουσαν, ἐθύμωσαν καταπολλὰ, καὶ ἐφώναζαν καὶ ἔλεγαν· Ἡ Ἄρτεμις τῶν Ἐφεσίων εἶναι μεγάλη.

29 Καὶ ὅλη ἡ πόλις ἐγέμισε σύγχυσιν· καὶ ὥρμησαν μαζὺ ὅλοι εἰς τὸ θέατρον, καὶ ἅρπαξαν μαζὺ τὸν Γάϊον καὶ τὸν Ἀρίσταρχον τοὺς Μακεδονίτας, οἱ ὁποῖοι ἦταν σύντροφοι τοῦ Παύλου.

30 Καὶ ὁ Παῦλος ἤθελε

εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ μαθηταί.

31 Τινὲς δὲ καὶ τῶν Ἀσιαρχῶν ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν, παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον.

32 Ἄλλοι μὲν οὖν ἄλλο τι ἔκραζον· ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη, καὶ ὁ πλείους οὐκ ᾔδεισαν τίνος ἕνεκεν συνεληλύθεισαν.

33 Ἐκ δὲ τοῦ ὄχλου προεβίβασαν Ἀλέξανδρον, προβαλλόντων αὐτὸν τῶν Ἰουδαίων· ὁ δὲ Ἀλέξανδρος κατασείσας τὴν χεῖρα, ἤθελεν ἀπολογεῖσθαι τῷ δήμῳ.

34 Ἐπιγνόντων δὲ ὅτι Ἰουδαῖός ἐστι, φωνὴ ἐγένετο μία ἐκ πάντων, ὡς ἐπὶ ὥρας δύο κραζόντων· Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων.

35 Καταστείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον, φησίν· Ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἄνθρωπος ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν νεωκόρον οὖσαν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος, καὶ τοῦ Διοπετοῦς;

νὰ ἔμβῃ μέσα εἰς τὸ πλῆθος, ἀμὴ οἱ μαθητάδες δὲν τὸν ἄφηκαν.

31 Καὶ κάποιοι ἀπὸ τοὺς ἄρχοντας τῆς Ἀσίας, οἱ ὁποῖοι ἦταν φίλοι του, ἔστειλαν εἰς αὐτὸν ἀνθρώπους, καὶ τὸν ἐπαρακαλοῦσαν νὰ μὴν δώσῃ τοῦ λόγου του εἰς τὸ θέατρον.

32 Ἄλλοι λοιπὸν ἐφώναζαν ἄλλο τι καὶ ἄλλοι ἄλλο· διατὶ ἡ σύναξις ἦτον συγχυσμένη, καὶ οἱ περισσότεροι δὲν ἴξευραν διὰ ποῖαν ἀφορμὴν ἐμαζώχθηκαν.

33 Καὶ ἀπὸ τὸν ὄχλον εὔγαλαν καὶ ἐπροβίβασαν τὸν Ἀλέξανδρον, ἔστωντας νὰ τὸν προβάλλουν οἱ Ἰουδαῖοι· καὶ ὁ Ἀλέξανδρος ἔσεισε τὸ χέρι του, καὶ ἤθελε νὰ ἀποκριθῇ εἰς τὸν λαόν.

34 Ἀμὴ ὡσὰν ἐγνώρισαν ὅτι εἶναι Ἰουδαῖος, ἔγινε μία φωνὴ ἀπὸ ὅλους, οἱ ὁποῖοι ἐφώναζαν ἕως δύο ὥραις· Ἡ Ἄρτεμις τῶν Ἐφεσίων εἶναι μεγάλη.

35 Καὶ ὁ γραμματεὺς ἔστωντας νὰ καταπαύσῃ τὸ πλῆθος, εἶπεν· Ὦ ἄνδρες Ἐφέσιοι, ποῖος εἶναι ἐκεῖνος ὁ ἄνθρωπος, ὁποῦ δὲν ἰξεύρει τὴν πόλιν τῶν Ἐφεσίων, πῶς εἶναι στολίστρια τοῦ ναοῦ τῆς μεγάλης Θεᾶς τῆς Ἀρτέμιδος, καὶ τοῦ (εἰδώλου) ὁποῦ ἔπεσεν ἀπὸ τὸν Δία;

36 Ἀναντιῤῥήτων οὖν ὄντων τούτων, δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν, καὶ μηδὲν προπετὲς πράττειν.

37 Ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους, οὔτε ἱεροσύλους, οὔτε βλασφημοῦντας τὴν θεὰν ὑμῶν.

38 Εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ τεχνῖται πρός τινα λόγον ἔχουσιν, ἀγοραῖοι ἄγονται, καὶ ἀνθύπατοί εἰσιν· ἐγκαλείτωσαν ἀλλήλοις·

39 Εἰ δέ τι περὶ ἑτέρων ἐπιζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται.

40 Καὶ γὰρ κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σήμερον, μηδενὸς αἰτίου ὑπάρχοντος· περὶ οὗ δυνησόμεθα ἀποδοῦναι λόγον τῆς συστροφῆς ταύτης. Καὶ ταῦτα εἰπὼν, ἀπέλυσε τὴν ἐκκλησίαν.

36 Ἐπειδὴ λοιπὸν ἐτοῦτα εἶναι ἀναντίῤῥητα, πρέπει ἐσεῖς νὰ ἡσυχάζετε, καὶ νὰ μὴν κάμετε τίποτες ἀπόκοτον.

37 Διατὶ ἐφέρετε ἐτούτους τοὺς ἄνδρας, οἱ ὁποῖοι οὔτε ἱερόσυλοι εἶναι, οὔτε τὴν Θεάν σας βλασφημοῦσιν.

38 Ἂν ἴσως ὁ Δημήτριος καὶ ἐκεῖνοι ὁποῦ εἶναι μαζὺ μετ' αὐτὸν οἱ συντεχνῖταί του, ἔχουσι μὲ κανένα κρίσιν, εἶναι ἡμέραις ὁποῦ γίνονται κρίσαις, καὶ εἶναι καὶ ἀνθύπατοι· ἂς ἐγκαλεσθοῦσιν ἕνας μὲ τὸν ἄλλον.

39 Ἀμὴ ἀνίσως καὶ ζητᾶτε διὰ ἄλλα, θέλουσι λυθῇ εἰς τὴν σύνοδον τὴν διατεταγμένην.

40 Διατὶ κινδυνεύομεν μήπως καὶ ἐγκαλεσθοῦμεν πῶς ἐκάμαμεν σήμερον στάσιν, ὁποῦ δὲν ἦτον τίποτες ἀφορμὴ, διὰ τὴν ὁποίαν νὰ ἠμποροῦμεν νὰ δώσωμεν λογαριασμὸν ἐτούτης τῆς συνδρομῆς. Καὶ ὡσὰν εἶπεν ἐτοῦτα, ἔλυσε τὴν σύναξιν.

Κεφ. κ'. 20.

ΜΕΤΑ' δὲ τὸ παύσασθαι τὸν θόρυβον, προσκαλεσάμενος ὁ Παῦλος τοὺς μαθητὰς καὶ ἀσπασάμενος, ἐξῆλθε πορευθῆναι εἰς τὴν Μακεδονίαν.

ΚΑΙ' ὕστερον ἀφόντις ἔπαυσεν ἡ σύγχυσις, ἐπροσκάλεσεν ὁ Παῦλος τοὺς μαθητάδες, καὶ τοὺς ἐχαιρέτησε καὶ εὐγῆκε νὰ πάγῃ εἰς τὴν Μακεδονίαν.

2 Διελθὼν δὲ τὰ μέρη ἐκεῖνα, καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν Ἑλλάδα.

3 Ποιήσας τε μῆνας τρεῖς, γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων μέλλοντι ἀνάγεσθαι εἰς τὴν Συρίαν, ἐγένετο γνώμη τοῦ ὑποστρέφειν διὰ Μακεδονίας.

4 Συνείπετο δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας Σώπατρος Βεροιαῖος· Θεσσαλονικέων δὲ, Ἀρίσταρχος καὶ Σεκοῦνδος· καὶ Γάϊος Δερβαῖος καὶ Τιμόθεος· Ἀσιανοὶ δὲ, Τυχικὸς καὶ Τρόφιμος.

5 Οὗτοι προελθόντες ἔμενον ἡμᾶς ἐν Τρωάδι.

6 Ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας τῶν Ἀζύμων ἀπὸ Φιλίππων, καὶ ἤλθομεν πρὸς αὐτοὺς εἰς τὴν Τρωάδα ἄχρις ἡμερῶν πέντε, οὗ διετρίψαμεν ἡμέρας ἑπτά.

7 Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων, συνηγμένων τῶν μαθητῶν τοῦ κλάσαι ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς, μέλλων ἐξιέναι τῇ ἐπαύριον· παρέτεινέ τε τὸν λόγον μέχρι μεσονυκτίου.

2 Καὶ ἐπέρασεν ἐκεῖνα τὰ μέρη, καὶ μὲ πολλὰ λόγια τοὺς ἐνουθέτησε, καὶ ἦλθεν εἰς τὴν Ἑλλάδα.

3 Καὶ ἔκαμεν ἐκεῖ τρεῖς μῆνας, καὶ ἔσωντας νὰ γένη ἐπιβουλὴ ἀπὸ τοὺς Ἰουδαίους εἰς αὐτὸν, ὅπου ἔμελλε νὰ πάγῃ μὲ καράβι εἰς τὴν Συρίαν, ἐσυμβουλεύθη νὰ γυρίσῃ διὰ μέσου τῆς Μακεδονίας.

4 Καὶ τὸν ἀκολούθαν ἕως τὴν Ἀσίαν ὁ Σωσίπατρος ὁ Βεροιαῖος· καὶ ἀπὸ τοὺς Θεσσαλονικεῖς, ὁ Ἀρίσταρχος καὶ ὁ Σεκοῦνδος, καὶ Γάϊος Δερβαῖος καὶ Τιμόθεος· καὶ ἀπὸ τοὺς Ἀσιανοὺς, ὁ Τυχικὸς καὶ ὁ Τρόφιμος.

5 Καὶ ἐτοῦτοι ἔσωντας νὰ πᾶσι προτίτερα μᾶς ἀνάμεναν εἰς τὴν Τρωάδα.

6 Καὶ ἐμεῖς ὕστερα ἀπὸ ταῖς ἡμέραις τῶν Ἀζύμων ἐμβήκαμεν εἰς τὸ καράβι ἀπὸ τοὺς Φιλίππους, καὶ ἤλθαμεν εἰς αὐτοὺς εἰς πέντε ἡμέραις εἰς τὴν Τρωάδα, καὶ ἐκεῖ ἐκάμαμεν ἑπτὰ ἡμέραις.

7. Καὶ τὴν πρώτην ἡμέραν τῆς ἑβδομάδος, ἐκεῖ ὅπου ἦταν μαζωμένοι οἱ μαθητάδες νὰ κόψουσι ψωμὶ, ὁ Παῦλος τοὺς ἐδιαλέγουντον, μέλλωντας νὰ εὔγῃ ἐπὶ τὴν αὔριον· καὶ ἐμάκρυνε τὸν λόγον ἕως τὸ μεσάνυκτον.

8 Ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ ὖ ἦσαν συνηγμένοι.

9 Καθήμενος δέ τις νεανίας ὀνόματι Εὔτυχος ἐπὶ τῆς θυρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ, διαλεγομένȣ τοῦ Παύλȣ ἐπὶ πλεῖον, κατενεχθεὶς ἀπὸ τοῦ ὕπνȣ, ἔπεσεν ἀπὸ τοῦ τριςέγȣ κάτω· καὶ ἤρθη νεκρός.

10 Καταβὰς δὲ ὁ Παῦλος ἐπέπεσεν αὐτῷ καὶ συμπεριλαβὼν εἶπε· Μὴ θορυβεῖσθε· ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐςιν.

11 Ἀναβὰς δὲ, καὶ κλάσας ἄρτον καὶ γευσάμενος, ἐφ᾽ ἱκανόν τε ὁμιλήσας ἄχρις αὐγῆς, ὕτως ἐξῆλθεν.

12 Ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν ὐ μετρίως.

13 Ἡμεῖς δὲ προελθόντες ἐπὶ τὸ πλοῖον, ἀνήχθημεν εἰς τὴν Ἄσσον, ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν Παῦλον· ὕτω γὰρ ἦν διατεταγμένος, μέλλων αὐτὸς πεζεύειν.

14 Ὡς δὲ συνέβαλεν ἡμῖν εἰς τὴν Ἄσσον, ἀναλαβόντες αὐτὸν ἤλθομεν εἰς Μιτυλήνην.

8 Καὶ ἦταν καὶ πολλαῖς λαμπάδες ἀναμμέναις εἰς τὸ ἀνώγεον, ἐκεῖ ὁπȣ̃ εἴμασθαν μαζωμένοι.

9 Καὶ κάποιος νέος, τὸ ὄνομά τȣ Εὔτυχος, ἐκάθετον εἰς τὸ παράθυρον, καὶ ἐκοιμᾶτον βαθεία, καὶ ὁ Παῦλος διαλεγόμενος περισσότερον, ὁ νέος ἔγυρεν ἀπὸ τὸν ὕπνον, καὶ ἔπεσεν ἀπὸ τὸ τρίπατον κάτω· καὶ τὸν ἐσήκωσαν νεκρόν.

10 Καὶ ὁ Παῦλος ἐκατέβη καὶ ἔπεσεν ἀπάνω τȣ, καὶ ἀγκάλιασέ τον, καὶ εἶπε· Μὴ συγχύζεσθε· διατὶ ἡ ψυχή τȣ εἶναι μέσα τȣ.

11 Καὶ ἀνέβη, καὶ ἔκοψε ψωμὶ καὶ ἔφαγε, καὶ ἔςωντας νὰ ὁμιλήσῃ ἀρκετὰ ἕως τὴν αὐγὴν, τέτοιας λογῆς εὐγῆκε.

12 Καὶ ἔφεραν τὸ παιδὶ ζωντανὸν, καὶ ἐπαρηγορήθηκαν πολλά.

13 Καὶ ἐμεῖς ἐπήγαμεν ὀμπροςὰ εἰς τὸ καράβι, καὶ ἐμισεύσαμεν εἰς τὴν Ἄσσον, μέλλοντες ἀπ᾽ ἐκεῖ νὰ πάρωμεν τὸν Παῦλον· διατὶ ἔτζι εἶχεν παραγγελίαν, μέλλοντας αὐτὸς νὰ πάγῃ διὰ ξηρᾶς.

14 Καὶ ὡσὰν μᾶς ἔσμιξεν εἰς τὴν Ἄσσον, τὸν ἐπήραμεν καὶ ἤλθαμεν εἰς τὴν Μιτυλήνην.

15 Κἀκεῖθεν ἀποπλεύσαντες, τῇ ἐπιούσῃ κατηντήσαμεν ἀντικρὺ Χίου· τῇ δὲ ἑτέρᾳ παρεβάλομεν εἰς Σάμον· καὶ μείναντες ἐν Τρωγυλλίῳ, τῇ ἐχομένῃ ἤλθομεν εἰς Μίλητον.

16 Ἔκρινε γὰρ ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ· ἔσπευδε γάρ, εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς Πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα.

17 Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον, μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας.

18 Ὡς δὲ παρεγένοντο πρὸς αὐτόν, εἶπεν αὐτοῖς· Ὑμεῖς ἐπίστασθε, ἀπὸ πρώτης ἡμέρας ἀφ' ἧς ἐπέβην εἰς τὴν Ἀσίαν, πῶς μεθ' ὑμῶν τὸν πάντα χρόνον ἐγενόμην·

19 Δουλεύων τῷ Κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης, καὶ πολλῶν δακρύων καὶ πειρασμῶν, τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων·

20 Ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόντων, τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν καὶ διδάξαι ὑμᾶς δημοσίᾳ καὶ κατ' οἴκους·

15 Καὶ ἀπ' ἐκεῖ εὐγήκαμεν, καὶ τὴν ἄλλην ἡμέραν ἐκαταντήσαμεν ἐναντία τῆς Χίου· καὶ τὴν ἄλλην ἡμέραν ἐράξαμεν εἰς τὴν Σάμον· καὶ ἔσωντας νὰ μείνωμεν εἰς τὸ Τρωγύλλιον, τὴν ἄλλην ἤλθαμεν εἰς τὴν Μίλητον.

16 Διατὶ ὁ Παῦλος ἀποφάσισε νὰ περάσωμεν τὴν Ἔφεσον, μήπως καὶ τοῦ γένῃ ἐμπόδιον καὶ ἀργήσῃ εἰς τὴν Ἀσίαν· διατὶ ἐσπούδαζε ἂν ἠμπορῇ τὴν ἡμέραν τῆς Πεντηκοστῆς νὰ εὑρεθῇ εἰς τὰ Ἱεροσόλυμα.

17 Καὶ ἀπὸ τὴν Μίλητον ἔπεμψεν ἄνθρωπον εἰς τὴν Ἔφεσον, καὶ ἐπροσκάλεσε τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας.

18 Καὶ ὡσὰν ἤλθασιν εἰς αὐτόν, τοὺς εἶπεν· Ἐσεῖς ἠξεύρετε ἀπὸ τὴν πρώτην ἡμέραν, ἀπὸ τὴν ὁποίαν ἐπάτησα εἰς τὴν Ἀσίαν, πῶς ἤμουν ὅλον τὸν καιρὸν μετ' ἐσᾶς·

19 Δουλεύωντας τὸν Κύριον μὲ κάθε λογῆς ταπεινοφροσύνην, καὶ μὲ πολλὰ δάκρυα καὶ μὲ πολλοὺς πειρασμούς, ὁποῦ μοῦ ἐσυνέβηκαν ἀπὸ ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων·

20 Καὶ πῶς μηδὲ κανένα ἀπὸ ἐκεῖνα ὁποῦ ἦταν ὠφέλημα δὲν σᾶς ἔκρυψα, νὰ μὴν σᾶς τὸ εἰπῶ, καὶ νὰ σᾶς τὸ διδάξω, καὶ παῤῥησίᾳ καὶ εἰς τὰ σπήτια·

21 Διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησι τὴν εἰς τὸν Θεὸν μετάνοιαν, καὶ πίστιν τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

21 Διαμαρτυρόμενος εἰς τοὺς Ἰουδαίους καὶ εἰς τοὺς Ἕλληνας, νὰ μετανοήσουν εἰς τὸν Θεὸν, καὶ νὰ πιστεύουσιν εἰς τὸν Κύριόν μας Ἰησοῦν Χριστόν.

22 Καὶ νῦν ἰδοὺ, ἐγὼ δεδεμένος τῷ πνεύματι, πορεύομαι εἰς Ἱερουσαλὴμ, τὰ ἐν αὐτῇ συναντήσοντά μοι μὴ εἰδώς·

22 Καὶ τώρα νὰ ὁποῦ πάγω εἰς τὴν Ἱερουσαλὴμ, ὤντας δεμένος ἀπὸ τὸ Πνεῦμα, καὶ δὲν ἰξεύρω ἐκεῖνα ὁποῦ θέλουν μοῦ συνβέη·

23 Πλὴν ὅτι τὸ Πνεῦμα τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεται, λέγον ὅτι δεσμά με καὶ θλίψεις μένουσιν.

23 Παρὰ μοναχὰ, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον μοῦ διαμαρτύρεται εἰς κάθε πόλιν, λέγωντας, ὅτι δεσμὰ καὶ θλίψαις μὲ ἀναμένουσιν.

24 Ἀλλ᾽ οὐδενὸς λόγον ποιοῦμαι, οὐδὲ ἔχω τὴν ψυχήν μου τιμίαν ἐμαυτῷ, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ, διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ.

24 Ἀμὴ ἐγὼ κανένα πρᾶγμα δὲν μετρῶ, οὐδὲ ἔχω τὴν ζωήν μου τόσον τιμημένην εἰς τοῦ λόγου μου, ὡσὰν ὁποῦ ἔχω νὰ τελειώσω τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν ὑπηρεσίαν ὁποῦ ἔλαβα ἀπὸ τὸν Κύριον Ἰησοῦν, νὰ μαρτυρήσω τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ.

25 Καὶ νῦν ἰδοὺ, ἐγὼ οἶδα ὅτι οὐκέτι ὄψεσθε τὸ πρόσωπόν μου ὑμεῖς πάντες, ἐν οἷς διῆλθον κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ.

25 Καὶ τώρα νὰ, ἐγὼ ὁποῦ ἰξεύρω ὅτι πλέον δὲν θέλετε εἰδῆ τὸ πρόσωπόν μου ὅλοι ἐσεῖς, τοὺς ὁποίους ἐπέρασα κηρύττωντας τὴν βασιλείαν τοῦ Θεοῦ.

26 Διὸ μαρτύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων.

26 Διὰ τοῦτο σᾶς τὸ μαρτυρῶ τὴν σήμερον ἡμέραν, ὅτι εἶμαι ἀθῶος ἀπὸ τὸ αἷμα ὅλονῶν.

27 Οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ.

28 Προσέχετε οὖν ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος.

29 Ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου.

30 Καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾷν τοὺς μαθητὰς ὀπίσω αὐτῶν.

31 Διὸ γρηγορεῖτε, μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην, μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον.

32 Καὶ ταννῦν παρατίθεμαι ὑμᾶς, ἀδελφοὶ, τῷ Θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ ἐποικοδομῆσαι καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσιν.

33 Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα.

34 Αὐτοὶ δὲ γινώσκετε ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι

27 Διατὶ ἐγὼ δὲν ἐσύρθηκα ὀπίσω νὰ μὴν σᾶς εἰπῶ ὅλην τὴν βουλὴν τοῦ Θεοῦ.

28 Ἔχετε ἔννοιαν λοιπὸν, καὶ τοῦ λόγου σας καὶ ὅλου τοῦ ποιμνίου, εἰς τὸ ὁποῖον ποίμνιον τὸ Πνεῦμα τὸ ἅγιον σᾶς ἔβαλλεν ἐπισκόπους, νὰ ποιμάνετε τὴν ἐκκλησίαν τοῦ Θεοῦ, τὴν ὁποίαν τὴν ἀπόκτησε μὲ τὸ ἴδιόν του αἷμα.

29 Διατὶ ἐγὼ ἰξεύρω ἐτοῦτο, ὅτι ἀφόντις πάγω θέλουσιν ἔλθη λύκοι κακοὶ εἰς ἐσᾶς, νὰ μὴν λυπηθοῦσι τὸ ποίμνιον.

30 Καὶ ἀπ' ἐσᾶς τοὺς ἰδίους θέλουσι σηκωθῆ ἄνδρες ὁποῦ νὰ λαλοῦν διεστραμμένα λόγια, διὰ νὰ σύρνουν ὀπίσω τους τοὺς μαθητάδες.

31 Διὰ τοῦτο ἂς εἶσθε ξυπνητοὶ, ἐνθυμούμενοι, ὅτι τρεῖς χρόνους νύκτα καὶ ἡμέραν δὲν ἔπαυσα μὲ δάκρυα νὰ νουθετῶ κάθε ἕνα.

32 Καὶ τῶρα, ἀδελφοὶ, σᾶς συστήνω εἰς τὸν Θεὸν καὶ εἰς τὸν λόγον τῆς χάριτός του, ὁποῦ δύνεται νὰ αὐξήσῃ τὴν οἰκοδομήν σας, καὶ νὰ σᾶς δώσῃ κληρονομίαν, μαζὺ μὲ ὅλους τοὺς ἁγιασμένους.

33 Ἀσήμι ἢ χρυσάφι, ἢ ἐνδυμασίαν κανενὸς ἀνθρώπου δὲν ἐπιθύμησα.

34 Καὶ ἐσεῖς αὐτοί σας τὸ ἰξεύρετε, ὅτι τὰ χέρια ἐτοῦτα

μετ' ἐμῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται.

35 Πάντα ὑπέδειξα ὑμῖν, ὅτι ὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μνημονεύειν τε τῶν λόγων τοῦ Κυρίυ Ἰησοῦ, ὅτι αὐτὸς εἶπε· Μακάριόν ἐςι διδόναι μᾶλλον ἢ λαμβάνειν.

36 Καὶ ταῦτα εἰπὼν, θεὶς τὰ γόνατα αὐτοῦ, σὺν πᾶσιν αὐτοῖς προσηύξατο.

37 Ἱκανὸς δὲ ἐγένετο κλαυθμὸς πάντων· καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον τοῦ Παύλυ κατεφίλουν αὐτόν·

38 Ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ λόγῳ ᾧ εἰρήκει, ὅτι ὐκέτι μέλλυσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν· προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον.

ὑπηρέτησαν εἰς ταῖς χρείαις μυ, καὶ εἰς ἐκείνυς ὁπῦ ἦταν μαζὺ μετ' ἐμένα.

35 Εἰς ὅλα σᾶς ἔδειξα, ὅτι τέτοιας λογῆς πρέπει νὰ κοπιάζωμεν διὰ νὰ βοηθῦμεν τὺς ἀσθενεῖς, καὶ νὰ ἐνθυμύμεσθεν τὸν λόγον τοῦ Κυρίυ Ἰησῦ, ὁπῦ εἶπε· Μακάριον ἔςι μᾶλλον νὰ δίδῃ τινὰς παρὰ νὰ πέρνῃ.

36 Καὶ ὡσὰν εἶπεν ἐτῦτα, ἐγονάτισε μὲ ὅλυς αὐτὺς, καὶ ἐπροσευχήθη.

37 Καὶ μεγάλος κλαυθμὸς ἔγινεν ὁλονῶν· καὶ ἔπεσαν ὅλοι ἀπάνω εἰς τὸν λαιμόν τυ καὶ τὸν ἐφιλῦσαν·

38 Καὶ ἐλυποῦνταν περισσότερον εἰς τὸν λόγον ὁπῦ τὺς εἶπεν, ὅτι δὲν μέλλουν πλέον νὰ εἰδοῦν τὸ πρόσωπόν τυ· καὶ τὸν συνεπροευόδησαν ἕως εἰς τὸ καράβι.

Κεφ. κα'. 21.

ΩΣ δὲ ἐγένετο ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ' αὐτῶν, εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶν, τῇ δὲ ἑξῆς εἰς τὴν Ῥόδον, κἀκεῖθεν εἰς Πάταρα·

2 Καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην, ἐπιβάντες ἀνήχθημεν.

ΚΑῚ ὡσὰν ἐχωρίσαμεν ἀπ' αὐτὺς, εὐγήκαμεν εἰς τὸ πέλαγος, καὶ ἔςωντας νὰ κάμωμεν δρόμον ἴσον, ἤλθαμεν εἰς τὴν Κῶν, καὶ τὴν ἄλλην ἡμέραν εἰς τὴν Ῥόδον, καὶ ἀπ' ἐκεῖ εἰς τὰ Πάταρα·

2 Καὶ ἐκεῖ ἔςωντας νὰ εὕρῦμεν καράβι ὁπῦ ἐπέρναν εἰς τὴν Φοινίκην, ἐμβήκαμεν μέσα, καὶ εὐγήκαμεν εἰς τὸ πέλαγος.

3 Ἀναφανέντες δὲ τὴν Κύπρον, καὶ καταλιπόντες αὐτὴν εὐώνυμον, ἐπλέομεν εἰς Συρίαν, καὶ κατήχθημεν εἰς Τύρον· ἐκεῖσε γὰρ ἦν τὸ πλοῖον ἀποφορτιζόμενον τὸν γόμον.

4 Καὶ ἀνευρόντες τοὺς μαθητὰς, ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτά· οἵτινες τῷ Παύλῳ ἔλεγον διὰ τοῦ Πνεύματος, μὴ ἀναβαίνειν εἰς Ἱερουσαλήμ.

5 Ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας, ἐξελθόντες ἐπορευόμεθα, προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις, ἕως ἔξω τῆς πόλεως· καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν, προσηυξάμεθα.

6 Καὶ ἀσπασάμενοι ἀλλήλους, ἐπέβημεν εἰς τὸ πλοῖον· ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια.

7 Ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες, ἀπὸ Τύρου κατηντήσαμεν εἰς Πτολεμαΐδα· καὶ ἀσπασάμενοι τοὺς ἀδελφοὺς ἐμείναμεν ἡμέραν μίαν παρ' αὐτοῖς.

8 Τῇ δὲ ἐπαύριον ἐξελθόντες οἱ περὶ τὸν Παῦλον, ἤλθομεν εἰς Καισάρειαν· καὶ εἰσελθόντες εἰς τὸν οἶκον

3 Καὶ εἴδαμεν τὴν Κύπρον, καὶ τὴν ἀφήκαμεν ζερβὰ, καὶ ἐπλέαμεν εἰς τὴν Συρίαν, καὶ ἤλθαμεν εἰς τὴν Τύρον· διατὶ ἐκεῖ ἤθελε τὸ καράβι νὰ ξεφορτώσῃ τὸ φόρτωμά του.

4 Καὶ ἔστωντας νὰ εὕρουμεν τοὺς μαθητάδες, ἐσταθήκαμεν ἐκεῖ ἑπτὰ ἡμέραις· καὶ οἱ μαθητάδες ἔλεγαν εἰς τὸν Παῦλον διὰ μέσου τοῦ Πνεύματος, νὰ μὴν ἀνέβῃ εἰς τὴν Ἱερουσαλήμ.

5 Καὶ ὅταν ἐτελειώσαμεν ἐκεῖναις ταῖς ἡμέραις, εὐγήκαμεν καὶ ἐπαγέναμεν, καὶ μᾶς συμπροέπεμπαν ὅλοι μὲ γυναῖκαις καὶ μὲ παιδία, ἕως ἔξω ἀπὸ τὴν πόλιν· καὶ γονατίζοντες ἐκεῖ εἰς τὸ παραγιάλι, ἐπροσευχηθήκαμεν.

6 Καὶ ἐχαιρετηθήκαμεν ἕνας μὲ τὸν ἄλλον, καὶ ἐμβήκαμεν εἰς τὸ καράβι· καὶ ἐκεῖνοι ἐγύρισαν εἰς τὰ σπήτιά τους.

7 Καὶ ἐμεῖς τελειώνοντες τὸ πλεύσιμον, ἀπὸ τὴν Τύρον ἐκαταντήσαμεν εἰς τὴν Πτολεμαΐδα· καὶ ἐχαιρετήσαμεν τοὺς ἀδελφοὺς, καὶ ἐσταθήκαμεν εἰς ἐκείνους μίαν ἡμέραν.

8 Καὶ τὴν ἄλλην ἡμέραν εὐγῆκεν ὁ Παῦλος καὶ ἐμεῖς ὅπου εἴμασθεν μὲ τὸν Παῦλον, καὶ ἐπήγαμεν εἰς τὴν Και-

Φιλίππȣ τοῦ εὐαγγελιςȣ͂,
(τοῦ ὄντος ἐκ τῶν ἑπτὰ,)
ἐμείναμεν παρ᾽ αὐτῷ.

σάρειαν· καὶ ἐμβήκαμεν εἰς
τὸ σπῆτι τοῦ Φιλίππȣ τοῦ
εὐαγγελιςȣ͂, (ὁ ὁποῖος ἦτον
ἕνας ἀπὸ τȣ͂ς ἑπτὰ διακόνȣς,)
καὶ ἐμείναμεν εἰς αὐτόν.

9 Τȣ́τῳ δὲ ἦσαν θυγατέρες
παρθένοι τέσσαρες προφητεύ-
ȣσαι.

9 Καὶ ἐτȣ͂τος εἶχε τέσ-
σαρες θυγατέραις παρθέναις,
καὶ ἐπροφήτευαν.

10 Ἐπιμενόντων δὲ ἡμῶν
ἡμέρας πλείȣς, κατῆλθέ τις
ἀπὸ τῆς Ἰȣδαίας προφήτης
ὀνόματι Ἄγαβος·

10 Καὶ ὡσὰν εὑρισκόμα-
σθαν ἐκεῖ πολλαῖς ἡμέραις,
κατέβη κάποιος ἀπὸ τὴν
Ἰȣδαίαν προφήτης, τὸ ὄνομά
τȣ Ἄγαβος·

11 Καὶ ἐλθὼν πρὸς ἡμᾶς,
καὶ ἄρας τὴν ζώνην τοῦ
Παύλȣ, δήσας τε αὐτοῦ τὰς
χεῖρας καὶ τȣ̀ς πόδας, εἶπε·
Τάδε λέγει τὸ Πνεῦμα τὸ
ἅγιον· Τὸν ἄνδρα, ȣ͂ ἐςιν ἡ
ζώνη αὕτη, ȣ̔́τω δήσουσιν ἐν
Ἱερȣσαλὴμ οἱ Ἰȣδαῖοι, καὶ
παραδώσȣσιν εἰς χεῖρας
ἐθνῶν.

11 Καὶ ἦλθεν εἰς ἐμᾶς,
καὶ ἐπῆρε τὸ ζωνάρι τοῦ
Παύλȣ, καὶ ἔδεσε τὰ χέριά
τȣ καὶ τὰ ποδάριά τȣ, καὶ
εἶπεν· Ἐτȣ͂τα λέγει τὸ
Πνεῦμα τὸ ἅγιον· Ὅτι ἔτζι
θέλουν δέσει οἱ Ἰȣδαῖοι εἰς τὴν
Ἱερȣσαλὴμ τὸν ἄνδρα, τοῦ
ὁποίȣ εἶναι ἡ ζώνη ἐτȣ́τη,
καὶ θέλουν τὸν παραδώσει
εἰς τὰ χέρια τῶν ἐθνῶν.

12 Ὡς δὲ ἠκȣ́σαμεν ταῦ-
τα, παρεκαλȣ͂μεν ἡμεῖς τε
καὶ οἱ ἐντόπιοι τοῦ μὴ
ἀναβαίνειν αὐτὸν εἰς Ἱερου-
σαλήμ.

12 Καὶ ἐμεῖς ὡσὰν τὰ
ἀκȣ́σαμεν, τὸν ἐπαρακαλȣ́σα-
μεν καὶ ἐμεῖς καὶ οἱ ἐντό-
πιοι, νὰ μὴν ἀνέβη εἰς τὴν
Ἱερȣσαλήμ.

13 Ἀπεκρίθη δὲ ὁ Παῦλος·
Τί ποιεῖτε, κλαίοντες καὶ
συνθρύπτοντές μȣ τὴν καρ-
δίαν; ἐγὼ γὰρ ȣ̓ μόνον δεθῆ-
ναι, ἀλλὰ καὶ ἀποθανεῖν εἰς
Ἱερουσαλὴμ ἑτοίμως ἔχω
ὑπὲρ τοῦ ὀνόματος τοῦ
Κυρίȣ Ἰησȣ͂.

13 Ἀμὴ ὁ Παῦλος ἀπο-
κρίθη καὶ εἶπε· Τί κάμνετε
ὡσὰν κλαίετε καὶ συντρίβετε
τὴν καρδίαν μȣ; ἐγὼ εἶμαι
ἕτοιμος ὄχι μόνον νὰ δεθῶ,
ἀλλὰ καὶ νὰ ἀποθάνω εἰς
τὴν Ἱερȣσαλὴμ διὰ τὸ ὄνομα
τοῦ Κυρίȣ Ἰησȣ͂.

14 Μὴ πειθομένε δὲ αὐτοῦ, ἡσυχάσαμεν, εἰπόντες· Τὸ θέλημα τοῦ Κυρίε γενέσθω.

15 Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἀποσκευασάμενοι ἀνεβαίνομεν εἰς Ἱερεσαλήμ.

16 Συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ Καισαρείας σὺν ἡμῖν, ἄγοντες παρ' ᾧ ξενισθῶμεν, Μνάσωνί τινι Κυπρίῳ, ἀρχαίῳ μαθητῇ.

17 Γενομένων δὲ ἡμῶν εἰς Ἱεροσόλυμα, ἀσμένως ἐδέξαντο ἡμᾶς οἱ ἀδελφοί.

18 Τῇ δὲ ἐπιέσῃ εἰσῄει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον· πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι.

19 Καὶ ἀσπασάμενος αὐτὲς, ἐξηγεῖτο καθ' ἓν ἕκαςον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ.

20 Οἱ δὲ ἀκέσαντες ἐδόξαζον τὸν Κύριον· εἶπόν τε αὐτῷ· Θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ἰεδαίων τῶν πεπιςευκότων· καὶ πάντες ζηλωταὶ τοῦ νόμε ὑπάρχεσι.

21 Κατηχήθησαν δὲ περὶ σῦ, ὅτι ἀποςασίαν διδάσκεις

14 Καὶ ὡσὰν δὲν μᾶς ἄκεεν, ἐσιωπήσαμεν, καὶ εἴπαμεν· Τὸ θέλημα τοῦ Κυρίε ἂς γένει.

15 Καὶ ὕςερα ἀπὸ ταῖς ἡμέραις ἐκείναις ἔςωντας νὰ πάρωμεν τὰ ῥεχά μας ἀναβαίναμεν εἰς τὴν Ἱερεσαλήμ.

16 Καὶ ἦλθαν κάποιοι μαθητάδες ἀπὸ τὴν Καισάρειαν μαζὺ μετ' ἐμᾶς, καὶ ἔφεραν καὶ ἕνα ἄνθρωπον εἰς τὸν ὁποῖον ἔκαμε χρεία νὰ κονέψωμεν, τὸ ὄνομά τε Μνάσων, Κυπριότης, παλαιὸς μαθητής.

17 Καὶ ὡσὰν ἐπήγαμεν εἰς τὴν Ἱερεσαλὴμ, οἱ ἀδελφοὶ μᾶς ἐδέχθηκαν μὲ χαράν.

18 Καὶ τὴν ἄλλην ἡμέραν ἐμβῆκεν ὁ Παῦλος μαζὺ μετ' ἐμᾶς εἰς τὸ σπῆτι τοῦ Ἰακώβε· καὶ ἦταν παρὼν καὶ ὅλοι οἱ πρεσβύτεροι.

19 Καὶ ὡσὰν τὲς ἐχαιρέτησε, τὲς ἐδιηγοῦντον καθ' ἕνα ἀπ' ἐκεῖνα ὁπε ἔκαμεν ὁ Θεὸς εἰς τὰ ἔθνη διὰ μέσε τῆς διακονίας τε.

20 Καὶ ἐκεῖνοι ὡσὰν τὸ ἄκεσαν ἐδόξασαν τὸν Κύριον· καὶ εἶπαν εἰς τὸν Παῦλον· Βλέπεις, ἀδελφὲ, πόσαις μυριάδες εἶναι ἀπὸ τὲς Ἰεδαίες ὁπε ἐπίςευσαν· καὶ ὅλοι εἶναι ζηλωταὶ τοῦ νόμε.

21 Καὶ ἔμαθαν διὰ λόγε σε, ὅτι διδάσκεις ὅλες τὲς

ἀπὸ Μωσέως τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν.

Ἰουδαίους ὁποῦ εἶναι εἰς τὰ ἔθνη, καὶ λέγεις νὰ χωρήσουν ἀπὸ τὸν Μωϋσῆν, καὶ νὰ μὴν περιτέμνουν τὰ παιδία τους, μηδὲ νὰ περιπατοῦσι κατὰ ταῖς συνήθειαις.

22 Τί οὖν ἐστι; πάντως δεῖ πλῆθος συνελθεῖν· ἀκούσονται γὰρ ὅτι ἐλήλυθας.

22 Τί λοιπόν; βέβαια κάμνει χρεία νὰ μαζωχθοῦσι πλῆθος· διατὶ θέλουν τὸ ἀκούσει πῶς ἦλθες.

23 Τοῦτο οὖν ποίησον ὅ σοι λέγομεν· Εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες εὐχὴν ἔχοντες ἐφ᾽ ἑαυτῶν.

23 Ἐτοῦτο λοιπὸν κάμε ὁποῦ σοῦ λέγομεν· Ἐδῶ εἶναι τέσσαρες ἄνδρες ὁποῦ ἔχουν ἀπάνω τους τάξιμον (Ναζηραίων.)

24 Τούτους παραλαβὼν, ἁγνίσθητι σὺν αὐτοῖς, καὶ δαπάνησον ἐπ᾽ αὐτοῖς, ἵνα ξυρήσωνται τὴν κεφαλήν· καὶ γνῶσι πάντες ὅτι ὧν κατήχηνται περὶ σοῦ οὐδέν ἐστιν, ἀλλὰ στοιχεῖς καὶ αὐτὸς τὸν νόμον φυλάσσων.

24 Ἐπαρέ τους τούτους, καὶ καθαρίσου μαζὺ μετ᾽ αὐτοὺς, καὶ ἐξωδίασε εἰς αὐτοὺς, νὰ ξυρίσουν τὴν κεφαλήν τους· καὶ νὰ γνωρίσουν ὅλοι, ὅτι ἐκεῖνα ὁποῦ ἄκουσαν διὰ λόγου σου δὲν εἶναι τίποτες, ἀλλὰ περιπατεῖς καὶ ἐσὺ φυλάττωντας τὸν νόμον.

25 Περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν, κρίναντες μηδὲν τοιοῦτον τηρεῖν αὐτοὺς, εἰ μὴ φυλάσσεσθαι αὐτοὺς, τό τε εἰδωλόθυτον, καὶ τὸ αἷμα, καὶ πνικτὸν, καὶ πορνείαν.

25 Καὶ διὰ τὰ ἔθνη ὁποῦ ἐπίστευσαν, ἐμεῖς ἐγράψαμεν καὶ ἀποφασίσαμεν, νὰ μὴν φυλάττουν κανένα πρᾶγμα τέτοιας λογῆς, παρὰ μοναχὰ νὰ φυλάγουνται αὐτοὶ ἀπὸ τὰ εἰδωλόθυτα, καὶ τὸ αἷμα, καὶ τὸ πνικτὸν, καὶ τὴν πορνείαν.

26 Τότε ὁ Παῦλος παραλαβὼν τοὺς ἄνδρας, τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς εἰσῄει εἰς τὸ ἱερὸν, διαγ-

26 Τότε ὁ Παῦλος ἐπῆρε τοὺς ἄνδρας, καὶ τὴν ἄλλην ἡμέραν ἐκαθαρίσθη μετ᾽ αὐτοὺς, καὶ ἐμβῆκεν εἰς τὸ ἱερὸν,

γίλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμȣ̃, ἕως ȣ̃ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάϛȣ αὐτῶν ἡ προσφορά.

27 Ὡς δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι, οἱ ἀπὸ τῆς Ἀσίας Ἰȣδαῖοι θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ, συνέχεον πάντα τὸν ὄχλον, καὶ ἐπέβαλον τὰς χεῖρας ἐπ' αὐτὸν·

28 Κράζοντες· Ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε· ὁ ȣ̃τός ἐϛιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαȣ̃ καὶ τοῦ νόμȣ καὶ τόπου τȣ́του πάντας πανταχȣ̃ διδάσκων· ἔτι τε καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν, καὶ κεκοίνωκε τὸν ἅγιον τόπον τȣ̃τον.

29 (Ἦσαν γὰρ προεωρακότες Τρόφιμον τὸν Ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ Παῦλος.)

30 Ἐκινήθη τε ἡ πόλις ὅλη, καὶ ἐγένετο συνδρομὴ τοῦ λαȣ̃· καὶ ἐπιλαβόμενοι τοῦ Παύλȣ, εἷλκον αὐτὸν ἔξω τοῦ ἱερȣ̃· καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι.

31 Ζητȣ́ντων δὲ αὐτὸν ἀποκτεῖναι, ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς σπείρης, ὅτι ὅλη συγκέχυται Ἱερȣσαλήμ.

32 Ὃς ἐξαυτῆς παραλαβὼν ϛρατιώτας καὶ ἑκατοντάρ-

λέγωντας φανερὰ τὴν τελείωσιν τῶν ἡμερῶν τȣ̃ καθαρισμȣ̃, ἕως ὅπȣ ὁ ἐφέρθη διὰ κάθε ἕνα ἀπ' αὐτȣ̀ς προσφορά.

27 Καὶ ὡσὰν ἔμελλαν νὰ τελειωθȣ̃ν ἡ ἑπτὰ ἡμέραις, οἱ Ἰȣδαῖοι ὁπȣ̃ ἦταν ἀπὸ τὴν Ἀσίαν ὡσὰν τὸν εἶδαν εἰς τὸ ἱερὸν, ἐσύγχυσαν ὅλον τὸ πλῆθος, καὶ ἅπλωσαν τὰ χέριά τȣς ἀπάνω τȣ·

28 Καὶ ἔκραζαν· Ὦ ἄνδρες Ἰσραηλῖται, βοηθᾶτε· ἐτȣ̃τος εἶναι ἐκεῖνος ὁ ἄνθρωπος ὁπȣ̃ διδάσκει ὅλȣς εἰς κάθε τόπον ἐναντία τοῦ λαȣ̃ ἐτȣ́τȣ, καὶ τοῦ νόμȣ, καὶ τοῦ τόπȣ· καὶ ἀκόμι ἔμβασεν Ἕλληνας μέσα εἰς τὸ ἱερὸν, καὶ ἐβεβήλωσον τὸν ἅγιον ἐτȣ̃τον τόπον.

29 (Διατὶ εἴδασι προτίτερα τὸν Τρόφιμον ὁπȣ̃ ἦταν ἀπὸ τὴν Ἔφεσον μέσα εἰς τὴν πόλιν μαζὺ μετ' αὐτὸν, τὸν ὁποῖον ἐλόγιαζαν ὅτι ὁ Παῦλος τὸν ἔμβασεν εἰς τὸ ἱερόν.)

30 Καὶ ἐκινήθη ὅλη ἡ πόλις, καὶ ἔγινε σύναξις τοῦ λαȣ̃· καὶ ἐπίασαν τὸν Παῦλον, καὶ τὸν ἔσυραν ἔξω ἀπὸ τὸ ἱερόν· καὶ παρευθὺς ἐσφάλησαν αἱ πόρταις.

31 Καὶ ἐγύρευαν νὰ τὸν σκοτώσȣν, καὶ ἀνέβη ὁ λόγος εἰς τὸν χιλίαρχον τοῦ ϛρατεύματος, ὅτι ὅλη Ἱερȣσαλὴμ ἐσυγχύσθη.

32 Ὁ ὁποῖος παρευθὺς ἐπῆρε ϛρατιώτας καὶ ἑκατοντάρ-

χους, κατέδραμεν ἐπ' αὐτούς. Οἱ δὲ ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας, ἐπαύσαντο τύπτοντες τὸν Παῦλον.

33 Τότε ἐγγίσας ὁ χιλίαρχος ἐπελάβετο αὐτοῦ, καὶ ἐκέλευσε δεθῆναι ἁλύσεσι δυσί· καὶ ἐπυνθάνετο, τίς ἂν εἴη, καὶ τί ἐστι πεποιηκώς.

34 Ἄλλοι δὲ ἄλλο τι ἐβόων ἐν τῷ ὄχλῳ· μὴ δυνάμενος δὲ γνῶναι τὸ ἀσφαλὲς διὰ τὸν θόρυβον, ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν.

35 Ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμούς, συνέβη βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν διὰ τὴν βίαν τοῦ ὄχλου·

36 Ἠκολούθει γὰρ τὸ πλῆθος τοῦ λαοῦ, κράζον· Αἶρε αὐτόν.

37 Μέλλων τε εἰσάγεσθαι εἰς τὴν παρεμβολὴν ὁ Παῦλος, λέγει τῷ χιλιάρχῳ· Εἰ ἔξεστί μοι εἰπεῖν τι πρός σε; Ὁ δὲ ἔφη· Ἑλληνιστὶ γινώσκεις;

38 Οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων;

39 Εἶπε δὲ ὁ Παῦλος· Ἐγὼ ἄνθρωπος μέν εἰμι Ἰουδαῖος

χους καὶ ἔτρεξεν ἀπάνω τους. Καὶ ἐκεῖνοι ὡσὰν εἶδαν τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας, ἔπαυσαν νὰ δέρνουν τὸν Παῦλον.

33 Τότε ἐσήμωσεν ὁ χιλίαρχος καὶ τὸν ἐπίασε, καὶ ἐπρόσταξε νὰ δεθῇ μὲ δύο ἁλυσίδες· καὶ ἐρώτησε ποῖος εἶναι, καὶ τί ἔκαμε.

34 Καὶ ἄλλοι ἐφώναζαν ἄλλο, καὶ ἄλλοι ἄλλο μέσα εἰς τὸ πλῆθος· καὶ μὴ ἠμπορῶντας ὁ χιλίαρχος ἀπὸ τὴν σύγχυσιν νὰ μάθῃ τὸ βέβαιον, ἐπρόσταξε νὰ τὸν πᾶσιν εἰς τὸ κάστρον.

35 Καὶ ὅταν ὁ Παῦλος ἔφθασεν εἰς τὴν σκάλα, ἀπὸ τὴν βίαν τοῦ ὄχλου τὸν ἐσήκωναν οἱ στρατιῶται·

36 Διατὶ ἀκολοῦθαν τὸ πλῆθος τοῦ λαοῦ, καὶ ἔκραζον· Εὔγαλέ τον ἀπὸ τὴν μέσην.

37 Καὶ ἐκεῖ ὁποῦ ἔμελλον νὰ ἐμβάσουν τὸν Παῦλον εἰς τὸ κάστρον, λέγει ὁ Παῦλος εἰς τὸν χιλίαρχον· Ἂν εἶναι δυνατὸν νὰ σοῦ εἰπῶ ἕνα λόγον; Καὶ ὁ χιλίαρχος εἶπεν· Ἰξεύρεις Ἑλληνικά;

38 Δὲν εἶσαι ἐσὺ ὁ Αἰγύπτιος ὁποῦ ἀνακάτωσις προτίτερα ἀπὸ ταύταις ταῖς ἡμέραις, καὶ εὔγαλες εἰς τὴν ἔρημον τέσσαρες χιλιάδες ἄνδρες ἁρματωμένους μὲ τὰ στιλέτα;

39 Καὶ ὁ Παῦλος εἶπεν· Ἐγὼ εἶμαι ἄνθρωπος Ἰουδαῖος,

Ταρσεύς, τῆς Κιλικίας οὐκ ἀσήμου πόλεως πολίτης· δέομαι δέ σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν.

40 Ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν κατέσεισε τῇ χειρὶ τῷ λαῷ· πολλῆς δὲ σιγῆς γενομένης, προσεφώνησε τῇ Ἑβραΐδι διαλέκτῳ, λέγων·

Ταρσεύς, ἀπὸ τὴν Κιλικίαν, πολίτης πόλεως ἐξακουσμένης· καὶ παρακαλῶ σε, δός μου ἄδειαν νὰ λαλήσω εἰς τὸν λαόν.

40 Καὶ ἔστωντας νὰ τοῦ δώσῃ ἄδειαν, ὁ Παῦλος ἐστάθη εἰς τὰ σκαλοπατήματα, καὶ ἔσεισε τὸ χέρι του εἰς τὸν λαόν· καὶ ὡσὰν ἐσίγησαν, ἐσύντυχε μὲ τὴν Ἑβραϊκὴν γλῶσσαν, λέγωντας·

Κεφ. κβ'. 22.

Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νῦν ἀπολογίας·

2 (Ἀκούσαντες δὲ ὅτι τῇ Ἑβραΐδι διαλέκτῳ προσεφώνει αὐτοῖς, μᾶλλον παρέσχον ἡσυχίαν· καὶ φησιν·)

3 Ἐγὼ μέν εἰμι ἀνὴρ Ἰουδαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας, ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ παρὰ τοὺς πόδας Γαμαλιὴλ, πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου, ζηλωτὴς ὑπάρχων τοῦ Θεοῦ, καθὼς πάντες ὑμεῖς ἐστε σήμερον·

4 Ὃς ταύτην τὴν ὁδὸν ἐδίωξα ἄχρι θανάτου, δεσμεύων καὶ παραδιδοὺς εἰς φυλακὰς ἄνδρας τε καὶ γυναῖκας.

5 Ὡς καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι, καὶ πᾶν τὸ πρεσβυτέριον· παρ' ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς τοὺς

Ὦ Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσετε τὴν ἀπολογίαν ὁποῦ ἔχω νὰ σᾶς ἀποκριθῶ·

2 (Καὶ ὡσὰν ἄκουσαν, ὅτι τοὺς ἐσύντυχεν μὲ Ἑβραϊκὴν γλῶσσαν, περισσότερον τοῦ ἔδιδαν ἡσυχίαν· καὶ λέγει·)

3 Ἐγὼ εἶμαι ἄνθρωπος Ἰουδαῖος, καὶ ἐγεννήθηκα εἰς τὴν Ταρσὸν τῆς Κιλικίας, ἀναθρεμμένος εἰς τὴν πόλιν ἐτούτην εἰς τὰ ποδάρια τοῦ Γαμαλιὴλ, καὶ ἐπαιδεύθηκα καταλεπτῶς τὸν πατρικὸν νόμον, ἔχωντας ζῆλον τοῦ Θεοῦ, καθὼς ἔχετε καὶ ἐσεῖς ὅλοι σήμερον·

4 Καὶ ἐκατάτρεξα ἐτούτην τὴν πίστιν ἕως θανάτου, δένωντας καὶ παραδίδωντας εἰς φυλακαῖς καὶ ἄνδρες καὶ γυναῖκαις.

5 Καθὼς μου τὸ μαρτυρᾷ καὶ ὁ ἀρχιερεὺς, καὶ ὅλον τὸ πρεσβυτέριον· ἀπὸ τοὺς ὁποίους ἐπῆρα καὶ ἐπιστολαῖς διὰ τοὺς

ἀδελφοὺς, εἰς Δαμασκὸν ἐπορευόμην, ἄξων καὶ τοὺς ἐκεῖσε ὄντας, δεδεμένους εἰς Ἱερουσαλὴμ, ἵνα τιμωρηθῶσιν.

6 Ἐγένετο δέ μοι πορευομένῳ καὶ ἐγγίζοντι τῇ Δαμασκῷ περὶ μεσημβρίαν, ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμέ.

7 Ἔπεσόν τε εἰς τὸ ἔδαφος, καὶ ἤκουσα φωνῆς λεγούσης μοι· Σαοὺλ, Σαοὺλ, τί με διώκεις;

8 Ἐγὼ δὲ ἀπεκρίθην· Τίς εἶ, Κύριε; Εἶπέ τε πρός με· Ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις.

9 Οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἔμφοβοι ἐγένοντο· τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι.

10 Εἶπον δέ· Τί ποιήσω, Κύριε; Ὁ δὲ Κύριος εἶπε πρός με· Ἀναστὰς πορεύου εἰς Δαμασκόν· κἀκεῖ σοι λαληθήσεται περὶ πάντων ὧν τέτακταί σοι ποιῆσαι.

11 Ὡς δὲ οὐκ ἐνέβλεπον, ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου, χειραγωγούμενος ὑπὸ τῶν συνόντων μοι, ἦλθον εἰς Δαμασκόν.

12 Ἀνανίας δέ τις, ἀνὴρ

ἀδελφοὺς, καὶ ἐπάγαινα εἰς τὴν Δαμασκὸν, μέλλωντας νὰ φέρω ἐκείνους τοὺς Χριστιανοὺς ὁποῦ ἦταν ἐκεῖ, δεμένους εἰς τὴν Ἱερουσαλὴμ, διὰ νὰ τιμωρηθοῦν.

6 Καὶ ἐκεῖ ὁποῦ ἐπάγαινα καὶ ἐσήμωνα εἰς τὴν Δαμασκὸν, μοῦ ἐσυνέβη εἰς τὴν μέσην τῆς ἡμέρας ἄξαφνα νὰ ἀστράψῃ τριγύρω μου φῶς πολὺ ἀπὸ τὸν οὐρανόν.

7 Καὶ ἔπεσα κάτω εἰς τὴν γῆν, καὶ ἄκουσα φωνὴν ὁποῦ μοῦ ἔλεγε· Σαοὺλ, Σαοὺλ, διατί μὲ διώκνεις;

8 Καὶ ἐγὼ ἀπεκρίθηκα· Ποῖος εἶσαι ἐσὺ, Αὐθέντη; Καὶ μοῦ εἶπεν· Ἐγὼ εἶμαι ὁ Ἰησοῦς ὁ Ναζωραῖος, τὸν ὁποῖον ἐσὺ διώκνεις.

9 Καὶ ἐκεῖνοι ὁποῦ ἦταν μαζύ μου εἶδαν τὸ φῶς, καὶ ἐφοβήθηκαν· ἀμὴ τὴν φωνὴν ἐκείνου ὁποῦ μοῦ ἐσυντύχαινε, δὲν τὴν ἄκουσαν.

10 Καὶ ἐγὼ εἶπα· Τί νὰ κάμω, Αὐθέντη; Καὶ ὁ Κύριος μοῦ εἶπε· Σήκω, πάγαινε εἰς τὴν Δαμασκόν· καὶ ἐκεῖ θέλει σοῦ λαληθῇ ὅλα ἐκεῖνα ὁποῦ σοῦ εἶναι ὀρδινιασμένα νὰ κάμῃς.

11 Καὶ ὡσὰν δὲν ἔβλεπα πλέον ἀπὸ τὴν δόξαν ἐκείνου τοῦ φωτὸς, βασταζόμενος ἀπὸ τὸ χέρι ἀπὸ ἐκείνους ὁποῦ ἦταν μαζύ μου, ἦλθα εἰς τὴν Δαμασκόν.

12 Καὶ κάποιος Ἀνανίας,

εὐσεβὴς κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν κατοικούντων Ἰουδαίων,

13 Ἐλθὼν πρός με, καὶ ἐπιστὰς εἶπέ μοι· Σαοὺλ ἀδελφὲ, ἀνάβλεψον. Κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς αὐτόν.

14 Ὁ δὲ εἶπεν· Ὁ Θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν δίκαιον, καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ·

15 Ὅτι ἔσῃ μάρτυς αὐτῷ πρὸς πάντας ἀνθρώπους ὧν ἑώρακας καὶ ἤκουσας.

16 Καὶ νῦν τί μέλλεις; ἀναστὰς βάπτισαι, καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ Κυρίου.

17 Ἐγένετο δέ μοι ὑποστρέψαντι εἰς Ἱερουσαλὴμ, καὶ προσευχομένου μου ἐν τῷ ἱερῷ γενέσθαι με ἐν ἐκστάσει,

18 Καὶ ἰδεῖν αὐτὸν λέγοντά μοι· Σπεῦσον, καὶ ἔξελθε ἐν τάχει ἐξ Ἱερουσαλήμ· διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ.

19 Κἀγὼ εἶπον· Κύριε, αὐτοὶ ἐπίστανται ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ σέ.

ἄνθρωπος εὐλαβὴς κατὰ τὸν νόμον, μαρτυρημένος ἀπὸ ὅλους τοὺς Ἰουδαίους ὅπου ἐκατοικοῦσαν εἰς τὴν Δαμασκὸν,

13 Ἦλθεν εἰς ἐμένα, καὶ ἐστάθη ἀπάνω μου καὶ μοῦ εἶπεν· Σαοὺλ ἀδελφὲ, ἀνάβλεψε. Καὶ ἐγὼ ἐκείνην τὴν ὥραν ἀνέϐλεψα εἰς αὐτόν.

14 Καὶ ἐκεῖνος εἶπεν· Ὁ Θεὸς τῶν πατέρων μας σὲ προώρισε διὰ νὰ γνωρίσῃς τὸ θέλημά του, καὶ νὰ εἴδῃς τὸν δίκαιον, καὶ νὰ ἀκούσῃς φωνὴν ἀπὸ τὸ στόμα του·

15 Διὰ νὰ εἶσαι μάρτυράς του εἰς ὅλους τοὺς ἀνθρώπους, ἐκεινῶν τῶν πραγμάτων ὅπου εἶδες καὶ ἄκουσες.

16 Καὶ τῶρα τί ἀργεῖς; σηκου ἀπάνω, βαπτίσου, καὶ λοῦσε ταῖς ἁμαρτίαις σου, ἐπικαλούμενος τὸ ὄνομα τοῦ Κυρίου.

17 Καὶ ὅταν ἐγύρισα εἰς τὴν Ἱερουσαλὴμ, καὶ ἐπροσευχούμουν εἰς τὸ ἱερὸν, μοῦ ἐσυνέβη ἔκστασις,

18 Καὶ εἶδα τὸν Χριστὸν ὅπου μοῦ ἔλεγε· Σπούδασε, καὶ εὔγα γλίγωρα ἀπὸ τὴν Ἱερουσαλήμ· διατὶ δὲν θέλουν δεχθῇ τὴν μαρτυρίαν σου διὰ λόγου μου.

19 Καὶ ἐγὼ εἶπα· Κύριε, αὐτοὶ ἰξεύρουσιν ὅτι ἐγὼ ἐφυλάκωνα, καὶ ἔδερνα εἰς τὰ συναγώγια ἐκείνους ὅπου ἐπίστευαν εἰς ἐσένα.

20 Καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα Στεφάνȣ τȣ͂ μάρτυρός σȣ, καὶ αὐτὸς ἤμην ἐφεςὼς, καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτȣ͂, καὶ φυλάσσων τὰ ἱμάτια τῶν ἀναιρȣ́ντων αὐτόν.

21 Καὶ εἶπε πρός με· Πορεύȣ· ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποςελῶ σε.

22 Ἤκȣον δὲ αὐτȣ͂ ἄχρι τȣ́του τοῦ λόγȣ, καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν, λέγοντες· Αἶρε ἀπὸ τῆς γῆς τὸν τοιȣ͂τον· ȣ̓ γὰρ καθῆκον αὐτὸν ζῆν.

23 Κραυγαζόντων δὲ αὐτῶν, καὶ ῥιπτȣ́ντων τὰ ἱμάτια, καὶ κονιορτὸν βαλλόντων εἰς τὸν ἀέρα,

24 Ἐκέλευσεν αὐτὸν ὁ χιλίαρχος ἄγεσθαι εἰς τὴν παρεμβολὴν, εἰπὼν μάςιξιν ἀνετάζεσθαι αὐτόν· ἵνα ἐπιγνῷ δι' ἣν αἰτίαν ȣ̔́τως ἐπεφώνȣν αὐτῷ.

25 Ὡς δὲ προέτεινεν αὐτὸν τοῖς ἱμᾶσιν, εἶπε πρὸς τὸν ἑςῶτα ἑκατόνταρχον ὁ Παῦλος· Εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεςιν ὑμῖν μαςίζειν;

26 Ἀκȣ́σας δὲ ὁ ἑκατόνταρχος, προσελθὼν ἀπήγγειλε τῷ χιλιάρχῳ, λέγων· Ὅρα τί μέλλεις ποιεῖν· ὁ γὰρ ἄνθρωπος ȣ̔͂τος Ῥωμαῖός ἐςι.

20 Καὶ ὅταν ἐχύνετον τὸ αἷμα τȣ͂ Στεφάνȣ τȣ͂ μάρτυρός σȣ, ἐςέκȣμȣν παρὼν, καὶ ἤμȣν συμφωνημένος εἰς τὸν φόνον τȣ, καὶ ἐφύλαγα τὰ φορέματα ἐκεινῶν ὁπȣ͂ τὸν ἐσκοτώνασιν.

21 Καὶ μȣ͂ εἶπε· Πάγαινε· ὅτι ἐγὼ θέλω σὲ ςείλει εἰς ἔθνη μακράν.

22 Καὶ οἱ Ἰȣδαῖοι ἕως εἰς τȣ͂τον τὸν λόγον ἄκȣαν τȣ͂ Παύλȣ, καὶ ἀπέκει ἐσήκωσαν τὴν φωνήν τȣς, καὶ εἶπαν· Εὔγαλε ἀπὸ τὴν γῆν τὸν τέτοιον (ἄνθρωπον·) διατὶ δὲν πρέπει νὰ ζῇ.

23 Καὶ κράζοντες ἐκεῖνοι, καὶ ῥίχνοντες τὰ φορέματά τȣς, καὶ βάλλοντες κονιορτὸν εἰς τὸν ἀέρα,

24 Ἐπρόςαξεν ὁ χιλίαρχος νὰ συρθῇ ὁ Παῦλος εἰς τὸ κάςρον, καὶ εἶπε νὰ τὸν ξετάξȣν μὲ ξυλίαις· διὰ νὰ γνωρίσῃ διὰ ποίαν ἀφορμὴν ἐφώναζαν τέτοιας λογῆς ἐναντίατȣ.

25 Καὶ ὡσὰν τὸν ἐξάπλωσαν καὶ τὸν ἔδεσαν μὲ τὰ λȣρία νὰ τὸν δείρȣν, εἶπεν ὁ Παῦλος εἰς τὸν ἑκατόνταρχον ὁπȣ͂ ἐςέκȣντον ἐκεῖ· Ἂν ἔχετε ἐσεῖς ἐξȣσίαν νὰ δέρνετε ἄνθρωπον Ῥωμαῖον χωρὶς κρίσιν;

26 Καὶ ὁ ἑκατόνταρχος ὡσὰν τὸ ἄκȣσεν, ἐπῆγε καὶ τὸ εἶπεν εἰς τὸν χιλίαρχον, λέγωντας· Βλέπε τί μέλλεις νὰ κάμῃς· διατὶ ὁ ἄνθρωπος ἐτȣ͂τος εἶναι Ῥωμαῖος.

27 Προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ· Λέγε μοι, εἰ σὺ Ῥωμαῖος εἶ; Ὁ δὲ ἔφη· Ναί.

28 Ἀπεκρίθη τε ὁ χιλίαρχος· Ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην. Ὁ δὲ Παῦλος ἔφη· Ἐγὼ δὲ καὶ γεγέννημαι.

29 Εὐθέως οὖν ἀπέστησαν ἀπ' αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν· καὶ ὁ χιλίαρχος δὲ ἐφοβήθη, ἐπιγνοὺς ὅτι Ῥωμαῖός ἐστι, καὶ ὅτι ἦν αὐτὸν δεδεκώς.

30 Τῇ δὲ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφαλὲς, τὸ, τί κατηγορεῖται παρὰ τῶν Ἰουδαίων, ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν, καὶ ἐκέλευσεν ἐλθεῖν τοὺς ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον αὐτῶν· καὶ καταγαγὼν τὸν Παῦλον, ἔστησεν εἰς αὐτούς.

27 Καὶ ὁ χιλίαρχος ἐπῆγε κοντὰ εἰς τὸν Παῦλον, καὶ λέγει του· Εἰπέ μου, ἂν εἶσαι Ῥωμαῖος; Καὶ ὁ Παῦλος εἶπε· Ναί.

28 Ἀπεκρίθη ὁ χιλίαρχος καὶ εἶπεν· Ἐγὼ ἀπόκτησα ἐτούτην τὴν πολιτείαν μὲ πολλὴν ἔξοδον. Καὶ ὁ Παῦλος εἶπε· Ἀμὴ ἐγὼ εἶμαι πολίτης (τῆς Ῥώμης) ἀπὸ γεννήσεως.

29 Καὶ παρευθὺς ἐδιέβησαν ἀπ' αὐτὸν ἐκεῖνοι ὁποῦ ἔμελλαν νὰ τὸν ἐξετάζουν· καὶ ὁ χιλίαρχος ὡσὰν ἔμαθε πῶς εἶναι Ῥωμαῖος, ἐφοβήθη, ὅτι τὸν ἔδεσε.

30 Καὶ τὴν ἄλλην ἡμέραν θέλωντας νὰ γνωρίσῃ τὸ βέβαιον, τὸ, τί κατηγορεῖται ἀπὸ τοὺς Ἰουδαίους, τὸν ἔλυσεν ἀπὸ τὰ δεσμὰ, καὶ ἐπρόσταξε νὰ ἔλθουν οἱ ἀρχιερεῖς καὶ ὅλη ἡ σύναξίς τους· καὶ ἐκατέβασε τὸν Παῦλον, καὶ τὸν ἔστησεν εἰς αὐτούς.

Κεφ. κγ'. 23.

Ἀτενίσας δὲ ὁ Παῦλος τῷ συνεδρίῳ, εἶπεν· Ἄνδρες ἀδελφοὶ, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ Θεῷ ἄχρι ταύτης τῆς ἡμέρας.

2 Ὁ δὲ ἀρχιερεὺς Ἀνανίας ἐπέταξε τοῖς παρεστῶσιν αὐτῷ τύπτειν αὐτοῦ τὸ στόμα.

3 Τότε ὁ Παῦλος πρὸς αὐ-

ΚΑΙ ὁ Παῦλος ἀτενίζωντας εἰς τὴν σύναξιν, εἶπεν· Ὦ ἄνδρες ἀδελφοὶ, ἐγὼ ἐπολιτεύθηκα εἰς τὸν Θεὸν ἕως ἐτούτην τὴν ἡμέραν, μὲ κάθε λογῆς συνείδησιν καλήν.

2 Καὶ ὁ ἀρχιερεὺς ὁ Ἀνανίας ἐπρόσταξεν ἐκείνους ὁποῦ ἐπαραστέκουνταν ἐκεῖ σιμά του, νὰ κτυποῦσι τὸ στόμα του.

3 Τότε ὁ Παῦλος εἶπεν εἰς

τὸν εἶπε· Τύπτειν σε μέλλει ὁ Θεὸς, τοῖχε κεκονιαμένε· καὶ σὺ κάθη κρίνων με κατὰ τὸν νόμον, καὶ παρανομῶν κελεύεις με τύπτεσθαι;

4 Οἱ δὲ παρεστῶντες εἶπον· Τὸν ἀρχιερέα τοῦ Θεοῦ λοιδορεῖς;

5 Ἔφη τε ὁ Παῦλος· Οὐκ ᾔδειν, ἀδελφοὶ, ὅτι ἐστὶν ἀρχιερεύς· γέγραπται γάρ· Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.

6 Γνοὺς δὲ ὁ Παῦλος ὅτι τὸ ἓν μέρος ἐστὶ σαδδουκαίων, τὸ δὲ ἕτερον φαρισαίων, ἔκραξεν ἐν τῷ συνεδρίῳ· Ἄνδρες ἀδελφοὶ, ἐγὼ φαρισαῖός εἰμι, υἱὸς φαρισαίου· περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι.

7 Τοῦτο δὲ αὐτοῦ λαλήσαντος, ἐγένετο στάσις τῶν φαρισαίων καὶ τῶν σαδδουκαίων· καὶ ἐσχίσθη τὸ πλῆθος.

8 Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἀνάστασιν, μηδὲ ἄγγελον, μήτε πνεῦμα· φαρισαῖοι δὲ ὁμολογοῦσι τὰ ἀμφότερα.

9 Ἐγένετο δὲ κραυγὴ μεγάλη· καὶ ἀναστάντες οἱ γραμματεῖς τοῦ μέρους τῶν φαρισαίων διεμάχοντο, λέγοντες· Οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ

ἐκεῖνον· Ὦ τοῖχε ἀσβεστωμένε, ὁ Θεὸς μέλλει νὰ σὲ δείρῃ· ἐσὺ κάθεσαι νὰ μὲ κρίνῃς κατὰ τὸν νόμον, καὶ παραβαίνωντας τὸν νόμον προστάζεις νὰ μὲ δέρνουσι;

4 Καὶ ἐκεῖνοι ὁποῦ ἐπαραστέκουνταν εἶπαν· Τὸν ἀρχιερέα τοῦ Θεοῦ ὑβρίζεις;

5 Καὶ ὁ Παῦλος εἶπε· Δὲν τὸ ἤξευρα, ἀδελφοὶ, ὅτι εἶναι ἀρχιερεύς· διατὶ εἶναι γραμμένον· Ὅτι ἄρχοντα τοῦ λαοῦ σου νὰ μὴν κακολογήσῃς.

6 Καὶ ὁ Παῦλος ὡσὰν ἐγνώρισεν, ὅτι τὸ ἕνα μέρος εἶναι τῶν σαδδουκαίων, καὶ τὸ ἄλλο εἶναι τῶν φαρισαίων, ἔκραξεν εἰς τὸ συνέδριον· Ὦ ἄνδρες ἀδελφοὶ, ἐγὼ εἶμαι φαρισαῖος, υἱὸς φαρισαίου· καὶ κρίνομαι περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν.

7 Καὶ ὡσὰν εἶπεν ἐτοῦτο, ἔγινε φιλονεικία τῶν φαρισαίων καὶ τῶν σαδδουκαίων· καὶ τὸ πλῆθος ἐχώρισεν εἰς δύο.

8 Διατὶ οἱ σαδδουκαῖοι λέγουσι πῶς δὲν εἶναι ἀνάστασις, μηδὲ ἄγγελος, μηδὲ πνεῦμα· ἀμὴ οἱ φαρισαῖοι ὁμολογοῦσι καὶ τὰ δύο.

9 Καὶ ἔγινε μεγάλη βοή· καὶ ἐσηκώθηκαν οἱ γραμματεῖς ὁποῦ ἦταν ἀπὸ τὸ μέρος τῶν φαρισαίων, καὶ ἐμάχουνταν καὶ ἔλεγαν· Κανένα κακὸν δὲν εὑρίσκομεν εἰς τὸν ἄνθρω-

τέτῳ· εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ, ἢ ἄγγελΘ, μὴ θεομαχῶμεν.

10 Πολλῆς δὲ γενομένης ςάσεως, εὐλαβηθεὶς ὁ χιλίαρχΘ μὴ διασπασθῇ ὁ ΠαῦλΘ ὑπ' αὐτῶν, ἐκέλευσε τὸ ςράτευμα καταβὰν ἁρπάσαι αὐτὸν ἐκ μέσε αὐτῶν, ἄγειν τε εἰς τὴν παρεμβολήν.

11 Τῇ δὲ ἐπιέσῃ νυκτὶ ἐπιςὰς αὐτῷ ὁ Κύριος εἶπε· Θάρσει, Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμῦ εἰς Ἱερυσαλὴμ, ὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι.

12 Γενομένης δὲ ἡμέρας, ποιήσαντές τινες τῶν Ἰυδαίων συςροφὴν, ἀνεθεμάτισαν ἑαυτὺς λέγοντες μήτε φαγεῖν μήτε πιεῖν ἕως ὗ ἀποκτείνωσι τὸν Παῦλον.

13 Ἦσαν δὲ πλείυς τεσσαράκοντα οἱ ταύτην τὴν συνωμοσίαν πεποιηκότες.

14 Οἵτινες προσελθόντες τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις, εἶπον· Ἀναθέματι ἀνεθεματίσαμεν ἑαυτὺς, μηδενὸς γεύσασθαι ἕως ὗ ἀποκτείνωμεν τὸν Παῦλον.

15 Νῦν ὖν ὑμεῖς ἐμφανίσαῖε τῷ χιλιάρχῳ σὺν τῷ συνεδρίῳ ὅπως αὔριον αὐτὸν καταγά-

πον ἐτῦτον· ἀμὴ ἀνίσως καὶ ἐλάλησεν εἰς αὐτὸν ἢ πνεῦμα ἢ ἄγγελος, μὴν θεομαχῦμεν.

10 Καὶ ὡσὰν ἔγινε πολλὴ φιλονεικία, φοβύμενος ὁ χιλίαρχος μήπως καὶ ξεσκισθῇ ὁ Παῦλος ἀπ' αὐτὺς, ἐπρόςαξε τὸ ςράτευμα νὰ κατέβῃ νὰ τὸν ἁρπάξῃ ἀπὸ τὴν μέσην τυς, καὶ νὰ τὸν ὑπᾶσιν εἰς τὸ κάςρον.

11 Καὶ τὴν ἐρχομένην νύκτα ἐφάνη εἰς αὐτὸν ὁ Κύριος, καὶ εἶπέ τυ· Ἔχε θάῤῥος, Παῦλε· διατὶ καθὼς ἐμαρτύρησες τὰ ἐδικά μυ εἰς τὴν Ἱερυσαλὴμ, ἔτζι κάμνει χρεία νὰ τὰ μαρτυρήσῃς καὶ εἰς τὴν Ῥώμην.

12 Καὶ ὡσὰν ἐξημέρωσε, κάποιοι ἀπὸ τὺς Ἰυδαίυς ἔκαμαν σύναξιν, καὶ ἀναθεμάτισαν τῦ λόγυ τυς, καὶ εἶπαν μηδὲ νὰ φάγωσι μηδὲ νὰ πιῦσιν, ἕως ὁπῦ νὰ σκοτώσυσι τὸν Παῦλον.

13 Καὶ ἐκεῖνοι ὁπῦ ἔκαμαν ἐτύτην τὴν ὁρκομωσίαν, ἦταν περισσότεροι ἀπὸ σαράντα.

14 Οἱ ὁποῖοι ἐπῆγαν εἰς τὺς ἀρχιερεῖς καὶ εἰς τὺς πρεσβυτέρυς, καὶ εἶπαν· Ἐμεῖς ἀναθεματίσαμεν τοῦ λόγου μας, νὰ μὴν φᾶμεν τίποτες ἕως ὁπῦ νὰ σκοτώσωμεν τὸν Παῦλον.

15 Τῶρα λοιπὸν ἐσεῖς φανερώσεῖε τῦ χιλιάρχυ μαζῦ μὲ τὴν σύναξιν, διὰ νὰ τὸν κα-

γῃ πρὸς ὑμᾶς, ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον τὰ περὶ αὐτᾶ· ἡμεῖς δὲ, πρὸ τᾶ ἐγγίσαι αὐτὸν, ἕτοιμοί ἐσμεν τοῦ ἀνελεῖν αὐτόν.

16 Ἀκάσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλα τὴν ἐνέδραν, παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολὴν, ἀπήγγειλε τῷ Παύλῳ.

17 Προσκαλεσάμενος δὲ ὁ Παῦλος ἕνα τῶν ἑκατοντάρχων, ἔφη· Τὸν νεανίαν τᾶτον ἀπάγαγε πρὸς τὸν χιλίαρχον· ἔχει γάρ τι ἀπαγγεῖλαι αὐτῷ.

18 Ὁ μὲν ἂν παραλαβὼν αὐτὸν ἤγαγε πρὸς τὸν χιλίαρχον, καί φησιν· Ὁ δέσμιος Παῦλος προσκαλεσάμενός με ἠρώτησε τᾶτον τὸν νεανίαν ἀγαγεῖν πρός σε, ἔχοντά τι λαλῆσαί σοι.

19 Ἐπιλαβόμενος δὲ τῆς χειρὸς αὐτᾶ ὁ χιλίαρχος, καὶ ἀναχωρήσας κατ' ἰδίαν, ἐπυνθάνετο· Τί ἐστιν ὃ ἔχεις ἀπαγγεῖλαί μοι;

20 Εἶπε δέ· Ὅτι οἱ Ἰαδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί σε ὅπως αὔριον εἰς τὸ συνέδριον καταγάγῃς τὸν Παῦλον, ὡς μέλλοντές τι ἀκριβέστερον πυνθάνεσθαι περὶ αὐτᾶ.

21 Σὺ ἂν μὴ πεισθῇς αὐτοῖς· ἐνεδρεύασι γὰρ αὐτὸν ἐξ αὐτῶν

τεβάσῃ αὔριον εἰς ἐσᾶς, ὡσὰν μέλλοντες τάχα νὰ γνωρίσετε καλλίτερα τὰ πράγματά τα· καὶ πρὸ τᾶ νὰ σημώσῃ αὐτὸς, ἐμεῖς εἴμεσθεν ἕτοιμοι νὰ τὸν σκοτώσωμεν.

16 Καὶ ὁ υἱὸς τῆς ἀδελφῆς τᾶ Παύλα ἄκασε τὴν ἐπιβαλὴν ἐτάτην, καὶ ἐπῆγε καὶ ἐμβῆκε μέσα εἰς τὸ κάστρον, καὶ τὸ εἶπε τοῦ Παύλα.

17 Καὶ ὁ Παῦλος ἐπροσκάλεσεν ἕνα ἀπὸ τὰς ἑκατοντάρχας, καὶ εἶπέν τα· Ἔπαρε καὶ πάγενε ἐτᾶτον τὸν νέον εἰς τὴν χιλίαρχον· διατὶ ἔχει κάτι τί νὰ τοῦ εἰπῇ.

18 Καὶ ὁ ἑκατόνταρχος τὸν ἐπῆρε, καὶ τὸν ἐπῆγεν εἰς τὸν χιλίαρχον, καὶ εἶπεν· Ὁ δέσμιος ὁ Παῦλος μὲ ἐλάλησε καὶ μὲ ἐπαρακάλεσε νὰ φέρω ἐτᾶτον τὸν νέον εἰς ἐσένα, καὶ ἔχει κάτι τί νὰ σᾶ λαλήσῃ.

19 Καὶ ὁ χιλίαρχος τὸν ἐπίασεν ἀπὸ τὸ χέρι, καὶ ἐπῆγε ξεχωριστὰ, καὶ τὸν ἐρώτησε· Τί εἶναι ἐκεῖνο ὁπᾶ ἔχεις νὰ μᾶ εἰπῇς;

20 Καὶ εἶπεν· Ὅτι οἱ Ἰαδαῖοι ἐσυμφώνησαν νὰ σὲ παρακαλέσαν νὰ κατεβάσῃς αὔριον τὸν Παῦλον εἰς τὴν σύναξιν, ὡσὰν μέλλοντες τάχα νὰ ἐρωτήσαν τίποτες καλλίτερα διὰ λόγα τα.

21 Ἐσὺ λοιπὸν νὰ μὴν καταπεισθῇς εἰς αὐτάς· διατὶ

ἄνδρες πλείους τεσσαράκοντα, οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν μήτε πιεῖν ἕως οὗ ἀνέλωσιν αὐτόν· καὶ νῦν ἕτοιμοί εἰσι, προσδεχόμενοι τὴν ἀπὸ σοῦ ἐπαγγελίαν.

περισσότεροι ἀπὸ σαράντα ἄνδρες ἀπ' αὐτοὺς τὸν ἐπιβουλεύονται, οἱ ὁποῖοι ἀναθεμάτισαν τοῦ λόγου τους μηδὲ νὰ φάγωσι μηδὲ νὰ πιοῦσιν, ἕως ὁποῦ νὰ τὸν ἐσκοτώσουσι· καὶ τώρα εἶναι ἕτοιμοι καὶ ἀναμένουσι, νὰ ἀκούσουν τί θέλεις τάξει.

22 Ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσε τὸν νεανίαν, παραγγείλας μηδενὶ ἐκλαλῆσαι ὅτι ταῦτα ἐνεφάνισας πρός με.

22 Ὁ χιλίαρχος λοιπὸν ἀπόλυσε τὸν νέον, καὶ ἐπαράγγειλέν του λέγωντας· Νὰ μὴν τὸ εἰπῆς κανενὸς πῶς μοῦ τὰ ἐφανέρωσες ἐτοῦτα.

23 Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων, εἶπεν· Ἑτοιμάσατε στρατιώτας διακοσίους, ὅπως πορευθῶσιν ἕως Καισαρείας, καὶ ἱππεῖς ἑβδομήκοντα, καὶ δεξιολάβους διακοσίους, ἀπὸ τρίτης ὥρας τῆς νυκτός·

23 Καὶ ἐπροσκάλεσε δύο κάποιους ἀπὸ τοὺς ἑκατοντάρχους, καὶ εἶπεν· Ἑτοιμάσετε διακοσίους στρατιώτας, διὰ νὰ ὑπᾶσιν ἕως εἰς τὴν Καισάρειαν, καὶ ἑβδομῆντα καβαλάριδες, καὶ διακοσίους σωματοφύλακας, ἀπὸ τὴν τρίτην ὥραν τῆς νύκτας·

24 Κτήνη τε παραστῆσαι, ἵνα ἐπιβιβάσαντες τὸν Παῦλον διασώσωσι πρὸς Φήλικα τὸν ἡγεμόνα·

24 Καὶ νὰ φέρετε καὶ ζῶα, διὰ νὰ βάλλετε ἀπάνω τὸν Παῦλον, νὰ τὸν ὑπᾶτε σῶον εἰς τὸν Φήλικα τὸν ἡγεμόνα·

25 Γράψας ἐπιστολὴν περιέχουσαν τὸν τύπον τοῦτον·

25 Καὶ ἔγραψε καὶ ἐπιστολὴν, ἡ ὁποῖα ἐπεριεῖχεν ἐτοῦτον τὸν τύπον·

26 Κλαύδιος Λυσίας τῷ κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν.

26 Κλαύδιος ὁ Λυσίας τῷ κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν.

27 Τὸν ἄνδρα τοῦτον συλληφθέντα ὑπὸ τῶν Ἰουδαίων, καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ' αὐτῶν, ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλόμην αὐτὸν, μαθὼν ὅτι Ῥωμαῖός ἐστι.

27 Ἐτοῦτος ὁ ἄνθρωπος ἐπιάσθη ἀπὸ τοὺς Ἰουδαίους, καὶ ἔμελλε νὰ φονευθῇ ἀπ' αὐτοὺς, καὶ ἐγὼ ἐπῆγα μὲ τὸ στράτευμα καὶ τὸν εὔγαλα ἀπὸ τὰ χέρια τους, μὲ τὸ νὰ μάθω πῶς εἶναι Ῥωμαῖος.

28 Βυλόμενος δὲ γνῶναι τὴν αἰτίαν δι' ἣν ἐνεκάλυν αὐτῷ, κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν·

29 Ὃν εὗρον ἐγκαλύμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν, μηδὲν δὲ ἄξιον θανάτυ ἢ δεσμῶν ἔγκλημα ἔχοντα.

30 Μηνυθείσης δέ μοι ἐπιβυλῆς εἰς τὸν ἄνδρα μέλλειν ἔσεσθαι ὑπὸ τῶν Ἰυδαίων, ἐξαυτῆς ἔπεμψα πρὸς σε· παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ πρὸς αὐτὸν ἐπὶ σῦ Ἔῤῥωσο.

31 Οἱ μὲν ὖν ϛρατιῶται, κατὰ τὸ διατεταγμένον αὐτοῖς, ἀναλαβόντες τὸν Παῦλον, ἤγαγον διὰ τῆς νυκτὸς εἰς τὴν Ἀντιπατρίδα.

32 Τῇ δὲ ἐπαύριον ἐάσαντες τὺς ἱππεῖς πορεύεσθαι σὺν αὐτῷ, ὑπέϛρεψαν εἰς τὴν παρεμβολήν.

33 Οἵτινες εἰσελθόντες εἰς τὴν Καισάρειαν, καὶ ἀναδόντες τὴν ἐπιϛολὴν τῷ ἡγεμόνι, παρέϛησαν καὶ τὸν Παῦλον αὐτῷ.

34 Ἀναγνὺς δὲ ὁ ἡγεμὼν, καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας ἐϛὶ, καὶ πυθόμενος ὅτι ἀπὸ Κιλικίας·

28 Καὶ θέλωντας νὰ μάθω τὴν ἀφορμὴν διὰ τὴν ὁποῖαν τὸν ἐγκαλῦσαν, τὸν ἔφερα εἰς τὴν σύναξίν τυς·

29 Τὸν ὁποῖον τὸν εὕρηκα ὁπῦ ἐγκαλεῖτον διὰ ζητήματα τοῦ νόμυ τυς, καὶ δὲν εἶχε κανένα ἔγκλημα ἄξιον θανάτυ, ἢ δεσίματος.

30 Καὶ μὲ τὸ νὰ μῦ ἐμηνύθη ἐπιβυλὴ, ὁπῦ ἤμελλεν νὰ γένῃ ἀπὸ τὺς Ἰυδαίυς εἰς τὸν ἄνδρα ἐτῦτον, εὐθὺς τὸν ἔπεμψα εἰς ἐσένα· καὶ ἐπαράγγειλα εἰς τυς κατηγόρυς νὰ εἰπῦσιν ὀμπροϛὰ συ ἐκεῖνα ὁπῦ ἔχυσιν εἰς αὐτόν. Ἔῤῥωσο.

31 Οἱ ϛρατιῶται λοιπὸν, καθὼς ἦταν παραγγελμένοι, ἐπῆραν τὸν Παῦλον, καὶ τὸν ἔφεραν τὴν νύκτα εἰς τὴν Ἀντιπατρίδα.

32 Καὶ τὴν ἄλλην ἡμέραν ἄφησαν τὺς καβαλάριδες νὰ πᾶσιν μετ' αὐτὸν, καὶ ἐκεῖνοι οἱ ϛρατιῶται ἐγύρισαν εἰς τὸ κάϛρον.

33 Καὶ οἱ καβαλάριδες ἐπῆγαν εἰς τὴν Καισάρειαν, καὶ ἔδωκαν τὴν ἐπιϛολὴν εἰς τὸν ἡγεμόνα, καὶ τῦ ἐπαράϛησαν καὶ τὸν Παῦλον.

34 Καὶ ὁ ἡγεμὼν ὡσὰν ἀνάγνωσε τὴν ἐπιϛολὴν, ἐρώτησε τὸν Παῦλον ἀπὸ ποίαν ἐπαρχίαν εἶναι, καὶ ὡσὰν ἔμαθεν ὅτι εἶναι ἀπὸ τὴν Κιλικίαν·

35 Διακέσομαί σε, ἔφη, ὅταν καὶ οἱ κατήγοροί σε παραγίνωνται. Ἐκέλευσέ τε αὐτὸν ἐν τῷ πραιτωρίῳ τοῦ Ἡρώδε φυλάσσεσθαι.

35 Εἶπε· Θέλομεν σὲ ἀκέσει, ὅταν ἔλθεν οἱ κατήγοροί σε. Καὶ ἐπρόςαξε νὰ φύλάττεται εἰς τὸ παλάτιον τοῦ Ἡρώδε.

Κεφ. κδʹ. 24.

ΜΕτὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς Ἀνανίας μετὰ τῶν πρεσβυτέρων, καὶ ῥήτορος Τερτύλλε τινὸς, οἵτινες ἐνεφάνισαν τῷ ἡγεμόνι κατὰ τοῦ Παύλε.

ΚΑΙ ὕστερον ἀπὸ πέντε ἡμέραις ἐκατέβη ὁ ἀρχιερεὺς Ἀνανίας μὲ τὲς πρεσβυτερες, καὶ μὲ κάποιον ῥήτορα Τέρτυλλον, οἱ ὁποῖοι ἐφανήσθηκαν εἰς τὸν ἡγεμόνα ἐναντίον τοῦ Παύλε.

2 Κληθέντ☉ δὲ αὐτε, ἤρξατο κατηγορεῖν ὁ Τέρτυλλ☉, λέγων·

2 Καὶ ὡσὰν ἐκάλεσαν τὸν Παῦλον, ἄρχισεν ὁ Τέρτυλλ☉ νὰ τὸν κατηγορῇ, λέγωντας·

3 Πολλῆς εἰρήνης τυγχάνοντες διὰ σε, καὶ κατορθωμάτων γινομένων τῷ ἔθνει τέτῳ διὰ τῆς σῆς προνοίας, πάντῃ τε καὶ πανταχε ἀποδεχόμεθα, κράτιςε Φῆλιξ, μετὰ πάσης εὐχαριςίας.

3 Ὦ κράτιςε Φῆλιξ, ἐμεῖς ἔςωνας νὰ ἔχωμεν πολλὴν εἰρήνην διὰ μέσε σε, καὶ τῶν κατορθωμάτων ὁπε γίνονται εἰς τὸ ἔθν☉ ἐτετο, διὰ μέσε τῆς ἐδικῆς σε προμηθείας, νὰ γνωρίζομεν ἐτετα, καὶ σε εὐχαριςεμεν κατὰ πάντα, καὶ εἰς κάθε τόπον.

4 Ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω, παρακαλῶ ἀκεσαί σε ἡμῶν συντόμως τῇ σῇ ἐπιεικείᾳ.

4 Καὶ διὰ νὰ μὴν σὲ παραβαρῶ περισσότερον, παρακαλῶ σε νὰ μᾶς ἀκέσῃς συντόμως, κατὰ τὴν καλωσύνην σε.

5 Εὑρόντες γὰρ τὸν ἄνδρα τετον λοιμὸν, καὶ κινεντα ςάσιν πᾶσι τοῖς Ἰεδαίοις τοῖς κατὰ τὴν οἰκουμένην, πρωτοςάτην τε τῆς τῶν Ναζωραίων αἱρέσεως·

5 Διατὶ ἔςωνας νὰ εὕρωμεν ἐτετον τὸν ἄνδρα φθοροποιὸν, καὶ παρακινεντα διχοςασίαν εἰς ὅλες τες Ἰεδαίες ὁπε εἶναι εἰς τὴν οἰκεμένην, καὶ εἶναι πρωτοςάτης τῆς αἱρέσεως τῶν Ναζωραίων·

6 Ὃς καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι, ὃν καὶ ἐκρατήσαμεν, καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρίνειν.

7 Παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος, μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγε·

8 Κελεύσας τοὺς κατηγόρους αὐτοῦ ἔρχεσθαι ἐπί σε· παρ' οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶναι ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ.

9 Συνέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι, φάσκοντες ταῦτα οὕτως ἔχειν.

10 Ἀπεκρίθη δὲ ὁ Παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν· Ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν τῷ ἔθνει τούτῳ ἐπιστάμενος, εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι·

11 Δυναμένου σου γνῶναι ὅτι οὐ πλείους εἰσί μοι ἡμέραι ἢ δεκαδύο, ἀφ' ἧς ἀνέβην προσκυνήσων ἐν Ἱερουσαλήμ.

12 Καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον, ἢ ἐπισύστασιν ποιοῦντα ὄχλου, οὔτε ἐν ταῖς συναγωγαῖς, οὔτε κατὰ τὴν πόλιν·

13 Οὔτε παραστῆσαι δύνανται περὶ ὧν νῦν κατηγοροῦσί μου.

6 Ὁ ὁποῖος ἐδοκίμασε νὰ μιάνῃ καὶ τὸ ἱερὸν, τὸν ἐπιάσαμεν, καὶ κατὰ τὸν νόμον τὸν ἰδικόν μας ἐθελήσαμεν νὰ τὸν κρίνωμεν.

7 Ἀμὴ περνῶντας ὁ Λυσίας ὁ χιλίαρχος, τὸν ἐπῆρεν στανικῶς ἀπὸ τὰ χέριά μας·

8 Καὶ ἐπρόσταξεν ἐκείνους ὁποῦ τὸν κατηγοροῦσαν νὰ ἔλθουν εἰς ἐσένα· διὰ νὰ ἤθελες ἠμπορέσῃ νὰ γνωρίσῃς ἐξετάζωντάς τον ὅλα ἐκεῖνα ὁποῦ ἐμεῖς τοῦ κατηγοροῦμεν.

9 Καὶ μὲ τὸν Τέρτυλλον ἐσυμφώνησαν καὶ οἱ Ἰουδαῖοι, λέγοντες ἐτοῦτα ἔτζι εἶναι.

10 Καὶ ὁ Παῦλος, ὡσὰν τοῦ ἔννευψεν ὁ ἡγεμὼν νὰ μιλήσῃ, ἀπεκρίθη (καὶ εἶπεν·) Ἐγὼ ἰξεύρωντας πῶς ἐσὺ εἶσαι κριτὴς ἀπὸ πολλοὺς χρόνους εἰς τὸ ἔθνος ἐτοῦτο, μὲ καλλίτερην καρδίαν ἀπολογοῦμαι διὰ λόγου μου·

11 Ἠμπορῶντας ἐσὺ νὰ γνωρίσῃς, ὅτι δὲν ἔχω, παρὰ δώδεκα ἡμέραις, ἀφόντις ἀνέβηκα εἰς τὴν Ἱερουσαλὴμ νὰ προσκυνήσω.

12 Καὶ οὐδὲ εἰς τὸ ἱερὸν μὲ εὕρηκαν ὁποῦ νὰ διαλέγωμαι μὲ κανένα, ἢ ὁποῦ νὰ ἔκαμα σύναξιν πλήθους, οὔτε εἰς ταῖς συναγωγαῖς, οὐδὲ εἰς τὴν πόλιν·

13 Οὐδὲ δύνονται νὰ βεβαιώσουν ἐκεῖνα ὁποῦ κατηγοροῦσι τώρα.

14 Ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδὸν ἣν λέγουσιν αἵρεσιν, οὕτω λατρεύω τῷ πατρῴῳ Θεῷ, πιστεύων πᾶσι τοῖς κατὰ τὸν νόμον καὶ ἐν τοῖς προφήταις γεγραμμένοις·

15 Ἐλπίδα ἔχων εἰς τὸν Θεὸν, ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν, δικαίων τε καὶ ἀδίκων.

16 Ἐν τούτῳ δὲ αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν ἔχειν πρὸς τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους διαπαντός·

17 Δι' ἐτῶν δὲ πλειόνων παρεγενόμην ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου καὶ προσφοράς.

18 Ἐν οἷς εὗρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ, οὐ μετὰ ὄχλου, οὐδὲ μετὰ θορύβου, τινες ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι.

19 Οὓς ἔδει ἐπὶ σοῦ παρεῖναι, καὶ κατηγορεῖν εἴ τι ἔχοιεν πρός με.

20 Ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν εἴ τι εὗρον ἐν ἐμοὶ ἀδίκημα, στάντος μου ἐπὶ τοῦ συνεδρίου·

21 Ἢ περὶ μιᾶς ταύτης φωνῆς, ἧς ἔκραξα ἑστὼς ἐν αὐτοῖς· Ὅτι περὶ ἀναστάσεως

14 Καὶ τοῦτο σοῦ ὁμολογῶ, ὅτι κατὰ τὸν τρόπον (τῆς θρησκείας) τὴν ὁποίαν λέγουσιν (ἐτοῦτοι) αἵρεσιν, ἔτζι λατρεύω τῷ πατρικῷ Θεῷ, καὶ πιστεύω εἰς ὅλα ἐκεῖνα ὁποῦ εἶναι γεγραμμένα εἰς τὸν νόμον καὶ εἰς τοὺς προφήτας·

15 Καὶ ἔχω ἐλπίδα εἰς τὸν Θεὸν, τὴν ὁποίαν καὶ αὐτοὶ οἱ ἴδιοι προσδέχονται, πῶς μέλλει νὰ γένῃ ἀνάστασις τῶν νεκρῶν, καὶ τῶν δικαίων καὶ τῶν ἀδίκων.

16 Καὶ εἰς τοῦτο σπουδάζω, νὰ ἔχω συνείδησιν εἰς τὸν Θεὸν καὶ εἰς τοὺς ἀνθρώπους ἀσκανδάλιστον·

17 Καὶ ὕστερα ἀπὸ πολλοὺς χρόνους ἦλθα εἰς τὰ Ἱεροσόλυμα μέλλωντας νὰ κάμω ἐλεημοσύναις εἰς τὸ ἔθνος μου καὶ προσφοράς.

18 Ἀνάμεσα εἰς τὰ ὁποῖα μὲ ηὗραν καθαρισμένον εἰς τὸ ἱερὸν, ὄχι μὲ πλῆθος, οὐδὲ μὲ σύγχυσιν, κάποιοι Ἰουδαῖοι ἀπὸ τὴν Ἀσίαν.

19 Οἱ ὁποῖοι ἔπρεπε νὰ εἶναι ἐδῶ παρὼν ὀμπροστὰ σου, καὶ νὰ κατηγοροῦσιν, ἂν ἔχουσι τίποτες ἐναντία μου.

20 Ἢ αὐτοὶ οἱ ἴδιοι ἂς τὸ εἰποῦσιν ἂν εὑρήκασιν εἰς ἐμένα τίποτες ἀδικίαν, ὅταν ἐστάθηκα εἰς τὴν σύναξιν·

21 Παρὰ ἂν δὲν εἶναι διὰ ἕνα λόγον ἐτοῦτον καὶ μόνον, ὁποῦ ἐστάθηκα καὶ εἶπα ἀνά-

νεκρῶν ἐγὼ κρίνομαι σήμερον ὑφ' ὑμῶν.

22 Ἀκούσας δὲ ταῦτα ὁ Φῆλιξ ἀνεβάλετο αὐτοὺς, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ, εἰπών· Ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώσομαι τὰ καθ' ὑμᾶς.

23 Διαταξάμενός τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν Παῦλον, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν, ἢ προσέρχεσθαι αὐτῷ.

24 Μετὰ δὲ ἡμέρας τινὰς παραγενόμενος ὁ Φῆλιξ σὺν Δρουσίλλῃ τῇ γυναικὶ αὐτοῦ οὔσῃ Ἰουδαίᾳ, μετεπέμψατο τὸν Παῦλον, καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς Χριστὸν πίστεως.

25 Διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας καὶ τοῦ κρίματος τοῦ μέλλοντος ἔσεσθαι, ἔμφοβος γενόμενος ὁ Φῆλιξ ἀπεκρίθη· Τὸ νῦν ἔχον πορεύου· καιρὸν δὲ μεταλαβὼν μετακαλέσομαί σε·

26 Ἅμα δὲ καὶ ἐλπίζων ὅτι χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ Παύλου, ὅπως λύσῃ αὐτόν· διὸ καὶ πυκνότερον αὐτὸν μεταπεμπόμενος, ὡμίλει αὐτῷ.

27 Διετίας δὲ πληρωθείσης

μεστά τους· Ὅτι ἐγὼ σήμερον ἐξετάζομαι ἀπὸ σᾶς περὶ ἀναστάσεως τῶν νεκρῶν.

22 Καὶ ὁ Φῆλιξ ὡσὰν ἄκουσεν ἐτοῦτα τὰ λόγια ἀπὸ τὸν Παῦλον, ἀνέβαλλε τὴν ὑπόθεσιν εἰς ἄλλην ἡμέραν, ἐξεύρωντάς την καταλεπτῶς, λέγωντάς· Ὅταν κατέβῃ ὁ Λυσίας ὁ χιλίαρχος, θέλω γνωρίσει καλλίτερον τὴν ὑπόθεσίν σας.

23 Καὶ ἐπαράγγειλεν τοῦ ἑκατοντάρχου, νὰ φυλάγῃ τὸν Παῦλον, καὶ νὰ τοῦ δίδῃ ἄνεσιν, καὶ κανένα ἀπὸ τοὺς ἐδικούς του νὰ μὴν ἐμποδίζῃ νὰ τὸν ὑπηρετᾷ, ἢ νὰ παγένῃ εἰς αὐτόν.

24 Καὶ μὲ καμπόσαις ἡμέραις ἦλθεν ὁ Φῆλιξ μὲ τὴν Δρουσίλλην τὴν γυναῖκά του, ἡ ὁποῖα ἦταν Ἰουδαία, καὶ ἐπροσκάλεσε τὸν Παῦλον, καὶ τοῦ ἄκουσεν ὅπου ἔλεγεν διὰ τὴν πίστιν τὴν εἰς τὸν Χριστόν.

25 Καὶ διαλεγόμενος ὁ Παῦλος περὶ δικαιοσύνης καὶ ἐγκρατείας, καὶ περὶ τῆς κρίσεως ὅπου μέλλει νὰ γένῃ, ἐφοβήθη ὁ Φῆλιξ καὶ ἀπεκρίθη· Διὰ τὴν ὥραν σύρε· καὶ ὡσὰν εὕρω καιρὸν θέλω σὲ μεταπροσκαλέσει·

26 Θαῤῥῶντας ἀκόμι πῶς θέλει τοῦ δώσει ὁ Παῦλος ἄσπρα νὰ τὸν ἀπολύσῃ· διὰ τοῦτο τὸν ἐπροσκάλει πυκνότερον, καὶ τοῦ ἐσυντύχαινε.

27 Καὶ ὡσὰν ἐτελειώθη-

ἔλαβε διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆστον· θέλων τε χάριτας καταθέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆλιξ, κατέλιπε τὸν Παῦλον δεδεμένον.

καν δύο χρόνοι, ἄφησε διάδοχον ὁ Φῆλιξ τὸν Πόρκιον τὸν Φῆστον· καὶ θέλωντας νὰ κάμῃ χάριν εἰς τοὺς Ἰουδαίους ὁ Φῆλιξ, ἄφησε τὸν Παύλον δεμένον.

Κεφ. κε'. 25.

Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ, μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ Καισαρείας.

Ὁ Φῆστος λοιπὸν ὡσὰν ἐμβῆκεν εἰς τὴν ἐπαρχίαν, ὕστερα ἀπὸ τρεῖς ἡμέραις ἀνέβη εἰς τὴν Ἱερουσαλὴμ ἀπὸ τὴν Καισάρειαν.

2 Ἐνεφάνισαν δὲ αὐτῷ ὁ ἀρχιερεὺς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου, καὶ παρεκάλουν αὐτὸν,

2 Καὶ ἐφάνηκαν εἰς αὐτὸν ὁ ἀρχιερεὺς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων ἐναντία τοῦ Παύλου, καὶ τὸν ἐπαρακλοῦσαν,

3 Αἰτούμενοι χάριν κατ' αὐτοῦ, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ· ἐνέδραν ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν.

3 Γυρεύοντες χάριν ἐναντία του, νὰ τὸν κράξῃ ἀπ' ἐκεῖ εἰς τὴν Ἱερουσαλήμ· κάμνοντες ἐπιβουλὴν, νὰ τὸν σκοτώσουν εἰς τὴν στράταν.

4 Ὁ μὲν οὖν Φῆστος ἀπεκρίθη τηρεῖσθαι τὸν Παῦλον ἐν Καισαρείᾳ, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι.

4 Ἀμὴ ὁ Φῆστος ἀπεκρίθη ὅτι νὰ φυλάγεται ὁ Παῦλος εἰς τὴν Καισάρειαν, καὶ ὅτι ἀτός του μέλλει νὰ πάγῃ ἐκεῖ τὸ γλιγωρώτερον.

5 Οἱ οὖν δυνατοὶ ἐν ὑμῖν, φησὶ, συγκαταβάντες, εἴ τι ἐστὶν ἐν τῷ ἀνδρὶ τούτῳ, κατηγορείτωσαν αὐτοῦ.

5 Ἐκεῖνοι λοιπὸν ὁποῦ εἶναι ἀπὸ σᾶς δυνατοὶ, εἶπεν, ἂς κατέβουν μαζὺ, καὶ ἂν εἶναι τίποτες ἄτοπον εἰς τὸν ἄνδρα ἐτοῦτον, ἂς τὸν κατηγορήσουν ἐκεῖ.

6 Διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας πλείους ἢ δέκα, καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσε τὸν Παῦλον ἀχθῆναι.

6 Καὶ ἔστωντας νὰ διατρίψῃ εἰς τὴν Ἱερουσαλὴμ περισσότεραις παρὰ δέκα ἡμέραις, ἐκατέβη εἰς τὴν Καισάρειαν, καὶ τὴν ἄλλην ἡμέραν ἐκάθισεν εἰς τὸ κριτήριον, καὶ ἐπρόσταξε νὰ φέρουσι τὸν Παῦλον.

7 Παραγενομένου δὲ αὐτοῦ, περιέστησαν οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα αἰτιάματα φέροντες κατὰ τοῦ Παύλου, ἃ οὐκ ἴσχυον ἀποδεῖξαι·

8 Ἀπολογουμένου αὐτοῦ· Ὅτι οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων, οὔτε εἰς τὸ ἱερὸν, οὔτε εἰς Καίσαρά τι ἥμαρτον.

9 Ὁ Φῆστος δὲ τοῖς Ἰουδαίοις θέλων χάριν καταθέσθαι ἀποκριθεὶς τῷ Παύλῳ εἶπε· Θέλεις εἰς Ἱεροσόλυμα ἀναβὰς, ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ᾽ ἐμοῦ;

10 Εἶπε δὲ ὁ Παῦλος· Ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι· Ἰουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις.

11 Εἰ μὲν γὰρ ἀδικῶ, καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν· εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσί μου, οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι· Καίσαρα ἐπικαλοῦμαι.

12 Τότε ὁ Φῆστος, συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη· Καίσαρα ἐπικέκλη-

7 Καὶ ὡσὰν ἦλθεν αὐτὸς, ἐστάθηκαν τριγύρω ἐκεῖνοι οἱ Ἰουδαῖοι ὁποῦ ἐκατέβηκαν ἀπὸ τὴν Ἱερουσαλὴμ, καὶ ἔλεγαν ἐναντία τοῦ Παύλου πολλαῖς καὶ βαρείαις κατηγορίαις, ταῖς ὁποῖαις δὲν ἠμποροῦσαν νὰ ταῖς ἀποδείξουν·

8 Ὅτι ὁ Παῦλος ἀπολογοῦνταν, λέγωντας· Οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων, οὔτε εἰς τὸ ἱερὸν, οὔτε εἰς τὸν Καίσαρα ἔσφαλα τίποτες.

9 Ἀμὴ ὁ Φῆστος θέλωντας νὰ κάμῃ χάριν εἰς τοὺς Ἰουδαίους, ἀπεκρίθη καὶ εἶπεν εἰς τὸν Παῦλον· Θέλεις νὰ ἀνέβῃς εἰς τὰ Ἱεροσόλυμα, νὰ κριθῇς ἐκεῖ διὰ τοῦτα ὀμπροστά μου;

10 Καὶ ὁ Παῦλος εἶπεν· Ἐγὼ στέκομαι εἰς τὸ κριτήριον τοῦ Καίσαρος, ἐκεῖ ὁποῦ κάμνει χρεία νὰ κριθῶ· ἐγὼ τοὺς Ἰουδαίους τίποτες δὲν τοὺς ἀδίκησα, καθὼς τὸ γνωρίζεις καὶ ἐσὺ καλά.

11 Διατὶ ἂν ἀδικῶ, καὶ ἔκαμα τίποτες ὁποῦ νὰ εἶναι ἄξιον θανάτου, δὲν φεύγω τὸν θάνατον· ἀμὴ ἀνίσως καὶ δὲν εἶναι τίποτες ἀπὸ ἐκεῖνα ὁποῦ ἐτοῦτοι μοῦ κατηγοροῦσι, κανεὶς δὲν δύνεται νὰ μὲ χαρίσῃ εἰς αὐτούς· ἐπικαλοῦμαι τὸν Καίσαρα.

12 Τότε ὁ Φῆστος, ἐρωτῶντας νὰ συντύχῃ μὲ τὸ συμβούλιον, ἀπεκρίθη καὶ εἶπε· Καίσαρα

σαι; ἐπὶ Καίσαρα πορεύσῃ.

13 Ἡμερῶν δὲ διαγενομένων τινῶν, Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν, ἀσπασόμενοι τὸν Φῆστον.

14 Ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν Παῦλον, λέγων· Ἀνήρ τις ἐστὶ καταλελειμμένος ὑπὸ Φήλικος δέσμιος·

15 Περὶ οὗ, γενομένου μου εἰς Ἱεροσόλυμα, ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ᾽ αὐτοῦ δίκην.

16 Πρὸς οὓς ἀπεκρίθην, ὅτι οὐκ ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν, πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους, τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος.

17 Συνελθόντων οὖν αὐτῶν ἐνθάδε, ἀναβολὴν μηδεμίαν ποιησάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα.

18 Περὶ οὗ σταθέντες οἱ κατήγοροι οὐδεμίαν αἰτίαν

ἐπεκάλεσες; εἰς τὸν Καίσαρα θέλεις ὑπάγει.

13 Ὡσὰν ἐπέρασαν καμπόσαις ἡμέραις, ὁ Ἀγρίππας ὁ βασιλεὺς καὶ ἡ Βερνίκη ἤλθασιν εἰς τὴν Καισάρειαν, μέλλοντες νὰ χαιρετήσουν τὸν Φῆστον.

14 Καὶ ὡσὰν ἐδιάτριβαν ἐκεῖ πολλαῖς ἡμέραις, ὁ Φῆστος ἀνέφερε εἰς τὸν βασιλέα τὰ πράγματα τοῦ Παύλου, καὶ εἶπεν· Ἕνας ἄνθρωπος εἶναι ἐδῶ δεμένος, ὁποῦ τὸν ἄφησεν ὁ Φῆλιξ·

15 Διὰ τὸν ὁποῖον, ὅταν ἐπῆγα εἰς τὴν Ἱερουσαλὴμ, ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, καὶ ἐζήτησαν νὰ τιμωρηθῇ.

16 Εἰς τοὺς ὁποίους ἐγὼ ἀπεκρίθηκα, ὅτι δὲν εἶναι συνήθεια εἰς τοὺς Ῥωμαίους νὰ χαρίζουν κανένα ἄνθρωπον διὰ χαλασμὸν, πρὶν παρὰ νὰ ἔχῃ ἐκεῖνος ὁποῦ κατηγορεῖται ὀμπροστὰ εἰς τὸ πρόσωπόν του τοὺς κατηγόρους του, καὶ νὰ δυνηθῇ νὰ ἀπολογηθῇ διὰ τὸ ἔγκλημά του.

17 Καὶ ἐπειδὴ ἤλθασι μαζὺ μας καὶ αὐτοὶ ἐδῶ, δὲν ἔκαμα καμίαν ἄργητα, ἀλλὰ τὴν ἄλλην ἡμέραν ἐκάθισα εἰς τὸ κριτήριον, καὶ ἐπρόσταξα νὰ φερθῇ ὁ ἄνθρωπος ὀμπροστά.

18 Διὰ τὸν ὁποῖον ἔστωντας νὰ σταθοῦσιν οἱ κατήγοροι δὲν

ἐπέφερον ὧν ὑπενόουν ἐγώ·

19 Ζητήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον πρὸς αὐτὸν, καὶ περί τινος Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν ὁ Παῦλος ζῆν.

20 Ἀπορούμενος δὲ ἐγὼ εἰς τὴν περὶ τούτου ζήτησιν, ἔλεγον εἰ βούλοιτο πορεύεσθαι εἰς Ἱερουσαλὴμ, κἀκεῖ κρίνεσθαι περὶ τούτων.

21 Τοῦ δὲ Παύλου ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ διάγνωσιν, ἐκέλευσα τηρεῖσθαι αὐτὸν, ἕως οὗ πέμψω αὐτὸν πρὸς Καίσαρα.

22 Ἀγρίππας δὲ πρὸς τὸν Φῆστον ἔφη· Ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι. Ὁ δέ· Αὔριον, φησὶν, ἀκούσῃ αὐτοῦ.

23 Τῇ οὖν ἐπαύριον ἐλθόντος τοῦ Ἀγρίππα καὶ τῆς Βερνίκης μετὰ πολλῆς φαντασίας, καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον σύν τε τοῖς χιλιάρχοις, καὶ ἀνδράσι τοῖς κατ᾽ ἐξοχὴν οὖσι τῆς πόλεως, καὶ κελεύσαντος τοῦ Φήστου, ἤχθη ὁ Παῦλος.

24 Καί φησιν ὁ Φῆστος· Ἀγρίππα βασιλεῦ, καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον, περὶ οὗ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων

ἀνέφεραν καμίαν ἀφορμὴν ἀπ᾽ ἐκείναις ὁποῦ ἐλογίαζα·

19 Ἀλλὰ εἶχαν ἐναντία του κάποια ζητήματα διὰ τὴν ἐδικήν τους θρησκείαν, καὶ διὰ κάποιον Ἰησοῦν ὁποῦ ἀπέθανε, τὸν ὁποῖον ἔλεγεν ὁ Παῦλος πῶς νὰ ζῇ.

20 Καὶ ἀπορῶντας ἐγὼ εἰς τὴν ζήτησιν ἐτούτης τῆς ὑποθέσεως, εἶπα ἂν θέλῃ νὰ πάγῃ εἰς τὴν Ἱερουσαλὴμ, καὶ ἐκεῖ νὰ κριθῇ διὰ ταῦτα.

21 Ἀμὴ ὁ Παῦλος ἔσωντας νὰ ζητήσῃ νὰ τὸν φυλάξουν νὰ κριθῇ εἰς τὴν κρίσιν τοῦ Σεβαστοῦ, ἐπρόσταξα νὰ φυλάγεται, ἕως ὁποῦ νὰ τὸν πέμψω εἰς τὸν Καίσαρα.

22 Καὶ ὁ Ἀγρίππας εἶπε τοῦ Φήστου· Ἤθελα καὶ ἐγὼ νὰ ἀκούσω αὐτουνοῦ τοῦ ἀνθρώπου. Καὶ ὁ Φῆστος εἶπεν· Αὔριον θέλεις τοῦ ἀκούσει.

23 Καὶ τὴν ἄλλην ἡμέραν ἦλθεν ὁ Ἀγρίππας καὶ ἡ Βερνίκη μὲ πολλὴν φαντασίαν, καὶ ἐμβήκασι μέσα εἰς τὸ ἀκροατήριον μαζὺ μὲ τοὺς χιλιάρχους, καὶ ἐξαιρέτους ἄνδρας τῆς πόλεως, καὶ προστάζοντας ὁ Φῆστος, ἐφέρθη ὁ Παῦλος.

24 Καὶ λέγει ὁ Φῆστος· Ὦ βασιλεῦ Ἀγρίππα, καὶ ὅλοι οἱ ἄνδρες οἱ ὁποῖοι εἶσθε συμπαρόντες μετ᾽ ἐμᾶς, βλέπετε ἐτοῦτον, διὰ τὸν ὁποῖον

ἐνέτυχόν μοι ἔν τε Ἱεροσολύμοις καὶ ἐνθάδε, ἐπιβοῶντες μὴ δεῖν ζῆν αὐτὸν μηκέτι.

ὅλον τὸ πλῆθος τῶν Ἰουδαίων μὲ ἐνόχλησαν, καὶ εἰς τὴν Ἱερουσαλὴμ καὶ ἐδῶ, φωνάζοντες πῶς αὐτὸς δὲν πρέπει πλέον νὰ ζῇ.

25 Ἐγὼ δὲ καταλαβόμενος μηδὲν ἄξιον θανάτου αὐτὸν πεπραχέναι, καὶ αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν Σεβαστὸν, ἔκρινα πέμπειν αὐτόν.

25 Καὶ ἐγὼ ἔστωντας νὰ καταλάβω πῶς δὲν ἔκαμε κανένα πρᾶγμα ἄξιον θανάτου, καὶ ἔστωντας νὰ ἐπικαλεσθῇ αὐτὸς ἀτός του τὸν Σεβαστὸν, ἀποφάσισα νὰ τὸν πέμψω.

26 Περὶ οὗ ἀσφαλές τι γράψαι τῷ Κυρίῳ οὐκ ἔχω· διὸ προήγαγον αὐτὸν ἐφ' ὑμῶν, καὶ μάλιστα ἐπὶ σοῦ, βασιλεῦ Ἀγρίππα, ὅπως τῆς ἀνακρίσεως γενομένης σχῶ τι γράψαι.

26 Διὰ τὸν ὁποῖον δὲν ἔχω νὰ γράψω τίποτες βέβαιον εἰς τὸν Αὐθέντην· διὰ τοῦτο τὸν ἔφερα ὀμπροστὰ σας, καὶ περισσότερον, ὦ βασιλεῦ Ἀγρίππα, ὀμπροστὰ εἰς ἐσένα, διὰ νὰ γένῃ ἡ ἐξέταξις, καὶ ἔτζι νὰ ἔχω τὶ νὰ γράψω.

27 Ἄλογον γάρ μοι δοκεῖ, πέμποντα δέσμιον, μὴ καὶ τὰς κατ' αὐτοῦ αἰτίας σημᾶναι.

27 Διατὶ μοῦ φαίνεται παράλογον, νὰ πέμψω ἕνα δεμένον, καὶ νὰ μὴν φανερώσω ταῖς ἀφορμαῖς του.

Κεφ. κϛ'. 26.

ΑΓρίππας δὲ πρὸς τὸν Παῦλον ἔφη· Ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. Τότε ὁ Παῦλος ἀπελογεῖτο, ἐκτείνας τὴν χεῖρα·

ΚΑῚ ὁ Ἀγρίππας εἶπεν εἰς τὸν Παῦλον· Νὰ ὁποῦ σοῦ ἐδόθη ἐξουσία νὰ μιλήσῃς διὰ λόγου σου. Τότε ὁ Παῦλος ἅπλωσε τὸ χέρι του καὶ ἀπολογεῖτον (λέγωντας·)

2 Περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ Ἀγρίππα, ἥγημαι ἐμαυτὸν μακάριον μέλλων ἀπολογεῖ-

2 Ἐγὼ, ὦ βασιλεῦ Ἀγρίππα, μέλλωντας νὰ δώσω σήμερον ἀπολογίαν ὀμπροστὰ σου διὰ ὅλα ἐκεῖνα ὁποῦ ἐγκα-

σθαι ἐπὶ σοῦ σήμερον·

3 Μάλιστα γνώστην ὄντα σε πάντων τῶν κατὰ Ἰουδαίους ἐθῶν τε καὶ ζητημάτων· διὸ δέομαί σου, μακροθύμως ἀκοῦσαί μου.

4 Τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος, τὴν ἀπ᾽ ἀρχῆς γενομένην ἐν τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις, ἴσασι πάντες οἱ Ἰουδαῖοι·

5 Προγινώσκοντές με ἄνωθεν, (ἐὰν θέλωσι μαρτυρεῖν,) ὅτι κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα φαρισαῖος.

6 Καὶ νῦν ἐπ᾽ ἐλπίδι τῆς πρὸς τοὺς πατέρας ἐπαγγελίας γενομένης ὑπὸ τοῦ Θεοῦ, ἕστηκα κρινόμενος·

7 Εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει καταντῆσαι· περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι, βασιλεῦ Ἀγρίππα, ὑπὸ τῶν Ἰουδαίων.

8 Τί; ἄπιστον κρίνεται παρ᾽ ὑμῖν εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει;

9 Ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ

λοῦμαι ἀπὸ τοὺς Ἰουδαίους, λογιάζω νὰ εἶμαι καλότυχος·

3 Μάλιστα ὁποῦ ἰξεύρω πῶς γνωρίζεις τὰ ἤθη καὶ τὰ ζητήματα τῶν Ἰουδαίων· διὰ τοῦτο παρακαλῶ σε, μὲ ὑπομονὴν νὰ μοῦ ἀκούσῃς.

4 Τὴν ἀπὸ τὴν νεότητά μου ζωὴν, ὁποῦ ἔζησα ἀπὸ τὴν ἀρχὴν, εἰς τὸ ἔθνος μου μέσα εἰς τὰ Ἱεροσόλυμα, ὅλοι οἱ Ἰουδαῖοι τὴν ἰξεύρουσι·

5 Προεγνωρίζοντές με ἀπὸ τὴν ἀρχὴν, (ἂν θέλουσι νὰ μαρτυρήσουσιν,) ὅτι ἐγὼ ἔζησα, κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς θρησκείας μας, φαρισαῖος.

6 Καὶ τώρα στέκομαι καὶ κρίνομαι διὰ τὴν ἐλπίδα τοῦ ταξίματος ὁποῦ ἔταξεν ὁ Θεὸς εἰς τοὺς πατέρας μας·

7 Εἰς τὸ ὁποῖον τάξιμον ἐλπίζει νὰ καταντήσῃ τὸ γένος μας τὸ δωδεκάφυλον, λατρεύοντας παντοτεινὰ νύκτα καὶ ἡμέραν τὸν Θεόν· διὰ τούτην τὴν ἐλπίδα, ὦ βασιλεῦ Ἀγρίππα, ἐγκαλοῦμαι ἀπὸ τοὺς Ἰουδαίους.

8 Τί; ἄπιστον κρίνεται σιμὰ εἰς ἐσᾶς, ὁ Θεὸς νὰ ἀνασταίνῃ νεκρούς;

9 Ἐγὼ ἐλογίαζα μέσα μου πῶς πρέπει νὰ κάμω πολλὰ

Ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι.

ἐναντία εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ τοῦ Ναζωραίου.

10 Ὃ καὶ ἐποίησα ἐν Ἱεροσολύμοις· καὶ πολλοὺς τῶν ἁγίων ἐγὼ φυλακαῖς κατέκλεισα, τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών· ἀναιρουμένων τε αὐτῶν κατήνεγκα ψῆφον·

10 Τὸ ὁποῖον καὶ τὸ ἔκαμα μέσα εἰς τὰ Ἱεροσόλυμα· καὶ πολλοὺς ἀπὸ τοὺς ἁγίους τοὺς ἐσφάλισα μέσα εἰς ταῖς φυλακαῖς, πέρνωντας τὴν ἐξουσίαν ἀπὸ τοὺς ἀρχιερεῖς· καὶ ὅταν τοὺς ἐσκότωναν, ἔδωκα καὶ ἐγὼ τὴν ψῆφόν μου·

11 Καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτοὺς, ἠνάγκαζον βλασφημεῖν, περισσῶς τε ἐμμαινόμενος αὐτοῖς, ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις.

11 Καὶ εἰς ὅλα τὰ συναγώγια πολλαῖς φοραῖς τοὺς ἐτιμώρουν, καὶ τοὺς ἀνάγκαζα νὰ βλασφημοῦσι, καὶ πολλὰ ἐδαιμονίζουμουν εἰς αὐτοὺς, καὶ τοὺς ἐδίωχνα ἕως εἰς ταῖς ἔξω πόλαις.

12 Ἐν οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ᾽ ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν ἀρχιερέων,

12 Ἀναμεταξὺ εἰς τὰ ὁποῖα κακὰ ὁποῦ τοὺς ἔκαμα ἐπάγενα εἰς τὴν Δαμασκὸν μὲ ἐξουσίαν καὶ ἐπιτροπὴν τῶν ἀρχιερέων.

13 Ἡμέρας μέσης, κατὰ τὴν ὁδὸν εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου, περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους.

13 Καὶ εἰς τὴν μέσην τῆς ἡμέρας, εἶδα εἰς τὴν ϛράταν, ὦ βασιλεῦ, φῶς ἀπὸ τὸν οὐρανὸν, ὁποῦ ἔλαμπε τρυγύρω μου περισσότερον ἀπὸ τὴν λαμπρότητα τοῦ ἡλίου, καὶ τρυγύρω εἰς ἐκείνους ὁποῦ ἐπεριπατοῦσαν μαζύ μου.

14 Πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα φωνὴν λαλοῦσαν πρός με, καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ· Σαοὺλ, Σαοὺλ, τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν.

14 Καὶ πέφτοντες ὅλοι κάτω εἰς τὴν γῆν, ἄκουσα φωνὴν ὁποῦ μοῦ ἔλεγε μὲ Ἑβραϊκὴν γλῶσσαν· Σαοὺλ, Σαοὺλ, τί μὲ διώκνεις; κακόν σου εἶναι νὰ κλοτζᾷς εἰς τὰ κέντρα.

15 Ἐγὼ δὲ εἶπον· Τίς εἶ, Κύριε; Ὁ δὲ εἶπεν· Ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις.

16 Ἀλλὰ ἀνάστηθι, καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες, ὧν τε ὀφθήσομαί σοι·

17 Ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς νῦν σε ἀποστέλλω,

18 Ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν τοῦ ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν Θεόν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις, πίστει τῇ εἰς ἐμέ.

19 Ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ·

20 Ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον καὶ Ἱεροσολύμοις, εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν, ἀπήγγελλον μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν Θεόν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας.

15 Καὶ ἐγὼ εἶπα· Ποῖος εἶσαι ἐσύ, Αὐθέντη; Καὶ ἐκεῖνος εἶπεν· Ἐγὼ εἶμαι ὁ Ἰησοῦς ὅπου κατατρέχεις ἐσύ.

16 Ἀμὴ σήκω ἀπάνω, καὶ στάσου εἰς τὰ ποδάριά σου· διατὶ ἐπιταυτοῦ ἐφάνηκα εἰς ἐσένα, νὰ σὲ κάμω ὑπηρέτην καὶ μάρτυρα ἐκεινῶν ὅπου εἶδες, καὶ ἐκεινῶν ὅπου θέλω σοῦ δείξειν·

17 Εὐγάζοντάς σε ἀπὸ τὸν λαὸν τῶν Ἰουδαίων, καὶ ἀπὸ τὰ ἔθνη, εἰς τοὺς ὁποίους τώρα σὲ στέλλω,

18 Νὰ ἀνοίξῃς τὰ μάτιά τους, καὶ νὰ τοὺς γυρίσῃς ἀπὸ τὸ σκότος εἰς τὸ φῶς, καὶ ἀπὸ τὴν ἐξουσίαν τοῦ Σατανᾶ εἰς τὸν Θεόν, νὰ πάρουσι τὴν ἄφεσιν τῶν ἁμαρτιῶν τους, καὶ κληρονομίαν μαζὺ μὲ τοὺς ἁγιασμένους, διὰ μέσου τῆς εἰς ἐμένα πίστεως.

19 Διὰ τὴν ὁποῖαν ἀφορμήν, βασιλεῦ Ἀγρίππα, δὲν ἐγένηκα ἀπειθὴς εἰς τὴν ὀπτασίαν ἐκείνην τὴν οὐράνιον.

20 Ἀλλὰ πρῶτα ἐκήρυξα εἰς ἐκείνους ὅπου ἦταν μέσα εἰς τὴν Δαμασκόν, καὶ εἰς τὰ Ἱεροσόλυμα, καὶ εἰς ὅλα τὰ χωρία τῆς Ἰουδαίας, καὶ εἰς τὰ ἔθνη, νὰ μετανοήσουν, καὶ νὰ γυρίσουν εἰς τὸν Θεόν, καμνοντες ἔργα ἄξια μετανοίας.

21 Ἕνεκα τούτων με οἱ Ἰουδαῖοι συλλαβόμενοι ἐν τῷ ἱερῷ, ἐπειρῶντο διαχειρίσασθαι.

22 Ἐπικουρίας οὖν τυχὼν τῆς παρὰ τοῦ Θεοῦ, ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα, μαρτυρόμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται ἐλάλησαν μελλόντων γίνεσθαι, καὶ Μωσῆς·

23 Εἰ παθητὸς ὁ Χριστὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν τῷ λαῷ καὶ τοῖς ἔθνεσι.

24 Ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου, ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη· Μαίνῃ, Παῦλε· τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει.

25 Ὁ δέ· Οὐ μαίνομαί, φησὶ, κράτιστε, Φῆστε, ἀλλ' ἀληθείας καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι.

26 Ἐπίσταται γὰρ περὶ τούτων ὁ βασιλεὺς, πρὸς ὃν καὶ παῤῥησιαζόμενος λαλῶ· λανθάνειν γὰρ αὐτόν τι τούτων οὐ πείθομαι οὐδέν· οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο.

27 Πιστεύεις βασιλεῦ Ἀγρίππα τοῖς προφήταις; οἶδα ὅτι πιστεύεις.

28 Ὁ δὲ Ἀγρίππας πρὸς τὸν

21 Διὰ τοῦτην τὴν ἀφορμὴν οἱ Ἰουδαῖοι μὲ ἐπίασαν μέσα εἰς τὸ ἱερὸν, καὶ ἐδοκίμασαν νὰ μὲ σκοτώσουν.

22 Ἀμὴ μὲ τὴν βοήθειαν τοῦ Θεοῦ ἐγλίτωσα, καὶ στέκομαι ἕως τὴν σήμερον, μαρτυρῶντας εἰς μικρὸν καὶ εἰς μεγάλον, καὶ δὲν λέγω τίποτες ἔξω ἀπ' ἐκεῖνα ὅπου ἐπροεῖπαν οἱ προφῆται καὶ ὁ Μωϋσῆς, πῶς μέλλουν νὰ γενοῦσιν·

23 Ὅτι ὁ Χριστὸς μέλλει νὰ πάθῃ, καὶ ὅτι αὐτὸς ἔστωντας νὰ ἀνασταθῇ πρῶτος ἐκ νεκρῶν, μέλλει νὰ καταγγέλῃ φῶς εἰς τὸν λαὸν καὶ εἰς τὰ ἔθνη.

24 Καὶ ἀπολογούμενος ὁ Παῦλος ἐτοῦτα, εἶπε μὲ μεγάλην φωνὴν ὁ Φῆστος· Λωλὸς εἶσαι, Παῦλε· τὰ πολλὰ γράμματα σὲ λωλαίνουν.

25 Καὶ ὁ Παῦλος εἶπεν· Ὦ κράτιστε Φῆστε, δὲν εἶμαι λωλὸς, ἀλλὰ λέγω λόγια ἀληθινὰ καὶ σωφρονισμένα.

26 Διατὶ καὶ ὁ βασιλεὺς, εἰς τὸν ὁποῖον λαλῶ παῤῥησίᾳ, τὰ ἰξεύρει· καὶ πιστεύω νὰ μὴν τὸν λανθάνῃ τίποτες ἀπὸ τοῦτα· διατὶ ἐτοῦτο δὲν ἔγινεν εἰς καμίαν γωνίαν.

27 Βασιλεῦ Ἀγρίππα, πιστεύεις τοὺς προφήτας· ἰξεύρω ὅτι πιστεύεις.

28 Καὶ ὁ Ἀγρίππας εἶ-

Παῦλον ἔφη· Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι.

πεν τοῦ Παύλου· Παρ' ὀλίγον, μὲ πείθεις νὰ γένω Χριστιανός.

29 Ὁ δὲ Παῦλος εἶπεν· Εὐξαίμην ἂν τῷ Θεῷ, καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ οὐ μόνον σε, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον, γενέσθαι τοιούτους ὁποῖος κἀγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων.

29 Καὶ ὁ Παῦλος εἶπεν· Ἐγὼ παρακαλῶ τὸν Θεὸν, ὄχι μοναχὰ ἐσὺ, ἀλλὰ καὶ ὅσοι μὲ ἀκούουν σήμερον, νὰ εἶναι τέτοιας λογῆς ὡσὰν εἶμαι καὶ ἐγὼ, καὶ εἰς ὀλίγον καὶ εἰς πολὺ, ἔξω ἀπὸ τοῦτα τὰ δεσμά.

30 Καὶ ταῦτα εἰπόντος αὐτοῦ, ἀνέστη ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν, ἥ τε Βερνίκη, καὶ οἱ συγκαθήμενοι αὐτοῖς.

30 Καὶ ὡσὰν εἶπεν ὁ Παῦλος ἐτοῦτα, ἐσηκώθη ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν, καὶ ἡ Βερνίκη, καὶ ἐκεῖνοι ὁποῦ ἐκάθουνταν μαζύ τους.

31 Καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους, λέγοντες· Ὅτι οὐδὲν θανάτου ἄξιον ἢ δεσμῶν πράσσει ὁ ἄνθρωπος οὗτος.

31 Καὶ ὡσὰν ἀνεχώρησαν, ἐσυντύχαιναν ἀνάμεσά τους, καὶ ἔλεγαν· Ὅτι ἐτοῦτος ὁ ἄνθρωπος δὲν κάμνει τίποτες ὁποῦ νὰ εἶναι ἄξιος διὰ θάνατον, ἢ νὰ δεθῇ.

32 Ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη· Ἀπολελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ ἐπεκέκλητο Καίσαρα.

32 Καὶ ὁ Ἀγρίππας εἶπεν εἰς τὸν Φῆστον· Ἂν δὲν ἤθελεν προσκαλεσθῇ τὸν Καίσαρα, ἠμπόρειε νὰ ἀπολυθῇ ἐτοῦτος ὁ ἄνθρωπος.

Κεφ. κζ'. 27.

Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν Ἰταλίαν, παρεδίδουν τὸν τε Παῦλον καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ, ὀνόματι Ἰουλίῳ, σπείρης Σεβαστῆς.

ΚΑΙ ὡσὰν ἀποφασίσθη νὰ ταξιδεύσωμεν εἰς τὴν Ἰταλίαν, ἐπαράδωκαν τὸν Παῦλον καὶ κάποιους ἄλλους ὁποῦ εἶχαν δεμένους εἰς τὸν ἑκατόνταρχον, τὸ ὄνομά του Ἰούλιον, ὁ ὁποῖος ἦτον ἀπὸ τὸ τάγμα Σεβαστόν.

2 Ἐπιβάντες δὲ πλοίῳ Ἀδραμυττηνῷ, μέλλοντες πλεῖν τοὺς κατὰ τὴν Ἀσίαν τόπους, ἀνήχθημεν, ὄντος σὺν ἡμῖν Ἀριστάρχου Μακεδόνος Θεσσαλονικέως.

2 Καὶ ὡσὰν ἐμβήκαμεν εἰς κάποιον καράβι Ἀδραμυττηνόν, μέλλοντες νὰ πλεύσωμεν κατὰ τοὺς τόπους τῆς Ἀσίας, εὐγήκαμεν εἰς τὸ πέλαγος, καὶ ἦτον μαζὺ μετὰ μᾶς ὁ Ἀρίσταρχος ὁ Μακεδὼν ὁ Θεσσαλονικεύς.

3 Τῇ τε ἑτέρᾳ κατήχθημεν εἰς Σιδῶνα· φιλανθρώπως τε ὁ Ἰούλιος τῷ Παύλῳ χρησάμενος, ἐπέτρεψε πρὸς τοὺς φίλους πορευθέντα ἐπιμελείας τυχεῖν.

3 Καὶ τὴν ἄλλην ἡμέραν ἤλθαμεν εἰς τὴν Σιδῶνα· καὶ ὁ Ἰούλιος φιλανθρώπως ἐφέρετο εἰς τὸν Παῦλον, καὶ ἔδωκεν ἄδειαν νὰ πάγῃ εἰς τοὺς φίλους του νὰ τὸν κοιτάξουν.

4 Κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν Κύπρον, διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους.

4 Καὶ ἀπ' ἐκεῖ ἐμβήκαμεν εἰς τὸ καράβι, καὶ ἐταξιδεύαμεν ἀπὸ κάτω εἰς τὴν Κύπρον, μὲ τὸ νὰ εἶναι οἱ ἄνεμοι ἐναντίοι.

5 Τό, τε πέλαγος τὸ κατὰ τὴν Κιλικίαν καὶ Παμφυλίαν διαπλεύσαντες, κατήλθομεν εἰς Μύρα τῆς Λυκίας.

5 Καὶ περνῶντες τὸ πέλαγος ὁποῦ εἶναι σιμὰ εἰς τὴν Κιλικίαν καὶ Παμφυλίαν, ἤλθαμεν εἰς τὰ Μύρα τῆς Λυκίας.

6 Κἀκεῖ εὑρὼν ὁ ἑκατόνταρχος πλοῖον Ἀλεξανδρῖνον πλέον εἰς τὴν Ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό.

6 Καὶ ἐκεῖ εὑρίσκωντας ἑκατόνταρχος ἕνα καράβι Ἀλεξανδρινόν, τὸ ὁποῖον ἐπάγενεν εἰς τὴν Ἰταλίαν, μᾶς ἔβαλλεν μέσα εἰς αὐτό.

7 Ἐν ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες, καὶ μόλις γενόμενοι κατὰ τὴν Κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν τὴν Κρήτην κατὰ Σαλμώνην·

7 Καὶ πολλαῖς ἡμέραις πλέοντες ἀργά, καὶ μετὰ βίας σημώσαντες εἰς τὴν Κνίδον, διατὶ δὲν μᾶς ἄφινεν ὁ ἄνεμος, ἐπλεύσαμεν ἀπὸ κάτω εἰς τὴν Κρήτην, ὀμπροστὰ εἰς τὴν Σαλμώνην.

8 Μόλις τε παραλεγόμενοι αὐτήν, ἤλθομεν εἰς τόπον τινὰ

8 Καὶ μετὰ βίας περνῶντες κοντὰ ἀπ' αὐτήν, ἐπήγαμεν εἰς

καλούμενον Καλοὺς λιμένας, ᾧ ἐγγὺς ἦν πόλις Λασαία.

κάποιον τόπον ὅπου τὸν ἐκράζασι Καλοὺς λιμνιῶνας· εἰς τὸν ὁποῖον ἦτον κοντὰ ἡ πόλις Λασαία.

9 Ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοός, διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυθέναι, παρῄνει ὁ Παῦλος,

9 Καὶ ἔσωντας νὰ περάσῃ πολὺς καιρός, καὶ τὸ πλεύσιμον νὰ εἶναι ὡραμάη κινδυνευμένον, διατὶ καὶ ἡ νηστεία τότε ἦτον περασμένη, ὁ Παῦλος τοὺς ἐνουθέταν,

10 Λέγων αὐτοῖς· Ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας οὐ μόνον τοῦ φόρτου καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν.

10 Καὶ τοὺς ἔλεγεν· Ὦ ἄνδρες, ἐγὼ βλέπω, ὅτι μέλλει νὰ γένῃ ἐτοῦτο τὸ ταξίδι μὲ πειρασμὸν καὶ πολλὴν ζημίαν, ὄχι μόνον τοῦ φορτώματος καὶ τοῦ καραβίου, ἀλλὰ καὶ τῆς ζωῆς μας.

11 Ὁ δὲ ἑκατόνταρχος τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπείθετο μᾶλλον ἢ τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις.

11 Ἀμὴ ὁ ἑκατόνταρχος περισσότερον ἐπίστευε τὸν τιμωνιέρην καὶ τὸν ναύκληρον, παρὰ ἐκεῖνα ὁποῦ ἔλεγεν ὁ Παῦλος.

12 Ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ πλείους ἔθεντο βουλὴν ἀναχθῆναι κἀκεῖθεν, εἴ πως δύναιντο καταντήσαντες εἰς Φοίνικα παραχειμάσαι λιμένα τῆς Κρήτης βλέποντα κατὰ Λίβα καὶ κατὰ Χῶρον.

12 Καὶ διὰ νὰ μὴν εἶναι ὁ λιμένας ἐπιτήδειος διὰ ξεχείμασμα, οἱ περισσότεροι ἐσυμβουλεύθηκαν νὰ σηκωθοῦμεν ἀπ' ἐκεῖ, ἂν ἠμπορέσωμεν εἰς κανένα τρόπον νὰ καταντήσωμεν εἰς τὴν Φοίνικα, νὰ ξεχειμάσωμεν, ὁ ὁποῖος εἶναι λιμένας τῆς Κρήτης, καὶ βλέπει εἰς δύο ἀνέμους, εἰς τὸν Λίβα καὶ εἰς τὸν Χῶρον.

13 Ὑποπνεύσαντος δὲ Νότου, δόξαντες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες Ἄσ-

13 Καὶ ἔσωντας νὰ φυσήσῃ ὁ νότος, ἐλογίασαν ὅτι ἔτυχαν τοῦ σκοποῦ, καὶ κάμνοντες ἄρμενα

σον παρελέγοντο τὴν Κρήτην.

14 Μετ᾽ ὀ πολὺ δὲ ἔβαλε κατ᾽ αὐτῆς ἄνεμος τυφωνικὸς, ὁ καλούμενος Εὐροκλύδων.

15 Συναρπασθέντος δὲ τοῦ πλοίου, καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ, ἐπιδόντες ἐφερόμεθα.

16 Νησίον δέ τι ὑποδραμόντες καλούμενον Κλαύδην, μόλις ἰσχύσαμεν περικρατεῖς γενέσθαι τῆς σκάφης·

17 Ἣν ἄραντες, βοηθείαις ἐχρῶντο ὑποζωννύντες τὸ πλοῖον· φοβούμενοί τε μὴ εἰς τὴν Σύρτιν ἐκπέσωσι, χαλάσαντες τὸ σκεῦος, οὕτως ἐφέροντο.

18 Σφοδρῶς δὲ χειμαζομένων ἡμῶν, τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο.

19 Καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἐῤῥίψαμεν.

20 Μήτε δὲ ἡλίου, μήτε ἄστρων ἐπιφαινόντων ἐπὶ πλείονας ἡμέρας, χειμῶνός τε οὐκ

ἐπερνοῦσαν ἀπὸ κοντὰ ἀπὸ τὴν Κρήτην.

14 Καὶ δὲν ἐπέρασε πολλὴ ὥρα καὶ ἔβαλεν ἄνεμος ἐναντία τῆς Κρήτης ἀνεμοστρόφιλος ταραχώδης, ὁ ὁποῖος κράζεται Εὐροκλύδων.

15 Καὶ ἔςωντας νὰ ἀρπαχθῇ τὸ καράβι, καὶ νὰ μὴν δύνεται νὰ περάσῃ ἐναντία εἰς τὸν ἄνεμον, ἔςωντας νὰ ἀφήσωμεν τὸ καράβι εἰς τὸν ἄνεμον ἐφερόμεσθαν.

16 Καὶ ἔςωντας νὰ περάσωμεν κάποιον νησὶ, τὸ ὁποῖον ἐκράζετον Κλαύδη, μετὰ βίας ἠμπορέσαμεν νὰ πάρωμεν τὴν βάρκαν.

17 Τὴν ὁποίαν ἔςωντας νὰ τὴν σηκώσουν καὶ νὰ τὴν βάλουν μέσα εἰς τὸ καράβι, ἔκαμαν βοήθειαις, καὶ ἐζώνασι τὸ καράβι· φοβούμενοι μήπως καὶ πέσουσιν εἰς τὴν ξέρην, καὶ ἐκατέβασαν τὰ ἄρμενα, καὶ τέτοιας λογῆς ἐφέρνουνταν.

18 Καὶ ἐπειδὴ ἐχειμαζούμασθαν δυνατὰ, τὴν ἄλλην ἡμέραν ἔκαμαν χύσιν.

19 Καὶ τὴν τρίτην ἡμέραν μὲ τὰ ἴδιά μας χέρια ἐῤῥίξαμεν τὴν ἀρματωσίαν τοῦ καραβίου.

20 Καὶ μηδὲ ἥλιος μηδὲ ἄςρα ἐφαίνουνταν πολλαῖς ἡμέραις, καὶ χειμῶνας πο-

ὀλίγου ἐπικειμένου, λοιπὸν περιῃρεῖτο πᾶσα ἐλπὶς τοῦ σώζεσθαι ἡμᾶς.

21 Πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, τότε σαθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν, εἶπεν· Ἔδει μὲν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι, μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης, κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν.

22 Καὶ τανῦν παραινῶ ὑμᾶς εὐθυμεῖν· ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσαι ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου.

23 Παρέση γάρ μοι τῇ νυκτὶ ταύτῃ ἄγγελος τοῦ Θεοῦ οὗ εἰμι, ᾧ καὶ λατρεύω,

24 Λέγων· Μὴ φοβοῦ, Παῦλε· Καίσαρί σε δεῖ παρασῆναι· καὶ ἰδοὺ, κεχάρισαί σοι ὁ Θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ.

25 Διὸ εὐθυμεῖτε, ἄνδρες· πισεύω γὰρ τῷ Θεῷ ὅτι οὕτως ἔσαι καθ᾽ ὃν τρόπον λελάληταί μοι.

26 Εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν.

27 Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, διαφερομένων ἡμῶν ἐν τῷ Ἀδρίᾳ, κατὰ

λοὺς μᾶς ἐπλάκωσε, τόσον ὁποῦ δὲν ἀπόμεινε καμία ἐλπίδα σωτηρίας.

21 Καὶ διὰ νὰ ἔχουν πολλαῖς ἡμέραις νηστικοὶ, ἐσάθη ὁ Παῦλος εἰς τὴν μέσην τους, καὶ εἶπεν· Ὦ ἄνδρες, ἔπρεπε νὰ μὲ πισεύσετε, νὰ μὴν σηκωθῆτε ἀπὸ τὴν Κρήτην, να ἔχετε διάφορον καὶ τὸν πειρασμὸν καὶ τὴν ζημίαν ἐτούτην.

22 Καὶ τῶρα σᾶς νουθετῶ νὰ ἔχετε καλὴν καρδίαν· διατὶ κανένας ἀπὸ σᾶς δὲν θέλει χάσει τὴν ζωήν του, παρὰ μοναχὰ τὸ καράβι (θέλει χαλασθῆ.)

23 Διατὶ ἐτούτην τὴν νύκτα ἦλθεν εἰς ἐμένα ἄγγελος τοῦ Θεοῦ, τοῦ ὁποίου εἶμαι, καὶ ὁποῦ λατρεύω,

24 Καὶ μοῦ εἶπεν· Ὦ Παῦλε, μὴ φοβᾶσαι· κάμνει χρεία νὰ σαθῇς ὀμπροσὰ εἰς τὸν Καίσαρα· καὶ νὰ, ὁποῦ σοῦ ἐχάρισεν ὁ Θεὸς ὅλους αὐτουνοὺς ὁποῦ πλέουν μαζύ σου.

25 Διὰ τοῦτο σαθεῖτε μὲ καλὴν καρδίαν, ὦ ἄνδρες· διατὶ πισεύω εἰς τὸν Θεὸν, ὅτι ἔτζι θέλει εἶσθαι καθὼς μοῦ ἐλαλήθη.

26 Καὶ κάμνει χρεία νὰ πέσωμεν ἔξω εἰς κάποιο νησί.

27 Καὶ ὡσὰν ἦλθεν ἡ τέσσαρεσκαιδεκάτη νύκτα, ὁποῦ ἐπαρακυλιόμασθαν εἰς τὸ πέ-

μέσον τῆς νυκτὸς ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν.

28 Καὶ βολίσαντες, εὗρον ὀργυιὰς εἴκοσι· βραχὺ δὲ διαστήσαντες, καὶ πάλιν βολίσαντες, εὗρον ὀργυιὰς δεκαπέντε.

29 Φοβούμενοί τε μήπως εἰς τραχεῖς τόπους ἐκπέσωσιν, ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας, ηὔχοντο ἡμέραν γενέσθαι.

30 Τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου, καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, προφάσει ὡς ἐκ πρώρας μελλόντων ἀγκύρας ἐκτείνειν,

31 Εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς ςρατιώταις· Ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε.

32 Τότε οἱ ςρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν.

33 Ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι, παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων· Τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες, ἄσιτοι διατελεῖτε, μηδὲν προσλαβόμενοι·

λαγος τὸ Ἀδρία, τὰ μεσάνυκτα οἱ ναῦται ἐλογίαζαν νὰ σημώνουσιν εἰς κάποιαν χώραν.

28 Καὶ ὡσὰν ἔῤῥιξαν τὸ σκαντάλι εὑρήκασιν εἴκοσι ὀργυίαις· καὶ ὡσὰν ἐπῆγαν καμπόσον παρακεῖθε, πάλιν ἐβόλισαν, καὶ εὑρῆκαν δεκαπέντε ὀργυίαις.

29 Καὶ φοβούμενοι μήπως καὶ πέσουν εἰς τόπους δύσκολους, ἔῤῥιξαν τέσσαρες ἄγκυρες ἀπὸ τὴν πρύμην, καὶ ἐπαρακαλοῦσαν πότε νὰ ξημερώσῃ.

30 Καὶ οἱ ναῦταις ἐγύρευαν νὰ φύγουσιν ἀπὸ τὸ καράβι, καὶ ἐκατέβασαν τὴν βάρκαν εἰς τὴν θάλασσαν, ἀφορμῇ πῶς μέλλουν ἀπὸ τὴν πλώρην νὰ ῥίξουν τὰ σίδερα,

31 Καὶ ὁ Παῦλος εἶπεν εἰς τὸν ἑκατόνταρχον καὶ τοὺς ςρατιώτας· Ἂν δὲν ἀπομείνουν ἐτοῦτοι μέσα εἰς τὸ καράβι, ἐσεῖς δὲν ἠμπορεῖτε νὰ γλιτώσετε.

32 Τότε οἱ ςρατιῶται ἔκοψαν τὰ σχοινία τῆς βάρκας, καὶ τὴν ἄφησαν νὰ πέσῃ ἔξω.

33 Καὶ ἕως ὁποῦ νὰ ξημερώσῃ, ὁ Παῦλος τοὺς ἐπαρακίνα ὅλους νὰ φᾶσι ψωμὶ, λέγωντάς τους· Δεκατέσσαρες ἡμέραις ἔχομεν μὲ τὴν σημερινὴν, καὶ εἶσθε νηστικοὶ, ὁποῦ δὲν ἐγευματίσετε τίποτες·

34 Διὸ παρακαλῶ ὑμᾶς προσλαβεῖν τροφῆς· τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἐκ τῆς κεφαλῆς πεσεῖται.

35 Εἰπὼν δὲ ταῦτα, καὶ λαβὼν ἄρτον, εὐχαρίστησε τῷ Θεῷ ἐνώπιον πάντων, καὶ κλάσας ἤρξατο ἐσθίειν.

36 Εὔθυμοι δὲ γενόμενοι πάντες, καὶ αὐτοὶ προσελάβοντο τροφῆς.

37 Ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ, διακόσιαι ἑβδομήκοντα ἕξ.

38 Κορεσθέντες δὲ τροφῆς, ἐκούφιζον τὸ πλοῖον, ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν.

39 Ὅτε δὲ ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον· κόλπον δέ τινα κατενόουν ἔχοντα αἰγιαλὸν, εἰς ὃν ἐβουλεύσαντο, εἰ δύναιντο, ἐξῶσαι τὸ πλοῖον.

40 Καὶ τὰς ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων· καὶ ἐπάραντες τὸν ἀρτέμονα τῇ πνεούσῃ, κατεῖχον εἰς τὸν αἰγιαλόν.

41 Περιπεσόντες δὲ εἰς τό-

34 Διὰ τοῦτο σᾶς παρακαλῶ νὰ φᾶτε· διατὶ ἐτοῦτο εἶναι διὰ τὴν σωτηρίαν σας· διατὶ κανενὸς τρίχα δὲν θέλει βλαφθῆ ἀπὸ τὸ κεφάλι του.

35 Καὶ ὡσὰν εἶπεν ἐτοῦτα, ἐπῆρε ψωμὶ, καὶ εὐχαρίστησε τὸν Θεὸν ὀμπροστὰ εἰς ὅλους, καὶ ἔκοψε καὶ ἄρχισε νὰ τρώγῃ.

36 Καὶ ὡσὰν ἐκαλοκάρδισαν ὅλοι, ἐπίασαν καὶ αὐτοὶ νὰ τρῶσι.

37 Καὶ εἴμεσθαν εἰς τὸ καράβι ὅλαις ἡ ψυχαῖς διακόσιαις ἑβδομῆντα ἕξ.

38 Καὶ ὡσὰν ἐχόρτασαν φαγὶ, ἔχυναν τὸ σιτάρι εἰς τὴν θάλασσαν, καὶ ἔτζι ἐξελάφρυναν τὸ καράβι.

39 Καὶ ὅταν ἐξημέρωσε, δὲν ἐγνώριζαν τὴν γῆν· μοναχὰ ἔβλεπαν κάποιον κόρφον ὁποῦ εἶχε παραγιάλι, εἰς τὸν ὁποῖον ἐσυμβουλεύουνταν, ἂν ἠμπορέσουν, νὰ ῥίξουν τὸ καράβι.

40 Καὶ ἔσωντας νὰ ἀνασπάσουν ταῖς ἄγκυραις, τὸ ἄφησαν εἰς τὴν θάλασσαν, καὶ ἀντάμα ἔλυσαν καὶ τὰ δεσίματα τῶν τιμονίων· καὶ ἐσήκωσαν τὸ ἀρτιμόνι εἰς τὸν καιρὸν ὁποῦ ἐφύσα, καὶ ἐκρατοῦσαν τὸ παραγιάλι.

41 Καὶ ἔσωντας νὰ πέσουν

ποι διθάλασσον ἐπώκειλαν τὴν ναῦν· καὶ ἡ μὲν πρώρα ἐρείσασα ἔμεινεν ἀσάλευτος, ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμάτων.

42 Τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μή τις ἐκκολυμβήσας διαφύγοι.

43 Ὁ δὲ ἑκατόνταρχος, βουλόμενος διασῶσαι τὸν Παῦλον, ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος, ἐκέλευσέ τε τοὺς δυναμένους κολυμβᾷν, ἀποῤῥίψαντας πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι·

44 Καὶ τοὺς λοιποὺς, οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου· καὶ οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.

εἰς ἕνα τόπον ὁποῦ εἶχε δύο θάλασσαις, ἔῤῥιξαν ἔξω τὸ καράβι· καὶ ἡ μὲν πλώρη του ἔσωντας νὰ καθίσῃ εἰς τὴν γῆν ἐστέκουντον ἀσάλευτος, ἀμὴ ἡ πρύμη ἐσυντρίβετον ἀπὸ τὴν βίαν τῶν κυμάτων.

42 Καὶ οἱ στρατιῶται ἐσυμβουλεύθηκαν νὰ φονεύσουν τοὺς δεμένους ὁποῦ εἶχαν, διὰ νὰ μὴν κολυμβήσῃ κανένας τους καὶ φύγῃ.

43 Ἀμὴ ὁ ἑκατόνταρχος θέλωντας νὰ γλιτώσῃ τὸν Παῦλον, τοὺς ἐμπόδισεν ἀπὸ τὴν βουλήν τους, καὶ ἐπρόσταξε ἐκεῖνοι ὁποῦ ἠμποροῦν νὰ κολυμβοῦν, νὰ πέσουν πρῶτοι εἰς τὴν θάλασσαν νὰ εὔγουν εἰς τὴν γῆν·

44 Καὶ οἱ λοιποὶ, ἄλλοι ἀπάνω εἰς τὰ σανίδια, ἄλλοι ἀπάνω εἰς τίποτες τοῦ καραβίου νὰ εὐγοῦσιν ἔξω· καὶ τέτοιας λογῆς ὅλοι ἐγλίτωσαν εἰς τὴν γῆν.

Κεφ. κη΄. 28.

ΚΑΙ᾿ διασωθέντες, τότε ἐπέγνωσαν ὅτι Μελίτη ἡ νῆσος καλεῖται.

2 Οἱ δὲ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν ἡμῖν· ἀνάψαντες γὰρ πυρὰν, προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν τὸν ἐφεστῶτα, καὶ διὰ τὸ ψύχος.

ΚΑΙ᾿ ὡσὰν ἐγλίτωσαν, τότε ἐγνώρισαν ὅτι ἡ νῆσος κράζεται Μελίτη.

2 Καὶ οἱ Βάρβαροι μᾶς ἐκάμαν μεγάλην φιλανθρωπίαν· διατὶ ἄναψαν φωτίαν, καὶ μᾶς ἐδέχθηκαν ὅλους, διὰ τὴν βροχὴν ὁποῦ ἔβρεχεν, καὶ διὰ τὸ κρύος.

3 Συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων πλῆθος, καὶ ἐπιθέντος ἐπὶ τὴν πυράν, ἔχιδνα ἐκ τῆς θέρμης ἐξελθοῦσα καθῆψε τῆς χειρὸς αὐτοῦ.

4 Ὡς δὲ εἶδον οἱ βάρβαροι κρεμάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλήλους· Πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασεν.

5 Ὁ μὲν οὖν, ἀποτινάξας τὸ θηρίον εἰς τὸ πῦρ, ἔπαθεν οὐδὲν κακόν.

6 Οἱ δὲ προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι, ἢ καταπίπτειν ἄφνω νεκρόν. Ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων, καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον Θεὸν αὐτὸν εἶναι.

14 Διατὶ ἰξεύρομεν, ὅτι ὁ νόμος εἶναι πνευματικὸς, ἀμὴ ἐγὼ εἶμαι σαρκικὸς, πουλημένος ἀποκάτω εἰς τὴν ἁμαρτίαν.

15 Διατὶ ἐκεῖνο ὁποῦ κάμνω, δὲν τὸ γινώσκω· διατὶ δὲν κάμνω ἐκεῖνο ὁποῦ θέλω· ἀλλὰ κάμνω ἐκεῖνο ὁποῦ μισῶ.

16 Καὶ ἐὰν κάμνω ἐκεῖνο, τὸ ὁποῖον δὲν θέλω, συμφωνῶ μὲ τὸν νόμον, ὅτι εἶναι καλός.

17 Καὶ τώρα πλέον δὲν τὸ κάμνω ἐγὼ ἐκεῖνο, ἀλλὰ ἡ

ἡ οἰκȣ͂σα ἐν ἐμοὶ ἁμαρτία.

18 Οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ (τȣτέστιν ἐν τῇ σαρκί μȣ) ἀγαθόν· τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν, ȣ̓χ εὑρίσκω.

19 Οὐ γὰρ ὃ θέλω, ποιῶ ἀγαθόν· ἀλλ᾽ ὃ ȣ̓ θέλω κακὸν, τȣ͂το πράσσω.

20 Εἰ δὲ ὃ ȣ̓ θέλω ἐγὼ τȣ͂το ποιῶ, οὐκ ἔτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ᾽ ἡ οἰκȣ͂σα ἐν ἐμοὶ ἁμαρτία.

21 Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται.

22 Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον·

23 Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μȣ ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μȣ, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μȣ.

24 Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτȣ τȣ́τȣ;

25 Εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησȣ͂ Χριστȣ͂ τοῦ Κυρίȣ ἡμῶν.

ἁμαρτία ὁπȣ͂ κατοικᾷ εἰς ἐμένα (τὸ κάμνει.)

18 Διατὶ ἐξεύρω ὅτι δὲν κατοικᾷ εἰς ἐμένα (ἤγουν εἰς τὴν σάρκα μου) τίποτες ἀγαθόν· διατὶ τὸ θέλειν ἔχω, ἀμὴ νὰ κάμω τὸ καλὸν, δὲν ἠμπορῶ.

19 Διατὶ ἐγὼ δὲν κάμνω τὸ καλὸν ὁπȣ͂ θέλω ἀλλὰ τὸ κακὸν ὁπȣ͂ δὲν θέλω, ἐκεῖνο κάμνω.

20 Καὶ ἐὰν ἐγὼ κάμνω ἐκεῖνο, τὸ ὁποῖον δὲν θέλω, πλέον δὲν τὸ κάμνω ἐγὼ ἐκεῖνο, ἀλλὰ ἡ ἁμαρτία ὁπȣ͂ κατοικᾷ εἰς ἐμένα.

21 Εὑρίσκω λοιπὸν τὸν νόμον εἰς τοῦ λόγȣ μȣ, ὅταν θέλω νὰ κάμνω τὸ καλὸν, ὅτι εὑρίσκεται εἰς ἐμένα κακόν.

22 Διατὶ συγχαίρω εἰς τὸν νόμον τοῦ Θεȣ͂ κατὰ τὸν μέσα ἄνθρωπον·

23 Ἀλλὰ βλέπω ἄλλον νόμον εἰς τὰ μέλη μȣ, ὁπȣ͂ ἀντιστρατεύεται εἰς τὸν νόμον τοῦ νοός μȣ, καὶ ὁπȣ͂ μὲ σκλαβώνει εἰς τὸν νόμον τῆς ἁμαρτίας, ὁ ὁποῖος εἶναι μέσα εἰς τὰ μέλη μȣ.

24 Ταλαίπωρος ἄνθρωπος ἐγώ· ποῖος θέλει μὲ ἐλευθερώσει ἀπὸ τὸ σῶμα ἐτȣ́τȣ τοῦ θανάτȣ;

25 Εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησȣ͂ Χριστȣ͂ τȣ͂ Κυρίȣ μας.

Ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ· τῇ δὲ σαρκὶ, νόμῳ ἁμαρτίας.

Λοιπὸν αὐτὸς ἐγὼ μὲ τὸν νοῦν δουλεύω τὸν νόμον τοῦ Θεοῦ, ἀμὴ μὲ τὴν σάρκα, τὸν νόμον τῆς ἁμαρτίας.

Κεφ. η'. 8.

Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

2 Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ, ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.

3 Τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί·

4 Ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

5 Οἱ γὰρ κατὰ σάρκα ὄντες, τὰ τῆς σαρκὸς φρονοῦσιν· οἱ δὲ κατὰ πνεῦμα, τὰ τοῦ πνεύματος.

6 Τὸ γὰρ φρόνημα τῆς

Τώρα λοιπὸν δὲν εἶναι κανένα κατάκριμα εἰς ἐκείνους ὁποῦ εἶναι εἰς τὸν Χριστὸν Ἰησοῦν, καὶ δὲν περιπατοῦσι κατὰ τὴν σάρκα, ἀλλὰ κατὰ τὸ πνεῦμα.

2 Διατὶ ὁ νόμος τοῦ πνεύματος τῆς ζωῆς, ὁποῦ εἶναι εἰς τὸν Χριστὸν Ἰησοῦν, μὲ ἐλευθέρωσιν ἀπὸ τὸν νόμον τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.

3 Διατὶ ἐκεῖνο ὁποῦ δὲν ἐδύνετον νὰ κάμῃ ὁ νόμος, εἰς τὸ ὁποῖον ἦτον ἀσθενὴς εἰς τὴν σάρκα, ὁ Θεὸς πέμπωντας τὸν υἱόν του, μὲ ὁμοίωμα σάρκας ἁμαρτωλῆς, καὶ διὰ τὴν ἁμαρτίαν, ἐκατάκρινε τὴν ἁμαρτίαν εἰς τὴν σάρκα·

4 Διὰ νὰ πληρωθῇ τὸ δικαίωμα τοῦ νόμου εἰς ἐμᾶς, ὁποῦ δὲν περιπατοῦμεν κατὰ τὴν σάρκα, ἀλλὰ κατὰ τὸ πνεῦμα.

5 Διατὶ ἐκεῖνο ὁποῦ εἶναι κατὰ τὴν σάρκα, φρονοῦσι τὰ πράγματα τῆς σαρκός· καὶ ἐκεῖνοι ὁποῦ εἶναι κατὰ τὸ πνεῦμα, φρονοῦσι τὰ πράγματα τοῦ πνεύματος.

6 Διατὶ τὸ φρόνημα τῆς

σαρκὸς, θάνατος· τὸ δὲ φρό-
νημα τοῦ πνεύματος, ζωὴ καὶ
εἰρήνη.

7 Διότι τὸ φρόνημα τῆς
σαρκὸς, ἔχθρα εἰς Θεόν· τῷ
γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ
ὑποτάσσεται· οὐδὲ γὰρ δύνα-
ται.

8 Οἱ δὲ ἐν σαρκὶ ὄντες,
Θεῷ ἀρέσαι οὐ δύνανται.

9 Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν
σαρκὶ, ἀλλ' ἐν πνεύματι,
εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν
ὑμῖν· εἰ δέ τις πνεῦμα Χριστοῦ
οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐ-
τοῦ.

10 Εἰ δὲ Χριστὸς ἐν ὑμῖν,
τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρ-
τίαν· τὸ δὲ πνεῦμα, ζωὴ διὰ
δικαιοσύνην.

11 Εἰ δὲ τὸ πνεῦμα τοῦ
ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν
οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν
Χριστὸν ἐκ νεκρῶν, ζωοποιήσει
καὶ τὰ θνητὰ σώματα ὑμῶν,
διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ
πνεύματος ἐν ὑμῖν.

12 Ἄρα οὖν, ἀδελφοὶ,
ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκὶ,
τοῦ κατὰ σάρκα ζῇν.

13 Εἰ γὰρ κατὰ σάρκα
ζῆτε, μέλλετε ἀποθνήσκειν·
εἰ δὲ πνεύματι τὰς πράξεις

σαρκὸς εἶναι θάνατος· ἀμὴ
τὸ φρόνημα τοῦ πνεύματος,
εἶναι ζωὴ καὶ εἰρήνη.

7 Διατὶ τὸ φρόνημα τῆς
σαρκὸς, εἶναι ἔχθρα εἰς τὸν
Θεόν· διατὶ δὲν ὑποτάσσεται
εἰς τὸν νόμον τοῦ Θεοῦ· ἐπειδὴ
οὐδὲ δύναται.

8 Καὶ ἐκεῖνοι ὁποῦ εἶναι εἰς
τὴν σάρκα, δὲν ἠμποροῦν νὰ
ἀρέσουν τοῦ Θεοῦ.

9 Ἀμὴ ἐσεῖς δὲν εἶσθε
σαρκικοὶ, ἀλλὰ πνευματικοὶ,
ἐὰν τὸ πνεῦμα τοῦ Θεοῦ κα-
τοικᾷ εἰς ἐσᾶς· ἀμὴ ἐὰν τινὰς
δὲν ἔχει πνεῦμα Χριστοῦ, ἐτοῦ-
τος δὲν εἶναι τοῦ Χριστοῦ.

10 Καὶ ἐὰν ὁ Χριστὸς εἶναι
εἰς ἐσᾶς, τὸ μὲν κορμὶ εἶναι
νεκρὸν, διὰ τὴν ἁμαρτίαν· ἀμὴ
τὸ πνεῦμα εἶναι ζωὴ διὰ τὴν
δικαιοσύνην.

11 Ἀμὴ καὶ ἀνίσως τὸ
πνεῦμα ἐκείνου ὁποῦ ἀνάστησε
τὸν Ἰησοῦν ἐκ νεκρῶν κατοικᾷ
εἰς ἐσᾶς, ἐκεῖνος ὁποῦ ἀνάστη-
σε τὸν Χριστὸν ἐκ νεκρῶν, θέ-
λει ζωοποιήσει καὶ τὰ θνητά
σας κορμία, διὰ μέσου τοῦ
πνεύματός του ὁποῦ κατοικᾷ εἰς
ἐσᾶς.

12 Λοιπὸν, ἀδελφοὶ, χρεῶ-
σται εἴμεσθεν ἡμεῖς, ὄχι εἰς
τὴν σάρκα, νὰ ζοῦμεν σαρ-
κικῶς.

13 Διατὶ ἂν ζῆτε σαρκικῶς,
μέλλετε νὰ ἀποθάνετε· ἀμὴ
ἐὰν θανατώνετε ταῖς πράξεις

τοῦ σώματος θανατοῦτε, ζήσεσθε.

14 Ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ.

15 Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ πατήρ.

16 Αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν ὅτι ἐσμὲν τέκνα Θεοῦ.

17 Εἰ δὲ τέκνα κληρονόμοι· κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ· εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν.

18 Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

19 Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται.

20 Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα.

21 Ἐπ' ἐλπίδι, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς

τοῦ κορμίου μὲ τὸ πνεῦμα, θέλετε ζήσει.

14 Διατὶ ὅσοι (ἄνθρωποι) κυβερνῶνται μὲ τὸ πνεῦμα τοῦ Θεοῦ, ἐτοῦτοι εἶναι υἱοὶ Θεοῦ.

15 Διατὶ δὲν ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλὰ ἐλάβετε πνεῦμα τῆς υἱοθεσίας, μὲ τὸ ὁποῖον κράζομεν, Ἀββᾶ ὁ πατήρ.

16 Αὐτὸ τὸ πνεῦμα εἰς τὸ πνεῦμά μας συμμαρτυρεῖ, ὅτι εἴμεσθε τέκνα τοῦ Θεοῦ.

17 Καὶ ἐὰν εἴμεσθε τέκνα, εἴμεσθε καὶ κληρονόμοι· κληρονόμοι μὲν τοῦ Θεοῦ, καὶ συγκληρονόμοι τοῦ Χριστοῦ, ἐὰν πάσχομεν μαζὺ (μὲ τὸν Χριστὸν) διὰ νὰ δοξασθοῦμεν μαζὺ μετ' αὐτόν.

18 Διατὶ λογαριάζω ὅτι τὰ παθήματα ἐτούτου τοῦ καιροῦ δὲν εἶναι ἄξια εἰς τὴν δόξαν ὁποῦ μέλλει νὰ ἀποκαλυφθῇ εἰς ἐμᾶς.

19 Διατὶ ἡ κτίσις ἀπαντέχει, ἐλπίζουσα τὴν φανέρωσιν τῶν υἱῶν τοῦ Θεοῦ.

20 Διατὶ ἡ κτίσις ὑποτάχθη εἰς τὴν ματαιότητα, ὄχι θεληματικὴ ἀλλὰ διὰ ἐκεῖνον ὁποῦ τὴν ὑπόταξεν (εἰς τὴν ματαιότητα ἐτούτην.)

21 Μὲ ἐλπίδα, ὅτι καὶ αὐτὴ ἡ κτίσις θέλει ἐλευθερωθῇ ἀπὸ τὴν σκλαβίαν τῆς φθορᾶς, εἰς

φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.

22 Οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν.

23 Οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν.

24 Τῇ γὰρ ἐλπίδι ἐσώθημεν· ἐλπὶς δὲ βλεπομένη, οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει;

25 Εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα.

26 Ὡσαύτως δὲ καὶ τὸ Πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν· τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις.

27 Ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ Πνεύματος, ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων.

28 Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν, πάντα συνεργεῖ εἰς ἀγαθὸν,

τὴν ἐλευθερίαν τῆς δόξης τῶν υἱῶν τοῦ Θεοῦ.

22 Διατὶ ἐξεύρομεν ὅτι ὅλη ἡ κτίσις ἀναστενάζει μαζὶ καὶ συμπονεῖ ἕως τώρα.

23 Καὶ ὄχι μόνον ἡ κτίσις, ἀλλὰ καὶ αὐτοὶ ἐμεῖς, ἔστωντας νὰ ἔχωμεν τὴν ἀπαρχὴν τοῦ πνεύματος, καὶ ἐμεῖς αὐτοὶ (λέγω) ἀναστενάζομεν μέσα μας, ἀπαντιχαίνοντες υἱοθεσίαν, ἤγουν τὴν ἐλευθέρωσιν τοῦ κορμίου μας.

24 Διατὶ ἐμεῖς μὲ τὴν ἐλπίδα ἐσώθημεν· καὶ ἡ ἐλπὶς ἡ βλεπομένη, δὲν εἶναι ἐλπίς· διατὶ ἐκεῖνο ὁποῦ βλέπει κανεὶς, διατὶ τὸ ἐλπίζει πλέον;

25 Ἀμὴ ἐὰν ἐκεῖνο ὁποῦ δὲν βλέπομεν, ἐλπίζομεν, τὸ ἀπαντεχαίνομεν μὲ ὑπομονήν.

26 Ὁμοίως καὶ τὸ Πνεῦμα βοηθεῖ εἰς ταῖς ἀσθενείαις μας· ὅτι δὲν ἐξεύρομεν τί νὰ προσευχηθοῦμεν, καθὼς πρέπει, ἀλλ' αὐτὸ τὸ Πνεῦμα παρακαλεῖ διὰ λόγου μας μὲ στεναγμοὺς ἀλαλήτους.

27 Καὶ ἐκεῖνος ὁποῦ ἐξετάζει ταῖς καρδίαις, ἐξεύρει τί εἶναι τὸ φρόνημα τοῦ Πνεύματος, ὅτι παρακαλεῖ διὰ τοὺς ἁγίους κατὰ Θεόν.

28 Καὶ ἐξεύρομεν, ὅτι ὅλα τὰ πράγματα συνεργοῦσιν εἰς τὸ ἀγαθὸν, εἰς ἐκείνους ὁποῦ

τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν·

ἀγαποῦσι τὸν Θεὸν, οἱ ὁποῖοι εἶναι καλεσμένοι κατὰ τὴν πρόθεσίν του·

29 Ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς.

29 Ὅτι ἐκείνους ὁποῦ προεγνώρισεν (ὁ Θεὸς) αὐτοὺς καὶ προώρισε νὰ γενοῦν ὅμοιοι τῆς εἰκόνος τοῦ υἱοῦ του, διὰ νὰ εἶναι αὐτὸς πρωτότοκος ἀνάμεσα εἰς πολλοὺς ἀδελφούς.

30 Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε.

30 Καὶ ἐκείνους ὁποῦ προώρισεν, ἐκείνους καὶ ἐκάλεσε· καὶ ἐκείνους ἀπὸ ἐκάλεσεν, ἐκείνους καὶ ἐδικαίωσεν· καὶ ὅσους ἐδικαίωσεν, ἐκείνους καὶ ἐδόξασε.

31 Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν;

31 Τί θέλομεν εἰπεῖ λοιπὸν εἰς ἐτοῦτα; ἐὰν ὁ Θεὸς εἶναι διατ' ἐμᾶς, τίς θέλει εἶσθαι ἐναντίος μας;

32 Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;

32 Ὁ ὁποῖος δὲν ἐψυχοπονέθη τὸν ἴδιόν του υἱὸν, ἀλλὰ διὰ ὅλους μᾶς τὸν ἐπαράδωκε, πῶς δὲν θέλει μᾶς χαρίσει μαζὺ μετ' αὐτὸν καὶ ὅλα τὰ πράγματα;

33 Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν.

33 Τίς ἠμπορεῖ νὰ ἐγκαλέσῃ ἐναντία τῶν ἐκλεκτῶν τοῦ Θεοῦ; Ὁ Θεὸς εἶναι ὁποῦ δικαιώνει.

34 Τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανὼν, μᾶλλον δὲ καὶ ἐγερθεὶς, ὃς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν.

34 Ποῖος εἶναι ὁποῦ κατακρίνει; Ὁ Χριστὸς εἶναι ὁποῦ ἀπέθανε, καὶ περισσότερον ὁποῦ καὶ ἀνέστη, ὁ ὁποῖος καὶ εἶναι εἰς τὴν δεξιὰν τοῦ Θεοῦ, καὶ παρακαλεῖ διὰ λόγου μας.

35 Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλί-

35 Τίς θέλει μᾶς χωρίσει ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ;

ψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;

36 (Καθὼς γέγραπται· Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.)

37 Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς.

38 Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα,

39 Οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης, τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Θλίψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ πεῖνα, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;

36 (Καθὼς εἶναι γεγραμμένον· Ὅτι διὰ λόγου σου θανατωνόμεσθεν κάθ' ἡμέραν· ὡσὰν πρόβατα τῆς σφαγῆς ἐλογιασθήκαμεν.)

37 Ἀλλὰ μεταξὺ εἰς ὅλα ἐτοῦτα ἐμεῖς ὑπερνικοῦμεν διὰ μέσου ἐκείνου ὁποῦ μᾶς ἀγάπησε.

38 Διατὶ πιστεύω ὅτι οὐδὲ θάνατος, οὐδὲ ζωὴ, οὐδὲ ἄγγελοι, οὐδὲ ἀρχαὶ, οὐδὲ δυνάμεις, οὐδὲ τὰ παρόντα, οὐδὲ τὰ μέλλοντα,

39 Οὐδὲ ὕψος, οὐδὲ βάθος, οὐδὲ καμία ἄλλη κτίσις, θέλει δυνηθῇ νὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ, ἡ ὁποία εἶναι εἰς τὸν Κύριόν μας Ἰησοῦν Χριστόν.

Κεφ. θ'. 9.

Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, (συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν Πνεύματι ἁγίῳ,)

2 Ὅτι λύπη μοι ἐστὶ μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου.

3 Ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα·

Ἀλήθειαν λέγω εἰς Χριστὸν, καὶ δὲν ψεύδομαι, (ἔστοντας νὰ μου συμμαρτυρῇ ἡ συνείδησίς μου εἰς Πνεῦμα ἅγιον,)

2 Ὅτι ἔχω μεγάλην λύπην, καὶ παντοτεινὸν πόνον εἰς τὴν καρδίαν μου.

3 Διατὶ αὐτὸς ἐγὼ ἐπιθύμουν νὰ εἶμαι χωρισμένος ἀπὸ τὸν Χριστὸν, διὰ τοὺς ἀδελφούς μου τοὺς συγγενεῖς μου κατὰ σάρκα·

4 Οἵ τινές εἰσιν Ἰσραηλῖται, ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ αἱ διαθῆκαι καὶ ἡ νομοθεσία καὶ ἡ λατρεία καὶ αἱ ἐπαγγελίαι·

5 Ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας· ἀμήν.

6 Οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ· οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ·

7 Οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ, πάντες τέκνα· ἀλλ' ἐν Ἰσαὰκ, κληθήσεταί σοι σπέρμα.

8 Τουτέστιν, οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα τοῦ Θεοῦ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας, λογίζεται εἰς σπέρμα.

9 Ἐπαγγελίας γὰρ ὁ λόγος οὗτος· Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάῤῥᾳ υἱός.

10 Οὐ μόνον δὲ, ἀλλὰ καὶ Ῥιβέκκα, ἐξ ἑνὸς κοίτην ἔχουσα, Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν.

4 Οἱ ὁποῖοι εἶναι Ἰσραηλῖται τῶν ὁποίων εἶναι ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ αἱ διαθῆκαι, καὶ ἡ νομοθεσία, καὶ ἡ λατρεία, καὶ τὰ ταξίματα·

5 Τῶν ὁποίων Ἰσραηλιτῶν εἶναι οἱ πατέρες, καὶ ἀπὸ τοὺς ὁποίους εἶναι ὁ Χριστὸς, ὅσον εἰς τὴν σάρκα, ὁ ὁποῖος εἶναι ἀπάνω εἰς ὅλα Θεὸς εὐλογημένος εἰς τοὺς αἰῶνας· ἀμήν.

6 Καὶ δὲν εἶναι δυνατὸν νὰ ἐξεπέσῃ ὁ λόγος τοῦ Θεοῦ· διατὶ ὄχι ὅλοι ὅπου εἶναι ἀπὸ τὸ γένος τοῦ Ἰσραὴλ, ἐκεῖνοι εἶναι καὶ Ἰσραηλῖται·

7 Οὐδὲ ὅτι εἶναι σπέρμα τοῦ Ἀβραὰμ, εἶναι ὅλοι τέκνα τοῦ Ἀβραάμ· ἀλλὰ λέγει, Εἰς τὸν Ἰσαὰκ θέλει κληθῇ τὸ σπέρμα σου.

8 Ἤγουν, ὄχι τὰ τέκνα τῆς σαρκὸς, αὐτὰ εἶναι τὰ τέκνα τοῦ Θεοῦ· ἀλλὰ τὰ τέκνα τοῦ ταξίματος, λογαριάζονται πῶς εἶναι σπέρμα.

9 Διατὶ ὁ λόγος τοῦ ταξίματος ἐτοῦτος εἶναι· Θέλω ἔλθη εἰς τὸν καιρὸν ἐτοῦτον, καὶ ἡ Σάῤῥα θέλει ἔχει υἱόν.

10 Καὶ ὄχι μόνον ἐτοῦτο, (ὅπου εἴπαμεν,) ἀλλὰ καὶ ἡ Ῥιβέκκα, ἔσωντας νὰ συλλάβῃ ἀπὸ ἕνα, (ἤγουν,) τὸν πατέρα μας τὸν Ἰσαὰκ, (τὸ ὅμοιον ἤκουσι.)

11 Μήπω γὰρ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακὸν, ἵνα ἡ κατ' ἐκλογὴν τοῦ Θεȣ̃ πρόθεσις μένη, οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ καλȣ̃ντος,

12 Ἐῤῥήθη αὐτῇ· Ὅτι ὁ μείζων δȣλεύσει τῷ ἐλάσσονι.

13 Καθὼς γέγραπται· Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα.

14 Τί ȣ̃ν ἐρȣ̃μεν; Μὴ ἀδικία παρὰ τῷ Θεῷ; Μὴ γένοιτο.

15 Τῷ γὰρ Μωσῇ λέγει· Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω, ὃν ἂν οἰκτείρω.

16 Ἄρα ȣ̃ν ȣ̓ τοῦ θέλοντος, ȣ̓δὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεȣ̃ντος Θεȣ̃.

17 Λέγει γὰρ ἡ γραφὴ τῷ Φαραώ· Ὅτι εἰς αὐτὸ τȣ̃το ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μȣ, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μȣ ἐν πάσῃ τῇ γῇ.

18 Ἄρα ȣ̃ν ὃν θέλει, ἐλεεῖ· ὃν δὲ θέλει, σκληρύνει.

19 Ἐρεῖς ȣ̃ν μοι· Τί ἔτι μέμφεται; τῷ βȣλήματι αὐτȣ̃ τίς ἀνθέστηκε;

11 Διατὶ (ἀκόμι τότε) πρὸ τȣ̃ νὰ γεννηθȣ̃ν τὰ δύο παιδία, καὶ πρὸ τȣ̃ νὰ κάμȣν τίποτες καλὸν ἢ κακὸν, διὰ νὰ μένη ἡ πρόθεσις τȣ̃ Θεȣ̃ ὁπȣ̃ εἶναι κατ' ἐκλογὴν, ὄχι ἀπὸ τὰ ἔργα, ἀλλ' ἀπ' ἐκεῖνον ὁπȣ̃ καλεῖ,

12 Ἐλαλήθη εἰς αὐτὴν, (τὴν Ῥεβίκκα·) Ὅτι ὁ μεγαλίτερος θέλει δουλεύσει τὸν μικρότερον.

13 Καθὼς εἶναι γεγραμμένον· Τὸν Ἰακὼβ ἀγάπησα, καὶ τὸν Ἠσαῦ ἐμίσησα.

14 Τί θέλομεν εἰπεῖ λοιπόν; Μήπως καὶ εἶναι ἀδικία εἰς τὸν Θεόν; Μὴ γένοιτο.

15 Διατὶ λέγει εἰς τὸν Μωϋσῆν· Θέλω ἐλεήσει, ἐκεῖνον ὁπȣ̃ ἐλεῶ, καὶ θέλω σπλαγχνισθῆ, ἐκεῖνον ὁπȣ̃ σπλαγχνίζομαι.

16 Ἄρα λοιπὸν ȣ̓δὲ τȣ̃ θέλοντος εἶναι, ȣ̓δὲ τȣ̃ τρέχοντος, ἀλλὰ τȣ̃ Θεȣ̃ ὁπȣ̃ κάμνει τὸ ἔλεος.

17 Διατὶ λέγει ἡ γραφὴ διὰ τὸν Φαραώ· Ὅτι ἐπὶ τὸ αὐτὸ σὲ ἐσήκωσα, διὰ νὰ δείξω εἰς ἐσένα τὴν δυναμίν μȣ, καὶ διὰ νὰ φημισθῇ τὸ ὄνομά μȣ εἰς ὅλην τὴν γῆν.

18 Ἐκεῖνον λοιπὸν τὸν ὁποῖον θέλει ὁ Θεὸς, ἐλεεῖ· καὶ ἐκεῖνον ὁπȣ̃ θέλει, σκληρύνει.

19 Λοιπὸν θέλεις μȣ εἰπεῖ· Καὶ διατί ἀκόμι μέμφεται (ὁ Θεός;) διατὶ τίς ἀντιςέκει εἰς τὸ θέλημά τȣ;

20 Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· Τί με ἐποίησας οὕτως;

21 Ἢ οὐκ ἔχει ἐξȣσίαν ὁ κεραμεὺς τȣ̃ πηλȣ̃, ἐκ τȣ̃ αὐτȣ̃ φυράματος ποιῆσαι, ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;

22 Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν, καὶ γνωρίσαι τὸ δυνατὸν αὐτȣ̃, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν;

23 Καὶ ἵνα γνωρίσῃ τὸν πλȣ̃τον τῆς δόξης αὐτȣ̃ ἐπὶ σκεύη ἐλέȣς, ἃ προητοίμασεν εἰς δόξαν;

24 Οὓς καὶ ἐκάλεσεν ἡμᾶς, ȣ̓ μόνον ἐξ Ἰȣδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν.

25 Ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει· Καλέσω τὸν ȣ̓ λαόν μȣ, λαόν μȣ· καὶ τὴν οὐκ ἠγαπημένην, ἠγαπημένην.

26 Καὶ ἔςαι, ἐν τῷ τόπῳ ȣ̔ ἐῤῥέθη αὐτοῖς· Οὐ λαός μȣ ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ Θεȣ̃ ζῶντος.

27 Ἡσαΐας δὲ κράζει ὑπὲρ τȣ̃ Ἰσραήλ· Ἐὰν ᾖ ὁ ἀριθμὸς

20 Ἀλλὰ, ὦ ἄνθρωπε, ποῖος εἶσαι ἐσὺ ὁπȣ̃ ἀνταποκρίνεσαι τὸν Θεόν; Μήνα λέγει τὸ πλάσμα εἰς ἐκεῖνον ὁπȣ̃ τὸ ἔπλασε· Διατὶ μὲ ἔκαμες ἔτζι;

21 Ἢ δὲν ἔχει ἐξȣσίαν ὁ κεραμιδᾶς, ἀπὸ τὴν αὐτὴν λάσπιν νὰ κάμῃ, ἄλλο μὲν ἀγγεῖον εἰς τιμὴν, καὶ ἄλλο εἰς ἀτιμίαν;

22 Ἀμὴ ἀνίσως καὶ ὁ Θεὸς θέλωντας νὰ δείξῃ τὴν ὀργήν τȣ, καὶ νὰ κάμῃ νὰ γνωρίσȣν τὴν δύναμίν τȣ, ὑπόφερε μὲ πολλὴν μακροθυμίαν ἀγγεῖα τῆς ὀργῆς, κατασκευασμένα εἰς ἀπώλειαν;

23 Καὶ διὰ νὰ κάμῃ γνώριμον τὸν πλȣ̃τον τῆς δόξης τȣ, εἰς σκεύη ἐλέȣς, τὰ ὁποῖα προετοίμασεν εἰς δόξαν;

24 Τȣ̀ς ὁποίȣς καὶ μᾶς ἐκάλεσεν, ὄχι μόνον ἀπὸ τȣ̀ς Ἰȣδαίȣς, ἀλλὰ καὶ ἀπὸ τὰ ἔθνη.

25 Καθὼς λέγει καὶ εἰς τὸν Ὡσηέ· Ἐκεῖνον ὁπȣ̃ δὲν εἶναι λαός μȣ, θέλω τὸν ὀνομάσει λαόν μȣ· καὶ ἐκείνην ὁπȣ̃ δὲν εἶναι ἀγαπημένη, θέλω τὴν ὀνομάσει ἀγαπημένην.

26 Καὶ θέλει εἶσθαι, εἰς τὸν τόπον ἐκεῖνον ὁπȣ̃ ἐλαλήθη εἰς αὐτȣ̀ς· Ἐσεῖς δὲν εἶσθε λαός μȣ, ἐκεῖ θέλȣσι καλεσθῆ οἱ υἱοὶ τȣ̃ Θεȣ̃ τοῦ ζῶντος.

27 Καὶ ὁ Ἡσαΐας κράζει διὰ τὸν Ἰσραήλ· Ἐὰν ἤθελε

τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται.

28 Λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς.

29 Καὶ καθὼς προείρηκεν Ἡσαΐας· Εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμοῤῥα ἂν ὡμοιώθημεν.

30 Τί οὖν ἐροῦμεν; Ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως.

31 Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε.

32 Διατί; Ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου· προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος·

33 Καθὼς γέγραπται· Ἰδοὺ, τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου· καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται.

εἶσθαι ὁ ἀριθμὸς τῶν υἱῶν τοῦ Ἰσραὴλ ὡσὰν ὁ ἄμμος τῆς θαλάσσης, τὸ λείψανον μόνον θέλει γλιτώσει.

28 Διατὶ λογαριασμὸν θέλει συντέμνει καὶ θέλει τελειώσει μὲ δικαιοσύνην, ὅτι θέλει κάμει ὁ Κύριος λογαριασμὸν σύντομον ἀπάνω εἰς τὴν γῆν.

29 Καὶ καθὼς ἐπροεῖπεν ὁ Ἡσαΐας· Ἂν δὲν ἤθελεν μᾶς ἀφήσῃ ὁ Κύριος Σαβαὼθ σπέρμα, ἠθέλαμεν γένῃ ὡσὰν τὰ Σόδομα, καὶ ὡσὰν τὰ Γόμοῤῥα ἠθέλαμεν ὡμοιωθῇ.

30 Τί θέλομεν εἰπεῖ λοιπόν; Ὅτι τὰ ἔθνη ὁποῦ δὲν ἐκυνηγοῦσαν δικαιοσύνην, ἔφθασαν τὴν δικαιοσύνην, δικαιοσύνην (λέγω) ὁποῦ εἶναι ἀπὸ πίστιν.

31 Ἀλλὰ ὁ Ἰσραὴλ κυνηγῶντας νόμον τῆς δικαιοσύνης, δὲν ἔφθασεν εἰς τὸν νόμον τῆς δικαιοσύνης.

32 Διατί; Ὅτι δὲν (ἐζήτα) δικαιοσύνην ἀπὸ τὴν πίστιν, ἀλλὰ, ὡσὰν ἀπὸ τὰ ἔργα τοῦ νόμου· διατὶ ἐσκόνταψαν εἰς τὴν πέτραν τοῦ σκανδάλου·

33 Καθὼς εἶναι γεγραμμένον· Νὰ, ὁποῦ βάλλω εἰς τὴν Σιὼν πέτραν σκοντάματος καὶ πέτραν σκανδάλου· καὶ κάθε ἕνας ὁποῦ πιστεύει εἰς αὐτὸν, δὲν θέλει ἐντροπιασθῇ.

Κεφ. ί. 10.

Ἀδελφοὶ, ἡ μὲν εὐδοκία τῆς
ἐμῆς καρδίας, καὶ ἡ δέησις
ἡ πρὸς τὸν Θεὸν, ὑπὲρ τοῦ
Ἰσραὴλ ἐστιν εἰς σωτηρίαν.

2 Μαρτυρῶ γὰρ αὐτοῖς
ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ
κατ' ἐπίγνωσιν·
3 Ἀγνοοῦντες γὰρ τὴν τοῦ
Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν
δικαιοσύνην ζητοῦντες στῆσαι,
τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ
ὑπετάγησαν.

4 Τέλος γὰρ νόμου Χριστὸς,
εἰς δικαιοσύνην παντὶ τῷ πι-
στεύοντι.
5 Μωσῆς γὰρ γράφει τὴν
δικαιοσύνην τὴν ἐκ τοῦ νόμου,
ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος,
ζήσεται ἐν αὐτοῖς.

6 Ἡ δὲ ἐκ πίστεως δικαιο-
σύνη οὕτω λέγει· Μὴ εἴπῃς ἐν
καρδίᾳ σου· Τίς ἀναβήσεται
εἰς τὸν οὐρανόν; Τοῦτ' ἔστι Χριστὸν
καταγαγεῖν.

7 Ἤ· Τίς καταβήσεται εἰς
τὴν ἄβυσσον; Τοῦτ' ἔστι Χριστὸν
ἐκ νεκρῶν ἀναγαγεῖν.

8 Ἀλλὰ τί λέγει Ἐγγύς
σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί
σου καὶ ἐν τῇ καρδίᾳ σου, τοῦτ'

Ἀδελφοὶ, ἡ ἐπιθυμία τῆς
ἐδικῆς μου καρδίας, καὶ
ἡ παρακάλεσίς μου εἰς τὸν
Θεὸν, διὰ τὸν Ἰσραὴλ εἶναι
διὰ τὴν σωτηρίαν του.
2 Διατὶ τοὺς μαρτυρῶ ὅτι
ἔχουσι ζῆλον Θεοῦ, ἀλλὰ ὄχι
μὲ γνώρισιν·
3 Διατὶ ἔστωντας νὰ μὴν
γνωρίζουσι τὴν δικαιοσύνην τοῦ
Θεοῦ, καὶ νὰ ζητοῦσι νὰ στήκουσι
τὴν δικαιοσύνην τὴν ἐδικήν
τους, δὲν ὑποτάχθηκαν εἰς τὴν
δικαιοσύνην τοῦ Θεοῦ.
4 Διατὶ τὸ τέλος τοῦ νόμου
εἶναι ὁ Χριστὸς εἰς δικαιοσύνην,
εἰς κάθε ἕνα ὁποῦ πιστεύει.
5 Διατὶ ὁ Μωϋσῆς γράφει
τὴν δικαιοσύνην ὁποῦ εἶναι ἀπὸ
τὸν νόμον, λέγωντας ὅτι ὁ ἄν-
θρωπος ὁποῦ κάμνει αὐτὰ, θέ-
λει ζήσει διὰ μέσου τους.
6 Ἀμὴ ἡ δικαιοσύνη ὁποῦ
εἶναι ἀπὸ τὴν πίστιν, ἔτζι λέγει·
Νὰ μὴν εἴπῃς μέσα εἰς τὴν
καρδίαν σου· Τίς θέλει ἀνέβη
εἰς τὸν οὐρανόν; Τοῦτ' ἔστι νὰ
κατεβάσῃ τὸν Χριστόν.
7 Ἤ· Τίς θέλει κατέβη εἰς
τὴν ἄβυσσον; Τοῦτ' ἔστι νὰ ἀνε-
βάσῃ ἀπάνω τὸν Χριστὸν ἐκ
νεκρῶν.
8 Ἀλλὰ τί λέγει; Ὁ λόγος
εἶναι σιμὰ σου εἰς τὸ στόμα σου,
καὶ εἰς τὴν καρδίαν σου, ἐτοῦ-

ἐστὶ τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν·

9 Ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ.

10 Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην· στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.

11 Λέγει γὰρ ἡ γραφή· Πᾶς ὁ πιστεύων ἐπ᾿ αὐτῷ, οὐ καταισχυνθήσεται.

12 Οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν.

13 Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται.

14 Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; Πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; Πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος;

15 Πῶς δὲ κηρύξουσιν ἐὰν μὴ ἀποσταλῶσι; Καθὼς γέγραπται· Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά.

16 Ἀλλ᾿ οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ. Ἡσαΐας γὰρ

τος εἶναι ὁ λόγος τῆς πίστεως, τὸν ὁποῖον κηρύττομεν·

9 Ὅτι ἐὰν ὁμολογήσῃς μὲ τὸ στόμα σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς μέσα εἰς τὴν καρδίαν σου, ὅτι ὁ Θεὸς τὸν ἀνάστησεν ἐκ νεκρῶν, θέλεις σωθῆ.

10 Διατὶ μὲ τὴν καρδίαν πιστεύεται εἰς δικαιοσύνην, καὶ μὲ τὸ στόμα ὁμολογεῖται εἰς σωτηρίαν.

11 Διατὶ λέγει ἡ γραφή· Κάθε ἄνθρωπος ὁποῦ πιστεύει εἰς αὐτὸν δὲν θέλει ἐντραπῆ.

12 Διατὶ δὲν εἶναι διαφορὰ Ἰουδαίου καὶ Ἕλληνος· διατὶ ὁ αὐτὸς εἶναι αὐθέντης ὅλωνῶν, καὶ ὁποῦ πλουτίζει ὅλους ἐκείνους, ὁποῦ τὸν ἐπικαλοῦνται.

13 Διατὶ κάθε ἕνας ὁποῦ ἐπικαλεσθῇ τὸ ὄνομα Κυρίου, θέλει σωθῆ.

14 Πῶς λοιπὸν ἠμποροῦσι νὰ ἐπικαλεσθοῦν ἐκεῖνον εἰς τὸν ὁποῖον δὲν ἐπίστευσαν; Καὶ πῶς θέλουσι πιστεύσει ἐκεῖνον ὁποῦ δὲν ἄκουσαν; Καὶ πῶς θέλουσιν ἀκούσει χωρὶς κανένα ὁποῦ νὰ κηρύσσῃ;

15 Καὶ πῶς θέλουσι κηρύξει ἐὰν δὲν σταλθοῦσι; Καθὼς εἶναι γεγραμμένον· Πόσον εἶναι εὔμορφα τὰ ποδάρια ἐκείνων ὁποῦ εὐαγγελίζουσι τὴν εἰρήνην, ἐκείνων, λέγω, ὁποῦ εὐαγγελίζουν τὰ ἀγαθά.

16 Ἀλλὰ ὄχι ὅλοι ὑπήκουσαν τὸ εὐαγγέλιον· διατὶ ὁ

λέγει· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;

17 Ἄρα ἡ πίστις ἐξ ἀκοῆς· ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ.

18 Ἀλλὰ λέγω· Μὴ οὐκ ἤκουσαν; Μενοῦνγε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

19 Ἀλλὰ λέγω· Μὴ οὐκ ἔγνω Ἰσραήλ; Πρῶτος Μωσῆς λέγει· Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς.

20 Ἡσαΐας δὲ ἀποτολμᾷ, καὶ λέγει· Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι.

21 Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει· Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα.

Ἡσαΐας λέγει· Κύριε, τίς ἐπίστευσεν εἰς τὸ κήρυγμά μας;

17 Ἡ πίστις λοιπὸν εἶναι ἐξ ἀκοῆς· ἡ δὲ ἀκοὴ εἶναι διὰ μέσου τοῦ λόγου τοῦ Θεοῦ.

18 Ἀλλὰ λέγω· Μὴ νὰ δὲν ἄκουσαν; Βέβαια εἰς ὅλην τὴν γῆν εὐγῆκεν ἡ βοή τους, καὶ εἰς ταῖς ἄκραις τῆς οἰκουμένης τὰ λόγιά τους.

19 Ἀλλὰ λέγω· Μὴ νὰ δὲν ἐγνώρισεν ὁ Ἰσραήλ; Πρῶτος ὁ Μωϋσῆς λέγει· Ἐγὼ θέλω σᾶς παρακινήσει εἰς φθόνον, διὰ μέσου ἑνὸς ἔθνους ὁποῦ δὲν εἶναι ἔθνος μου, μὲ ἔθνος, λέγω, ἀσύνετον θέλω σᾶς παρακινήσει εἰς ὀργήν.

20 Καὶ ὁ Ἡσαΐας ἀποτολμᾷ, καὶ λέγει· Εὑρέθην εἰς ἐκείνους ὁποῦ δὲν μὲ ἐζητοῦσαν, ἐφανερώθηκα εἰς ἐκείνους ὁποῦ δὲν ἐρωτοῦσαν διὰ λόγου μου.

21 Καὶ εἰς τὸν Ἰσραὴλ λέγει· Ὅλην τὴν ἡμέραν εἶχα ξαπλωμένα τὰ χέριά μου εἰς λαὸν ὁποῦ δὲν πείθεται καὶ ἀντιλέγει.

Κεφ. ια'. 11.

ΛΕ'γω οὖν· Μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; Μὴ γένοιτο· καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί, ἐκ σπέρματος Ἀβραάμ, φυλῆς Βενιαμίν.

2 Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω. Ἢ οὐκ

ΛΕ'γω λοιπόν· Μήνα ὁ Θεὸς ἀπέῤῥιξε τὸν λαόν του; Μὴ γένοιτο· διατὶ καὶ ἐγὼ εἶμαι Ἰσραηλίτης, ἀπὸ τὸ σπέρμα τοῦ Ἀβραάμ, ἀπὸ τὴν φυλὴν τοῦ Βενιαμίν.

2 Δὲν ἀπόβαλλεν ὁ Θεὸς τὸν λαόν του τὸν ὁποῖον προεγ-

οἴδατε ἐν Ἡλίᾳ τί λέγει ἡ γραφὴ, ὡς ἐντυγχάνει τῷ Θεῷ κατὰ τοῦ Ἰσραὴλ, λέγων·

3 Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου.

4 Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ.

5 Οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν.

6 Εἰ δὲ χάριτι, οὐκ ἔτι ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκ ἔτι γίνεται χάρις· εἰ δὲ ἐξ ἔργων, οὐκ ἔτι ἐστὶ χάρις· ἐπεὶ τὸ ἔργον οὐκ ἔτι ἐστὶν ἔργον.

7 Τί οὖν; Ὃ ἐπιζητεῖ Ἰσραὴλ, τούτου οὐκ ἐπέτυχεν· ἡ δὲ ἐκλογὴ ἐπέτυχεν, οἱ δὲ λοιποὶ ἐπωρώθησαν.

8 (Καθὼς γέγραπται· Ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν,) ἕως τῆς σήμερον ἡμέρας.

9 Καὶ Δαβὶδ λέγει· Γενηθήτω ἡ τράπεζα αὐτῶν εἰς

νώρισε. Ἢ δὲν ἠξεύρετε τί λέγει ἡ γραφὴ, εἰς (τὴν ἱστορίαν τοῦ) Ἠλία, πῶς αὐτὸς συντυχαίνει εἰς τὸν Θεὸν ἐναντία τοῦ Ἰσραὴλ, λέγωντας·

3 Κύριε, τοὺς προφήτας σου ἐσκότωσαν, καὶ τὰ θυσιαστήριά σου ἐχάλασαν· καὶ ἐγὼ ἀπόμεινα μοναχὸς, καὶ γυρεύουν νὰ πάρουν τὴν ζωήν μου.

4 Ἀλλὰ τί τοῦ λέγει ἡ ἀπόκρισις τοῦ Θεοῦ; Ἄφησα διὰ λόγου μου ἑπτὰ χιλιάδες ἄνδρες, ὁποῦ δὲν ἐγονάτισαν εἰς τὴν Βάαλ.

5 Ἔτζι λοιπὸν καὶ εἰς τοῦτον τὸν καὶ καιρὸν ἔμεινε λείψανον κατ' ἐκλογὴν χάριτος.

6 Καὶ ἐὰν εἶναι ἀπὸ τὴν χάριν, δὲν εἶναι πλέον ἀπὸ τὰ ἔργα· διατὶ ἀλλέως, ἡ χάρις δὲν εἶναι πλέον χάρις· ἀμὴ ἂν εἶναι ἀπὸ τὰ ἔργα, δὲν εἶναι πλέον χάρις· ἀλλέως τὸ ἔργον, δὲν εἶναι πλέον ἔργον.

7 Τί λοιπόν; Ἐκεῖνο ὁποῦ ζητᾷ ὁ Ἰσραὴλ, δὲν τὸ ἐπίτυχεν· ἀμὴ οἱ διαλεγμένοι τὸ ἐπίτυχαν, καὶ οἱ ἐπίλοιποι μακρὰ λείπουσιν ἀπ' αὐτό.

8 (Καθὼς εἶναι γεγραμμένον· Ἔδωκεν τους ὁ Θεὸς πνεῦμα ξεμωραμοῦ, μάτια νὰ μὴν βλέπουν, καὶ αὐτία νὰ μὴν ἀκούουν,) ἕως τὴν σημέρον ἡμέραν.

9 Καὶ ὁ Δαβὶδ λέγει· Ἂς γένῃ ἡ τράπεζά τους εἰς

παγίδα, καὶ εἰς θήραν, καὶ εἰς σκάνδαλον, καὶ εἰς ἀνταπόδομα αὐτοῖς.

10 Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν· καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.

11 Λέγω οὖν, μὴ ἔπταισαν ἵνα πέσωσι; Μὴ γένοιτο· ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς.

12 Εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου, καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν;

13 Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν, ἐφ' ὅσον μὲν εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω·

14 Εἴπως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐτῶν.

15 Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν, καταλλαγὴ κόσμου· τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν;

16 Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι.

17 Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν, σὺ δὲ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης ἐν αὐτοῖς, καὶ συγκοινωνὸς

παγίδα, καὶ εἰς βρόχον, καὶ εἰς σκάνδαλον, καὶ εἰς ἀνταμοιβήν τους.

10 Ἂς σκοτισθοῦν τὰ μάτιά τους νὰ μὴν βλέπουν· καὶ τὴν ῥάχιν τους καμπουργίαινέ την πάντοτε.

11 Λέγω λοιπόν, μήνα ἔπταισαν, διὰ νὰ πέσουν; Μὴ γένοιτο· ἀλλὰ τὸ πέσιμον αὐτωνῶν, ἔγινε σωτηρία εἰς τὰ ἔθνη, νὰ παρακινηθοῦσιν ἐκεῖνοι εἰς ζηλίαν.

12 Καὶ ἐὰν τὸ πέσιμον αὐτωνῶν εἶναι πλοῦτος τοῦ κόσμου, καὶ τὸ ἐλάττωμά τους εἶναι πλοῦτος τῶν ἐθνῶν, πόσω μᾶλλον τὸ πλήρωμά τους;

13 Διατὶ ἐγὼ λέγω εἰς ἐσᾶς τὰ ἔθνη, εἰς ὅσον εἶμαι ἐγὼ ἀπόστολος ἐθνῶν, τιμῶ τὴν ὑπηρεσίαν μου.

14 Εἴσως καὶ παρακινήσω εἰς ζηλίαν τὴν σάρκα μου, καὶ σώσω μερικοὺς ἀπ' αὐτούς.

15 Διατὶ ἐὰν ἡ ἀποβολή τους εἶναι φιλίωσις τοῦ κόσμου· ποία θέλει εἶσθαι ἡ δεξίωσίς τους, ἢ παρὰ ζωὴ ἡ ἐκ νεκρῶν;

16 Καὶ ἐὰν ἡ ἀπαρχὴ εἶναι ἁγία, καὶ τὸ ζύμωμα εἶναι ἅγιον· καὶ ἐὰν ἡ ῥίζα εἶναι ἁγία, καὶ τὰ κλαδία εἶναι ἅγια.

17 Ἀμὴ ἀνίσως καὶ κάποια ἀπὸ τὰ κλαδία ἐσυντρίφθηκαν, καὶ ἐσὺ ὤντας ἀγριελαῖα ἐνεκεντρίσθης εἰς

τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου,

18 Μὴ κατακαυχῶ τῶν κλάδων· εἰ δὲ κατακαυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σέ.

19 Ἐρεῖς οὖν· Ἐξεκλάσθησαν οἱ κλάδοι, ἵνα ἐγὼ ἐγκεντρισθῶ.

20 Καλῶς· τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν, σὺ δὲ τῇ πίστει ἕστηκας· μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ.

21 Εἰ γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μήπως οὐδὲ σοῦ φείσηται.

22 Ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ· ἐπὶ μὲν τοὺς πέσοντας, ἀποτομίαν· ἐπὶ δέ σε, χρηστότητα, ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι· ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ.

23 Καὶ ἐκεῖνοι δέ, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς πάλιν ἐγκεντρίσαι αὐτούς.

24 Εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου, καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον, οὗτοι οἱ κατὰ φύσιν, ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ;

25 Οὐ γὰρ θέλω ὑμᾶς

τὸν τόπον τους, καὶ ἔγινες συγκοινωνὸς τῆς ῥίζας καὶ τῆς ὑγρότητος τῆς ἐλαίας,

18 Μὴν καυχᾶσαι ἐναντία τῶν κλάδων· καὶ ἐὰν κατακαυχᾶσαι, ἐσὺ δὲν βαστᾷς τὴν ῥίζαν, ἀλλὰ ἡ ῥίζα βαστᾷ ἐσένα.

19 Θέλεις εἰπεῖ λοιπόν· Ἐξεκόπηκαν τὰ κλαδία, διὰ νὰ ἐγκεντρισθῶ ἐγώ.

20 Καλὰ (λέγεις·) διὰ τὴν ἀπιστίαν τους ἐξεκόπηκαν, ἀμὴ ἐσὺ στέκεσαι μὲ πίστιν· μὴν κενοδοξᾷς λοιπόν, ἀλλὰ φοβοῦ.

21 Διατὶ ἐὰν ὁ Θεὸς δὲν ἐψήφισε τὰ φυσικὰ κλαδία, μήπως καὶ δὲν ψηφίσῃ οὐδὲ ἐσένα.

22 Ἰδὲς λοιπὸν καλωσύνην καὶ ἀποτομίαν τοῦ Θεοῦ· εἰς ἐκείνους ὁποῦ ἔπεσαν, ἀποτομίαν· καὶ εἰς ἐσένα, καλωσύνην, ἐὰν σταθῇς εἰς τὴν καλωσύνην· εἰ δὲ μή, καὶ ἐσὺ θέλεις ἀποκοπῆ.

23 Καὶ ἐκεῖνοι, ἂν δὲν ἀπομείνουν εἰς τὴν ἀπιστίαν, θέλουσι ἐγκεντρισθῆ· διατὶ ὁ Θεὸς εἶναι δυνατὸς πάλιν νὰ τοὺς ἐγκεντρίσῃ.

24 Διατὶ ἐὰν ἐσὺ ἐξεκόπης ἀπὸ τὴν φυσικὴν ἀγριελαίαν, καὶ ἐγκεντρίσθης ἔξω ἀπὸ τὴν φύσιν σου εἰς καλὴν ἐλαίαν, πόσῳ μᾶλλον ἐτοῦτοι οἱ φυσικοί, θέλουσι ἐγκεντρισθῆ εἰς τὴν ἰδίαν τους ἐλαίαν;

25 Διατὶ ἐγὼ δὲν θέλω,

ἀγνοεῖν, ἀδελφοὶ, τὸ μυστήριον
τοῦτο, (ἵνα μὴ ἦτε παρ᾽ ἑαυ-
τοῖς φρόνιμοι,) ὅτι πώρωσις
ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγο-
νεν, ἄχρις οὗ τὸ πλήρωμα τῶν
ἐθνῶν εἰσέλθῃ.

26 Καὶ οὕτω πᾶς Ἰσραὴλ
σωθήσεται, καθὼς γέγραπ-
ται· Ἥξει ἐκ Σιὼν ὁ ῥυόμε-
νος, καὶ ἀποστρέψει ἀσεβείας
ἀπὸ Ἰακώβ.

27 Καὶ αὕτη αὐτοῖς ἡ
παρ᾽ ἐμοῦ διαθήκη, ὅταν
ἀφέλωμαι τὰς ἁμαρτίας
αὐτῶν.

28 Κατὰ μὲν τὸ εὐαγγέ-
λιον, ἐχθροὶ δι᾽ ὑμᾶς· κατὰ
δὲ τὴν ἐκλογὴν, ἀγαπητοὶ διὰ
τοὺς πατέρας.

29 Ἀμεταμέλητα γὰρ τὰ
χαρίσματα καὶ ἡ κλῆσις τοῦ
Θεοῦ.

30 Ὥσπερ γὰρ καὶ ὑμεῖς
ποτε ἠπειθήσατε τῷ Θεῷ,
νῦν δὲ ἠλεήθητε τῇ τούτων
ἀπειθείᾳ.

31 Οὕτω καὶ οὗτοι νῦν
ἠπείθησαν τῷ ὑμετέρῳ ἐλέει,
ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι.

32 Συνέκλεισε γὰρ ὁ Θεὸς
τοὺς πάντας εἰς ἀπείθειαν,
ἵνα τοὺς πάντας ἐλεήσῃ.

33 Ὦ βάθος πλούτου καὶ

ἀδελφοὶ, νὰ μὴν γνωρίζετε
ἐσεῖς τὸ μυστήριον ἐτοῦτο, (διὰ
νὰ μὴν εἶσθε φρόνιμοι εἰς τοῦ
λόγου σας,) ὅτι τυφλάγρα με-
ρικῶς ἔγινεν εἰς τὸν Ἰσραὴλ,
ἕως ὁποῦ νὰ ἔμβῃ τὸ πλή-
ρωμα τῶν ἐθνῶν.

26 Καὶ ἔτζι θέλει σωθῇ
ὅλος ὁ Ἰσραὴλ, καθὼς εἶναι
γεγραμμένον· Θέλει ἔλθῃ ἀπὸ
τὴν Σιὼν ἐκεῖνος ὁποῦ ἐλευ-
θερώνει, καὶ θέλει ἀποδιώξει
ταῖς ἀσεβείαις ἀπὸ τὸν Ἰα-
κώβ.

27 Καὶ ἐτούτη εἶναι ἡ δια-
θήκη ἀπὸ λόγου μου εἰς αὐ-
τοὺς, ὅταν ἀφαιρέσω ταῖς
ἁμαρτίαις τους.

28 Ἐκεῖνοι λοιπὸν κατὰ
τὸ εὐαγγέλιον, εἶναι ἐχθροὶ
διὰ λόγου σας· ἀμὴ κατὰ
τὴν ἐκλογὴν, εἶναι ἀγαπητοὶ
διὰ τοὺς πατέρας.

29 Διατὶ τὰ χαρίσματα
καὶ τὸ κάλεσμα τοῦ Θεοῦ εἶ-
ναι πράγματα ἀμετανόητα.

30 Καὶ καθὼς καὶ ἐσεῖς ἕνα
καιρὸν ἐγενήκετε ἀπειθεῖς εἰς
τὸν Θεὸν, καὶ τῶρα διὰ τὴν
ἀπείθειαν ἐτούτων ἐλεηθήκετε.

31 Ἔτζι καὶ ἐτοῦτοι τῶρα
ἐγένηκαν ἀπειθεῖς, διὰ νὰ
ἐλεηθοῦσι καὶ αὐτοὶ μὲ τὸ
ἔλεος, ὁποῦ ἐσεῖς ἐλεηθήκετε
(ἀπὸ τὸν Θεόν.)

32 Διατὶ ὁ Θεὸς ὅλους τοὺς
ἔκλεισεν εἰς τὴν ἀπείθειαν,
διὰ νὰ τοὺς ἐλεήσῃ ὅλους.

33 Ὦ βάθος πλούτου καὶ

σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.

34 Τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;

35 Ἢ τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ;

36 Ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

σοφίας καὶ γνώσεως Θεοῦ· κατὰ πολλὰ ἀνεξέταςαις εἶναι ἡ κρίσαις του, καὶ ἀκατανόηταις ἡ ςράταις του.

34 Διατὶ ποῖος ἐγνώρισε τὸν νοῦν τοῦ Θεοῦ; ἢ ποῖος ἔγινε σύμβουλός του;

35 Ἢ τίς τοῦ ἔδωκε πρῶτος, καὶ νὰ τοῦ ἀνταποδοθῇ;

36 Ἐπειδὴ ἀπ' αὐτὸν, καὶ διὰ μέσου του, καὶ εἰς αὐτὸν εἶναι τὰ πάντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

Κεφ. ιβ'. 12.

ΠΑρακαλῶ οὖν ὑμᾶς, ἀδελφοὶ, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραςῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεςον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν·

2 Καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ· ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεςον καὶ τέλειον.

3 Λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι, παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν· ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάςῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίςεως.

4 Καθάπερ γὰρ ἐν ἑνὶ σώ-

ΠΑρακαλῶ σας λοιπὸν, ἀδελφοὶ, διὰ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ, νὰ παραςήσετε τὰ σώματά σας θυσίαν ζωντανὴν, ἁγίαν, εὐάρεςον εἰς τὸν Θεὸν, τὴν λογικήν σας λατρείαν·

2 Καὶ μὴν σχηματίζεσθε ὁμοίως μὲ τὸν αἰῶνα τοῦτον· ἀλλὰ μεταμορφωθῆτε, εἰς τὴν ξανακαινούργωσιν τοῦ νοός σας, διὰ νὰ δοκιμάζετε τί εἶναι τὸ θέλημα τοῦ Θεοῦ, τὸ ἀγαθὸν καὶ εὐάρεςον καὶ τέλειον.

3 Διατὶ ἐγὼ λέγω διὰ τῆς χάριτος ὁποῦ μοῦ ἐδόθη, κάθε ἕνας ὁποῦ εἶναι εἰς ἐσᾶς, νὰ μὴν φρονῇ τίποτες περισσότερον ἔξω ἀπὸ ἐκεῖνο ὁποῦ πρέπει νὰ φρονῇ· ἀλλὰ νὰ φρονῇ σωφρόνως καθ' ἕνας, καθὼς ὁ Θεὸς τοῦ ἐμέτρησε μέτρον πίςεως.

4 Διατὶ καθὼς εἰς ἕνα

ματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα ὐ τὴν αὐτὴν ἔχει πρᾶξιν·

5 Οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριςῷ, ὁ δὲ καθ' εἷς, ἀλλήλων μέλη.

6 Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίςεως·

7 Εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ· εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ·

8 Εἴτε ὁ παρακαλῶν, ἐν τῇ παρακλήσει· ὁ μεταδιδὲς, ἐν ἁπλότητι· ὁ προϊςάμενος, ἐν σπεδῇ· ὁ ἐλεῶν, ἐν ἱλαρότητι.

9 Ἡ ἀγάπη, ἀνυπόκριτος. Ἀποστυγοῦντες τὸ πονηρὸν, κολλώμενοι τῷ ἀγαθῷ.

10 Τῇ φιλαδελφίᾳ εἰς ἀλλήλες φιλόςοργοι. Τῇ τιμῇ ἀλλήλες προηγέμενοι.

11 Τῇ σπεδῇ μὴ ὀκνηροί. Τῷ πνεύματι ζέοντες. Τῷ Κυρίῳ δελεύοντες.

12 Τῇ ἐλπίδι χαίροντες. Τῇ θλίψει ὑπομένοντες.

κορμὶ ἔχομεν πολλὰ μέλη, καὶ ὅλα τὰ μέλη δὲν ἔχεσι τὴν αὐτὴν πρᾶξιν·

5 Ἔτζι οἱ πολλοὶ εἴμεσθε ἕνα κορμὶ εἰς τὸν Χριςόν, καὶ καθ' ἕνας εἴμεσθε μέλη, ἕνας τοῦ ἄλλε.

6 Καὶ ἔςωντας νὰ ἔχωμεν διάφορα χαρίσματα κατὰ τὴν χάριν ὀπε μᾶς ἐδόθη, κἄν τε ἔχομεν προφητείαν, νὰ προφητεύωμεν κατὰ τὴν ἀναλογίαν τῆς πίςεως·

7 Κἄν τε ἔχομεν διακονίαν, νὰ διακονεμεν· κἄν τε τίς εἶναι διδάσκαλος, νὰ ὑπηρετῇ εἰς τὴν διδασκαλίαν·

8 Καὶ ἐκεῖνος ὀπε παρηγορᾷ, νὰ ὑπηρετῇ εἰς τὴν παρήγοριαν· καὶ ἐκεῖνος ὀπε μεταδίδῃ, νὰ τὸ κάμῃ μὲ ἁπλότητα· καὶ ὁ προεςὼς, νὰ κυβερνᾷ μὲ σπεδήν· καὶ ἐκεῖνος ὀπε κάμνει ἔλεος, νὰ τὸ κάμῃ μὲ ἱλαρότητα.

9 Ἡ ἀγάπη νὰ μὴν εἶναι πλαςή. Νὰ σιχαίνεσθε τὸ πονηρόν, νὰ σμίγετε εἰς τὸ ἀγαθόν.

10 Νὰ ἀγαπᾶτε ἀπὸ καρδίαν ἕνας τὸν ἄλλον, ὡσὰν ἀδελφοί. Εἰς τὴν τιμὴν νὰ προπέρνετε ἕνας τὸν ἄλλον.

11 Εἰς τὴν σπεδὴν νὰ μὴν εἶσθε ὀκνηροί. Θερμοὶ εἰς τὸ πνεῦμα. Νὰ δελεύετε τῷ Κυρίῳ.

12 Μὲ ἐλπίδα νὰ χαίρεσθε. Εἰς τὲς πειρασμὲς νὰ

Τῇ προσευχῇ προσκαρτεροῦντες.

13 Ταῖς χρείαις τῶν ἁγίων κοινωνȣ̃ντες. Τὴν φιλοξενίαν διώκοντες.

14 Εὐλογεῖτε τȣ̀ς διώκοντας ὑμᾶς· εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε.

15 Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων.

16 Τὸ αὐτὸ εἰς ἀλλήλȣς φρονȣ̃ντες. Μὴ τὰ ὑψηλὰ φρονȣ̃ντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι. Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς.

17 Μηδενὶ κακὸν ἀντὶ κακȣ̃ ἀποδιδόντες· Προνοȣ́μενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων.

18 Εἰ δυνατὸν τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες.

19 Μὴ ἑαυτȣ̀ς ἐκδικȣ̃ντες, ἀγαπητοί· ἀλλὰ δότε τόπον τῇ ὀργῇ· γέγραπται γάρ· Ἐμοὶ ἐκδίκησις· ἐγὼ ἀνταποδώσω, λέγει Κύριος.

20 Ἐὰν ȣ̃ν πεινᾷ ὁ ἐχθρός σȣ, ψώμιζε αὐτόν· ἐὰν διψῇ, πότιζε αὐτόν· τȣ̃το γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτȣ̃.

ὑπομένετε. Εἰς τὴν προσευχὴν νὰ προσκαρτερῆτε.

13 Εἰς ταῖς χρείαις τῶν ἁγίων νὰ μεταδίδετε. Τὴν φιλοξενίαν νὰ γυρεύετε.

14 Εὐλογᾶτε ἐκείνȣς ὁπȣ̃ σᾶς κατατρέχȣν· νὰ τȣ̀ς εὐλογῆτε λέγω, καὶ νὰ μὴν τȣ̀ς καταρᾶσθε.

15 Νὰ χαίρεσθε μὲ ἐκείνȣς ὁπȣ̃ χαίρȣνται, καὶ νὰ κλαίετε μὲ ἐκείνȣς ὁπȣ̃ κλαίȣσι.

16 Νὰ ἔχετε μίαν γνώμην ἀνάμεσά σας. Νὰ μὴν ὑψηλοφρονῆτε, ἀλλὰ νὰ ἀκολȣθᾶτε εἰς τὰ ταπεινά. Μὴ γίνεσθε φρόνιμοι σιμὰ εἰς τοῦ λόγȣ σας.

17 Νὰ μὴν ἀνταποδίδετε εἰς κανένα κακὸν ἀντὶ κακȣ̃· Νὰ προμηθεύεσθε ἐκεῖνα ὁπȣ̃ εἶναι καλὰ ὀμπροστὰ εἰς ὅλȣς τȣ̀ς ἀνθρώπȣς.

18 Ἂν εἶναι δυνατὸν, ὅσον εἶναι εἰς τὴν δύναμίν σας, νὰ εἰρηνεύετε μὲ ὅλȣς τȣ̀ς ἀνθρώπȣς.

19 Νὰ μὴν ξεκδικιώνετε τȣ̃ λόγȣ σας, ἀγαπητοί· ἀλλὰ νὰ δίδετε τόπον τῆς ὀργῆς· διατὶ εἶναι γεγραμμένον· Ἐδική μȣ εἶναι ἡ ἐκδίκησις· ἐγὼ θέλω ἀνταποδώσει, λέγει Κύριος.

20 Ἐὰν πεινᾷ λοιπὸν ὁ ἐχθρός σȣ, θρέφε τον· καὶ ἐὰν διψᾷ, πότιζέ τον· διατὶ κάμνωντας ἐτȣ̃το θέλεις σωρεύσει εἰς τὸ κεφάλι τȣ κάρβȣνα ἀναμμένα.

21 Μὴ νικῶ ὑπὸ τοῦ κακȣ̃· ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

21 Μὴν νικᾶσαι ἀπὸ τὸ κακόν· ἀλλὰ μὲ τὴν καλωσύνην νίκα τὸ κακόν.

Κεφ. ιγ'. 13.

ΠΑ͂σα ψυχὴ ἐξȣσίαις ὑπερεχȣ́σαις ὑποτασσέσθω· ȣ̓ γάρ ἐστιν ἐξουσία εἰ μὴ ἀπὸ Θεȣ̃· αἱ δὲ ȣ̓̃σαι ἐξουσίαι, ὑπὸ τοῦ Θεȣ̃ τεταγμέναι εἰσίν.

ΚΑ'θε ψυχὴ ἂς ὑποτάσσεται εἰς ταῖς ἐξουσίαις, ὁπȣ̃ ὑπερέχȣν· διατὶ δὲν εἶναι ἐξȣσία (ἀπ' ἀλλȣ̃) παρὰ ἀπὸ τὸν Θεόν· καὶ ἡ ἐξȣσίαις ὁπȣ̃ εἶναι, εἶναι ἀπὸ τὸν Θεὸν εἰς τάξιν βαλμέναις.

2 Ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεȣ̃ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρῖμα λήψονται.

2 Εἰς τόσον ὁπȣ̃ ἐκεῖνος ὁπȣ̃ ἐναντιεῖται τῆς ἐξουσίας, ἐναντιεῖται εἰς τὴν τάξιν τȣ̃ Θεοῦ· καὶ ἐκεῖνοι ὁπȣ̃ ἐναντιȣ̃νται, θέλȣσι πάρει κρῖμα εἰς τοῦ λόγȣ τȣς.

3 Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν Θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει· καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς.

3 Διατὶ οἱ ἄρχοντες δὲν εἶναι αἰτία φόβȣ εἰς ἐκείνȣς ὁπȣ̃ κάμνȣν τὰ καλὰ ἔργα, ἀλλὰ εἶναι φόβος ἐκεινῶν ὁπȣ̃ κάμνȣν τὰ κακά. Καὶ θέλεις νὰ μὴν φοβᾶσαι τὴν ἐξȣσίαν; κάμε τὸ καλόν· καὶ θέλεις ἔχει ἔπαινον ἀπ' αὐτήν.

4 Θεȣ̃ γὰρ διάκονός ἐστί σοι εἰς τὸ ἀγαθόν. Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβȣ̃· ȣ̓ γὰρ εἰκῆ τὴν μάχαιραν φορεῖ. Θεȣ̃ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι.

4 Διατὶ (ὁ ἄρχων) εἶναι ὑπηρέτης τȣ̃ Θεȣ̃ εἰς ἐσένα διὰ τὸ καλόν τȣ. Ἀμὴ ἂν κάμνῃς τὸ κακὸν, φοβȣ̃· ἐπειδὴ δὲν σηκώνει τὸ σπαθὶ εὔκαιρα. διατὶ εἶναι ὑπηρέτης τȣ̃ Θεȣ̃, ἐκδικητὴς μὲ ὀργὴν εἰς ἐκεῖνον ὁπȣ̃ κάμνει τὸ κακόν.

5 Διὸ ἀνάγκη ὑποτάσσεσθαι, ȣ̓ μόνον διὰ τὴν ὀργὴν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν.

5 Διὰ τȣ̃το ἀνάγκη εἶναι νὰ ὑποτάσσεσθε, ὄχι μόνον διὰ τὴν ὀργὴν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν.

6 Διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε· λειτουργοὶ γὰρ Θεοῦ εἰσιν εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες.

7 Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς· τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον, τὸν φόβον· τῷ τὴν τιμὴν, τὴν τιμήν.

8 Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾷν ἀλλήλους· ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον, νόμον πεπλήρωκε.

9 Τὸ γάρ· Οὐ μοιχεύσεις· Οὐ φονεύσεις· Οὐ κλέψεις· Οὐ ψευδομαρτυρήσεις· Οὐκ ἐπιθυμήσεις· καὶ εἴτις ἑτέρα ἐντολὴ, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν.

10 Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται· πλήρωμα οὖν νόμου ἡ ἀγάπη.

11 Καὶ τοῦτο, εἰδότες τὸν καιρὸν, ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι· νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν.

12 Ἡ νὺξ προέκοψεν, ἡ

6 Διατὶ διὰ τοῦτο πληρώνετε καὶ δοσίματα· διατὶ ἐκεῖνοι εἶναι ὑπηρέται τοῦ Θεοῦ, καὶ εἰς αὐτὸ τοῦτο τὸ ἔργον ἐπιμένουσι.

7 Δότε λοιπὸν εἰς ὅλους, ἐκεῖνα ὁποῦ χρεωστεῖτε· εἰς ἐκεῖνον ὁποῦ χρεωστεῖτε τὸ δόσιμον, ἀπόδοτε τὸ δόσιμον· καὶ εἰς ἐκεῖνον ὁποῦ χρεωστεῖτε τὸ κουμέρκι, δότε του τὸ κουμέρκι· καὶ εἰς ἐκεῖνον ὁποῦ χρεωστεῖτε τὸν φόβον, δότε του τὸν φόβον· καὶ εἰς ἐκεῖνον ὁποῦ χρεωστεῖτε τιμὴν, ἀπόδοτε τὴν τιμήν.

8 Καὶ μὴν χρεωστᾶτε τινὸς τίποτες, παρὰ τὸ νὰ ἀγαπᾶτε ἕνας τὸν ἄλλον· διατὶ ἐκεῖνος ὁποῦ ἀγαπᾷ τὸν ἄλλον, ἐτελείωσε τὸν νόμον.

9 Διατὶ τό· Μὴν μοιχεύσεις· Μὴν φονεύσεις· Μὴν κλέψεις· Μὴν ψευδομαρτυρήσεις· Μὴν ἐπιθυμήσεις· καὶ ὅποια ἄλλη ἐντολὴ καὶ ἂν εἶναι, εἰς τοῦτον τὸν λόγον ἀνακεφαλαιοῦται, εἰς τό· Νὰ ἀγαπᾷς τὸν γείτονά σου, ὡσὰν τοῦ λόγου σου.

10 Ἡ ἀγάπη τοῦ γείτονος κακὸν δὲν κάμνει· πλήρωμα λοιπὸν τοῦ νόμου εἶναι ἡ ἀγάπη.

11 Ἐξαιρέτως, ἠξεύροντες τὸν καιρὸν, ὅτι ὡραμὰν ὥρα εἶναι νὰ ἐξυπνήσωμεν· διατὶ τώρα εἶναι κοντήτερα μας ἡ σωτηρία, παρὰ ὅταν ἐπιστεύσαμεν.

12 Ἡ νύκτα ἐπέρασι, καὶ

δὲ ἡμέρα ἤγγικεν· ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός.

13 Ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατήσωμεν· μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ·

14 Ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας.

ἡ ἡμέρα ἐσήμωσεν· ἂς ῥίξωμεν ἀπὸ λόγου μας λοιπὸν τὰ ἔργα τοῦ σκότους, καὶ ἂς ἐνδυθοῦμεν τὰ ἅρματα τοῦ φωτός.

13 Ἂς περιπατήσωμεν εὔτακτα, ὡσὰν ὁποῦ εἴμασθεν εἰς τὴν ἡμέραν· ὄχι εἰς πολυφαγίαις καὶ μέθαις, ὄχι εἰς σμίξαις καὶ ἀκολασίαις, ὄχι εἰς φιλονεικίαν καὶ φθόνον·

14 Ἀλλ' ἐνδυθῆτε τὸν Κύριόν μας Ἰησοῦν Χριστὸν, καὶ μὴν φροντίζετε διὰ τὴν σάρκα, νὰ κάμνετε ταῖς ἐπιθυμίαις της.

Κεφ. ιδ΄. 14.

ΤΟ'Ν δὲ ἀσθενοῦντα τῇ πίστει, προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν.

2 Ὃς μὲν πιστεύει φαγεῖν πάντα· ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει.

3 Ὁ ἐσθίων, τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω· καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο.

4 Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; Τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει· σταθήσε-

ΚΑΙ' ἐκεῖνος ὁποῦ εἶναι ἀσθενὴς εἰς τὴν πίστιν, δέχεσθέ τον εἰς τοῦ λόγου σας, ὄχι εἰς φιλονεικίαις ζητημάτων.

2 Ἕνας πιστεύει ὅτι εἶναι ἐξουσία· νὰ φάγῃ ἀπὸ ὅλα· ἀμὴ ἄλλος, ὁποῦ ἀσθενεῖ, (εἰς τὴν πίστιν,) τρώγει λάχανα.

3 Ἐκεῖνος ὁποῦ τρώγει, ἂς μὴν καταφρονῇ ἐκεῖνον ὁποῦ δὲν τρώγει· καὶ ἐκεῖνος ὁποῦ δὲν τρώγει, ἂς μὴν κατακρίνει ἐκεῖνον ὁπου τρώγει· διατὶ ὁ Θεὸς τὸν ἐδέχθηκεν εἰς τοῦ λόγου του.

4 Ποῖος εἶσαι· ἐσὺ ὁποῦ κρίνεις ἀλλουνοῦ δουλεύτην; Εἰς τὸν ἰδικόν του αὐθέντην στέκει

ται δέ· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς στῆσαι αὐτόν.

5 Ὃς μὲν κρίνει ἡμέραν παρ᾽ ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν· ἕκαστος ἐν τῷ ἰδίῳ νοῒ πληροφορείσθω.

6 Ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ· ὁ ἐσθίων, Κυρίῳ ἐσθίει· εὐχαριστεῖ γὰρ τῷ Θεῷ· καὶ ὁ μὴ ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ.

7 Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει.

8 Ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνήσκωμεν, τῷ Κυρίῳ ἀποθνήσκομεν· ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυρίου ἐσμέν.

9 Εἰς τοῦτο γὰρ Χριστὸς καὶ ἀπέθανε καὶ ἀνέστη καὶ ἀνέζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ.

10 Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; ἢ καὶ σὺ τί

ἢ πέφτει ὅμως θέλει σταθῇ· διατὶ δυνατὸς εἶναι ὁ Θεὸς νὰ τὸν στήσῃ.

5 Καὶ ἕνας μὲν κρίνει νὰ εἶναι τιμιώτερη ἡ μία ἡμέρα, παρὰ τὴν ἄλλην ἡμέραν· καὶ ἄλλος τιμᾷ μιᾶς λογῆς πᾶσαν ἡμέραν· κάθε ἕνας ἂς μανθάνει διὰ νὰ εἶναι πληροφορημένος εἰς τὸν νοῦν του (ἂν καλὰ κάμνῃ.)

6 Ἐκεῖνος ὁποῦ φροντίζει τὴν ἡμέραν, φροντίζει διὰ τὸν Κύριον· καὶ ἐκεῖνος ὁποῦ δὲν φροντίζει τὴν ἡμέραν, δὲν φροντίζει διὰ τὸν Κύριον· καὶ ἐκεῖνος ὁποῦ τρώγει, τρώγει διὰ τὸν Κύριον· διατὶ εὐχαριστᾷ τὸν Θεόν· καὶ ἐκεῖνος ὁποῦ δὲν τρώγει, διὰ τὸν Κύριον δὲν τρώγει καὶ αὐτὸς, καὶ εὐχαριστᾷ τὸν Θεόν.

7 Διατὶ οὐδὲ κανένας ἀπὸ ἐμᾶς ζῇ εἰς τοῦ λόγου του, καὶ οὐδὲ κανένας ἀποθαίνει εἰς τοῦ λόγου του.

8 Διατὶ ἐάν τε ζῶμεν, εἰς τὸν Κύριον ζῶμεν· καὶ ἐάν τε ἀποθνήσκωμεν, εἰς τὸν Κύριον ἀποθνήσκομεν· κᾂν λοιπὸν ζῶμεν, κᾂν ἀποθάνωμεν, τοῦ Κυρίου εἴμεσθε.

9 Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἀπέθανεν καὶ ἀνεστάθη καὶ ἀνέζησε, διὰ νὰ κυριεύσῃ καὶ νεκροὺς καὶ ζωντανούς.

10 Καὶ ἐσὺ τί κρίνεις τὸν ἀδελφόν σου; ἢ καὶ σὺ τί

ἐξουθενεῖς τὸν ἀδελφόν σου; πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ.	καταφρονεῖς τὸν ἀδελφόν σου; διατὶ ὅλοι μέλλομεν νὰ παρασταθοῦμεν εἰς τὸ κριτήριον τοῦ Χριστοῦ.
11 Γέγραπται γάρ· Ζῶ ἐγώ, λέγει Κύριος· ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ Θεῷ.	11 Διατὶ εἶναι γραμμένον· Ζῶ ἐγώ, λέγει Κύριος· ὅτι κάθε γόνατον θέλει γονατίσει εἰς ἐμένα, καὶ κάθε γλῶσσα θέλει ἐξομολογηθῆ εἰς τὸν Θεόν.
12 Ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ.	12 Κάθε ἕνας λοιπὸν ἀπὸ ἐμᾶς θέλει δώσει λογαριασμὸν εἰς τὸν Θεὸν διὰ λόγου του.
13 Μηκέτι οὖν ἀλλήλους κρίνομεν· ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τίθεναι πρόσκομμα τῷ ἀδελφῷ, ἢ σκάνδαλον.	13 Πλέον λοιπὸν μὴν κρίνωμεν ἕνας τὸν ἄλλον· ἀλλὰ περισσότερον τοῦτο νὰ κρίνετε, τὸ νὰ μὴν δίδετε πρόσκομμα εἰς τὸν ἀδελφὸν, ἢ σκάνδαλον.
14 Οἶδα καὶ πέπεισμαι ἐν Κυρίῳ Ἰησοῦ, ὅτι οὐδὲν κοινὸν δι' ἑαυτοῦ· εἰ μὴ τῷ λογιζομένῳ τὶ κοινὸν εἶναι, ἐκείνῳ κοινόν.	14 Ἰξεύρω καὶ πιστεύω εἰς τὸν Κύριον Ἰησοῦν, ὅτι κανένα πρᾶγμα δὲν εἶναι ἀκάθαρτον εἰς τοῦ λόγου του· ἀμὴ εἰς ἐκεῖνον ὁποῦ τὸ λογιάζει νὰ εἶναι τίποτες ἀκάθαρτον, εἰς ἐκεῖνον εἶναι ἀκάθαρτον τοῦτο.
15 Εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκ ἔτι κατὰ ἀγάπην περιπατεῖς· μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς ἀπέθανε.	15 Ἀμὴ ἐὰν κάμῃς, νὰ λυπῆται ὁ ἀδελφός σου διὰ τὸ φαγί σου, δὲν περιπατεῖς πλέον κατὰ ἀγάπην· μὴν χαλνᾷς μὲ τὸ φαγί σου ἐκεῖνον, διὰ τὸν ὁποῖον ὁ Χριστὸς ἀπέθανε.
16 Μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν.	16 Ἂς μὴν βλασφημεῖται λοιπὸν τὸ καλόν σας.

17 Οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη, καὶ εἰρήνη, καὶ χαρὰ ἐν Πνεύματι ἁγίῳ.

18 Ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ Χριστῷ, εὐάρεστος τῷ Θεῷ καὶ δόκιμος τοῖς ἀνθρώποις.

19 Ἄρα οὖν τὰ τῆς εἰρήνης διώκωμεν, καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους.

20 Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ· πάντα μὲν καθαρά· ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι.

21 Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ.

22 Σὺ πίστιν ἔχεις· κατὰ σεαυτὸν ἔχε ἐνώπιον τοῦ Θεοῦ. Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει.

23 Ὁ δὲ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ

17 Διατὶ ἡ βασιλεία τοῦ Θεοῦ δὲν εἶναι φαγὶ, καὶ ποτὸν, ἀλλὰ δικαιοσύνη, καὶ εἰρήνη, καὶ χαρὰ εἰς Πνεῦμα ἅγιον.

18 Διατὶ ἐκεῖνος ὁποῦ δουλεύει μὲ ἐτοῦτα τὸν Χριστὸν, εἶναι ἀρεστὸς πολλὰ εἰς τὸν Θεὸν, καὶ εἶναι δόκιμος εἰς τοὺς ἀνθρώπους.

19 Ἐμεῖς λοιπὸν ἂς κυνηγοῦμεν τὰ πράγματα τῆς εἰρήνης, καὶ τὰ πράγματα τῆς οἰκοδομῆς· ὁ καθ' ἕνας τὴν οἰκοδομὴν τὴν ἀναμεταξύ μας.

20 Μὴ καταχαλᾷς διὰ τὸ φαγητὸν τὸ ἔργον τοῦ Θεοῦ· ὅλα μὲν εἶναι καθαρά· ἀλλὰ κακὸν εἶναι εἰς τὸν ἄνθρωπον ὁποῦ νὰ τρώγῃ μὲ σκάνδαλον.

21 Καλὸν εἶναι τὸ νὰ μὴν φάγῃς κρέας, μηδὲ νὰ πίῃς κρασὶ, μηδὲ νὰ κάμῃς τίποτες, εἰς τὸ ὁποῖον ὁ ἀδελφός σου σκοντάπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ.

22 Σὺ πίστιν ἔχεις· ἔχε την εἰς τοῦ λόγου σου ὀμπροστὰ εἰς τὸν Θεόν. Καλότυχος εἶναι ἐκεῖνος ὁποῦ δὲν κατακρίνει τοῦ λόγου του εἰς ἐκεῖνο ὁποῦ δοκιμάζει (νὰ κάμῃ.)

23 Καὶ ἐκεῖνος ὁποῦ ἀμφιβάλει, ἐὰν φάγῃ, εἶναι κατακεκριμένος, ὅτι δὲν τρώγει

ὃ οὐκ ἐκ πίςεως, ἁμαρτία ἐςίν.

Κεφ. ιε΄. 15.

ΟΦείλομεν δὲ, ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαςάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν.

2 Ἕκαςος γὰρ ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν.

3 Καὶ γὰρ ὁ Χριςὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ, καθὼς γέγραπται· Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε, ἐπέπεσον ἐπ᾽ ἐμέ.

4 Ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη· ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν, τὴν ἐλπίδα ἔχωμεν.

5 Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις, κατὰ Χριςὸν Ἰησοῦν·

6 Ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ ςόματι δοξάζετε τὸν Θεὸν καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ.

7 Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριςὸς

μὲ πίςιν· καὶ κάθε πρᾶγμα ὅπου δὲν εἶναι ἀπὸ πίςιν, εἶναι ἁμαρτία.

ΚΑῚ χρεωςοῦμεν ἡμεῖς οἱ δυνατοὶ νὰ σηκώνωμεν τὰ ἀσθενήματα τῶν ἀδυνάτων, καὶ νὰ μὴν ἀρέσκωμεν τοῦ λόγου σας.

2 Κάθε ἕνας λοιπὸν ἀπ᾽ ἐμᾶς ἂς ἀρεσεῖ τοῦ γειτόνου τοῦ εἰς τὸ καλὸν, διὰ οἰκοδομήν.

3 Διατὶ καὶ ὁ Χριςὸς δὲν ἄρεσε τοῦ λόγου του, ἀλλὰ, καθὼς εἶναι γεγραμμένον· Οἱ ὀνειδισμοὶ ἐκεινῶν ὅπου σε ὀνειδίζουν, ἔπεσαν ἀπάνω εἰς ἐμένα.

4 Διατὶ ὅσα ἐγράφηκαν προτίτερα, ἐγράφηκαν διὰ ἐδικήν μας διδασκαλίαν· διὰ νὰ ἔχωμεν ἐλπίδα, διὰ μέσου τῆς ὑπομονῆς καὶ τῆς παρηγορίας τῶν γραφῶν.

5 Καὶ ὁ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως, νὰ σᾶς δώσῃ νὰ φρονῆτε τὸ αὐτὸ ἀνάμεσά σας, κατὰ Χριςὸν Ἰησοῦν·

6 Διὰ νὰ δοξάζετε ὁμοψύχως καὶ μὲ ἕνα ςόμα τὸν Θεὸν καὶ πατέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριςοῦ.

7 Διὰ τοῦτο δέχεσθε ἕνας τὸν ἄλλον, καθὼς καὶ ὁ Χρι-

προσελάβετο ἡμᾶς εἰς δόξαν Θεȣ̃.

8 Λέγω δὲ Ἰησοῦν Χριςὸν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας Θεȣ̃, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων·

9 Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέȣς δοξάσαι τὸν Θεόν· καθὼς γέγραπται· Διὰ τȣ̃το ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, καὶ τῷ ὀνόματί σȣ ψαλῶ.

10 Καὶ πάλιν λέγει· Εὐφράνθητε ἔθνη μετὰ τȣ̃ λαȣ̃ αὐτȣ̃.

11 Καὶ πάλιν· Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, καὶ ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.

12 Καὶ πάλιν Ἡσαΐας λέγει· Ἔςαι ἡ ῥίζα τȣ̃ Ἰεσσαὶ, καὶ ὁ ἀνιςάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιȣ̃σιν.

13 Ὁ δὲ Θεὸς τῆς ἐλπίδος πληρώσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιςεύειν, εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι, ἐν δυνάμει Πνεύματος ἁγίȣ.

14 Πέπεισμαι δὲ, ἀδελφοί μȣ, καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ μεςοί ἐςε ἀγαθωσύνης, πεπληρωμέ-

ςὸς μᾶς ἐδέχθηκεν εἰς δόξαν τοῦ Θεȣ̃.

8 Καὶ λέγω ὅτι ὁ Ἰησοῦς Χριςὸς νὰ ἔγινε διάκονος τῆς περιτομῆς, διὰ τὴν ἀλήθειαν τοῦ Θεȣ̃, διὰ νὰ βεβαιώσῃ τὰ ταξίματα τῶν πατέρων·

9 Καὶ τὰ ἔθνη νὰ δοξάσουν τὸν Θεὸν, διὰ τὸ ἔλεός τȣ· καθὼς εἶναι γεγραμμένον· Διὰ τοῦτο θέλω σὲ ὁμολογήσει εἰς τὰ ἔθνη, καὶ θέλω ψάλλει τὸ ὄνομά σȣ.

10 Καὶ πάλιν λέγει· Χαρῆτε ἔθνη μὲ τὸν λαόν τȣ.

11 Καὶ πάλιν· Δοξάσατε τὸν Κύριον πάντα τὰ ἔθνη, καὶ ἐπαινέσατε αὐτὸν ὅλοι οἱ λαοί.

12 Καὶ πάλιν ὁ Ἡσαΐας λέγει· Θέλει εἶσθαι ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ἐκεῖνος ὁποῦ σηκωθῇ, θέλει νὰ αὐθεντεύῃ τὰ ἔθνη· καὶ τὰ ἔθνη θέλουσιν ἐλπίσει εἰς αὐτόν.

13 Καὶ ὁ Θεὸς τῆς ἐλπίδος ἄμποτε νὰ σᾶς πληρώσῃ κάθε χαρὰν καὶ εἰρήνην διὰ μέσȣ τῆς πίςεως, εἰς τὸ νὰ περισσεύετε ἐσεῖς εἰς τὴν ἐλπίδα, μὲ τὴν δύναμιν τοῦ ἁγίου Πνεύματος.

14 Καὶ πιςεύω, ἀδελφοί μου, καὶ ἐγὼ αὐτὸς διὰ λόγου σας, ὅτι καὶ αὐτοὶ ἐσεῖς εἶσθε γεμάτοι καλωσύνην,

τι πάσης γνώσεως, δυνάμενοι καὶ ἀλλήλους νουθετεῖν.

15 Τολμηρότερον δὲ ἔγραψα ὑμῖν, ἀδελφοί, ἀπὸ μέρους, ὡς ἐπαναμιμνήσκων ὑμᾶς διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ,

16 Εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν Πνεύματι ἁγίῳ.

17 Ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς Θεόν.

18 Οὐ γὰρ τολμήσω λαλεῖν τι ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ, εἰς ὑπακοὴν ἐθνῶν, λόγῳ καὶ ἔργῳ,

19 Ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύματος Θεοῦ· ὥστε με ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ·

20 Οὕτω δὲ φιλοτιμούμενον εὐαγγελίζεσθαι, οὐχ ὅπου ὠνομάσθη Χριστός, ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομῶ·

21 Ἀλλά, καθὼς γέγραπ-

γεμάτοι κάθε λογῆς γνῶσιν, καὶ δύνεσθε νὰ νουθετᾶτε ἕνας τὸν ἄλλον.

10 Ἐὰν γάρ τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν;	10 Διατὶ ἐὰν κανένας εἰδῆ ἐσένα ὁποῦ ἔχεις γνῶσιν, πῶς κάθεσαι εἰς τὴν τράπεζαν εἰς τὸν ναὸν τῶν εἰδώλων, δὲν θέλει οἰκοδομηθῆ ἡ συνείδησίς του ὁποῦ εἶναι ἀσθενὴς εἰς τὸ νὰ τρώγῃ τὰ εἰδωλόθυτα;
11 Καὶ ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι᾽ ὃν Χριστὸς ἀπέθανεν.	11 Καὶ (ἔτζι) διὰ τὴν γνῶσίν σου θέλει χαλασθῆ ὁ ἀδελφὸς ὁποῦ εἶναι ἀσθενής, διὰ τὸν ὁποῖον ὁ Χριστὸς ἀπέθανε.
12 Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε.	12 Καὶ ἔτζι ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες τὴν συνείδησίν τους ὁποῦ εἶναι ἀσθενημένη, ἁμαρτάνετε εἰς τὸν Χριστόν.
13 Διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.	13 Διὰ τοῦτο ἐὰν τὸ φαγητὸν σκανδαλίζῃ τὸν ἀδελφόν μου, δὲν θέλω φάγει κρέας εἰς τὸν αἰῶνα, διὰ νὰ μὴν σκανδαλίσω τὸν ἀδελφόν μου.

Κεφ. θ'. 9.

ΟΥ'Κ εἰμὶ ἀπόστολος; Οὐκ εἰμὶ ἐλεύθερος; Οὐχὶ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν	ΔΕ'Ν εἶμαι ἀπόστολος; Δὲν εἶμαι ἐλεύθερος; Δὲν εἶδα ἐγὼ τὸν Κύριόν μας Ἰησοῦν

ἑώρακα; Οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ;

2 Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι· ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε ἐν Κυρίῳ.

3 Ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν, αὕτη ἐστί·

4 Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν;

5 Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ Κηφᾶς;

6 Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι;

7 Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; Τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; Ἢ τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει;

8 Μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; Ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει;

9 Ἐν γὰρ τῷ Μωσέως νόμῳ γέγραπται· Οὐ φιμώσεις βοῦν ἀλοῶντα. Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ;

10 Ἢ δι' ἡμᾶς πάντως λέγει; Δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι ἐπ' ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν

Χριστόν; Δὲν εἶσθε ἐσεῖς τὸ ἔργον μου ἐν Κυρίῳ;

2 Ἐὰν εἰς ἄλλους δὲν εἶμαι ἀπόστολος, ἀλλὰ εἰς ἐσᾶς εἶμαι· διατὶ ἡ βοῦλα τῆς ἐδικῆς μου ἀποστολῆς ἐσεῖς εἶσθε ἐν Κυρίῳ.

3 Ἡ ἐδική μου ἀπόκρισις εἰς ἐκείνους ὁποῦ μὲ ἐξιτάζουσιν, ἐτούτη εἶναι·

4 Μήνα δὲν ἔχομεν ἐξουσίαν νὰ φᾶμε καὶ νὰ πιοῦμεν;

5 Μήνα δὲν ἔχομεν καὶ ἐμεῖς ἐξουσίαν νὰ φέρνωμεν μὲ τοῦ λόγου μας ἀδελφὴν γυναῖκα, ὡσὰν καὶ οἱ λοιποὶ ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ Κηφᾶς;

6 Ἢ μοναχὸς ἐγὼ καὶ Βαρνάβας δὲν ἔχομεν ἐξουσίαν τὸ νὰ μὴν ἐργαζόμεσθε;

7 Τίς δουλεύει εἰς τὸν πόλεμον μὲ ἐδικήν του ἔξοδον; Ποῖος φυτεύει ἀμπέλι, καὶ ἀπὸ τὸν καρπόν του δὲν τρώγει; Ἢ ποῖος ποιμαίνει ποίμνην, καὶ ἀπὸ τὸ γάλα τῆς ποίμνης δὲν τρώγει;

8 Μήνα κατὰ τὴν συνήθειαν τῶν ἀνθρώπων λαλῶ ἐτοῦτα; Ἢ δὲν τὰ λέγει καὶ ὁ νόμος ἐτοῦτα;

9 Διατὶ εἰς τὸν νόμον τοῦ Μωϋσέως εἶναι γεγραμμένον· Νὰ μὴν στομώσῃς τὸ βόδι ὁποῦ ἀλωνίζει. Μήνα διὰ τὰ βόδια τὸν μέλει τὸν Θεόν;

10 Ἢ τάχα διὰ λόγου μας βέβαια τὰ λέγει; Διατὶ διὰ λόγου μας ἐγράφη ἐτοῦτο, ὅτι

ἀροτριᾷν· καὶ ὁ ἀλοῶν, τῆς ἐλπίδος αὐτοῦ μετέχειν, ἐπ' ἐλπίδι.

11 Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν;

12 Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; Ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ· ἀλλὰ πάντα στέγομεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ.

13 Οὐκ οἴδατε ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι, ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν; Οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζονται;

14 Οὕτω καὶ ὁ Κύριος διέταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν, ἐκ τοῦ εὐαγγελίου ζῆν.

15 Ἐγὼ δὲ οὐδενὶ ἐχρησάμην τούτων. Οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτω γένηται ἐν ἐμοί· καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ.

16 Ἐὰν γὰρ εὐαγγελίζωμαι,

ἐκεῖνος ὁποῦ καλλιεργίζει, χρεωστεῖ νὰ καλλιεργίζῃ μὲ ἐλπίδα· καὶ ἐκεῖνος ὁποῦ ἀλωνίζει, χρεωστεῖ νὰ ἀλωνίζῃ μὲ ἐλπίδα, ὅτι θέλει μεθέξει ἀπ' ἐκεῖνο ὁποῦ ἀλωνίζει.

11 Ἐὰν ἐμεῖς ἐσπείραμεν εἰς ἐσᾶς τὰ πνευματικά, μεγάλο εἶναι ἐὰν ἐμεῖς θερίσομεν τὰ σαρκικά σας;

12 Ἐὰν οἱ ἄλλοι μετέχουσι ταύτην τὴν ἐξουσίαν εἰς ἐσᾶς, δὲν μετέχομεν ἐμεῖς περισσότερον; Ἀλλὰ ἐμεῖς δὲν ἐμεταχειρισθήκαμεν τὴν ἐξουσίαν ἐτούτην· ἀλλὰ ὅλα τὰ ὑπομένομεν, διὰ νὰ μὴν κάμωμεν τίποτες ἐμπόδιον εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.

13 Δὲν ἠξεύρετε ὅτι ἐκεῖνοι ὁποῦ ἐργάζονται τὰ ἱερά, τρώγουσιν ἀπὸ τὰ ἱερά; Ἐκεῖνοι ὁποῦ παραμένουσιν εἰς τὴν δουλείαν τοῦ θυσιαστηρίου, ἔχουσι μερτικὸν ἀπὸ τὸ θυσιαστήριον;

14 Ἔτζι καὶ ὁ Κύριος ἐδιάταξεν ἐκείνους ὁποῦ κηρύττουσι τὸ εὐαγγέλιον, νὰ ζοῦσιν ἀπὸ τὸ εὐαγγέλιον.

15 Καὶ ἐγὼ δὲν ἐμεταχειρίσθηκα κανένα ἀπ' ἐτοῦτα. Καὶ δὲν τὰ ἔγραψα ἐτοῦτα διὰ νὰ γένῃ τέτοιας λογῆς εἰς ἐμένα· διατὶ καλλιότερόν μου εἶναι νὰ ἀποθάνω, παρὰ νὰ κάμῃ τινὰς μάταιον τὸ καύχημά μου.

16 Διότι ἐὰν εὐαγγελί-

οὐκ ἔστι μοι καύχημα· ἀνάγκη γάρ μοι ἐπίκειται· οὐαὶ δέ μοί ἐστιν ἐὰν μὴ εὐαγγελίζωμαι.

17 Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι.

18 Τίς οὖν μοί ἐστιν ὁ μισθός; Ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ.

19 Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω.

20 Καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω·

21 Τοῖς ἀνόμοις ὡς ἄνομος, (μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ,) ἵνα κερδήσω ἀνόμους.

22 Ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω· τοῖς πᾶσι γέγονα τὰ

ζωμαι, δὲν ἔχω καύχημα διὰ τοῦτο· ἐπειδὴ αὐτὸ εἶναι εἰς ἐμένα ἀναγκαῖον· καὶ ἀιλύμονον εἰς ἐμένα ἐὰν δὲν εὐαγγελίζωμαι.

17 Διατὶ ἐὰν τὸ κάμω μὲ τὸ θέλημά μου, ἔχω μισθόν· ἀμὴ ἂν κάμω στανικῶς, ὅμως ἐπιτροπὴ μου εἶναι ὁποῦ μοῦ ἐμπιστεύθη.

18 Ποῖος εἶναι λοιπὸν ὁ μισθός μου; Νὰ κάμω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ νὰ τὸ ἔχουν χωρὶς ἔξοδον, εὐαγγελίζοντάς το, εἰς τὸ νὰ μὴν μεταχειρισθῶ κακὰ τὴν ἐξουσίαν ὁποῦ ἔχω εἰς τὸ εὐαγγέλιον.

19 Διατὶ ἐγὼ ἔστωντας νὰ εἶμαι ἐλεύθερος ἀπὸ ὅλα, εἰς ὅλους ἐδούλωσα τοῦ λόγου μου, διὰ νὰ κερδήσω περισσοτέρους.

20 Καὶ ἔγινα εἰς τοὺς Ἰουδαίους ὡσὰν Ἰουδαῖος, διὰ νὰ κερδήσω Ἰουδαίους· εἰς ἐκείνους ὁποῦ εἶναι ἀποκάτω εἰς τὸν νόμον (ἐγίνηκα) ὡσὰν νὰ εἶμαι ἀποκάτω εἰς τὸν νόμον, διὰ νὰ κερδήσω ἐκείνους ὁποῦ εἶναι ἀποκάτω εἰς τὸν νόμον·

21 Ἐγίνηκα εἰς τοὺς ἀνόμους ὡσὰν ἄνομος, (μὴ ὄντας ἄνομος εἰς τὸν Θεόν, ἀλλὰ ἔννομος εἰς τὸν Χριστόν,) διὰ νὰ κερδήσω ἀνόμους.

22 Ἐγίνηκα εἰς τοὺς ἀσθενεῖς ὡσὰν ἀσθενής, διὰ νὰ κερδήσω τοὺς ἀσθενεῖς· εἰς ὅλους ἔγινα

πάντα, ἵνα πάντως τινὰς σώσω.

23 Τῦτο δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γίνωμαι.

24 Οὐκ οἴδατε, ὅτι οἱ ἐν ςαδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; ὕτω τρέχετε, ἵνα καταλάβητε.

25 Πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται· ἐκεῖνοι μὲν ὖν ἵνα φθαρτὸν ςέφανον λάβωσιν· ἡμεῖς δὲ, ἄφθαρτον.

26 Ἐγὼ τοίνυν ὕτω τρέχω, ὡς οὐκ ἀδήλως· ὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων.

27 Ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γίνωμαι.

ὅλα, διὰ νὰ σώσω βέβαια μερικούς.

23 Καὶ τοῦτο τὸ κάμνω διὰ τὸ εὐαγγέλιον, διὰ νὰ γένω καὶ ἐγὼ συμμέτοχος αὐτοῦ τοῦ εὐαγγελίου.

24 Δὲν ἠξεύρετε, ὅτι ἐκεῖνοι ὁποῦ τρέχουσιν εἰς τὸ ςάδιον, ὅλοι μὲν τρέχουσιν, ἀμὴ ἕνας πέρνει τὸ χάρισμα; τοιουτοτρόπως τρέχετε, διὰ νὰ φθάσετε.

25 Καὶ κάθε ἕνας ὁποῦ ἀγωνίζεται, ἐγκρατεύεται εἰς ὅλα· ἐκεῖνοι λοιπὸν ἐγκρατεύονται καὶ ἀγωνίζονται διὰ νὰ πάρουσι φθαρτὸν ςέφανον· ἀμὴ ἐμεῖς, ἄφθαρτον.

26 Ἐγὼ λοιπὸν τέτοιας λογῆς τρέχω, ὄχι ὡσὰν ἄδηλα· τοιουτοτρόπως ἀγωνίζομαι, ὄχι ὡσὰν νὰ δέρνω τὸν ἀέρα.

27 Ἀλλὰ θλίβω τὸ σῶμά μου καὶ τὸ κάμνω δοῦλον, μήπως κηρύττωντας ἄλλους, ἐγὼ εὑρεθῶ ἀνεπιτήδειος.

Κεφ. ι'. 10.

ΟΥ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν· καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον·

2 Καὶ πάντες εἰς τὸν Μωσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ·

3 Καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον·

ΘΕλω, ἀδελφοὶ, νὰ ἠξεύρετε ἐσεῖς, ὅτι ὅλοι οἱ πατέρες μας ἦταν ἀποκάτω ἀπὸ τὸ σύννεφον· καὶ ὅλοι ἐπέρασαν διὰ μέσου τῆς θαλάσσης·

2 Καὶ ὅλοι εἰς τὸν Μωϋσῆν ἐβαπτίσθηκαν εἰς τὸν σύννεφον καὶ εἰς τὴν θάλασσαν·

3 Καὶ ὅλοι ἔφαγαν τὸ αὐτὸ πνευματικὸν φαγητόν·

4 Καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολεθέσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριςός.

5 Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός· κατεςρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ.

6 Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν, εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν.

7 Μηδὲ εἰδωλολάτραι γίνεσθε, καθώς τινες αὐτῶν· ὡς γέγραπται· Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέςησαν παίζειν.

8 Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες.

9 Μηδὲ ἐκπειράζωμεν τὸν Χριςὸν, καθὼς καὶ τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο.

10 Μηδὲ γογγύζετε, καθὼς καὶ τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτϐ.

11 Ταῦτα δὲ πάντα τύποι συνέβαινον ἐκείνοις· ἐγράφη δὲ πρὸς νϐθεσίαν ἡμῶν, εἰς ὃς τὰ τέλη τῶν αἰώνων κατήντησεν.

4 Καὶ ὅλοι ἔπιαν τὸ αὐτὸ πνευματικὸν ποτόν· διατὶ ἔπιναν ἀπὸ τὴν πνευματικὴν πέτραν ὁπϐ τὰς ἀκολϐθα· καὶ ἡ πέτρα ἦτον ὁ Χριςός.

5 Ἀλλὰ ὁ Θεὸς δὲν ἀναπαύθη εἰς τὰς περισσοτέρους ἀπ' αὐτάς· διατὶ ἔπεσαν εἰς τὴν ἔρημον.

6 Καὶ ταῦτα ἐγίνηκαν τύποι ἰδικοί μας, διὰ νὰ μὴν ἐπιθυμϐμεν ἐμεῖς τὰ κακὰ, καθὼς καὶ ἐκεῖνοι τὰ ἐπιθύμησαν.

7 Μηδὲ νὰ γενῆτε εἰδωλολάτραι, καθὼς μερικοὶ ἀπ' αὐτάς· καθὼς εἶναι γεγραμμένον· Ἐκάθισεν ὁ λαὸς νὰ φάγῃ καὶ νὰ πιῇ, καὶ ἐσηκώθηκαν νὰ παίζϐν.

8 Μηδὲ νὰ πορνεύωμεν, καθὼς μερικοὶ ἀπ' αὐτὰς ἐπόρνευσαν, καὶ ἔπεσαν εἰς μίαν ἡμέραν εἰκοσιτρεῖς χιλιάδες.

9 Μηδὲ νὰ δοκιμάζωμεν τὸν Χριςὸν, καθὼς καὶ μερικοὶ ἀπ' αὐτὰς τὸν ἐδοκίμασαν, καὶ ἐχαλάσθηκαν ἀπὸ τὰ ὀφίδια.

10 Μηδὲ γογγύζετε, καθὼς καὶ μερικοὶ ἀπ' αὐτὰς ἐγόγγυσαν, καὶ ἐχαλάσθηκαν ἀπὸ τὸν ἐξολοθρευτήν.

11 Καὶ ἐτϐτα ὅλα ἐσυνέβηκαν τύποι εἰς ἐκείνϐς· καὶ ἐγράφηκαν διὰ νϐθεσίαν ἰδικήν μας, εἰς τὰς ὁποίϐς ἐκατάντησαν τὰ τέλη τῶν αἰώνων.

12 Ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ.

13 Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος· πιστὸς δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν.

14 Διόπερ, ἀγαπητοί μου, φεύγετε ἀπὸ τῆς εἰδωλολατρείας.

15 Ὡς φρονίμοις λέγω· κρίνατε ὑμεῖς ὅ φημι.

16 Τὸ ποτήριον τῆς εὐλογίας ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστι; Τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν;

17 Ὅτι εἷς ἄρτος, ἓν σῶμα, οἱ πολλοί ἐσμεν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν.

18 Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα· οὐχὶ οἱ ἐσθίοντες τὰς θυσίας, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσί;

19 Τί οὖν φημι; ὅτι εἴδωλον τί ἐστιν; ἢ ὅτι εἰδωλόθυτον τί ἐστιν;

20 Ἀλλ' ὅτι ἃ θύει τὰ ἔθνη,

12 Ἐκεῖνος λοιπὸν ὁποῦ λογιάζει πῶς νὰ στέκῃ, ἂς βλέπει νὰ μὴν πέσῃ.

13 Πειρασμὸς δὲν σᾶς ἔλαβε παρὰ ἀνθρώπινος· καὶ ὁ Θεὸς εἶναι πιστός, ὁ ὁποῖος δὲν θέλει σᾶς ἀφήσει νὰ πειραχθῆτε παραπάνω (ἀπ' ἐκεῖνο) ὁποῦ δύνεσθε, ἀλλὰ μαζὺ μὲ τὸν πειρασμὸν θέλει κάμει καὶ τὸ εὔγασμα, διὰ νὰ δυνηθῆτε ἐσεῖς νὰ ὑποφέρετε.

14 Διὰ τοῦτο, ἀγαπητοί μου, φεύγετε ἀπὸ τὴν εἰδωλολατρείαν.

15 Ὡσὰν εἰς φρονίμους λαλῶ· διακρίνετε ἐσεῖς ἐκεῖνο ὁποῦ λέγω.

16 Τὸ ποτήριον τῆς εὐλογίας τὸ ὁποῖον εὐλογοῦμεν, δὲν εἶναι κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ; Τὸ ψωμὶ ὁποῦ κόπτομεν, δὲν εἶναι κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ;

17 Ὅτι ἕνα ψωμί, ἕνα σῶμα, εἴμεσθεν ἐμεῖς οἱ πολλοί· διατὶ ὅλοι μετέχομεν ἀπὸ τὸ ἕνα ψωμί;

18 Βλέπετε τὸν Ἰσραήλ, ὁποῦ εἶναι κατὰ σάρκα· δὲν εἶναι κοινωνοὶ τοῦ θυσιαστηρίου, ἐκεῖνοι ὁποῦ τρώγουσι ταῖς θυσίαις;

19 Τί λοιπὸν λέγω; ὅτι τὸ εἴδωλον νὰ εἶναι τίποτες; ἢ ὅτι τὸ εἰδωλόθυτον εἶναι τίποτες;

20 Ἀλλὰ λέγω ὅτι ἐκεῖνα

δαιμονίοις θύει, καὶ ὀ Θεῷ· ὀ θέλω δὲ ὑμᾶς κοινωνὸς τῶν δαιμονίων γίνεσθαι.

21 Οὐ δύνασθε ποτήριον Κυρίου πίνειν καὶ ποτήριον δαιμονίων· ὀ δύνασθε τραπέζης Κυρίου μετέχειν, καὶ τραπέζης δαιμονίων.

22 Ἢ παραζηλοῦμεν τὸν Κύριον; Μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν;

23 Πάντα μοι ἔξεστιν, ἀλλ' ὀ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' ὀ πάντα οἰκοδομεῖ.

24 Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλ' τὸ τοῦ ἑτέρου ἕκαστος.

25 Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν.

26 Τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.

27 Εἰ δέ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων, καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν.

28 Ἐὰν δέ τις ὑμῖν εἴπῃ·

ὁποῦ θυσιάζουν τὰ ἔθνη, τὰ θυσιάζουν εἰς τοὺς δαίμονας, καὶ ὄχι εἰς τὸν Θεόν· καὶ δὲν θέλω ἐσεῖς νὰ γίνεσθε κοινωνοὶ τῶν δαιμόνων.

21 Δὲν ἠμπορεῖτε νὰ πίνετε τὸ ποτήριον τοῦ Κυρίου, καὶ τὸ ποτήριον τῶν δαιμόνων· δὲν δύνεσθε νὰ μετέχετε ἀπὸ τὴν τράπεζαν τοῦ Κυρίου, καὶ ἀπὸ τὴν τράπεζαν τῶν δαιμονίων.

22 Ἀνίσως καὶ ἐνοχλοῦμεν τὸν Κύριον; Μήνα εἴμεσθε ἐμεῖς δυνατώτερόν του;

23 Ἔχω ἐξουσίαν εἰς ὅλα, ἀλλὰ δὲν εἶναι ὅλα ὠφέλιμα· εἰς ὅλα ἔχω ἐξουσίαν, ἀλλὰ ὅλα δὲν οἰκοδομοῦσι.

24 Κανένας ἂς μὴν ζητᾷ τὸ ἐδικόν του (συμφέρον) ἀλλὰ κάθε ἕνας ἂς ζητᾷ (τὸ συμφέρον) τοῦ ἄλλου.

25 Κάθε πρᾶγμα ὁποῦ πουλιέται εἰς τὸ μακελλειὸν, τρῶτέ το, καὶ μὴν ἐξετάζετε τίποτες διὰ τὴν συνείδησιν.

26 Διατὶ ἡ γῆ εἶναι τοῦ Κυρίου, καὶ ὅσα εἶναι εἰς αὐτήν.

27 Καὶ ἂν κανένας ἀπὸ τοὺς ἀπίστους σᾶς προσκαλῇ, καὶ θέλετε νὰ ὑπᾶτε, ἐκεῖνο ὁποῦ σᾶς βάλλουν ὀμπροστὰ τρῶτέ το, μὴν ἐξετάζοντες τίποτες διὰ τὴν συνείδησιν.

28 Ἀμὴ ἂν κανένας σᾶς εἰ-

Τοῦτο εἰδωλόθυτόν ἐστι, μὴ ἐσθίετε, δι' ἐκεῖνον τὸν μηνύσαντα, καὶ τὴν συνείδησιν· τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.

29 Συνείδησιν δὲ λέγω, οὐχὶ τὴν ἑαυτοῦ, ἀλλὰ τὴν τοῦ ἑτέρου· ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως;

30 Εἰ δὲ ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ;

31 Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε.

32 Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ·

33 Καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι.

πῇ· Τοῦτο εἶναι εἰδωλόθυτον, μὴν τὸ φᾶτε, διατ' ἐκεῖνον ὁποῦ τὸ εἶπε, καὶ διὰ τὴν συνείδησίν του· διατὶ τοῦ Κυρίου εἶναι ἡ γῆ καὶ ὅλα ἐκεῖνα ὁποῦ εἶναι εἰς αὐτήν.

29 Καὶ συνείδησιν λέγω, ὄχι τὴν ἰδικήν σου, ἀλλὰ τὴν συνείδησιν τοῦ ἄλλου· καὶ διατί; πῶς εἶναι δυνατὸν νὰ κρίνεται ἡ ἐλευθεριά μου ἀπὸ ἄλλην συνείδησιν;

30 Καὶ ἐὰν ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι εἰς ἐκεῖνο διὰ τὸ ὁποῖον ἐγὼ εὐχαριστῶ;

31 Κἂν τε λοιπὸν τρώτε, κἂν τε πίνετε, κἂν τε κάμνετε, (τίποτες ἄλλο,) ὅλα εἰς δόξαν Θεοῦ νὰ τὰ κάμνετε.

32 Γίνεσθε ἀσκανδάλιστοι, καὶ εἰς τοὺς Ἰουδαίους καὶ εἰς τοὺς Ἕλληνας, καὶ εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ·

33 Καθὼς καὶ ἐγὼ ἀρέσκω ὅλους εἰς ὅλα, μὴ ζητῶντας τὸ ἰδικόν μου συμφέρον, ἀλλὰ (τὸ συμφέρον) τῶν πολλῶν, διὰ νὰ σωθοῦσι.

Κεφ. ια'. 11.

Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.

2 Ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοί, ὅτι πάντα μου μέμνησθε,

Μιμηθῆτε ἐμένα, καθὼς ἐγὼ μιμοῦμαι τὸν Χριστόν.

2 Καὶ ἐπαινῶ σας, ἀδελφοί, ὅτι πάντα μὲ ἐνθυμᾶ-

καὶ καθὼς παρέδωκα ὑμῖν, τὰς παραδόσεις κατέχετε.

3 Θέλω δὲ ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριςός ἐςι· κεφαλὴ δὲ γυναικὸς, ὁ ἀνήρ· κεφαλὴ δὲ Χριςοῦ, ὁ Θεός.

4 Πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ.

5 Πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν ἑαυτῆς· ἓν γάρ ἐςι καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ.

6 Εἰ γὰρ οὐ κατακαλύπτεται γυνὴ, καὶ κειράσθω· εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρασθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω.

7 Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· γυνὴ δὲ δόξα ἀνδρός ἐςιν.

8 Οὐ γάρ ἐςιν ἀνὴρ ἐκ γυναικὸς, ἀλλὰ γυνὴ ἐξ ἀνδρός.

9 Καὶ γὰρ οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα.

10 Διὰ τοῦτο ὀφείλει ἡ

σθε, καὶ καθὼς σᾶς ἐπαράδωκα ταῖς παραδόσεις, ταῖς κρατεῖτε.

3 Καὶ θέλω νὰ ἠξεύρετε, ὅτι κάθε ἀνδρὸς ἡ κεφαλὴ εἶναι ὁ Χριςὸς· καὶ κεφαλὴ τῆς γυναικὸς εἶναι ὁ ἄνδρας· καὶ κεφαλὴ Χριςοῦ εἶναι ὁ Θεός.

4 Κάθε ἄνδρας ὁποῦ προσεύχεται ἢ προφητεύει, καὶ ἔχει τὸ κεφάλι του σκεπασμένον, ἐντροπιάζει τὸ κεφάλι του.

5 Καὶ κάθε γυναῖκα ὁποῦ προσεύχεται ἢ προφητεύει μὲ κεφάλι ἀξεσκέπαςον, καταντροπιάζει τὸ κεφάλι της· διατὶ τοῦτο εἶναι μιᾶς λογῆς ὡσὰν νὰ εἶναι καὶ ξυρισμένη.

6 Διατὶ ἂν δὲν σκεπάζεται ἡ γυναῖκα, ἀκόμι καὶ ἂς κουρεύεται· καὶ ἂν εἶναι ἄσχημον εἰς τὴν γυναῖκα τὸ νὰ κουρεύεται, ἢ νὰ ξυρίζεται, (λοιπὸν,) ἂς σκεπάζεται.

7 Διατὶ ὁ ἄνδρας δὲν χρεωςεῖ νὰ σκεπάζῃ τὸ κεφάλι του, ἔςωντας νὰ εἶναι εἰκὼν καὶ δόξα Θεοῦ· ἀλλὰ ἡ γυναῖκα εἶναι δόξα τοῦ ἀνδρός.

8 Διατὶ ὁ ἄνδρας δὲν εἶναι ἀπὸ τὴν γυναῖκα, ἀλλὰ ἡ γυναῖκα ἀπὸ τὸν ἄνδρα.

9 Διότι ὁ ἄνδρας δὲν ἐκτίσθη διὰ τὴν γυναῖκα, ἀλλὰ ἡ γυναῖκα διὰ τὸν ἄνδρα.

10 Διὰ τοῦτο ἡ γυναῖκα

γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, διὰ τοὺς ἀγγέλους.

11 Πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικὸς, οὔτε γυνὴ χωρὶς ἀνδρὸς, ἐν Κυρίῳ.

12 Ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρὸς, οὕτω καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός· τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ.

13 Ἐν ὑμῖν αὐτοῖς κρίνατε, πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προσεύχεσθαι;

14 Ἢ οὐδὲ αὐτὴ ἡ φύσις διδάσκει ὑμᾶς, ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι;

15 Γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν· ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται αὐτῇ.

16 Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ Θεοῦ.

17 Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ, ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε.

18 Πρῶτον μὲν γὰρ συνερχομένων ὑμῶν ἐν τῇ ἐκκλησίᾳ,

χρειωστεῖ (διὰ τοὺς ἀγγέλους) νὰ ἔχῃ ἀπάνω εἰς τὸ κεφάλι της σημάδι ὅτι εἶναι ἀποκάτω εἰς τὴν ἐξουσίαν τοῦ ἀνδρός.

11 Ὅμως οὐδὲ ὁ ἄνδρας χωρὶς γυναῖκα, οὐδὲ ἡ γυναῖκα χωρὶς ἄνδρα, εἶναι εἰς τὸν Κύριον.

12 Διατὶ καθὼς ἡ γυναῖκα εἶναι ἀπὸ τὸν ἄνδρα, τέτοιας λογῆς καὶ ὁ ἄνδρας εἶναι διὰ μέσου τῆς γυναικός· ἀμὴ ὅλα εἶναι ἀπὸ τὸν Θεόν.

13 Ἀνάμεσά σας τὸ κρίνετε, πρέπει ἡ γυναῖκα νὰ προσεύχεται τὸν Θεὸν ἀσκέπαστη;

14 Ἢ οὐδὲ αὐτὴ ἡ φύσις σᾶς διδάσκει, ὅτι ὁ ἄνδρας ἐὰν ἔχῃ μαλλία, εἶναι ἀτιμία του;

15 Ἀμὴ ἡ γυναῖκα ἐὰν ἔχῃ μαλλία, εἶναι τιμή της· ὅτι τὰ μαλλία της ἐδόθηκαν, ἀντὶς σκέπασμα.

16 Ἀμὴ ἀνίσως καὶ φαίνεται κανένας νὰ εἶναι φιλόνεικος, ἐμεῖς τέτοιας λογῆς συνήθειαν δὲν ἔχομεν, οὐδὲ ἡ ἐκκλησία τοῦ Θεοῦ.

17 Καὶ παραγγέλλωντας τοῦτο δὲν σᾶς ἐπαινῶ, ὅτι ὄχι εἰς τὸ καλλιότερον, ἀλλὰ εἰς τὸ χειρότερον συμμαζώνεσθε.

18 Διατὶ πρῶτον ὅταν συναθροίζεσθε ἐσεῖς εἰς τὴν

ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν· καὶ μέρος τι πιστεύω.

19 Δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν.

20 Συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτὸ, οὐκ ἔςι Κυριακὸν δεῖπνον φαγεῖν.

21 Ἕκαςος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει.

22 Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; Ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; Τί ὑμῖν εἴπω; ἐπαινέσω ὑμᾶς; Ἐν τούτῳ οὐκ ἐπαινῶ.

23 Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον·

24 Καὶ εὐχαριςήσας ἔκλασε, καὶ εἶπε· Λάβετε, φάγετε· τοῦτό μου ἐςὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

ἐκκλησίαν, ἀκούω πῶς εἶναι εἰς ἐσᾶς χωρίσματα· καὶ εἰς κάποιον μέρος τὸ πιστεύω.

19 Διατὶ ἀνάγκη εἶναι νὰ εἶναι καὶ αἱρέσεις εἰς ἐσᾶς, διὰ νὰ φανερωθοῦν ἐκεῖνοι ὁποῦ εἶναι ἀνάμεσά σας δόκιμοι.

20 Ὅταν λοιπὸν συμμαζώνεσθε εἰς ἕνα τόπον, δὲν εἶναι διὰ νὰ φᾶτε τὸ Κυριακὸν δεῖπνον.

21 Διατὶ κάθε ἕνας προπέρνει τὸ ἰδικόν του δεῖπνον καὶ τὸ τρώγει, καὶ ἄλλος πεινᾷ, καὶ ἄλλος μεθᾷ.

22 Μήνα δὲν ἔχετε σπήτια διὰ νὰ φᾶτε καὶ νὰ πιῆτε; Ἢ καταφρονεῖτε τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ κατεντροπιάζετε ἐκείνους ὁποῦ δὲν ἔχουσι; Τί νὰ σᾶς εἰπῶ; νὰ σᾶς ἐπαινέσω· Εἰς τοῦτο δὲν σᾶς ἐπαινῶ.

23 Διατὶ ἐκεῖνο ὁποῦ σᾶς ἐπαράδωκα, τὸ ἐπαράλαβα ἀπὸ τὸν Κύριον, ὅτι ὁ Κύριος Ἰησοῦς τὴν νύκτα ἐκείνην ὁποῦ ἐπαραδίδουνταν, ἐπῆρε ψωμί·

24 Καὶ εὐχαριςήσας τὸ ἔκοψε, καὶ εἶπε· Λάβετε, φάγετε· τοῦτο εἶναι τὸ σῶμά μου ὁποῦ κόπτεται διὰ λόγου σας· τοῦτο κάμνετε εἰς τὴν ἐνθύμησίν μου.

25 Ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι, λέγων· Τῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐςὶν ἐν τῷ ἐμῷ αἵματι· τῦτο ποιεῖτε ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν.

26 Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τῦτον, καὶ τὸ ποτήριον τῦτο πίνητε, τὸν θάνατον τῦ Κυρίυ καταγγέλλετε, ἄχρις ὗ ἂν ἔλθῃ.

27 Ὥςε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίυ ἀναξίως, ἔνοχος ἔςαι τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίυ.

28 Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν, καὶ ὕτως ἐκ τοῦ ἄρτυ ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίυ πινέτω.

29 Ὁ γὰρ ἐσθίων, καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίυ.

30 Διὰ τῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωςοι, καὶ κοιμῶνται ἱκανοί.

31 Εἰ γὰρ ἑαυτὺς διεκρίνομεν, ὐκ ἂν ἐκρινόμεθα.

25 Τὸν ὅμοιον τρόπον ἐπῆρε καὶ τὸ ποτήριον, ὕςερα ἀφόντις ἐδείπνησε, λέγωντας· Ἐτῦτο τὸ ποτήριον εἶναι ἡ καινύρια διαθήκη εἰς τὸ αἷμά μυ· ἐτῦτο κάμνετε ὅσαις φοραῖς τὸ πίνετε, εἰς ἐδικήν μυ ἀναθύμησιν.

26 Διατὶ ὅσαις φοραῖς τρῶτε τὸ ψωμὶ ἐτῦτο, καὶ τὸ ποτήριον τοῦτο πίνετε, τὸν θάνατον τοῦ Κυρίου ἀναθυμίζετε, ἕως οὗ νὰ ἔλθῃ.

27 Εἰς τόσον ὁπῦ κάθε ἕνας ὁπῦ τρώγει τὸ ψωμὶ ἐτῦτο, ἢ πίνει τὸ ποτήριον τοῦ Κυρίυ ἀναξίως, εἶναι πταίςης εἰς τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίυ.

28 Καὶ κάθε ἄνθρωπος ἂς δοκιμάζῃ τοῦ λόγυ τυ, καὶ ἔτζι ἂς τρώγει ἀπὸ τὸ ψωμὶ ἐτῦτο, καὶ ἂς πίνει ἀπὸ τὸ ποτήριον ἐτῦτο.

29 Διατὶ ἐκεῖνος ὁπῦ τρώγει καὶ πίνει ἀναξίως, τρώγει καὶ πίνει κρῖμα εἰς τοῦ λόγυ τυ, μὲ τὸ νὰ μὴν διακρίνῃ τὸ σῶμα τοῦ Κυρίυ.

30 Διὰ τῦτο ἀνάμεσα εἰς ἐσᾶς εἶναι πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωςοι, καὶ ἀποθένουν ἀρκετοί.

31 Διατὶ ἐὰν ἐδιακρίναμεν τοῦ λόγυ μας, δὲν ἠθέλαμεν κριθῇ.

32 Κρινόμενοι δὲ, ὑπὸ Κυρίȣ παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κοσμῷ κατακριθῶμεν.

32 Ἀμὴ ὅταν κρινόμεσθεν, παιδευόμεθα ἀπὸ τὸν Κύριον, διὰ νὰ μὴν κατακριθȣμεν μὲ τὸν κόσμον.

33 Ὥςε, ἀδελφοί μȣ, συνερχόμενοι εἰς τὸ φαγεῖν ἀλλήλȣς ἐκδέχεσθε.

33 Λοιπὸν, ἀδελφοί μȣ, ὅταν συμμαζώνεσθε εἰς τὸ φαγεῖν, καρτερεῖτε ἕνας τὸν ἄλλον.

34 Εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρῖμα συνέρχησθε. Τὰ δὲ λοιπὰ, ὡς ἂν ἔλθω, διατάξομαι.

34 Ἀμὴ ἂν πεινᾷ κανένας, ἂς τρώγει εἰς τὸ σπῆτί τȣ, διὰ νὰ μὴν συμμαζώνεσθε εἰς κατάκριμα. Καὶ τὰ ἐπίλοιπα, ὡς ἂν ἔλθω, θέλω τὰ διατάξει.

Κεφ. ιβ'. 12.

ΠΕρὶ δὲ τῶν πνευματικῶν, ἀδελφοὶ, ȣ̓ θέλω ὑμᾶς ἀγνοεῖν·

ΚΑΙ` διὰ τὰ πνευματικὰ χαρίσματα, ἀδελφοὶ, θέλω νὰ γνωρίζετε ἐκεῖνο ὁπȣ πρέπει·

2 Οἴδατε ὅτι ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι.

2 Ἰξεύρετε ὅτι ἐσεῖς ἤσθαν ἔθνη, καὶ ἐφέρνȣσθαν εἰς τὰ εἴδωλα τὰ ἄφωνα, καθὼς σᾶς ἔσυραν.

3 Διὸ γνωρίζω ὑμῖν, ὅτι ȣ̓δεὶς ἐν Πνεύματι Θεȣ λαλῶν, λέγει ἀνάθεμα Ἰησοῦν· καὶ ȣ̓δεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ.

3 Διὰ τȣ̃το σᾶς κάμνω νὰ γνωρίσετε, ὅτι ȣ̓δὲ κανένας ὁπȣ λαλεῖ μὲ τὸ Πνεῦμα τοῦ Θεοῦ, λέγει ἀνάθεμα Ἰησοῦν· καὶ ȣ̓δὲ κανένας δύναται νὰ εἰπῇ Κύριον Ἰησοῦν, παρὰ μὲ Πνεῦμα ἅγιον.

4 Διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦμα·

4 Καὶ εἶναι διαιρέσεις τῶν χαρισμάτων, ἀμὴ τὸ Πνεῦμα εἶναι τὸ αὐτό·

5 Καὶ διαιρέσεις διακονιῶν εἰσι, καὶ ὁ αὐτός Κύριος·

5 Εἶναι καὶ διάφοραις ὑπηρεσίαις, ἀμὴ ὁ Κύριος εἶναι ὁ αὐτός·

6 Καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτός ἐστι Θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν.

7 Ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον.

8 Ὧι μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως, κατὰ τὸ αὐτὸ Πνεῦμα·

9 Ἑτέρῳ δὲ πίστις, ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἐν τῷ αὐτῷ Πνεύματι·

10 Ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν.

11 Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.

12 Καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστι, καὶ μέλη ἔχει πολλὰ, πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνὸς πολλὰ ὄντα, ἕν ἐστι σῶμα· οὕτω καὶ ὁ Χριστός.

13 Καὶ γὰρ ἐν ἑνὶ Πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν· εἴτε Ἰου-

6 Εἶναι καὶ διαίρεσαις τῶν ἐνεργημάτων, ἀμὴ ὁ Θεὸς ὁποῦ ἐνεργεῖ τὰ ὅλα εἰς ὅλους, εἶναι ὁ αὐτός.

7 Καὶ εἰς κάθε ἕνα δίδεται ἡ φανέρωσις τοῦ Πνεύματος εἰς τὸ συμφέρον.

8 Διατὶ εἰς κάποιον δίδεται λόγος σοφίας διὰ μέσου τοῦ Πνεύματος, καὶ εἰς ἄλλον δίδεται λόγος γνώσεως, κατὰ τὸ αὐτὸ Πνεῦμα·

9 Καὶ εἰς ἄλλον δίδεται πίστις, μὲ τὸ αὐτὸ Πνεῦμα· καὶ εἰς ἄλλον δίδεται χάρισμα ἰαμάτων, μὲ τὸ αὐτὸ Πνεῦμα·

10 Καὶ εἰς ἄλλον ἐνεργήματα δυνάμεων, καὶ εἰς ἄλλον δίδεται προφητεία, καὶ εἰς ἄλλον δίδουνται διάκρισαις πνευμάτων, καὶ εἰς ἄλλον γένη γλωσσῶν, καὶ εἰς ἄλλον δίδεται ἑρμηνεία γλωσσῶν.

11 Καὶ ὅλα ἐτοῦτα τὰ ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, χωρίζοντας ξεχωριστὰ κάθε ἕνα καθὼς βούλεται.

12 Διατὶ καθὼς τὸ κορμὶ εἶναι ἕνα, καὶ ἔχει, μέλη πολλὰ, καὶ ὅλα τὰ μέλη εἶναι ἑνὸς κορμίου, ἀγκαλὰ καὶ νὰ εἶναι πολλὰ, ὅμως εἶναι ἕνα κορμί· ἔτζι καὶ ὁ Χριστός.

13 Διατὶ ἐμεῖς ὅλοι διὰ μέσου τοῦ ἑνὸς Πνεύματος εἰς ἕνα κορμὶ ἐβαπτισθήκαμεν·

δαῖοι, εἴτε Ἕλληνες, εἴτε
δοῦλοι, εἴτε ἐλεύθεροι· καὶ
πάντες εἰς ἓν Πνεῦμα ἐπο-
τίσθημεν.
14 Καὶ γὰρ τὸ σῶμα οὐκ
ἔστιν ἓν μέλος, ἀλλὰ πολλά.
15 Ἐὰν εἴπῃ ὁ πούς· Ὅτι
οὐκ εἰμὶ χείρ, οὐκ εἰμὶ ἐκ
τοῦ σώματος· οὐ παρὰ τοῦτο
οὐκ ἔστιν ἐκ τοῦ σώματος;
16 Καὶ ἐὰν εἴπῃ τὸ οὖς·
Ὅτι οὐκ εἰμὶ ὀφθαλμὸς, οὐκ
εἰμὶ ἐκ τοῦ σώματος· οὐ παρὰ
τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώμα-
τος;
17 Εἰ ὅλον τὸ σῶμα ὀφ-
θαλμὸς, ποῦ ἡ ἀκοή; Εἰ ὅλον
ἀκοὴ, ποῦ ἡ ὄσφρησις;

18 Νυνὶ δὲ ὁ Θεὸς ἔθετο
τὰ μέλη, ἓν ἕκαστον αὐτῶν ἐν
τῷ σώματι, καθὼς ἠθέλησεν.
19 Εἰ δὲ ἦν τὰ πάντα ἓν
μέλος, ποῦ τὸ σῶμα;

20 Νῦν δὲ πολλὰ μὲν
μέλη, ἓν δὲ σῶμα.
21 Οὐ δύναται δὲ ὀφθαλ-
μὸς εἰπεῖν τῇ χειρί· Χρείαν
σου οὐκ ἔχω· ἢ πάλιν ἡ κε-
φαλὴ τοῖς ποσί· Χρείαν ὑμῶν
οὐκ ἔχω.
22 Ἀλλὰ πολλῷ μᾶλλον,
τὰ δοκοῦντα μέλη τοῦ σώμα-
τος ἀσθενέστερα ὑπάρχειν,
ἀναγκαῖά ἐστι.
23 Καὶ ἃ δοκοῦμεν ἀτιμό-

κἄν τε Ἰουδαῖοι, κἄν τε Ἕλλη-
νες, κἄν τε δοῦλοι, κἄν τε ἐλεύ-
θεροι· καὶ ὅλοι εἰς ἕνα Πνεῦ-
μα ἐποτίσθημεν.
14 Διατὶ τὸ κορμὶ δὲν εἶ-
ναι ἕνα μέλος, ἀλλὰ πολλά.
15 Ἐὰν εἴπῃ τὸ ποδάρι·
Ἐπειδὴ δὲν εἶμαι χέρι, δὲν εἶ-
μαι ἀπὸ τὸ κορμί· μήπως διὰ
τοῦτο δὲν εἶναι ἀπὸ τὸ κορμί;
16 Καὶ ἐὰν εἴπῃ τὸ αὐ-
τίον· Ἐπειδὴ δὲν εἶμαι μάτι,
δὲν εἶμαι ἀπὸ τὸ κορμί· μήπως
διὰ τοῦτο δὲν εἶναι ἀπὸ τὸ
κορμί;
17 Ἐὰν ὅλον τὸ κορμὶ εἶ-
ναι μάτι, ποῦ (θέλει εἶσθαι)
ἡ ἀκόη; Ἐὰν εἶναι ὅλον ἀκοή,
ποῦ (θέλει εἶσθαι) ἡ ὄσφρη-
σις;
18 Ἀλλὰ τῶρα ὁ Θεὸς
ἔβαλλε, κάθε ἕνα μέλος εἰς
τὸ κορμὶ, καθὼς ἠθέλησε.
19 Καὶ ἂν ἦταν ὅλα ἕνα
μέλος, ποῦ (ἤθελεν εἶσθαι) τὸ
κορμί;
20 Ἀλλὰ τῶρα εἶναι πολ-
λὰ μέλη, ἀμὴ ἕνα κορμί.
21 Καὶ δὲν δύνεται τὸ
μάτι νὰ εἴπῃ εἰς τὸ χέρι·
Δὲν σὲ χρειάζομαι· ἢ πάλιν
ἡ κεφαλὴ εἰς τὰ ποδάρια·
Δὲν σᾶς χρειάζομαι.
22 Ἀλλὰ τὰ μέλη τοῦ
κορμίου ὁποῦ φαίνονται νὰ εἶ-
ναι ἀσθενέστερα, εἶναι πολλὰ
περισσότερον ἀναγκαῖα.
23 Καὶ ἐκεῖνα ὁποῦ λογιά-

τερα εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν· καὶ τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέραν ἔχει.

24 Τὰ δὲ εὐσχήμονα ἡμῶν, οὐ χρείαν ἔχει· ἀλλ' ὁ Θεὸς συνεκέρασε τὸ σῶμα, τῷ ὑστεροῦντι περισσοτέραν δοὺς τιμήν.

25 Ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη.

26 Καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη.

27 Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους.

28 Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν.

29 Μὴ πάντες, ἀπόστολοι; μὴ πάντες, προφῆται; μὴ πάντες, διδάσκαλοι; μὴ πάντες, δυνάμεις;

30 Μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάν-

ζομεν νὰ εἶναι ἀτιμότερα μέλη τοῦ κορμίου, ἐτοῦτα ἐνδύνοντες, τὰ τιμοῦμεν περισσότερον· καὶ τὰ ἄσχημά μας ἔχουσι περισσότερον στολισμόν.

24 Ἀμὴ τὰ μέλη μας τὰ τίμια, δὲν ἔχουσι χρείαν· ἀλλὰ ὁ Θεὸς συνεκέρασεν τὸ κορμὶ, δίδωντας περισσότερον τιμὴν εἰς τὸ μέλος τὸ λειψιμιόν.

25 Διὰ νὰ μὴν γένῃ διχοστασία εἰς τὸ κορμὶ, ἀλλὰ τὰ μέλη νὰ φροντίζουσι τὸ αὐτὸ ἕνα διὰ τὸ ἄλλον.

26 Καὶ ἐὰν πάσχῃ ἕνα μέλος, συμπάσχουσιν ὅλα τὰ μέλη· καὶ ἐὰν δοξάζεται ἕνα μέλος, συγχαίρονται ὅλα τὰ μέλη.

27 Καὶ ἐσεῖς εἶσθε σῶμα Χριστοῦ, καὶ μέλη κατὰ μέρος.

28 Καὶ κάποιους ἔβαλλεν ὁ Θεὸς εἰς τὴν ἐκκλησίαν πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, εἶτα δυνάμεις, ἔπειτα χαρίσματα ἰαμάτων, βοηθείαις, κυβερνήσεις, γένη γλωσσῶν.

29 Μήνα ὅλοι εἶναι ἀπόστολοι; μήνα ὅλοι εἶναι προφῆται; μήνα ὅλοι εἶναι διδάσκαλοι; μήνα ὅλοι ἔχουσι δυνάμεις;

30 Μήνα ὅλοι ἔχουσι χαρίσματα ἰαμάτων; μήνα ὅλοι

τες γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσι;

γλώσσαις συντυχαίνουσι; μήνα ὅλοι ἐξηγοῦσι;

31 Ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα· καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι.

31 Ἐπιθυμεῖτε τὰ χαρίσματα τὰ μεγαλίτερα· καὶ ἀκόμι θέλω σᾶς δείξει στράταν ὑπερβολικὰ ὑψηλήν.

Κεφ. ιγ'. 13.

ἘΑ'Ν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον.

ἘΑ'Ν ταῖς γλωσσαῖς τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, καὶ ἀγάπην δὲν ἔχω, ἔγινα χαλκὸς ὁποῦ βοήζει, ἢ κύμβαλον ὁποῦ ἀλλαλάζει.

2 Καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι.

2 Καὶ ἐὰν ἔχω προφητίαν, καὶ γνωρίσω ὅλα τὰ μυστήρια καὶ ὅλην τὴν γνῶσιν, καὶ ἐὰν ἔχω ὅλην τὴν πίστιν, ὁποῦ καὶ καὶ τὰ βουνὰ νὰ μετατοπίζω, καὶ ἀγάπην νὰ μὴν ἔχω, δὲν εἶμαι τίποτις.

3 Καὶ ἐὰν ψωμίζω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.

3 Καὶ ἐὰν θρέψω ὅλα τὰ ὑπάρχοντά μου εἰς τοὺς πτωχοὺς, καὶ ἐὰν παραδώσω τὸ κορμί μου διὰ νὰ καῶ, καὶ ἀγάπην νὰ μὴν ἔχω, τίποτις δὲν ὠφελοῦμαι.

4 Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐ ζηλοῖ· ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται,

4 Ἡ ἀγάπη μακροθυμεῖ, σπλαγχνίζεται· ἡ ἀγάπη δὲν φθονεῖ· ἡ ἀγάπη δὲν εἶναι προπετὴς, δὲν κενοδοξᾷ,

5 Οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακὸν,

5 Δὲν κάμνει ἄσχημα πράγματα, δὲν γυρεύει τὰ ἐδικά της ὠφέλιμα, δὲν πικραίνεται, δὲν βάνει εἰς τὸν νοῦν της τὸ κακὸν,

6 Οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ·

7 Πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει.

8 Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει· εἴτε δὲ προφητεῖαι καταργηθήσονται, εἴτε γλῶσσαι παύσονται, εἴτε γνῶσις καταργηθήσεται.

9 Ἐκ μέρους γὰρ γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν·

10 Ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται.

11 Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνὴρ, κατήργηκα τὰ τοῦ νηπίου.

12 Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην.

13 Νυνὶ δὲ μένει πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη.

6 Δὲν χαίρεται εἰς τὴν ἀδικίαν, ἀλλὰ συγχαίρεται εἰς τὴν ἀλήθειαν·

7 Ὅλα τὰ βαστᾷ, ὅλα τὰ πιστεύει, ὅλα τὰ ἐλπίζει, ὅλα τὰ ὑπομένει.

8 Ἡ ἀγάπη οὐδέποτε δὲν ξεπέφτει· ἀλλὰ καὶ αἱ προφητεῖαις θέλουσι καταργηθῇ, καὶ αἱ γλώσσαις θέλουσι παύσει, καὶ ἡ γνῶσις θέλει ἀφανισθῇ.

9 Διατὶ ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν·

10 Ἀμὴ ὅταν ἔλθῃ τὸ τέλειον, τότε θέλει παύσει τὸ μερικόν.

11 Ὅταν ἤμουν νήπιος, ὡσὰν νήπιος ἐλάλουν, ὡσὰν νήπιος ἐφρόνουν, ὡσὰν νήπιος ἐλογιζόμουν· ἀμὴ ὅταν ἔγινα ἄνδρας, τὰ ἄργησα τὰ πράγματα τοῦ νηπίου.

12 Διατὶ τώρα βλέπομεν διὰ μέσου τοῦ καθρέφτη ὡσὰν ὄνειρον, ἀμὴ τότε θέλομεν εἰδῇ πρόσωπον μὲ πρόσωπον· τώρα γνωρίζω ἐκ μέρους, ἀμὴ τότε θέλω γνωρίσει, καθὼς ἐγνωρίσθηκα.

13 Καὶ τώρα μένουσι τὰ τρία ἐτοῦτα, πίστις, ἐλπὶς, ἀγάπη· ἀμὴ τὸ μεγαλίτερον ἀπὸ τοῦτα, εἶναι ἡ ἀγάπη.

Κεφ. ιδ'. 14.

Διώκετε τὴν ἀγάπην, ζηλοῦτε δὲ τὰ πνευματικά· μᾶλλον δὲ ἵνα προφητεύητε.

Ζητᾶτε καὶ ἀκολουθᾶτε τὴν ἀγάπην, ἐπιθυμεῖτε διὰ νὰ ἀποκτήσετε τὰ πνευματικὰ χαρίσματα· καὶ περισσότερον διὰ νὰ προφητεύετε.

2 Ὁ γὰρ λαλῶν γλώσσῃ, οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ τῷ Θεῷ· οὐδεὶς γὰρ ἀκούει, πνεύματι δὲ λαλεῖ μυστήρια.

2 Διατὶ ἐκεῖνος ὁποῦ λαλεῖ γλώσσαις ἀγνώριςαις, δὲν συντυχαίνει μὲ τοὺς ἀνθρώπους, ἀλλὰ μὲ τὸν Θεόν· διατὶ ἀγκαλὰ καὶ κανένας δὲν τὸν καταλαμβάνῃ, ἀλλ' ἐκεῖνος μὲ τὸ πνεῦμα λαλεῖ μυστήρια.

3 Ὁ δὲ προφητεύων, ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν.

3 Ἀμὴ ἐκεῖνος ὁποῦ προφητεύει, λαλεῖ εἰς τοὺς ἀνθρώπους διὰ οἰκοδομὴν καὶ παράκλησιν καὶ παρηγορίαν.

4 Ὁ λαλῶν γλώσσῃ, ἑαυτὸν οἰκοδομεῖ· ὁ δὲ προφητεύων, ἐκκλησίαν οἰκοδομεῖ.

4 Ἐκεῖνος ὁποῦ λαλεῖ γλῶσσαν, οἰκοδομεῖ τοῦ λόγου του· ἀμὴ ἐκεῖνος ὁποῦ προφητεύει, οἰκοδομεῖ τὴν ἐκκλησίαν.

5 Θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα προφητεύητε· μείζων γὰρ ὁ προφητεύων ἢ ὁ λαλῶν γλώσσαις, ἐκτὸς εἰ μὴ διερμηνεύῃ, ἵνα ἡ ἐκκλησία οἰκοδομὴν λάβῃ.

5 Καὶ ἤθελα ὅλοι σας νὰ λαλῆτε γλώσσαις, ἀλλὰ περισσότερον διὰ νὰ προφητεύετε· διατὶ μεγαλίτερος εἶναι ἐκεῖνος ὁποῦ προφητεύει, παρὰ ἐκεῖνος ὁποῦ λαλεῖ γλώσσαις, ἔξω ἐὰν δὲν μεταγλωτίζῃ, διὰ νὰ λάβῃ ἡ ἐκκλησία οἰκοδομήν.

6 Νυνὶ δε, ἀδελφοὶ, ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω, ἐὰν μὴ ὑμῖν λαλήσω ἢ

6 Καὶ τῶρα ἀδελφοὶ, ἐὰν ἔλθω εἰς ἐσᾶς λαλῶν γλώσσαις, τί θέλω σᾶς ὠφελήσει, ἐὰν δὲν σᾶς λαλήσω,

ἐν ἀποκαλύψει, ἢ ἐν γνώσει, ἢ ἐν προφητείᾳ, ἢ ἐν διδαχῇ;

7 Ὅμως τὰ ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλὸς, εἴτε κιθάρα, ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ δῷ, πῶς γνωσθήσεται τὸ αὐλούμενον ἢ τὸ κιθαριζόμενον.

8 Καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς παρασκευάσεται εἰς πόλεμον;

9 Οὕτω καὶ ὑμεῖς διὰ τῆς γλώσσης ἐὰν μὴ εὔσημον λόγον δῶτε, πῶς γνωσθήσεται τὸ λαλούμενον; ἔσεσθε γὰρ εἰς ἀέρα λαλοῦντες.

10 Τοσαῦτα, εἰ τύχοι, γένη φωνῶν ἐστιν ἐν κόσμῳ, καὶ οὐδὲν αὐτῶν ἄφωνον.

11 Ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος· καὶ ὁ λαλῶν, ἐν ἐμοὶ βάρβαρος.

12 Οὕτω καὶ ὑμεῖς, ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς ἐκκλησίας ζητεῖτε ἵνα περισσεύητε.

13 Διόπερ ὁ λαλῶν γλώσ-

ἢ μὲ ἀποκάλυψιν, ἢ μὲ γνῶσιν, ἢ μὲ προφητείαν, ἢ μὲ διδαχήν;

7 Ὅμως τὰ ἄψυχα ὁποῦ δίδουσι φωνὴν κἂν τε παγιαῦλι, κἂν τε κιθάρα, ἐὰν δὲν χωρίζουν ἡ φωναῖς, πῶς θέλει γνωρισθῇ ἐκεῖνο ὁποῦ παίζεται μὲ παγιαῦλι ἢ μὲ τὴν κιθάραν;

8 Καὶ ἐὰν ἡ σάλπιγγα δώσῃ φωνὴν ὁποῦ δὲν σημαίνει τίποτες, τίς θέλει ἑτοιμασθῇ εἰς πόλεμον;

9 Ἔτζι καὶ ἐσεῖς ἐὰν δὲν δώσετε λόγον εὐκολοσήμαντον διὰ μέσου τῆς γλώσσης, πῶς θέλει γνωρισθῇ ἐκεῖνο ὁποῦ λαλεῖται; θέλετε λαλεῖ εἰς τὸν ἀέρα.

10 Τόσα πολλὰ γένη τῶν φωνῶν εἶναι εἰς τὸν κόσμον, καθὼς ἔτυχαν, καὶ οὐδὲ κανένα γένος εἶναι ἄφωνον.

11 Ἐὰν λοιπὸν δὲν γνωρίσω τὴν δύναμιν τῆς φωνῆς, θέλω εἶσθαι βάρβαρος εἰς ἐκεῖνον ὁποῦ λαλεῖ· καὶ ὁ λαλῶν θέλει εἶσθαι εἰς ἐμένα βάρβαρος.

12 Τοιουτωτρόπως καὶ ἐσεῖς, ἐπειδὴ εἶσθε ἐρασταὶ τῶν πνευματικῶν χαρισμάτων, ζητᾶτε διὰ νὰ πλουτῆτε εἰς αὐτὰ, διὰ τὴν οἰκοδομὴν τῆς ἐκκλησίας.

13 Διὰ τοῦτο ἐκεῖνος ὁποῦ

σῃ, προσευχέσθω ἵνα διερμηνεύῃ.

14 Ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται· ὁ δὲ νοῦς μου ἄκαρπος ἐστι.

15 Τί οὖν ἐστι; προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ.

16 Ἐπεὶ ἐὰν εὐλογήσῃς τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου, πῶς ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ; ἐπειδὴ τί λέγεις οὐκ οἶδε.

17 Σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ οἰκοδομεῖται.

18 Εὐχαριστῶ τῷ Θεῷ μου, πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν.

19 Ἀλλ' ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ μυρίους λόγους ἐν γλώσσῃ.

20 Ἀδελφοὶ, μὴ παιδία γίνεσθε ταῖς φρεσίν· ἀλλὰ τῇ

λαλεῖ γλῶσσαν ἀγνώριστον, ἂς παρακαλεῖ τὸν Θεὸν νὰ τοῦ δώσῃ χάριν διὰ νὰ ἑρμηνεύῃ ἐκεῖνα ὁποῦ λέγει.

14 Διατὶ ἐὰν προσεύχωμαι μὲ γλῶσσαν ἀγνώριστον, τὸ πνεῦμά μου προσεύχεται· ἀμὴ ὁ νοῦς μου εἶναι ἄκαρπος.

15 Τί λοιπόν; ἂς προσευχηθῶ μὲ τὸ πνεῦμα, ἂς προσευχηθῶ καὶ μὲ τὸν νοῦν· καὶ ἂς ψάλλω μὲ τὸ πνεῦμα, καὶ ἂς ψάλλω καὶ μὲ τὸν νοῦν.

16 Ἐπειδὴ ἐὰν εὐλογήσῃς μὲ τὸ πνεῦμα, ἐκεῖνος ὁποῦ ἀναπληροῖ τὸν τόπον τοῦ ἰδιώτου, πῶς θέλει εἰπεῖ τὸ ἀμὴν εἰς τὴν εὐχαριστίαν σου; ἐπειδὴ δὲν ἐξεύρει τί λέγεις.

17 Διατὶ ἐσὺ καλὰ εὐχαριστᾷς, ἀλλὰ ὁ ἄλλος δὲν οἰκοδομεῖται.

18 Εὐχαριστῶ τῷ Θεῷ μου, ὅτι λαλῶ γλώσσαις περισσότεραις ἀπὸ ὅλους σας.

19 Ἀλλὰ εἰς τὴν ἐκκλησίαν καλλιότερα θέλω νὰ λαλήσω πέντε λόγους διὰ μέσου τοῦ νοός μου, διὰ νὰ διδάξω, καὶ ἄλλους, παρὰ νὰ εἰπῶ μυρίους λόγους μὲ γλῶσσαν ἄγνωστον.

20 Ἀδελφοὶ, μὴ γίνεσθε παιδία εἰς τὴν φρόνησιν· ἀλλὰ

κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε.

21 Ἐν τῷ νόμῳ γέγραπται· Ὅτι ἐν ἑτερογλώσσοις, καὶ ἐν χείλεσιν ἑτέροις, λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει Κύριος.

22 Ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν, οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις· ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν.

23 Ἐὰν οὖν συνέλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ, καὶ πάντες γλώσσαις λαλῶσιν, εἰσέλθωσι δὲ ἰδιῶται, ἢ ἄπιστοι, οὐκ ἐροῦσιν ὅτι μαίνεσθε;

24 Ἐὰν δὲ πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος, ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων·

25 Καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον, προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστι.

26 Τί οὖν ἐστιν, ἀδελφοί; Ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν

γίνεσθε νήπιοι εἰς τὴν κακίαν, καὶ εἰς τὴν φρόνησιν γίνεσθε τέλειοι.

21 Εἶναι γεγραμμένον εἰς τὸν νόμον· Ὅτι μὲ ξέναις γλώσσαις, καὶ μὲ ἀλλότρια χείλη θέλω λαλήσει εἰς τὸν λαὸν ἐτοῦτον, καὶ μηδὲ ἔτζι θέλουν μὲ ὑπακούσει, λέγει Κύριος.

22 Λοιπὸν ἡ γλώσσαις εἶναι σημεῖον ὄχι εἰς ἐκείνους ὁποῦ πιστεύουσιν, ἀλλὰ εἰς τοὺς ἀπίστους· ἀμὴ ἡ προφητεία δὲν εἶναι διὰ τοὺς ἀπίστους, ἀλλὰ διὰ ἐκείνους ὁποῦ πιστεύουσιν.

23 Ἐὰν λοιπὸν συναθροισθῇ ὅλη ἡ ἐκκλησία εἰς μίαν μεριάν, καὶ ὅλοι λαλοῦσι γλώσσαις ἀγνώσταις, καὶ ἐμβοῦσι μέσα ἰδιῶται, ἢ ἄπιστοι, δὲν θέλουσιν εἰπεῖ ὅτι εἶσθε λωλοί;

24 Ἀμὴ ἐὰν ὅλοι προφητεύουσι, καὶ ἔμβῃ μέσα κανένας ἄπιστος, ἢ ἰδιώτης, ἐλέγχεται ἀπὸ ὅλους, ἐξετάζεται ἀπὸ ὅλους·

25 Καὶ τέτοιας λογῆς τὰ κρυφὰ τῆς καρδίας του φανερώνουνται· καὶ ἔτζι πέφτωντας κατὰ πρόσωπον θέλει προσκυνήσει τὸν Θεὸν, λέγωντας ὅτι ὁ Θεὸς βέβαια εἶναι εἰς ἐσᾶς.

26 Τί εἶναι λοιπὸν, ἀδελφοί; Ὅταν συναθροίζεσθε, καθεῖνας ἀπὸ σᾶς ἔχει ψαλ-

ἔχει, γλῶσσαν ἔχει, ἀποκά-
λυψιν ἔχει, ἑρμηνείαν ἔχει·
πάντα πρὸς οἰκοδομὴν γενέ-
σθω.
27 Εἴτε γλώσσῃ τις λαλεῖ,
κατὰ δύο, ἢ τὸ πλεῖστον τρεῖς,
καὶ ἀνὰ μέρος· καὶ εἷς διερ-
μηνευέτω.
28 Ἐὰν δὲ μὴ ᾖ διερμη-
νευτὴς, σιγάτω ἐν ἐκκλησίᾳ·
ἑαυτῷ δὲ λαλείτω καὶ τῷ
Θεῷ.
29 Προφῆται δὲ δύο ἢ
τρεῖς λαλείτωσαν, καὶ οἱ
ἄλλοι διακρινέτωσαν.
30 Ἐὰν δὲ ἄλλῳ ἀπο-
καλυφθῇ καθημένῳ, ὁ πρῶτος
σιγάτω.
31 Δύνασθε γὰρ καθ' ἕνα
πάντες προφητεύειν, ἵνα πάν-
τες μανθάνωσι, καὶ πάντες
παρακαλῶνται.
32 Καὶ πνεύματα προ-
φητῶν προφήταις ὑποτάσσε-
ται·
33 Οὐ γάρ ἐστιν ἀκαταστα-
σίας ὁ Θεὸς, ἀλλ' εἰρήνης, ὡς
ἐν πάσαις ταῖς ἐκκλησίαις
τῶν ἁγίων.
34 Αἱ γυναῖκες ὑμῶν ἐν
ταῖς ἐκκλησίαις σιγάτωσαν·
οὐ γὰρ ἐπιτέτραπται αὐ-
ταῖς λαλεῖν, ἀλλ' ὑποτάσ-
σεσθαι, καθὼς καὶ ὁ νόμος
λέγει.

μὸν, ἔχει διδαχὴν, ἔχει γλῶσ-
σαν, ἔχει ἀποκάλυψιν, ἔχει
ἑρμηνείαν· ὅλα ἂς γίνωνται
εἰς οἰκοδομήν.
27 Καὶ ἀνίσως καὶ λαλῇ
κανένας μὲ γλῶσσαν ἄγνωστον,
ἂς λαλοῦσι δύο, ἢ τὸ περισσό-
τερον τρεῖς, ἀπὸ ἕνας, ἕνας·
καὶ ἕνας νὰ τὰ ἑρμηνεύῃ.
28 Καὶ ἐὰν δὲν εἶναι κανέ-
νας νὰ τὰ μεταγλωττίζῃ, ἂς
σιωπαίνει εἰς τὴν ἐκκλησίαν
ἐκεῖνος ὁποῦ λαλεῖ μὲ γλῶσσαν
ἄγνωστον· καὶ ἂς λαλεῖ μὲ τοῦ
λόγου του καὶ μὲ τὸν Θεόν.
29 Καὶ προφῆται δύο ἢ
τρεῖς ἂς λαλοῦσι, καὶ οἱ ἄλλοι
ἂς διακρίνουν.
30 Καὶ ἐὰν ἀποκαλυφθῇ
τίποτες εἰς ἄλλον ὁποῦ κάθε-
ται, ὁ πρῶτος ἂς σιωπαίνῃ.
31 Διατὶ ὅλοι δύνεσθε
ἕνας ἕνας νὰ προφητεύετε,
διὰ νὰ μαθαίνουν ὅλοι, καὶ
ὅλοι νὰ παρηγοροῦνται.
32 Καὶ τὰ πνεύματα τῶν
προφητῶν ὑποτάσσονται εἰς
τοὺς προφήτας·
33 Διατὶ ὁ Θεὸς δὲν εἶναι
Θεὸς ἀκαταστασίας, ἀλλὰ
εἰρήνης, καθὼς εἰς ὅλαις ταῖς
ἐκκλησίαις τῶν ἁγίων.
34 Αἱ γυναῖκαις σας εἰς
ταῖς ἐκκλησίαις ἂς σιωπαί-
νουν· διατὶ δὲν ταῖς ἐδόθη
ἐξουσία νὰ λαλοῦσιν, ἀλλὰ
πρέπει νὰ ὑποτάσσωνται,
καθὼς καὶ ὁ νόμος λέγει.

35 Εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν· αἰσχρὸν γάρ ἐστι γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν.

36 Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν; ἢ εἰς ὑμᾶς μόνους κατήντησεν;

37 Εἴ τις δοκεῖ προφήτης εἶναι ἢ πνευματικὸς, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν, ὅτι τοῦ Κυρίου εἰσὶν ἐντολαί.

38 Εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω.

39 Ὥστε, ἀδελφοὶ, ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε.

40 Πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.

35 Καὶ ἂν θέλουν νὰ μάθουν τίποτες, ἂς ἐρωτοῦσιν τοὺς ἄνδρες τους εἰς τὸ σπῆτι· διατὶ ἄσχημον πρᾶγμα εἶναι νὰ συντυχαίνουν αἱ γυναῖκαις εἰς τὴν ἐκκλησίαν.

36 Ἢ ὁ λόγος τοῦ Θεοῦ εὐγῆκεν ἀπὸ σᾶς; ἢ εἰς ἐσᾶς μοναχοὺς ἐκατάντησεν;

37 Ἐὰν φαίνεται κανένας νὰ εἶναι προφήτης, ἢ πνευματικὸς, ἂς γροικᾷ ἐτοῦτα ὁποῦ σᾶς γράφω, ὅτι εἶναι παραγγελίαις τοῦ Κυρίου.

38 Καὶ ἂν κανένας δὲν γνωρίζει, ἂς μὴν γνωρίζει.

39 Εἰς τόσον ὁποῦ, ὦ ἀδελφοὶ, ζητᾶτε μὲ ζῆλον τὸ νὰ προφητεύετε, καὶ μὴν ἐμποδίζετε τὸ νὰ λαλοῦν γλώσσαις.

40 Ὅλα ἂς γίνουνται πρεπόντως καὶ κατὰ τάξιν.

Κεφ. ιε΄. 15.

Γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὸ εὐαγγέλιον ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε·

2 Δι' οὗ καὶ σώζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε· ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε.

3 Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ

ΚΑΙ σᾶς δηλωποιῶ τὸ εὐαγγέλιον, ἀδελφοὶ, ὁποῦ σᾶς εὐαγγέλισα, τὸ ὁποῖον καὶ ἐπαρελάβετε, εἰς τὸ ὁποῖον καὶ στέκεσθε·

2 Διὰ μέσου τοῦ ὁποίου καὶ σώζεσθε, ἐὰν τὸ κρατῆτε μὲ τὸν λόγον ὁποῦ σᾶς εὐαγγέλισα· ἔξω ἐὰν δὲν ἐπιστεύσατε εὔκαιρα.

3 Διατὶ πρῶτον σᾶς ἐπαρέδωκα ἐκεῖνο τὸ ὁποῖον καὶ ἐπαρέλαβον, ὅτι ὁ Χριστὸς

τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ γραφάς·

4 Καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς γραφάς·

5 Καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα.

6 Ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν.

7 Ἔπειτα ὤφθη Ἰακώβῳ· εἶτα τοῖς ἀποστόλοις πᾶσιν.

8 Ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί.

9 Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων· ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ.

10 Χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι· καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ, οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα· οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί.

11 Εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε.

12 Εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν ἐγήγερται,

ἀπέθανε διὰ ταῖς ἁμαρτίαις μας, κατὰ ταῖς γραφαῖς·

4 Καὶ ὅτι ἐθάπτη, καὶ ὅτι ἀνεστάθη τὴν τρίτην ἡμέραν, κατὰ ταῖς γραφαῖς·

5 Καὶ ὅτι ἐφάνη εἰς τὸν Κηφᾶ, ἔπειτα εἰς τοὺς δώδεκα.

6 Ἔπειτα ἐφάνη ἀπάνω εἰς πεντακόσιους ἀδελφοὺς μίαν φοράν, ἀπὸ τοὺς ὁποίους οἱ περισσότεροι εὑρίσκουνται ἕως τώρα, καὶ μερικοὶ ἐκοιμήθηκαν.

7 Ἔπειτα ἐφάνη εἰς τὸν Ἰάκωβον· ἔπειτα εἰς ὅλους τοὺς ἀποστόλους.

8 Καὶ ὕστερον ἀπὸ ὅλους, ὡσὰν εἰς ἀπόῤῥιγμα, ἐφάνη εἰς ἐμένα.

9 Διατὶ ἐγὼ εἶμαι ὁ πολλὰ μικρὸς ἀπὸ τοὺς ἀποστόλους· ὁ ὁποῖος δὲν εἶμαι ἄξιος νὰ καλοῦμαι ἀπόστολος, διατὶ ἐκατάτρεξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ.

10 Ἀλλὰ διὰ μέσου τῆς χάριτος τοῦ Θεοῦ εἶμαι ἐκεῖνο ὁποῦ εἶμαι· καὶ ἡ χάρις του ὁποῦ εἶναι εἰς ἐμένα, δὲν ἐγίνηκεν εὔκαιρη, ἀλλὰ περισσότερον ἀπ' αὐτοὺς ὅλους ἐκοπίασα· καὶ ὄχι ἐγὼ, ἀλλὰ ἡ χάρις τοῦ Θεοῦ ὁποῦ εἶναι μαζὺ μετ' ἐμένα.

11 Κἂν ἐγὼ λοιπὸν, κἂν ἐκεῖνοι, ἔτζι κηρύττομεν, καὶ ἔτζι ἐπιστεύσατε.

12 Καὶ ἐὰν ὁ Χριστὸς κηρύττεται ὅτι ἀνέστη ἐκ νεκρῶν, πῶς

πῶς λέγουσί τινες ἐν ὑμῖν, ὅτι ἀνάςασις νεκρῶν οὐκ ἔςιν;

13 Εἰ δὲ ἀνάςασις νεκρῶν οὐκ ἔςιν, οὐδὲ Χριςὸς ἐγήγερται.

14 Εἰ δὲ Χριςὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίςις ὑμῶν.

15 Εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ Θεοῦ· ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ Θεοῦ ὅτι ἤγειρε τὸν Χριςόν· ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται.

16 Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριςὸς ἐγήγερται·

17 Εἰ δὲ Χριςὸς οὐκ ἐγήγερται, ματαία ἡ πίςις ὑμῶν· ἔτι ἐςὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν·

18 Ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριςῷ, ἀπώλοντο.

19 Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριςῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν.

20 Νυνὶ δὲ, Χριςὸς ἐγήγερται ἐκ νεκρῶν· ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο.

21 Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν.

λέγουσι τινὲς ἀνάμεσά σας, ὅτι ἀνάςασις νεκρῶν δὲν εἶναι;

13 Καὶ ἐὰν δὲν εἶναι ἀνάςασις νεκρῶν, οὐδὲ ὁ Χριςὸς ἀναςάθη.

14 Καὶ ἐὰν ὁ Χριςὸς δὲν ἀναςάθη, εὔκαιρον λοιπὸν εἶναι τὸ κήρυγμά μας, καὶ εὔκαιρη εἶναι καὶ ἡ πίςις σας.

15 Καὶ ἐμεῖς εὑρισκόμεσθε ψευδομάρτυρες τοῦ Θεοῦ· ὅτι ἐμαρτυρήσαμεν περὶ Θεοῦ, ὅτι ἀνάςησε τὸν Χριςόν· τὸν ὁποῖον δὲν ἀνάςησεν, ἀνίσως καὶ οἱ νεκροὶ δὲν ἀναςήνονται.

16 Διατὶ ἐὰν οἱ νεκροὶ δὲν ἀναςήνονται, οὐδὲ ὁ Χριςὸς ἀναςάθη·

17 Καὶ ἐὰν ὁ Χριςὸς δὲν ἀναςάθη, ἡ πίςις σας εἶναι εὔκαιρη· ἀκόμι εὑρίσκεσθε εἰς ταῖς ἁμαρτίαις σας·

18 Καὶ ἐκεῖνοι λοιπὸν ὅπου ἐκοιμήθηκαν εἰς τὸν Χριςὸν, ἐχάθηκαν.

19 Ἐὰν μόνον ἐλπίζωμεν εἰς τὸν Χριςὸν εἰς τὴν ζωὴν ἐτούτην, εἴμεσθεν ἀθλιώτεροι ἀπὸ ὅλους τοὺς ἀνθρώπους.

20 Ἀλλὰ τῶρα ὁ Χριςὸς ἀνέςη ἐκ νεκρῶν· καὶ ἔγινεν ἀπαρχὴ ἐκείνων ὅπου κοιμῶνται.

21 Διατὶ ἐπειδὴ διαμέσου ἑνὸς ἀνθρώπου (εἶναι) ὁ θάνατος, τέτοιας λογῆς καὶ διαμέσου ἑνὸς ἀνθρώπου (εἶναι) ἡ ἀνάςασις τῶν νεκρῶν.

22 Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριςῷ πάντες ζωοποιηθήσονται.

23 Ἕκαςος δὲ ἐν τῷ ἰδίῳ τάγματι· ἀπαρχὴ Χριςὸς, ἔπειτα οἱ τοῦ Χριςοῦ, ἐν τῇ παρουσίᾳ αὐτοῦ.

24 Εἶτα τὸ τέλος, ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ πατρί· ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν.

25 Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ.

26 Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος.

27 Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. Ὅταν δὲ εἴπῃ ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα.

28 Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν.

29 Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν, εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται;

22 Διατὶ καθὼς εἰς τὸν Ἀδὰμ ὅλοι ἀποθνήσκουσιν, τέτοιας λογῆς καὶ εἰς τὸν Χριςὸν ὅλοι θέλουσι ζωοποιηθῆ.

23 Ἀμὴ κάθε ἕνας εἰς τὴν ἰδίαν του τάξιν· ὁ Χριςὸς (εἶναι) ἀπαρχὴ, ἔπειτα (θέλουν ἀναςαθῆ) ἐκεῖνοι ὁποῦ εἶναι τοῦ Χριςοῦ εἰς τὴν παρουσίαν του.

24 Εἶτα (θέλει εἶσθαι) τὸ τέλος, ὅταν παραδώσῃ τὴν βασιλείαν εἰς τὸν Θεὸν καὶ πατέρα· ὅταν χαλάσῃ κάθε λογῆς ἀρχὴν καὶ κάθε ἐξουσίαν καὶ δύναμιν.

25 Διατὶ κάμνει χρεία νὰ βασιλεύῃ αὐτὸς ἕως ὁποῦ νὰ βάλλῃ ὅλους τοὺς ἐχθροὺς ἀποκάτω εἰς τὰ ποδάριά του.

26 Ὑςερινὸς ἐχθρὸς ὁποῦ χαλνᾶται, εἶναι ὁ θάνατος.

27 Διατὶ ὅλα τὰ ὑπέταξεν ἀποκάτω εἰς τὰ ποδάριά του. Καὶ ὅταν λέγῃ ὅτι ὅλα τοῦ εἶναι ὑποτεταγμένα, φανερὸν εἶναι ὅτι ἔξω ἀπ' ἐκεῖνον ὁποῦ τοῦ ὑπόταξε τὰ πάντα.

28 Καὶ ὅταν τοῦ ὑποταχθοῦσι τὰ πάντα, τότε καὶ αὐτὸς ὁ υἱὸς θέλει ὑποταχθῇ εἰς ἐκεῖνον ὁποῦ τοῦ ὑπόταξε τὰ πάντα, διὰ νὰ εἶναι ὁ Θεὸς τὰ ὅλα εἰς ὅλους.

29 Ἀλλέως τί θέλουσι κάμει ἐκεῖνοι ὁποῦ βαπτίζονται διὰ τοὺς νεκροὺς, ἐὰν καθόλου οἱ νε-

τί καὶ βαπτίζονται ὑπὲρ τῶν
νεκρῶν;
30 Τί καὶ ἡμεῖς κινδυνεύο-
μεν πᾶσαν ὥραν;
31 Καθ' ἡμέραν ἀποθνή-
σκω, νὴ τὴν ὑμετέραν καύχη-
σιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ
Κυρίῳ ἡμῶν.
32 Εἰ κατὰ ἄνθρωπον
ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί
μοι τὸ ὄφελος, εἰ νεκροὶ οὐκ
ἐγείρονται; Φάγωμεν καὶ
πίωμεν· αὔριον γὰρ ἀποθνή-
σκομεν.
33 Μὴ πλανᾶσθε· Φθεί-
ρουσιν ἤθη χρῆσθ' ὁμιλίαι
κακαί.
34 Ἐκνήψατε δικαίως,
καὶ μὴ ἁμαρτάνετε· ἀγνω-
σίαν γὰρ Θεοῦ τινες ἔχουσι·
πρὸς ἐντροπὴν ὑμῖν λέγω.
35 Ἀλλ' ἐρεῖ τις· Πῶς
ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ
σώματι ἔρχονται;
36 Ἄφρον, σὺ ὃ σπείρεις,
οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀπο-
θάνῃ.
37 Καὶ ὃ σπείρεις, οὐ τὸ
σῶμα τὸ γενησόμενον σπεί-
ρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ
τύχοι, σίτου, ἤ τινος τῶν
λοιπῶν.
38 Ὁ δὲ Θεὸς αὐτῷ δίδωσι
σῶμα καθὼς ἠθέλησε, καὶ ἑκά-

κροὶ δὲν ἀναστήνονται; διατὶ καὶ
βαπτίζονται διὰ τοὺς νεκρούς;
30 Καὶ διατὶ καὶ ἐμεῖς
κινδυνεύομεν πᾶσαν ὥραν;
31 Πᾶσα ἡμέρα ἀπο-
θαίνω, μὰ τὴν ἐδικήν σας
καύχησιν, ὁποῦ ἔχω εἰς τὸν
Χριστὸν Ἰησοῦν τὸν Κύριόν μας.
32 Ἐὰν ἐγὼ κατὰ ἄνθρω-
πον ἐπολέμησα μὲ θηρία εἰς
τὴν Ἔφεσον, τί εἶναι τὸ διά-
φορόν μου, ἐὰν οἱ νεκροὶ δὲν
ἀναστήνονται; Ἂς φᾶμε καὶ
ἂς πιοῦμε· διατὶ αὔριον ἀπο-
θαίνομεν.
33 Μὴν πλανᾶσθε. Ἡ
κακαῖς συναναστροφαῖς χαλοῦ-
σι τὰ καλὰ ἤθη.
34 Ἐξυπνίσετε (νὰ ζῆτε)
δικαίως, καὶ μὴν ἁμαρτάνετε·
διατὶ κάποιοι δὲν γνωρίζουν τὸν
Θεόν· διὰ ἐντροπήν σας τὸ
λέγω.
35 Ἀλλὰ κανένας θέλει
εἰπεῖ· Πῶς ἀναστήνονται οἱ
νεκροί; καὶ μὲ ποῖον κορμὶ
ἔρχονται;
36 Ἄγνωστε (ἄνθρωπε)
ἐκεῖνο ὁποῦ σπέρνεις ἐσὺ, δὲν
πέρνει ζωὴν, ἐὰν δὲν ἀποθάνῃ.
37 Καὶ ἐκεῖνο ὁποῦ ἐσὺ
σπέρνεις, δὲν σπέρνεις τὸ
σῶμα ὁποῦ μέλλει νὰ γενῇ,
ἀλλὰ γυμνὸν κοκκὶ, ἂν τύχῃ,
σιταρίου, ἢ κανενὸς ἀπὸ τὰ
λοιπὰ σπέρματα.
38 Καὶ ὁ Θεὸς τοῦ δίδει σῶ-
μα καθῶς θέλει, καὶ κάθε ἕνα

στῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα.

39 Οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ· ἀλλὰ ἄλλη μὲν σὰρξ ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πτηνῶν.

40 Καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων.

41 Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ.

42 Οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν· σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ·

43 Σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει·

44 Σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν· ἔστι σῶμα ψυχικόν, καὶ ἔστι σῶμα πνευματικόν.

45 Οὕτω καὶ γέγραπται· Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν.

ἀπὸ τὰ σπέρματα τὸ ἴδιόν του σῶμα (δίδει.)

39 Ὄχι κάθε σὰρξ εἶναι ἡ αὐτὴ σάρξ· ἀλλὰ ἄλλη εἶναι ἡ σὰρξ τῶν ἀνθρώπων, καὶ ἄλλη εἶναι ἡ σὰρξ τῶν κτηνῶν, καὶ ἄλλη εἶναι ἡ σὰρξ τῶν ψαριῶν, καὶ ἄλλη εἶναι ἡ σὰρξ τῶν πετεινῶν.

40 Εἶναι καὶ σώματα ἐπουράνια, εἶναι καὶ σώματα ἐπίγεια· ἀλλὰ ἄλλη εἶναι ἡ δόξα τῶν ἐπουρανίων, καὶ ἄλλη ἡ δόξα τῶν ἐπιγείων.

41 Καὶ ἄλλη εἶναι ἡ δόξα τοῦ ἡλίου, καὶ ἄλλη εἶναι ἡ δόξα τοῦ φεγγαρίου, καὶ ἄλλη εἶναι ἡ δόξα τῶν ἀστέρων· διατὶ ὁ ἕνας ἀστὴρ διαφέρει ἀπὸ τὸ ἄλλο ἄστρον εἰς τὴν δόξαν.

42 Ἔτζι θέλει εἶσθαι καὶ ἡ ἀνάστασις τῶν νεκρῶν· σπέρνεται εἰς φθορὰν, ἀνασταίνεται εἰς ἀφθαρσίαν·

43 Σπέρνεται εἰς ἀτιμίαν, καὶ ἀνασταίνεται εἰς τὴν δόξαν· σπέρνεται ἀσθενημένον, καὶ ἀνασταίνεται δυναμωμένον·

44 Σπέρνεται σῶμα ψυχικὸν, καὶ ἀνασταίνεται σῶμα πνευματικόν· εἶναι σῶμα ψυχικὸν, καὶ εἶναι σῶμα πνευματικόν.

45 Τέτοιας λογῆς εἶναι καὶ γεγραμμένον· Ἔγινεν ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζωντανήν· ὁ ὕστερινὸς Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν.

46 Ἀλλ᾽ οὐ πρῶτον τὸ πνευματικὸν, ἀλλὰ τὸ ψυχικὸν, ἔπειτα τὸ πνευματικόν.

47 Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς, χοϊκός· ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ.

48 Οἷος ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι.

49 Καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.

50 Τοῦτο δέ φημι, ἀδελφοὶ, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ.

51 Ἰδοὺ, μυστήριον ὑμῖν λέγω· Πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα·

52 Ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι, (σαλπίσει γὰρ,) καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα.

53 Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.

46 Ἀλλὰ ὄχι πρῶτον ἔγινε τὸ πνευματικὸν, ἀλλὰ τὸ ψυχικὸν, ἔπειτα τὸ πνευματικόν.

47 Ὁ πρῶτος ἄνθρωπος (ἦτον) ἀπὸ τὴν γῆν χωματένιος· ὁ δεύτερος ἄνθρωπος (εἶναι) ὁ Κύριος ἀπὸ τὸν οὐρανόν.

48 Ὅ, τι λογῆς ἦτον ὁ χωματένιος, τέτοιας λογῆς εἶναι καὶ οἱ χωματένιοι· καὶ ὅ, τι λογῆς εἶναι ὁ ἐπουράνιος, τέτοιας λογῆς (θέλουσιν εἶσθαι) καὶ οἱ ἐπουράνιοι.

49 Καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χωματένιου, ἔτζι θέλομεν φορέσει καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.

50 Καὶ τοῦτο λέγω, ἀδελφοὶ, ὅτι σὰρξ καὶ αἷμα δὲν δύνονται νὰ κληρονομήσουν τὴν βασιλείαν τοῦ Θεοῦ, οὐδὲ ἡ φθορὰ κληρονομεῖ τὴν ἀφθαρσίαν.

51 Νὰ, ὁποῦ σᾶς λέγω μυστήριον ἀληθινά· Ὅλοι δὲν θέλομεν ἀποθάνη, ἀλλὰ ὅλοι θέλομεν ἀλλαχθῆ·

52 Εἰς μίαν στιγμὴν, ὡς ἐν ῥοπῇ ὀφθαλμοῦ, εἰς τὴν ὑστερινὴν σάλπιγγα· (διατὶ θέλει σαλπίσει,) καὶ οἱ νεκροὶ θέλουσιν ἀνασταθῆ ἄφθαρτοι, καὶ ἡμεῖς θέλομεν ἀλλαχθῆ.

53 Διατὶ ἀναγκαῖον εἶναι τὸ φθαρτὸν ἐτοῦτο (κορμὶ) νὰ ἐνδυθῆ ἀφθαρσίαν, καὶ τὸ θνητὸν ἐτοῦτο νὰ ἐνδυθῆ ἀθανασίαν.

54 Ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος· Κατεπόθη ὁ θάνατος εἰς νῖκος.

54 Καὶ ὅταν τὸ φθαρτὸν ἐτοῦτο (κορμὶ) ἐνδυθῇ ἀφθαρσίαν, καὶ τὸ θνητὸν ἐτοῦτο (κορμὶ) ἐνδυθῇ ἀθανασίαν, τότε θέλει γένει ὁ λόγος ὁ γεγραμμένος· Ἐῤῥόφηθη ὁ θάνατος ἀπὸ τὴν νίκην.

55 Ποῦ σου, θάνατε, τὸ κέντρον; Ποῦ σου, ᾅδη, τὸ νῖκος;

55 Ὦ θάνατε, ποῦ εἶναι ἡ νίκη σου; Ὦ ᾅδη, ποῦ εἶναι τὸ κέντρον σου;

56 Τὸ δὲ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία· ἡ δὲ δύναμις τῆς ἁμαρτίας, ὁ νόμος.

56 Τὸ κέντρον τοῦ θανάτου εἶναι ἡ ἁμαρτία· καὶ ἡ δύναμις τῆς ἁμαρτίας εἶναι ὁ νόμος.

57 Τῷ δὲ Θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

57 Καὶ ἂς εἶναι χάρις τῷ Θεῷ ὁποῦ μᾶς δίδει τὴν νίκην διαμέσου τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ.

58 Ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε, εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ.

58 Διὰ τοῦτο, ἀδελφοί μου ἀγαπητοί, στέκεσθε στερεοί, ἀμετασάλευτοι, περισσεύοντες εἰς τὸ ἔργον τοῦ Κυρίου πάντοτε, ἠξεύροντες ὅτι ὁ κόπος σας δὲν εἶναι εὔκαιρος εἰς τὸν Κύριον.

Κεφ. ιϛʹ. 16.

ΠΕρὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους ὥσπερ διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε.

ΚΑΙ διὰ τῆς ζητείας (τῶν ἐλεημοσυνῶν ὁποῦ εἶναι) διὰ τοὺς ἁγίους, καθὼς ἔβαλλα εἰς τάξιν ταῖς ἐκκλησίαις τῆς Γαλατίας, τέτοιας λογῆς κάμετε καὶ ἐσεῖς.

2 Κατὰ μίαν σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω, θησαυρίζων ὅ, τι ἂν εὐο-

2 Κάθε κυριακήν, κάθε ἕνας ἀπὸ σᾶς ἂς βάλλει ξεχωριστὰ εἰς τὸ σπῆτι του θησαυρίζον-

δῶται· ἵνα μὴ ὅταν ἔλθω, τότε λογίαι γίνωνται.

3 Ὅταν δὲ παραγίνωμαι, οὓς ἐὰν δοκιμάσητε δι' ἐπιστολῶν, τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἱερουσαλήμ.

4 Ἐὰν δὲ ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται.

5 Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς ὅταν Μακεδονίαν διέλθω· (Μακεδονίαν γὰρ διέρχομαι·)

6 Πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ καὶ παραχειμάσω, ἵνα ὑμεῖς με προπέμψητε οὗ ἐὰν πορεύωμαι.

7 Οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν· ἐλπίζω δὲ χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος ἐπιτρέπῃ.

8 Ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς πεντηκοστῆς.

9 Θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργής, καὶ ἀντικείμενοι πολλοί.

10 Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς· τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται ὡς καὶ ἐγώ.

τας ὅσον ἠμπορεῖ, καθὼς τὸν φωτίσει Θεός· διὰ νὰ μὴν γίνεται τότε μάζωξις τῆς ἐλεημοσύνης ὅταν ἔλθω.

3 Καὶ ὅταν ἔλθω, ὅποιους ἐσεῖς θέλετε γράψει μὲ ἐπιστολαῖς νὰ εἶναι δόκιμοι, ἐκείνους θέλω πέμψει νὰ πάρουν, καὶ νὰ ὑπᾶσι τὴν χάριν σας εἰς τὴν Ἱερουσαλήμ.

4 Καὶ ἐὰν εἶναι ἄξιον νὰ πάγω καὶ ἐγώ, θέλουσιν ὑπάγει μάζυ μου.

5 Καὶ ὅταν περάσω τὴν Μακεδονίαν, θέλω ἔλθη εἰς ἐσᾶς· (διατὶ θέλω νὰ περάσω διαμέσου τῆς Μακεδονίας·)

6 Καὶ ἂν τύχῃ θέλω σταθῇ ὀλίγον εἰς ἐσᾶς, ἢ καὶ νὰ ξεχειμάσω, διὰ νὰ μὲ συμπροευοδήσετε ὅπου καὶ ἂν ὑπάγω.

7 Διατὶ δὲν θέλω νὰ σᾶς εἰδῶ τώρα περαστικός· ἀμὴ ἐλπίζω νὰ ἀπομείνω καμπόσον καιρὸν εἰς ἐσᾶς, ἂν τὸ συγχωρέσῃ ὁ Κύριος.

8 Καὶ θέλω ἀπομείνει εἰς τὴν Ἔφεσον ἕως τῆς πεντηκοστῆς.

9 Διατὶ μου ἀνοίχθηκε θύρα μεγάλη καὶ ἐνεργητική, καὶ εἶναι καὶ πολλοὶ ἐναντίοι.

10 Καὶ ἐὰν ἔλθῃ ὁ Τιμόθεος, βλέπετε νὰ εἶναι χωρὶς φόβον ἀνάμεσά σας· διατὶ ἐργάζεται τὸ ἔργον τοῦ Κυρίου ὡσὰν καὶ ἐγώ.

11 Μήτις οὖν αὐτὸν ἐξουθενήσῃ· προπέμψατε δὲ αὐτὸν ἐν εἰρήνῃ, ἵνα ἔλθῃ πρός με· ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν.

12 Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ, πολλὰ παρεκάλεσα αὐτὸν ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν· καὶ πάντως οὐκ ἦν θέλημα ἵνα νῦν ἔλθῃ· ἐλεύσεται δὲ ὅταν εὐκαιρήσῃ.

13 Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε·

14 Πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω.

15 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί· οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας, καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς·

16 Ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις, καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι.

17 Χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνεπλήρωσαν·

18 Ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν·

11 Κανένας λοιπὸν ἂς μὴν τὸν καταφρονῇ· ἀλλὰ συντροφιάσετέ τον μὲ εἰρήνην, διὰ νὰ ἔλθῃ εἰς ἐμένα· διατὶ τὸν καρτερῶ ἀντάμα μὲ τοὺς ἀδελφούς.

12 Καὶ διὰ τὸν ἀδελφὸν τὸν Ἀπολλώ, πολλὰ τὸν ἐπαρακάλεσα διὰ νὰ ἔλθῃ εἰς ἐσᾶς ὁμοῦ μὲ τοὺς ἀδελφούς· καὶ καθόλου δὲν ἠθέλησε νὰ ἔλθῃ τῶρα· ἀμὴ θέλει ἔλθῃ ὅταν εὕρῃ καλὸν καιρόν.

13 Ἀγρυπνᾶτε, στέκεσθε εἰς τὴν πίστιν, ἀνδρειώνεσθε, καὶ δυναμώνεσθε·

14 Ὅλα σας (τὰ πράγματα) ἂς γίνουνται μὲ ἀγάπην.

15 Καὶ παρακαλῶ σας, ἀδελφοί· ἰξεύρετε τὸ σπῆτι τοῦ Στεφανᾶ, ὅτι εἶναι τὸ πρωτοφανήσιμον τῆς Ἀχαΐας, καὶ ἀφιέρωσαν τοῦ λόγου τους διὰ νὰ ὑπηρετοῦσι τοὺς ἁγίους·

16 Διὰ νὰ ὑποτάσσεσθε καὶ ἐσεῖς εἰς τοὺς τοιούτους, καὶ εἰς κάθε ἕναν ὁποῦ συνεργᾷ καὶ κοπιάζει.

17 Καὶ χαίρομαι εἰς τὸν ἐρχομὸν τοῦ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ἐδικόν σας λείψιμον ἐτοῦτοι τὸ ἀνεπλήρωσαν·

18 Διατὶ καὶ τὸ ἐδικόν μου πνεῦμα, καὶ τὸ ἐδικόν

ἐπιγινώσκετε οὖν τοὺς τοιούτους.

19 Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας. Ἀσπάζονται ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα, σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ.

20 Ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ.

21 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου.

22 Εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν Χριστὸν, ἤτω ἀνάθεμα, μαρὰν ἀθά.

23 Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν.

24 Ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

† Πρὸς Κορινθίους πρώτη ἐγράφη ἀπὸ Φιλίππων διὰ Στεφανᾶ, καὶ Φουρτουνάτου, καὶ Ἀχαϊκοῦ, καὶ Τιμοθέου.

σας ἀνάπαυσαν. γνωρίζετε λοιπὸν τοὺς τοιούτους.

19 Σᾶς χαιρετοῦν αἱ ἐκκλησίαι τῆς Ἀσίας. Σᾶς χαιρετᾷ κατὰ πολλὰ ἐν Κυρίῳ ὁ Ἀκύλας καὶ Πρίσκιλλα, ὁμοῦ μὲ τὴν ἐκκλησίαν ὅπου εἶναι εἰς τὸ σπῆτι αὐτωνῶν.

20 Οἱ ἀδελφοὶ ὅλοι σᾶς χαιρετοῦν. Χαιρετηθῆτε ἕνας τὸν ἄλλον μὲ φίλημα ἅγιον.

21 Ἐτοῦτος ὁ χαιρετισμὸς (ἐγράφη) μὲ τὸ ἐδικόν μου χέρι τοῦ Παύλου.

22 Ὅποιος δὲν ἀγαπᾷ τὸν Κύριόν μας Ἰησοῦν Χριστὸν, ἂς εἶναι ἀνάθεμα μαρὰν ἀθά.

23 Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἂς εἶναι μὲ τοῦ λόγου σας.

24 Ἡ ἀγάπη μου μὲ ὅλους σας ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

† Ἡ εἰς Κορινθίους πρώτη ἐγράφη ἀπὸ Φιλίππων, διὰ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ καὶ Τιμοθέου.

ΠΑΥ'ΛΟΥ ΤΟΥ͂ 'ΑΠΟΣΤΟ'ΛΟΥ

'Η ΠΡΟ'Σ ΚΟΡΙΝΘΙ'ΟΥΣ 'ΕΠΙΣΤΟΛΗ' ΔΕΥΤΕ'ΡΑ.

Κεφ. α΄. 1.

ΠΑῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ, διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς, τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, σὺν τοῖς ἁγίοις πᾶσι τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαΐᾳ.

2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

3 Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως·

4 Ὁ παρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς παρακλήσεως ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ.

5 Ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτω διὰ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν.

6 Εἴτε δὲ θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας, τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν παθημά-

ΠΑῦλος ἀπόστολος τοῦ Ἰησοῦ Χριστοῦ, μὲ τὸ θέλημα Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς, εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ ὁποῦ εἶναι εἰς τὴν Κόρινθον, μὲ ὅλους τοὺς ἁγίους ὁποῦ εἶναι εἰς ὅλην τὴν Ἀχαΐαν.

2 Ἂς εἶναι χάρις εἰς ἐσᾶς καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρός μας, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

3 Ἂς εἶναι εὐλογημένος ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τοῦ ἐλέους, καὶ Θεὸς κάθε παρηγορίας·

4 Ὁποῦ μᾶς παρηγορᾷ εἰς ὅλαις μας ταῖς θλίψαις, εἰς τὸ νὰ δυνώμεσθεν ἐμεῖς νὰ παρηγοροῦμεν ἐκείνους ὁποῦ εἶναι εἰς κάθε θλίψιν, διαμέσου τῆς παρηγορίας μὲ τὴν ὁποίαν παρηγορούμεσθεν ἐμεῖς ἀπὸ τὸν Θεόν.

5 Ὅτι καθὼς περισσεύουσιν εἰς ἐμᾶς τὰ παθήματα τοῦ Χριστοῦ, ἔτζι καὶ ἡ παρηγορία μας περισσεύει διαμέσου τοῦ Χριστοῦ.

6 Καὶ ἐὰν θλιβόμεσθε, διὰ τὴν παρηγορίαν καὶ τὴν σωτηρίαν σας, (θλιβόμεσθε,) κἂν τε παρηγορούμεσθε, παρη-

των ὧν καὶ ἡμεῖς πάσχομεν· εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας· καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν·

7 Εἰδότες ὅτι ὥσπερ κοινωνοί ἐςε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως.

8 Οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ᾽ ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥςε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν.

9 Ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ᾽ ἑαυτοῖς, ἀλλ᾽ ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς.

10 Ὃς ἐκ τηλικούτου θανάτου ἐῤῥύσατο ἡμᾶς, καὶ ῥύεται· εἰς ὃν ἠλπίκαμεν ὅτι καὶ ἔτι ῥύσεται·

11 Συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει, ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν.

12 Ἡ γὰρ καύχησις ἡμῶν

γορεύμεσθε διὰ τὴν ἐδικήν σας παρηγορίαν, ἡ ὁποῖα ἐνεργεῖται μὲ τὴν ὑπομονὴν τῶν αὐτῶν παθημάτων, τὰ ὁποῖα πάσχομεν καὶ ἐμεῖς· καὶ ἡ ἐλπίδα μας διὰ λόγου σας εἶναι βεβαία·

7 Ἰξεύροντες ἐμεῖς ὅτι καθὼς εἶσθε κοινωνοὶ τῶν παθημάτων, τέτοιας λογῆς θέλετε εἶσθε κοινωνοὶ καὶ τῆς παρηγορίας.

8 Διατὶ θέλομεν νὰ ἰξεύρετε ἐσεῖς, ἀδελφοί, διὰ τὴν θλίψιν μας ὁποῦ μᾶς ἐσυνέβη εἰς τὴν Ἀσίαν, ὅτι ἐβαρεθήκαμεν πολλὰ περισσὰ, ἔξω ἀπὸ τὴν δύναμίν μας, εἰς τόσον ὁποῦ ἀπελπισθήκαμεν καὶ ἀπὸ τὴν ζωήν μας.

9 Ἀλλὰ καὶ εἴχαμεν εἰς τοῦ λόγου μας καὶ τὴν ἀπόφασιν τοῦ θανάτου, διὰ νὰ μὴν θαῤῥοῦμεν εἰς τοῦ λόγου μας, ἀλλὰ εἰς τὸν Θεὸν, ὁποῦ ἀναςαίνει τοὺς νεκρούς.

10 Ὁ ὁποῖος μᾶς ἐλευθέρωσεν ἀπὸ τόσον μεγάλον θάνατον, καὶ μᾶς ἐλευθερώνει· εἰς τὸν ὁποῖον ἐλπίζομεν ὅτι καὶ ἀκόμι θέλει μᾶς ἐλευθέρωσει·

11 Ἔςωντας νὰ συνυπηρετᾶτε καὶ ἐσεῖς μὲ τὴν δέησίν σας διὰ λόγου μας, διὰ νὰ εὐχαριςηθῇ διὰ λόγου μας ἀπὸ πολλὰ πρόσωπα τὸ χάρισμα ὁποῦ μᾶς ἐδόθη διαμέσου πολλῶν ἀνθρώπων.

12 Διατὶ ἡ καύχησίς μας

αὕτη ἐςὶ, τὸ μαρτύριον τῆς
συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁπ-
λότητι καὶ εἰλικρινείᾳ Θεοῦ,
οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ'
ἐν χάριτι Θεοῦ ἀνεςράφημεν ἐν
τῷ κόσμῳ, περισσοτέρως δὲ
πρὸς ὑμᾶς.

13 Οὐ γὰρ ἄλλα γράφο-
μεν ὑμῖν ἀλλ' ἢ ἃ ἀναγινώ-
σκετε, ἢ καὶ ἐπιγινώσκετε· ἐλ-
πίζω δὲ ὅτι καὶ ἕως τέλους
ἐπιγνώσεσθε.

14 Καθὼς καὶ ἐπέγνωτε
ἡμᾶς ἀπὸ μέρους, ὅτι καύχη-
μα ὑμῶν ἐσμεν, καθάπερ καὶ
ὑμεῖς ἡμῶν, ἐν τῇ ἡμέρᾳ τοῦ
Κυρίου Ἰησοῦ.

15 Καὶ ταύτῃ τῇ πεποι-
θήσει ἐβουλόμην πρὸς ὑμᾶς
ἐλθεῖν πρότερον, ἵνα δευτέραν
χάριν ἔχητε·

16 Καὶ δι' ὑμῶν διελθεῖν
εἰς Μακεδονίαν, καὶ πάλιν
ἀπὸ Μακεδονίας ἐλθεῖν πρὸς
ὑμᾶς, καὶ ὑφ' ὑμῶν προπεμφ-
θῆναι εἰς τὴν Ἰουδαίαν.

17 Τοῦτο οὖν βουλευόμενος,
μήτι ἄρα τῇ ἐλαφρίᾳ ἐχρη-
σάμην; ἢ ἃ βουλεύομαι, κατὰ
σάρκα βουλεύομαι, ἵνα ᾖ παρ'
ἐμοὶ τὸ ναὶ ναὶ, καὶ τὸ οὒ
οὔ;

18 Πιςὸς δὲ ὁ Θεὸς, ὅτι ὁ
λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ
ἐγένετο ναὶ καὶ οὔ.

ἐτούτη εἶναι, ἡ μαρτυρία τῆς
συνειδήσεώς μας, ὅτι μὲ ἀπ-
λότητα καὶ μὲ καθαρότητα
Θεοῦ, ὄχι με σοφίαν σαρκικὴν,
ἀλλὰ μὲ τὴν χάριν τοῦ Θεοῦ,
ἐσυναναςραφήκαμεν εἰς τὸν
κόσμον, καὶ περισσότερον εἰς
ἐσᾶς.

13 Διατὶ δὲν σᾶς γράφο-
μεν ἄλλα, παρὰ ἐκεῖνα ὁποῦ
ἀναγινώσκετε, καὶ τὰ γνω-
ρίζετε· καὶ ἐλπίζω ὅτι καὶ ἕως
τὸ τέλος θέλετε τὰ γνωρίσει.

14 Καθὼς καὶ μᾶς ἐγνω-
ρίσετε ἀπὸ τὸ μερικὸν, ὅτι εἴ-
μεσθε καύχημά σας, καθὼς
καὶ ἐσεῖς εἶσθε καύχημα μας,
εἰς τὴν ἡμέραν τοῦ Κυρίου Ἰησοῦ.

15 Καὶ μὲ τοῦτο τὸ θάῤ-
ῥος ἐβούλουμουν νὰ ἔλθω πρω-
τίτερα εἰς ἐσᾶς, διὰ νὰ ἔχετε
καὶ δευτέραν χάριν·

16 Καὶ διαμέσου σας νὰ
περάσω εἰ τὴν Μακεδονίαν,
καὶ πάλιν ἀπὸ τὴν Μακεδο-
νίαν νὰ ἔλθω εἰς ἐσᾶς, καὶ
ἀπὸ σᾶς νὰ προευοδηθῶ εἰς
τὴν Ἰουδαίαν.

17 Ἐτοῦτο λοιπὸν βουλευό-
μενος, μήπως ἄρα καὶ ἐμεταχ-
χειρίσθηκα ἐλαφρότητα; ἢ
ἐκεῖνα, ὁποῦ βουλεύομαι, σαρ-
κικῶς τὰ βουλεύομαι, διὰ νὰ
εἶναι σιμὰ εἰς ἐμένα, τὸ ναὶ
ναὶ, καὶ τὸ ὄχι ὄχι;

18 (Καθὼς) ὁ Θεὸς εἶναι
πιςὸς, (ἔτζι) ὁ λόγος μας
ὁποῦ ἐλαλήθη εἰς ἐσᾶς δὲν
ἔγινε ναὶ καὶ ὄχι.

19 Ὁ γὰρ τοῦ Θεοῦ υἱὸς Ἰησοῦς Χριστὸς ὁ ἐν ὑμῖν δι' ἡμῶν κηρυχθεὶς, δι' ἐμοῦ καὶ Σιλουανοῦ καὶ Τιμοθέου οὐκ ἐγένετο ναὶ καὶ οὒ, ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονεν,

20 (Ὅσαι γὰρ ἐπαγγελίαι Θεοῦ, ἐν αὐτῷ τὸ ναὶ, καὶ ἐν αὐτῷ τὸ ἀμὴν,) τῷ Θεῷ πρὸς δόξαν δι' ἡμῶν.

21 Ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν, καὶ χρίσας ἡμᾶς, Θεός·

22 Ὁ καὶ σφραγισάμενος ἡμᾶς, καὶ δοὺς τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν.

23 Ἐγὼ δὲ μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχὴν, ὅτι φειδόμενος ὑμῶν, οὐκέτι ἦλθον εἰς Κόρινθον.

24 Οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν· τῇ γὰρ πίστει ἑστήκατε.

19 Διατὶ ὁ υἱὸς τοῦ Θεοῦ ὁ Ἰησοῦς Χριστὸς, ὁποῦ ἐκηρύχθη εἰς ἐσᾶς διαμέσου μας, διαμέσου ἐμοῦ καὶ τοῦ Σιλουανοῦ καὶ τοῦ Τιμοθέου, δὲν ἔγινε ναὶ καὶ ὄχι, ἀλλὰ ναὶ ἔγινεν εἰς αὐτόν,

20 (Διατὶ ὅλα τὰ ταξίματα τοῦ Θεοῦ, εἰς αὐτὸν εἶναι ναὶ, καὶ εἰς αὐτὸν εἶναι ἀμὴν,) εἰς δόξαν τοῦ Θεοῦ, διαμέσου μας.

21 Καὶ ἐκεῖνος ὁποῦ μᾶς βεβαιώνει μαζὺ μετ' ἐσᾶς εἰς τὸν Χριστὸν, καὶ ἐκεῖνος ὁποῦ μᾶς ἔχρισεν, εἶναι ὁ Θεός·

22 Ὁποῦ μᾶς ἐσφράγισε, καὶ μᾶς ἔδωσε τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος εἰς ταῖς καρδίαις μας.

23 Καὶ ἐγὼ μάρτυρα ἐπικαλοῦμαι τὸν Θεὸν εἰς τὴν ψυχήν μου, μὲ τὸ νὰ σᾶς λυποῦμαι, δὲν ἦλθα ἀκόμι εἰς τὴν Κόρινθον.

24 Ὄχι ὅτι κυριεύομεν τὴν πίστιν σας, ἀλλὰ ὅτι εἴμεσθε συνεργοὶ τῆς χαρᾶς σας· διατὶ στέκεσθε διαμέσου τῆς πίστεως.

Κεφ. β. 2.

Ἔκρινα δὲ ἐμαυτῷ τοῦτο, τὸ μὴ πάλιν ἐλθεῖν ἐν λύπῃ πρὸς ὑμᾶς.

2 Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ;

Ἀποφάσισα εἰς τοῦ λόγου μου τοῦτο, τὸ νὰ μὴν ἔλθω πάλιν μὲ λύπην εἰς ἐσᾶς.

2 Διατὶ ἂν ἐγὼ σᾶς λυπῶ, ποῖος ἄλλος εἶναι ὁποῦ θέλει μὲ εὐφραίνει, παρὰ ἐκεῖνος ὁποῦ λυπᾶται ἀπὸ λόγου μου;

3 Καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτὸ, ἵνα μὴ ἐλθὼν λύπην ἔχω ἀφ᾽ ὧν ἔδει με χαίρειν· πεποιθὼς ἐπὶ πάντας ὑμᾶς, ὅτι ἡ ἐμὴ χαρὰ, πάντων ὑμῶν ἐστιν.

4 Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων, οὐχ᾽ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς.

5 Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλ᾽ ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ πάντας ὑμᾶς.

6 Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων·

7 Ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι, καὶ παρακαλέσαι, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος.

8 Διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς αὐτὸν ἀγάπην.

9 Εἰς τοῦτο γὰρ καὶ ἔγραψα, ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε.

10 Ὧι δέ τι χαρίζεσθε, καὶ ἐγώ· καὶ γὰρ ἐγὼ εἴ τι κεχάρισμαι, ᾧ κεχάρισμαι, δι᾽ ὑμᾶς, ἐν προσώπῳ Χριστοῦ,

3 Καὶ ἔγραψά σας τοῦτο αὐτὸ, διὰ νὰ μὴν ἔχω λύπην, ὅταν ἔλθω, ἀπ᾽ ἐκείνους ἀπὸ τοὺς ὁποίους ἔκαμνε χρεία νὰ χαίρωμαι· πιστεύοντας διὰ ὅλους σας, ὅτι ἡ ἐδική μου χαρὰ εἶναι ὁλονῶν σας.

4 Διατὶ ἀπὸ πολλὴν θλίψιν καὶ στενοχωρίαν τῆς καρδίας ὁποῦ εἶχα, σᾶς ἔγραψα, μὲ πολλὰ δάκρυα, ὄχι διὰ νὰ λυπηθῆτε, ἀλλὰ διὰ νὰ γνωρίσετε τὴν ἀγάπην ὁποῦ ἔχω τὴν πολλὰ περισσὴν εἰς ἐσᾶς.

5 Ἂν κανένας μὲ ἐλύπησε, δὲν ἐλύπησεν ἐμένα, ἀλλὰ ἐλύπησε καμπόσον, διὰ νὰ μὴν τὸν βαρύνω ὅλους ἐσᾶς.

6 Ἀρκετὸν εἶναι εἰς τὸν τοιοῦτον ἡ παίδευσις αὐτὴ ὁποῦ ἔγινεν εἰς αὐτὸν ἀπὸ τοὺς πολλούς·

7 Εἰς τόσον ὁποῦ τὸ ἐναντίον πρέπει μᾶλλον νὰ τοῦ κάμετε χάριν, καὶ νὰ τὸν παρηγορήσετε, μήπως καὶ ἀπὸ τὴν περισσὴν λύπην ἐτοῦτος καταπιωθῇ.

8 Διὰ τοῦτο σᾶς παρακαλῶ νὰ βεβαιώσετε εἰς αὐτὸν ἀγάπην.

9 Καὶ διὰ τοῦτο ἐπὶ τ᾽ αὐτοῦ σᾶς ἔγραψα, διὰ νὰ σᾶς δοκιμάσω, ἂν εἶσθε εἰς ὅλα ὑπήκοοι.

10 Καὶ ἐκείνου ὁποῦ ἐσεῖς συγχωρᾶτε τίποτες, καὶ ἐγὼ (τοῦ σύγχωρῶ·) διότι ἐγὼ ἐὰν ἐχάρισα τίποτες, ἐκεῖνο ὁποῦ

ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ·

11 Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.

12 Ἐλθὼν δὲ εἰς τὴν Τρωάδα εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ θύρας μοι ἀνεῳγμένης ἐν Κυρίῳ, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τῷ μὴ εὑρεῖν με Τίτον τὸν ἀδελφόν μου·

13 Ἀλλὰ ἀποταξάμενος αὐτοῖς, ἐξῆλθον εἰς Μακεδονίαν.

14 Τῷ δὲ Θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ·

15 Ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις·

16 Οἷς μὲν, ὀσμὴ θανάτου εἰς θάνατον· οἷς δὲ, ὀσμὴ ζωῆς εἰς ζωήν· καὶ πρὸς ταῦτα τίς ἱκανός;

17 Οὐ γάρ ἐσμεν, ὡς οἱ πολλοὶ, καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ, ἀλλ' ὡς ἐξ εἰλικρινείας, ἀλλ' ὡς ἐκ Θεοῦ, κατενώπιον τοῦ Θεοῦ, ἐν Χριστῷ λαλοῦμεν.

τὸ ἐχάρισα, διὰ λόγου σας τὸ ἐχάρισα, ἐνώπιον τοῦ Χριστοῦ, διὰ νὰ μὴν ζημιωθοῦμεν ἀπὸ τοῦ Σατανᾶ·

11 Διατὶ γνωρίζομεν ταῖς πανουργίαις του.

12 Καὶ ὅταν ἐπῆγα εἰς τὴν Τρωάδα διὰ (νὰ κηρύττω) τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, ἔστωντας νὰ μοῦ ἀνοιχθῇ θύρα ἐν Κυρίῳ, δὲν ἀναπαύουντον ἡ ψυχή μου, μὲ τὸ νὰ μὴν εὕρω τὸν Τίτον τὸν ἀδελφόν μου·

13 Ἀλλὰ ἀποχαιρετῶντάς τους, εὐγῆκα καὶ ἐπῆγα εἰς τὴν Μακεδονίαν.

14 Καὶ χάρις τῷ Θεῷ ὁποῦ μᾶς κάμνει νὰ νικοῦμεν καὶ νὰ θριαμβεύωμεν πάντοτε διαμέσου τοῦ Χριστοῦ, καὶ φανερώνει τὴν μυρωδίαν τῆς γνώσεώς του διαμέσου μας εἰς κάθε τόπον·

15 Ὅτι ἐμεῖς εἴμεσθεν εὐωδία τοῦ Χριστοῦ εἰς τὸν Θεὸν εἰς ἐκείνους ὁποῦ σώζονται, καὶ εἰς ἐκείνους ὁποῦ ἀπολοῦνται·

16 Εἰς κάποιους εἴμεσθεν μυρωδία θανάτου εἰς θάνατον· καὶ εἰς κάποιους, μυρωδία ζωῆς εἰς ζωήν· καὶ εἰς τοῦτα τίς εἶναι ἱκανός;

17 Διατὶ δὲν εἴμεσθεν ὡσὰν οἱ πολλοὶ, νὰ καπηλεύωμεν τὸν λόγον τοῦ Θεοῦ, ἀλλὰ ἐκ καθαρότητος, ὡσὰν ἀπὸ τὸν Θεὸν, ὀμπροστὰ εἰς τὸν Θεὸν, εἰς τὸν Χριστὸν λαλοῦμεν.

Κεφ. γ΄. 3.

Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν; Εἰ μὴ χρῄζομεν, ὥς τινες, συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς, ἢ ἐξ ὑμῶν συστατικῶν;

2 Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε, ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν, γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων·

3 Φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ διακονηθεῖσα ὑφ' ἡμῶν, ἐγγεγραμμένη οὐ μέλανι, ἀλλὰ Πνεύματι Θεοῦ ζῶντος, οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις.

4 Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν Θεόν·

5 Οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι, ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ.

6 Ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης, οὐ γράμματος, ἀλλὰ Πνεύματος· τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ Πνεῦμα ζωοποιεῖ.

7 Εἰ δὲ ἡ διακονία τοῦ θα-

Ἀρχίζομεν πάλιν νὰ συστήνωμεν τοῦ λόγου μας; Ἢ χρειαζόμεσθεν ὡσὰν χρειάζονται μερικοὶ, συστατικαῖς ἐπιστολαῖς εἰς ἐσᾶς, ἢ συστατικαῖς ἀπ' ἐσᾶς;

2 Ἐσεῖς εἶσθε ἡ ἐπιστολή μας, γεγραμμένη εἰς ταῖς καρδίαις μας, γνωρισμένη καὶ ἀναγινωσκομένη ἀπὸ ὅλους τοὺς ἀνθρώπους·

3 Ἔστωντας νὰ εἶσθε φανεροὶ, ὅτι εἶσθεν ἐπιστολὴ Χριστοῦ ὁποῦ ὑπηρετήθη ἀπὸ λόγου μας, γεγραμμένη ὄχι μὲ μελάνι, ἀλλὰ μὲ τὸ Πνεῦμα τοῦ Θεοῦ τοῦ ζῶντος, ὄχι εἰς πλάκες πετρένιαις, ἀλλὰ εἰς πλάκες σάρκιναις τῆς καρδίας.

4 Καὶ ἔχομεν τέτοιας λογῆς θάρρος εἰς τὸν Θεὸν διαμέσου τοῦ Χριστοῦ·

5 Ὄχι ὅτι εἴμεσθεν δυνατοὶ ἀπὸ λόγου μας νὰ νοήσωμεν τίποτες, ὡσὰν ἀπὸ λόγου μας, ἀλλὰ ἡ δύναμίς μας εἶναι ἀπὸ τὸν Θεόν.

6 Ὁ ὁποῖος καὶ μᾶς ἔκαμεν δυνατοὺς νὰ εἴμεσθε διάκονοι τῆς καινούριας διαθήκης, ὄχι τοῦ γράμματος, ἀλλὰ τοῦ Πνεύματος· διατὶ τὸ γράμμα σκοτώνει, ἀμὴ τὸ Πνεῦμα ζωοποιεῖ.

7 Καὶ ἐὰν ἡ διακονία τοῦ

νάτȣ ἐν γράμμασιν, ἐντετυπωμένη ἐν λίθοις, ἐγενήθη ἐν δόξῃ, ὥςε μὴ δύνασθαι ἀτενίσαι τȣ̀ς υἱȣ̀ς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωσέως, διὰ τὴν δόξαν τοῦ προσώπȣ αὐτȣ͂, τὴν καταργȣμένην·

8 Πῶς ȣ̓χὶ μᾶλλον ἡ διακονία τοῦ Πνεύματος ἔςαι ἐν δόξῃ;

9 Εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως, δόξα, πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ.

10 Καὶ γὰρ ȣ̓δὲ δεδόξαςαι τὸ δεδοξασμένον, ἐν τȣ́τῳ τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλȣ́σης δόξης.

11 Εἰ γὰρ τὸ καταργȣ́μενον, διὰ δόξης· πολλῷ μᾶλλον τὸ μένον, ἐν δόξῃ.

12 Ἔχοντες ȣ̓͂ν τοιαύτην ἐλπίδα, πολλῇ παῤῥησίᾳ χρώμεθα·

13 Καὶ ȣ̓ καθάπερ Μωσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτȣ͂, πρὸς τὸ μὴ ἀτενίσαι τȣ̀ς υἱȣ̀ς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργȣμένȣ.

14 Ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν· ἄχρι γὰρ τῆς σήμερον τὸ αὐτὸ κάλυμμα

θανάτȣ, ὁπȣ͂ ἦτον εἰς γράμματα, τετυπωμένη εἰς πέτραις, ἔγινεν ἔνδοξος, εἰς τόσον ὁπȣ͂ νὰ μὴν δύνωνται νὰ ἀτενίσȣν οἱ υἱοὶ τοῦ Ἰσραὴλ εἰς τὸ πρόσωπον τοῦ Μωϋσέως, διὰ τὴν δόξαν τοῦ προσώπȣ τȣ, τὴν πρόσκαιρον·

8 Πῶς δὲν θέλει εἶσθαι περισσότερον ἔνδοξος ἡ διακονία τοῦ Πνεύματος;

9 Διατὶ ἐὰν ἡ διακονία τῆς κατακρίσεως ἔγινεν ἔνδοξος, πολλὰ περισσότερον ἡ διακονία τῆς δικαιοσύνης περισσεύει εἰς δόξαν.

10 Διατὶ ἐκεῖνο ὁπȣ͂ ἐδοξάσθη τότε, δὲν ἐδοξάσθη εἰς τȣ͂το τὸ μέρος, μὲ τὴν ὑπεροχικὴν δόξαν.

11 Διατὶ ἐὰν ἐκεῖνο ὁπȣ͂ ἔμελλε νὰ παύσῃ, ἔγινεν ἔνδοξον· πολλὰ περισσότερον ἐκεῖνο ὁπȣ͂ μένει, πρέπει νὰ εἶναι ἔνδοξον.

12 Ἔχοντες λοιπὸν τέτοιας λογῆς ἐλπίδα, μεταχειριζόμεσθεν πολλὴν παῤῥησίαν·

13 Καὶ δὲν (κάμνομεν) ὡσὰν ἔκαμεν ὁ Μωϋσῆς, ὁ ὁποῖος ἔβανε σκέπασμα εἰς τὸ πρόσωπόν τȣ, διὰ νὰ μὴν ἀτενίσȣν οἱ υἱοὶ τοῦ Ἰσραὴλ εἰς τὸ τέλος (τȣ͂ νόμȣ) ὁπȣ͂ ἔμελλε νὰ παύσῃ.

14 Ἀλλὰ τὰ νοήματά τȣς ἐπωρώθησαν· διατὶ ἕως τὴν σήμερον τὸ αὐτὸ σκέπασμα

ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅ, τι ἐν Χριςῷ καταργεῖται.

15 Ἀλλ' ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται.

16 Ἡνίκα δ' ἂν ἐπιςρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα.

17 Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐςιν· ȣ̈ δὲ τὸ Πνεῦμα Κυρίȣ, ἐκεῖ ἐλευθερία.

18 Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίȣ κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφȣ́μεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίȣ πνεύματος.

εὑρίσκεται εἰς αὐτȣ̀ς εἰς τὴν ἀνάγνωσιν τῆς παλαιᾶς διαθήκης, καὶ δὲν ξεσκεπάζεται, τὸ ὁποῖον (σκέπασμα) παύεται διὰ μέσȣ τȣ̃ Χριςȣ̃.

15 Ἀλλ' ἕως τῆς σήμερον, ὁπόταν ἀναγινώσκεται ὁ Μωϋσῆς, κεῖται σκέπασμα εἰς τὴν καρδίαν τȣς.

16 Ἀλλ' ὁπόταν ἐπιςρέψῃ (ὁ Ἰσραὴλ) εἰς τὸν Κύριον, θέλει παρθῇ τὸ σκέπασμα.

17 Καὶ ὁ Κύριος, εἶναι τὸ Πνεῦμα· καὶ ἐκεῖ ὁπȣ̃ εἶναι τὸ Πνεῦμα Κυρίȣ, ἐκεῖ εἶναι ἐλευθερία.

18 Καὶ ἐμεῖς ὅλοι μὲ ξεσκεπασμένον πρόσωπον βλέποντες, ὡσὰν εἰς καθρέφτην, τὴν δόξαν τȣ̃ Κυρίȣ, μεταμορφωνόμεσθεν εἰς τὴν αὐτὴν εἰκόνα ἀπὸ δόξης εἰς δόξαν, ὡσὰν ἀπὸ τὸ πνεῦμα τȣ̃ Κυρίȣ.

Κεφ. δ'. 4.

ΔΙΑ' τȣ̃το ἔχοντες τὴν διακονίαν ταύτην, καθὼς ἠλεήθημεν, οὐκ ἐκκακȣ̃μεν·

2 Ἀλλ' ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης, μὴ περιπατȣ̃ντες ἐν πανȣργίᾳ, μηδὲ δολȣ̃ντες τὸν λόγον τοῦ Θεȣ̃, ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας συνιςῶντες ἑαυτȣ̀ς πρὸς πᾶσαν συν-

ΔΙΑ' τȣ̃το ἔςωντας νὰ ἔχωμεν τὴν ὑπηρεσίαν ἐτȣ̃την, καθὼς ἐλεηθήκαμεν, δὲν ὀκνȣ̃μεν·

2 Ἀλλὰ ἀπαρνηθήκαμεν τὰ κρυφὰ τῆς αἰσχύνης, καὶ δὲν περιπατȣ̃μεν μὲ πανȣργίαν, μηδὲ δολώνομεν τὸν λόγον τȣ̃ Θεȣ̃, ἀλλὰ μὲ τὴν φανέρωσιν τῆς ἀληθείας συςήνομεν τȣ̃ λόγȣ μας

ειδησιν ἀνθρώπων, ἐνώπιον τȣ̃ Θεȣ̃.

3 Εἰ δὲ καὶ ἔςι κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐςὶ κεκαλυμμένον·

4 Ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τȣ́τȣ ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίςων, εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίȣ τῆς δόξης τȣ̃ Χριςοῦ, ὅς ἐςιν εἰκὼν τοῦ Θεȣ̃.

5 Οὐ γὰρ ἑαυτȣ̀ς κηρύσσομεν, ἀλλὰ Χριςὸν Ἰησȣ̃ν Κύριον· ἑαυτȣ̀ς δὲ, δȣ́λȣς ὑμῶν διὰ Ἰησȣ̃ν.

6 Ὅτι ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότȣς φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τȣ̃ Θεȣ̃ ἐν προσώπῳ Ἰησȣ̃ Χριςȣ̃.

7 Ἔχομεν δὲ τὸν θησαυρὸν τȣ̃τον ἐν ὀςρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τȣ̃ Θεȣ̃, καὶ μὴ ἐξ ἡμῶν·

8 Ἐν παντὶ θλιβόμενοι, ἀλλ' ȣ̓ ςενοχωρȣ́μενοι· ἀπορȣ́μενοι, ἀλλ' οὐκ ἐξαπορȣ́μενοι·

9 Διωκόμενοι, ἀλλ' οὐκ

εἰς κάθε συνείδησιν τῶν ἀνθρώπων, ὀμπροςὰ εἰς τὸν Θεόν.

3 Καὶ ἐὰν εἶναι σκεπασμένον τὸ εὐαγγέλιόν μας, εἰς ἐκείνȣς ὁπȣ̃ ἀπολȣ̃νται εἶναι σκεπασμένον·

4 Εἰς τȣ̀ς ὁποίȣς ὁ Θεὸς τȣ̃ αἰῶνος τȣ́τȣ ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίςων, διὰ νὰ μὴν τȣ̀ς φωτίσῃ ὁ φωτισμὸς τȣ̃ εὐαγγελίȣ τῆς δόξης τȣ̃ Χριςȣ̃, ὁ ὁποῖος Χριςὸς εἶναι εἰκὼν τȣ̃ Θεȣ̃.

5 Διατὶ δὲν κηρύττομεν τȣ̀ λόγȣ μας, ἀλλὰ (κηρύττομεν) τὸν Ἰησȣ̃ν Χριςὸν Κύριον· καὶ τȣ̀ λόγȣ μας, δȣ́λȣς σας διὰ τὸν Ἰησȣ̃ν.

6 Ὅτι ὁ Θεὸς ὁπȣ̃ εἶπε νὰ λάμψῃ φῶς ἀπὸ τό σκότος, ἐκεῖνος (εἶναι) ὁ ὁποῖος ἔλαμψεν εἰς ταῖς καρδίαις μας, εἰς τὸν φωτισμὸν τῆς γνώσεως τῆς δόξης τȣ̃ Θεȣ̃, εἰς τὸ προσώπον τȣ̃ Ἰησȣ̃ Χριςȣ̃.

7 Καὶ ἔχομεν τὸν θησαυρὸν ἐτȣ̃τον εἰς ἀγγεῖα πήλινα, διὰ νὰ εἶναι ἀπὸ τὸν Θεὸν ἡ ὑπερβολὴ τῆς δυνάμεως ἐτȣ́της, καὶ ὄχι ἀπὸ λόγȣ μας·

8 Ἔςωντας νὰ θλιβώμεσθεν εἰς κάθε (πρᾶγμα) ἀλλὰ δὲν ςενοχωρȣ́μεσθεν· εἴμεσθεν εἰς ἀπορίαν, ἀλλὰ δὲν ἀπελπιζόμεσθεν·

9 Διωχνόμεσθεν, ἀλλὰ δὲν

ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ᾽ οὐκ ἀπολλύμενοι·

10 Πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ.

11 Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες, εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν.

12 Ὥστε ὁ μὲν θάνατος ἐν ἡμῖν ἐνεργεῖται, ἡ δὲ ζωὴ ἐν ὑμῖν.

13 Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον· Ἐπίστευσα, διὸ ἐλάλησα καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν·

14 Εἰδότες ὅτι ὁ ἐγείρας τὸν Κύριον Ἰησοῦν, καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγειρεῖ, καὶ παραστήσει σὺν ὑμῖν.

15 Τὰ γὰρ πάντα δι᾽ ὑμᾶς, ἵνα ἡ χάρις πλεονάσασα, διὰ τῶν πλειόνων καὶ εὐχαριστίαν περισσεύσῃ εἰς τὴν δόξαν τοῦ Θεοῦ.

16 Διὸ οὐκ ἐκκακοῦμεν· ἀλλ᾽ εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ᾽ ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ.

ἀπολειπόμεσθεν· ῥιχνόμεσθεν κάτω, ἀλλὰ δὲν χαλνόμεσθε·

10 Πάντοτε φέρνομεν εἰς τὸ κορμί μας τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ, διὰ νὰ φανερωθῇ καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ εἰς τὸ κορμί μας.

11 Διατὶ πάντοτε ἐμεῖς ὁποῦ ζῶμεν, παραδιδόμεσθεν εἰς θάνατον διὰ τὸν Ἰησοῦν, διὰ νὰ φανερωθῇ καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ εἰς τὸ θνητόν μας κορμί.

12 Εἰς τόσον ὁποῦ ὁ θάνατος ἐνεργεῖται εἰς ἐμᾶς, ἀμὴ ἡ ζωὴ ἐνεργεῖται εἰς ἐσᾶς.

13 Καὶ ἔστωντας νὰ ἔχομεν τὸ Πνεῦμα τῆς πίστεως, καθὼς εἶναι γεγραμμένον· Ἐπίστευσα, διὰ τοῦτο ἐλάλησα· καὶ ἐμεῖς πιστεύομεν, διὰ τοῦτο καὶ λαλοῦμεν·

14 Ἔστωντας νὰ ἠξεύρωμεν, ὅτι ἐκεῖνος ὁποῦ ἀνάστησε τὸν Κύριον Ἰησοῦν, θέλει ἀναστήσει καὶ ἐμᾶς διαμέσου τοῦ Ἰησοῦ, καὶ θέλει μᾶς παραστήσει ὁμοῦ μετ᾽ ἐσᾶς.

15 Διατὶ ἐτοῦτα ὅλα διὰ λόγου σας εἶναι, διὰ νὰ περισσεύσῃ ἡ χάρις, ὁποῦ ἐπλεόνασε, μὴ τὴν εὐχαριστίαν, τῶν πολλῶν εἰς τὴν δόξαν τοῦ Θεοῦ.

16 Διὰ τοῦτο δὲν ἀποκάμνομεν· ἀλλὰ ἐὰν καὶ ὁ ἔξω ἄνθρωπός μας διαφθείρεται, ἀμὴ ὁ μέσα ξανακαινουργώνεται καθημέραν.

17 Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν·

17 Διατὶ ἡ προσωρινὴ καὶ ἐλαφρὰ θλίψις, μᾶς ἑτοιμάζει αἰώνιον βάρος πολλὰ περισσῆς δόξης·

18 Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια.

18 Ἔστωντας νὰ μὴν στοχαζώμεσθεν ἐμεῖς ἐκεῖνα ὁποῦ βλέπονται, ἀλλὰ ἐκεῖνα ὁποῦ δὲν βλέπονται· διατὶ ἐκεῖνα ὁποῦ βλέπονται, εἶναι πρόσκαιρα· ἀμὴ ἐκεῖνα ὁποῦ δὲν βλέπονται, εἶναι αἰώνια.

Κεφ. ε΄. 5.

Οἴδαμεν γάρ, ὅτι, ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς.

Διατὶ ἠξεύρομεν ὅτι, ἐὰν τὸ ἐπίγειόν μας σπῆτι ἐτοῦτης τῆς καλύβας χαλασθῇ, ἔχομεν οἰκοδομὴν ἀπὸ τὸν Θεόν, σπῆτι ἀχειροποίητον, αἰώνιον εἰς τοὺς οὐρανούς.

2 Καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες.

2 Διατὶ εἰς τούτην (τὴν καλύβαν) στενάζομεν, καὶ ἐπιθυμοῦμεν νὰ ἀπανωενδυθοῦμεν τὸ οὐράνιόν μας κατοικητήριον.

3 Εἴγε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα.

3 Ἀνίσως καὶ ἔστωντας νὰ ἐνδυθοῦμεν, δὲν θέλομεν εὑρεθῇ (πάλιν) γυμνοί.

4 Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι· ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι, ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς.

4 Διότι ἐμεῖς ὁποῦ εἴμεσθεν εἰς τούτην τὴν καλύβαν, ἀναστενάζομεν βαρυνόμενοι· εἰς τόσον ὁποῦ νὰ μὴν θέλωμεν νὰ ἐκδυθοῦμεν, ἀλλὰ νὰ ἀπανωενδυθοῦμεν ἄλλην, διὰ νὰ καταπιωθῇ ἡ θνητότης ἀπὸ τὴν ζωήν.

5 Ὁ δὲ κατεργασάμενος

5 Καὶ ἐκεῖνος ὁποῦ μᾶς

ἡμᾶς εἰς αὐτὸ τοῦτο, Θεός· ὁ καὶ δοὺς ἡμῖν τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος.

6 Θαῤῥοῦντες οὖν πάντοτε, καὶ εἰδότες ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ Κυρίου.

7 (Διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους·)

8 Θαῤῥοῦμεν δὲ, καὶ εὐδοκοῦμεν μᾶλλον ἐνδημῆσαι ἐκ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν Κύριον.

9 Διὸ καὶ φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες, εἴτε ἐκδημοῦντες, εὐάρεστοι αὐτῷ εἶναι.

10 Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν.

11 Εἰδότες οὖν τὸν φόβον τοῦ Κυρίου, ἀνθρώπους πείθομεν, Θεῷ δὲ πεφανερώμεθα· ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν πεφανερῶσθαι.

12 Οὐ γὰρ πάλιν ἑαυτοὺς συνιστάνομεν ὑμῖν, ἀλλὰ ἀφορμὴν διδόντες ὑμῖν καυχήματος ὑπὲρ ἡμῶν· ἵνα ἔχητε πρὸς

ἔκαμεν εἰς αὐτὸ ἰτοῦτο, εἶναι ὁ Θεός· ὁποῦ μᾶς ἔδωσε τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος.

6 Ἔχοντες λοιπὸν πάντοτε θάῤῥος, καὶ ἰξεύροντες, ὅτι ὅσον χρόνον κατοικοῦμεν μέσα εἰς τὸ κορμὶ, ξενιτευόμεσθεν ἀπὸ τὸν Κύριον·

7 (Διατὶ περιπατοῦμεν μὲ πίστιν καὶ ὄχι μὲ ὄψιν·)

8 Διὰ τοῦτο καὶ θάῤῥος ἔχομεν, καὶ ἐπιθυμοῦμεν περισσότερον νὰ μισέψωμεν ἀπὸ τὸ κορμὶ, καὶ νὰ εὑρισκώμεσθε μὲ τὸν Κύριον.

9 Διὰ τοῦτο σπουδάζομεν, κἂν τε εὑρισκόμενοι, (εἰς τὸ κορμὶ,) κἂν τε μισεύομεν, (ἀπ' αὐτὸ,) νὰ εἴμεσθεν εὐάρεστοι εἰς τόν Κύριον.

10 Διατὶ ἀναγκαῖον εἶναι νὰ φανερωθοῦμεν ἐμεῖς ὅλοι ὀμπροστὰ εἰς τὸ κριτήριον τοῦ Χριστοῦ, δια νὰ πάρῃ καθεῖς ἐκεῖνα ὁποῦ ἔπραξεν μὲ τὸ κορμὶ, κἂν τε καλὸν, κἂν τε κακόν.

11 Ἰξεύροντες λοιπὸν τὸν φόβον τοῦ Κυρίου, καταπείθομεν τοὺς ἀνθρώπους, (εἰς τὴν πίστιν,) καὶ ἐφανερωθήκαμεν εἰς τὸν Θεόν· καὶ ἐλπίζω νὰ ἐφανερωθήκαμεν καὶ εἰς ταῖς συνειδησεῖς σας.

12 Διατὶ πάλιν δὲν συστήνομεν τοῦ λόγου μας εἰς ἐσᾶς, ἀλλὰ σᾶς δίδομεν ἀφορμὴν καυχήματος διὰ λόγου μας·

τὲς ἐν προσώπῳ καυχωμένες,
καὶ ἐ καρδίᾳ.

13 Εἴτε γὰρ ἐξέςημεν,
Θεῷ· εἴτε σωφρονῦμεν, ὑμῖν.

14 Ἡ γὰρ ἀγάπη τοῦ
Χριςῦ συνέχει ἡμᾶς·
15 Κρίναντας τῦτο, ὅτι εἰ
εἷς ὑπὲρ πάντων ἀπέθανεν,
ἄρα οἱ πάντες ἀπέθανον· καὶ
ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ
ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν,
ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀπο-
θανόντι καὶ ἐγερθέντι.

16 Ὥςε ἡμεῖς ἀπὸ τοῦ
νῦν ἐδένα οἴδαμεν κατὰ
σάρκα· εἰ δὲ καὶ ἐγνώκαμεν
κατὰ σάρκα Χριςὸν, ἀλλὰ
νῦν οὐκ ἔτι γινώσκομεν.

17 Ὥςε εἴ τις ἐν Χριςῷ,
καινὴ κτίσις· τὰ ἀρχαῖα
παρῆλθεν, ἰδὲ γέγονε καινὰ
τὰ πάντα.

18 Τὰ δὲ πάντα ἐκ
τοῦ Θεῦ τοῦ καταλλάξαντος
ἡμᾶς ἑαυτῷ διὰ Ἰησῦ Χριςῦ,
καὶ δόντος ἡμῖν τὴν διακονίαν
τῆς καταλλαγῆς·

19 Ὡς ὅτι Θεὸς ἦν ἐν Χριςῷ
κόσμον καταλλάσσων ἑαυτῷ,
μὴ λογιζόμενος αὐτοῖς τὰ πα-

νὰ ἔχετε (καύχημα) εἰς ἐκεί-
νες ὁπῦ καυχῶνται εἰς πρόσω-
πον, καὶ ὄχι εἰς καρδίαν.
13 Διατὶ κἂν τε παρα-
παρμένοι εἴμεσθε, διὰ τὸν
Θεὸν εἴμεσθε· κἂν τε εἴμεσθε
φρόνιμοι, διὰ τὴν ὠφέλειάν
σας εἴμεσθε.
14 Διατὶ ἡ ἀγάπη τῦ
Χριςῦ μᾶς συσφίγγει·
15 Ὁπῦ ἐκρίναμεν ἐτῦτο,
ὅτι ἐὰν ἕνας ἀπέθανε διὰ ὅλες,
λοιπὸν ὅλοι ἀπέθαναν· καὶ δι'
ὅλες ἀπέθανεν ἕνας, διὰ νὰ
μὴν ζῦσι πλέον εἰς τῦ λόγυ
τες ἐκεῖνοι ὁπῦ ζῦσιν, ἀλλὰ
εἰς ἐκεῖνον ὁπῦ ἀπέθανε καὶ
ἀνεςάθη διὰ λόγυ τες.
16 Εἰς τόσον ὁπῦ ἐμεῖς
ἀπὸ τῶρα καὶ ὀμπρος ὰ,
κανένα δὲν γνωρίζομεν κατὰ
σάρκα· ἀγκαλὰ καὶ ἐγνωρί-
σαμεν τὸν Χριςὸν κατὰ σάρ-
κα, ἀλλὰ τῶρα πλεόν δὲν τὸν
γνωρίζομεν.
17 Εἰς τόσον ὁπῦ ἐὰν εἶναι
κανένας εἰς τὸν Χριςὸν, εἶναι
καινέρια κτίσις· τὰ παλαιὰ
ἐπέρασαν, νὰ ὁπῦ ἔγιναν ὅλα
καινέρια.
18 Καὶ τὰ πάντα εἶναι
ἀπὸ τὸν Θεὸν ὁπῦ μᾶς ἐφι-
λίωσε μὲ τῦ λόγυ τυ, δια-
μέσυ τῦ Ἰησῦ Χριςῦ, καὶ
ὁπῦ μας ἔδωσε τὴν ὑπηρεσίαν
τῆς φιλιώσεως·
19 Ὅτι ὁ Θεὸς ἦτον ὁπῦ
ἐφιλίωσεν τὸν κόσμον μὲ τῦ
λόγυ τυ εἰς τὸν Χριςὸν, μὴ

ραπτώματα αὐτῶν· καὶ θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς.

20 Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι᾽ ἡμῶν· δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ.

21 Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γινώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ.

λογαριάζωντας τὰ σφαλματά τους· καὶ ἔβαλλεν εἰς ἐμᾶς τὸν λόγον τῆς φιλιώσεως.

20 Λοιπὸν ἡμεῖς δι᾽ αὐτὸν τὸν Χριστὸν πρεσβεύομεν, ὡσὰν ὁποῦ παρακαλῇ αὐτὸς ὁ ἴδιος Θεὸς διὰ μέσου μας· διὰ τοῦτο σᾶς παρακαλοῦμεν διὰ ὄνομα Χριστοῦ, φιλιωθῆτε μὲ τὸν Θεόν.

21 Διατὶ ὁ Θεὸς ἐκεῖνον ὁποῦ δὲν ἐγνώρισεν ἁμαρτίαν, τὸν ἔκαμεν ἁμαρτίαν διὰ λόγου μας, διὰ νὰ γενοῦμεν ἐμεῖς δικαιοσύνη τοῦ Θεοῦ εἰς αὐτόν.

Κεφ. ς'. 6.

Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς.

2 Λέγει γάρ· Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρα σωτηρίας ἐβοήθησά σοι· ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας.

3 Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπὴν, ἵνα μὴ μωμηθῇ ἡ διακονία·

4 Ἀλλ᾽ ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι· ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις·

5 Ἐν πληγαῖς, ἐν φυλα-

ΚΑΙ ἔστωντας νὰ συνεργοῦμεν μετ᾽ αὐτὸν, παρακαλοῦμεν νὰ μὴν δεχθῆτε τὴν χάριν τοῦ Θεοῦ εὔκαιρα.

2 Διατὶ λέγει· Εἰς ἐπιτήδειον καιρὸν σὲ ἐπήκουσα, καὶ ἐν ἡμέρα σωτηρίας σὲ ἐβοήθησα· νὰ τῶρα εἶναι καιρὸς ἐπιτήδειος ὁποῦ σᾶς δέχεται ὁ Θεὸς, νὰ τῶρα εἶναι ἡμέρα σωτηρίας.

3 Εἰς οὐδὲ κανένα πρᾶγμα δίδομεν κανένα πρόσκομμα, διὰ νὰ μὴν ψεχθῇ ἡ διακονία·

4 Ἀλλὰ εἰς κάθε πρᾶγμα συστήνομεν τοῦ λόγου μας, ὡσὰν ὑπηρέται τοῦ Θεοῦ· μὲ πολλὴν ὑπομονὴν, εἰς θλίψαις, εἰς ἀνάγκαις, εἰς στενοχωρίαις·

5 Εἰς πληγαῖς, εἰς φυλα-

καῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις·

6 Ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ·

7 Ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει Θεοῦ, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν·

8 Διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας· ὡς πλάνοι, καὶ ἀληθεῖς·

9 Ὡς ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι· ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν· ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι·

10 Ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες· ὡς πτωχοὶ, πολλοὺς δὲ πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες.

11 Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι, ἡ καρδία ἡμῶν πεπλάτυνται.

12 Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν· στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν.

13 Τὴν δὲ αὐτὴν ἀντιμισθίαν, ὡς τέκνοις λέγω· Πλατύνθητε καὶ ὑμεῖς.

14 Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις· Τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; Τίς

καῖς, εἰς ἀκαταστασίαις, εἰς κόπους, εἰς ἀγρυπνίαις, εἰς νηστείαις·

6 Εἰς καθαρότητα, εἰς γνῶσιν, εἰς μακροθυμίαν, εἰς καλωσύνην, εἰς πνεῦμα ἅγιον, εἰς ἀγάπην ἀνυπόκριτον·

7 Εἰς τὸν λόγον τῆς ἀληθείας, εἰς τὴν δύναμιν τοῦ Θεοῦ, μὲ τὰ ἅρματα τῆς δικαιοσύνης τὰ δεξιὰ καὶ ἀριστερά·

8 Ἀνάμεσα δόξης καὶ ἀτιμίας, ἀνάμεσα κακῆς καὶ καλῆς φήμης· ὡσὰν πλάνοι, καὶ (ὅμως) ἀληθινοί·

9 Ὡσὰν ἀγνώριστοι, καὶ ὅμως γνωριζόμενοι· ὡσὰν νὰ ἀποθένωμεν, καὶ νὰ ὁποῦ ζοῦμεν· ὡσὰν νὰ παιδευώμεσθε, ἀμὴ δὲν θανατωνόμεσθε·

10 Ὡσὰν νὰ λυπούμεσθε καὶ πάντα χαιρόμεσθεν· ὡσὰν πτωχοὶ, καὶ πολλοὺς πλουτίζομεν· ὡσὰν νὰ μὴν ἔχωμεν τίποτες, καὶ νὰ τὰ ἔχωμεν ὅλα.

11 Ὦ Κορίνθιοι, τὸ στόμα μας ἀνοίχθη εἰς ἐσᾶς· ἡ καρδία μας ἐπλατύνθη.

12 Δὲν στενοχωρᾶσθε εἰς ἡμᾶς· ἀλλὰ στενοχωρᾶσθε εἰς τὰ σπλάγχνα σας.

13 Τὴν ὁμοίαν ἀνταμοιβὴν ὡσὰν παιδία μου σᾶς λέγω· Πλατυνθῆτε καὶ ἐσεῖς.

14 Καὶ μὴν στραβοζευγαρώνεσθε μὲ ἕνα ζυγὸν μὲ ἀπίστους· Διατὶ ποῖαν μετοχὴν

δὲ κοινωνία φωτὶ πρὸς σκότος;

ἔχει ἡ δικαιοσύνη καὶ ἡ ἀδικία; Καὶ ποῖαν ἔσμιξιν ἔχει τὸ φῶς μὲ τὸ σκοτάδι;

15 Τίς δὲ συμφώνησις Χριςῷ πρὸς Βελίαλ; Ἢ τίς μερὶς πιςῷ μετὰ ἀπίςυ;

15 Καὶ ποῖαν συμφωνίαν ἔχει ὁ Χριςὸς μὲ τὸν Βελίαλ; Ἢ τί μερτικὸν ἔχει ὁ πιςὸς μὲ τὸν ἄπιςον;

16 Τίς δὲ συγκατάθεσις ναῷ Θεῦ μετὰ εἰδώλων; ὑμεῖς γὰρ ναὸς Θεῦ ἐςε ζῶντος· καθὼς εἶπεν ὁ Θεός· Ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· καὶ ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός.

16 Καὶ ποῖον ςέρξιμον ἔχει ὁ ναὸς τῦ Θεῦ μὲ τὰ εἴδωλα; διατὶ ἐσεῖς εἶσθε ναὸς τῦ Θεῦ τῦ ζῶντος· καθὼς εἶπεν ὁ Θεός· Ὅτι θέλω κατοικήσει μέσα εἰς αὐτὺς, καὶ θέλω περιπατήσει μέσα εἰς αὐτούς· καὶ θέλω εἶσθαι Θεός τυς, καὶ αὐτοὶ θέλυσιν εἶσθαι λαός μυ.

17 Διὸ ἐξέλθετε ἐκ μέσυ αὐτῶν, καὶ ἀφορίσθητε, λέγει Κύριος· καὶ ἀκαθάρτυ μὴ ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς·

17 Διὰ τῦτο εὐγᾶτε ἀπὸ τὴν μέσην τυς, καὶ χωρίσετε, λέγει Κύριος· καὶ ἀκάθαρτον μὴν ἀγγίζετε· καὶ ἐγὼ θέλω σᾶς δεχθῆ·

18 Καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱὺς καὶ θυγατέρας, λέγει Κύριος παντοκράτωρ.

18 Καὶ θέλω εἶσθαι πατέρα σας, καὶ ἐσεῖς θέλετε μῦ εἶσθαι υἱοὶ καὶ θυγατέρες, λέγει Κύριος παντοκράτωρ.

Κεφ. ζ'. 7.

ΤΑύτας ὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοὶ, καθαρίσωμεν ἑαυτὺς ἀπὸ παντὸς μολυσμῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελῦντες ἁγιωσύνην ἐν φόβῳ Θεῦ.

ἜΧοντες λοιπὸν, ἀγαπητοὶ, ἐτῦτα τὰ ταξίματα, ἂς καθαρίσωμεν τοῦ λόγυ μας ἀπὸ κάθε λογῆς μολυσμὸν τῆς σάρκας καὶ τοῦ πνεύματος, τελειώνοντες ἁγιωσύνην μὲ τὸν φόβον τοῦ Θεῦ.

2 Χωρήσατε ἡμᾶς· ὐδένα ἠδικήσαμεν, ὐδένα ἐφθείραμεν, ὐδένα ἐπλεονεκτήσαμεν.

2 Δεχθῆτε μᾶς· κανένα δὲν ἀδικήσαμεν, κανένα δὲν ἐφθείραμεν, κανένα δὲν ἐπλεονεκτήσαμεν.

3 Οὐ πρὸς κατάκρισιν λέγω· προείρηκα γὰρ ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐςε εἰς τὸ συναποθανεῖν καὶ συζῆν.

4 Πολλή μοι παῤῥησία πρὸς ὑμᾶς, πολλή μοι καύχησις ὑπὲρ ὑμῶν· πεπλήρωμαι τῇ παρακλήσει, ὑπερπερισσεύομαι τῇ χαρᾷ ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν.

5 Καὶ γὰρ ἐλθόντων ἡμῶν εἰς Μακεδονίαν, ὐδεμίαν ἔσχηκεν ἄνεσιν ἡ σὰρξ ἡμῶν, ἀλλ' ἐν παντὶ θλιβόμενοι· ἔξωθεν μάχαι, ἔσωθεν φόβοι·

6 Ἀλλ' ὁ παρακαλῶν τὺς ταπεινὺς, παρεκάλεσεν ἡμᾶς ὁ Θεὸς, ἐν τῇ παρυσίᾳ Τίτυ.

7 Οὐ μόνον δὲ ἐν τῇ παρυσίᾳ αὐτῦ, ἀλλὰ καὶ ἐν τῇ παρακλήσει ᾗ παρεκλήθη ἐφ' ὑμῖν, ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμὸν, τὸν ὑμῶν ζῆλον ὑπὲρ ἐμῦ· ὥςε με μᾶλλον χαρῆναι.

8 Ὅτι εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιςολῇ, ὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην· βλέπω γὰρ ὅτι ἡ ἐπιςολὴ ἐκείνη, εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν ὑμᾶς·

3 Δὲν τὸ λέγω διὰ κατάκρισίν σας· διατὶ προεῖπα, ὅτι εἰς ταῖς καρδίαις μας εἶσθεν, εἰς τὸ νὰ συναποθάνωμεν καὶ νὰ συζῦμεν.

4 Πολλὴν παῤῥησίαν ἔχω εἰς ἐσᾶς, πολλὴν καύχησιν ἔχω διὰ λόγυ σας· εἶμαι γεμᾶτ⊕ παρηγορίαν, εἰς ὅλαις ταῖς θλίψαις μας ἡ χαρά μυ περισσεύει παραπάνω.

5 Διατὶ ὅταν ἐπήγαμεν εἰς τὴν Μακεδονίαν, καμίαν ἀνάπαυσιν δὲν εἶχε τὸ κορμί μας, ἀλλὰ εἰς κάθε πρᾶγμα ἐθλιβόμεσθαν· ἀπὸ ἔξω μάχαις, ἀπὸ μέσα φόβοι·

6 Ἀλλὰ ὁ Θεὸς ὁπῦ παρηγορᾷ τὺς ταπεινὺς, ἐκεῖν⊕ μᾶς ἐπαρηγόρησεν μὲ τὸν ἐρχομὸν τῦ Τίτυ.

7 Καὶ ὄχι μόνον διὰ τὸν ἐρχομόν τυ, ἀλλὰ καὶ διὰ τὴν παρηγορίαν ὁπῦ ἐπαρηγορήθη εἰς ἐσᾶς, λέγωντάς μας τὸν πολύν σας πόθον, τὰ κλαύματά σας, τὴν ζηλίαν ὁπῦ ἔχετε διὰ λόγυ μυ· εἰς τόσον ὁπῦ ἐγὼ (ἀκύωντάς τα) ἐχάρηκα περισσότερον.

8 Ὅτι ἀγκαλὰ καὶ νὰ σᾶς ἐλύπησα εἰς τὴν ἐπιςολὴν, δὲν μετανοιώνω, ἀγκαλὰ καὶ ἐμετάνοιωνα (προτίτερα·) διατὶ βλέπω ὅτι ἐκείνη ἡ ἐπιςολὴ, ἀγκαλὰ καὶ διὰ τὴν ὥραν, σᾶς ἐλύπησε·

9 Νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ᾽ ὅτι ἐλυπήθητε εἰς μετάνοιαν· ἐλυπήθητε γὰρ κατὰ Θεὸν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν.

10 Ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται· ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται.

11 Ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ὑμῖν σπουδήν; ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλ᾽ ἐκδίκησιν; Ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι.

12 Ἄρα εἰ καὶ ἔγραψα ὑμῖν, οὐχ ἕνεκεν τοῦ ἀδικήσαντος, οὐδὲ ἕνεκεν τοῦ ἀδικηθέντος· ἀλλ᾽ ἕνεκεν τοῦ φανερωθῆναι τὴν σπουδὴν ἡμῶν τὴν ὑπὲρ ὑμῶν πρὸς ὑμᾶς, ἐνώπιον τοῦ Θεοῦ.

13 Διὰ τοῦτο παρακεκλήμεθα ἐπὶ τῇ παρακλήσει ὑμῶν· περισσοτέρως δὲ μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου, ὅτι ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων ὑμῶν·

14 Ὅτι εἴ τι αὐτῷ ὑπὲρ ὑμῶν κεκαύχημαι, οὐ κατη-

9 Τώρα χαίρομαι, ὄχι ὅτι ἐλυπηθήκετε, ἀλλ᾽ ὅτι ἐλυπηθήκετε εἰς μετάνοιαν· διατὶ ἐλυπηθήκετε κατὰ Θεὸν, διὰ νὰ μὴν ζημιωθῆτε ἀπὸ λόγου μας εἰς κανένα πρᾶγμα.

10 Διατὶ ἡ κατὰ Θεὸν λύπη κάμνει μετάνοιαν εἰς σωτηρίαν, ὁποῦ πλέον δὲν μετανοιώνει· ἀμὴ ἡ λύπη τοῦ κόσμου κάμνει θάνατον.

11 Διατὶ νὰ αὐτὸ τοῦτο, τὸ νὰ λυπηθῆτε ἐσεῖς κατὰ Θεὸν, πόσην σπουδὴν ἔκαμεν εἰς ἐσᾶς, καὶ ἀπολογίαν, καὶ ὀργὴν ἐναντίον τοῦ κακοῦ, καὶ φόβον, καὶ ἀγάπην, καὶ ζῆλον, καὶ ἐκδίκησιν; Ὅλως δι᾽ ὅλου ἀπεδείξατε τοῦ λόγου σας πῶς εἶσθε καθαροὶ εἰς (τοῦτο) τὸ πρᾶγμα.

12 Λοιπὸν ἀγκαλὰ καὶ σας ἔγραψα, δὲν σας ἔγραψα διὰ ἐκεῖνον ὁποῦ ἀδίκησεν, οὐδὲ διὰ ἐκεῖνον ὁποῦ ἀδικήθη· ἀλλὰ διὰ νὰ φανερωθῇ ἡ σπουδή μας εἰς ἐσᾶς, τὴν ὁποίαν (ἔχομεν) διὰ λόγου σας ἐμπροστὰ εἰς τὸν Θεόν.

13 Διὰ τοῦτο ἐπαρηγορηθήκαμεν εἰς τὴν παρηγορίαν σας· καὶ περισσότερον ἐχαρήκαμεν εἰς τὴν χαρὰν τοῦ Τίτου, ὅτι ἀναπαύθη τὸ πνεῦμά του ἀπὸ ὅλους σας·

14 Ὅτι ἂν ἐκαυχήθηκα τίποτες εἰς αὐτὸν διὰ λόγου

σχύνθην· ἀλλ᾽ ὡς πάντα ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν, οὕτω καὶ ἡ καύχησις ἡμῶν ἡ ἐπὶ Τίτου, ἀλήθεια ἐγενήθη·

15 Καὶ τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως εἰς ὑμᾶς ἐστιν, ἀναμιμνησκομένου τὴν πάντων ὑμῶν ὑπακοήν· ὡς μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν.

16 Χαίρω οὖν ὅτι ἐν παντὶ θαῤῥῶ ἐν ὑμῖν.

σας, δὲν ἐντροπιάσθηκα· ἀλλὰ καθὼς σᾶς ἐλαλήσαμεν ὅλα ἀλήθεια, ἔτζι καὶ ἡ καύχησίς μας ὁποῦ ἦτον εἰς τὸν Τίτον, ἔγινεν ἀλήθεια·

15 Καὶ ἡ εὐσπλαγχνία του εἶναι περισσότερη εἰς ἐσᾶς, ἀναθυμῶντας τὴν ὑπακοὴν ὅλωνῶν σας, πῶς τὸν ἐδεχθήκετε μὲ φόβον καὶ τρόμον.

16 Χαίρομαι λοιπὸν, ὅτι εἰς κάθε πρᾶγμα ἔχω θάῤῥος εἰς ἐσᾶς.

Κεφ. η΄. 8.

ΓΝωρίζομεν δὲ ὑμῖν, ἀδελφοὶ, τὴν χάριν τοῦ Θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας·

2 Ὅτι ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν, καὶ ἡ κατὰ βάθους πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν·

3 Ὅτι κατὰ δύναμιν (μαρτυρῶ) καὶ ὑπὲρ δύναμιν αὐθαίρετοι·

4 Μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν, τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους, δέξασθαι ἡμᾶς.

5 Καὶ οὐ καθὼς ἠλπίσα-

ΚΑΙ δηλοποιῶ σας, ἀδελφοὶ, τὴν χάριν τοῦ Θεοῦ ὁποῦ ἐδόθη εἰς ταῖς ἐκκλησίαις τῆς Μακεδονίας·

2 Ὅτι μὲ πολλὴν δοκιμὴν τῆς θλίψεως ἡ περισσή τους χαρὰ, καὶ ἡ βαθεία τους πτωχεία ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητός τους·

3 Ὅτι ἐκεῖνοι κατὰ τὴν δύναμίν τους (καὶ ἐγὼ τὸ μαρτυρῶ) καὶ παραπάνω ἀπὸ τὴν δύναμίν τους ἔγιναν αὐτοπροαίρετοι εἰς τοῦτο τὸ ἔργον·

4 Παρακαλῶντές μας μὲ πολλὴν παρακάλεσιν, νὰ δεχθοῦμεν ἐμεῖς τὴν χάριν καὶ τὴν μετάδοσιν τῆς διακονίας ὁποῦ γίνεται ἀπ᾽ ἐκείνους εἰς τοὺς ἁγίους.

5 Καὶ δὲν ἔκαμαν (μο-

μεν· ἀλλ' ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ Κυρίῳ καὶ ἡμῖν, διὰ θελήματος Θεοῦ·

6 Εἰς τὸ παρακαλέσαι ἡμᾶς Τίτον, ἵνα καθὼς προενήρξατο, οὕτω καὶ ἐπιτελέσῃ εἰς ὑμᾶς καὶ τὴν χάριν ταύτην·

7 Ἀλλ' ὥσπερ ἐν παντὶ περισσεύετε, πίστει, καὶ λόγῳ, καὶ γνώσει, καὶ πάσῃ σπουδῇ, καὶ τῇ ἐξ ὑμῶν ἐν ἡμῖν ἀγάπῃ, ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε.

8 Οὐ κατ' ἐπιταγὴν λέγω, ἀλλὰ διὰ τῆς ἑτέρων σπουδῆς, καὶ τὸ τῆς ὑμετέρας ἀγάπης γνήσιον δοκιμάζων.

9 Γινώσκετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι' ὑμᾶς ἐπτώχευσε πλούσιος ὤν· ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε.

10 Καὶ γνώμην ἐν τούτῳ δίδωμι· τοῦτο γὰρ ὑμῖν συμφέρει, οἵτινες οὐ μόνον τὸ ποιῆσαι, ἀλλὰ καὶ τὸ θέλειν προενήρξασθε ἀπὸ πέρυσι.

11 Νυνὶ δὲ καὶ τὸ ποιῆσαι ἐπιτελέσατε· ὅπως καθάπερ ἡ προθυμία τοῦ θέλειν, οὕτω

ναχά) καθὼς ἠλπίσαμεν· ἀλλὰ ἐκεῖνοι ἔδωκαν πρῶτον τοῦ λόγου τους εἰς τὸν Κύριον καὶ εἰς ἐμᾶς μὲ τὸ θέλημα τοῦ Θεοῦ·

6 Εἰς τόσον ὁποῦ ἐπαρακαλέσαμεν ἐμεῖς τὸν Τίτον, καθὼς ἄρχισε προτίτερα, ἔτζι καὶ νὰ τελειώσῃ εἰς ἐσᾶς καὶ τὴν χάριν ἐτούτην·

7 Ἀλλὰ καθὼς εἰς κάθε πρᾶγμα περισσεύετε εἰς τὴν πίστιν, καὶ εἰς τὸν λόγον, καὶ εἰς τὴν γνῶσιν, καὶ εἰς κάθε σπουδὴν, καὶ εἰς τὴν ἀγάπην ὁποῦ εἶναι ἀπὸ ἐσᾶς εἰς τοῦ λόγου μας (ἔτζι) νὰ περισσεύσετε καὶ εἰς τούτην τὴν χάριν.

8 Ἐγὼ δὲν λέγω ἐτοῦτο προστάττοντας, ἀλλὰ μὲ τὴν σπουδὴν τῶν ἄλλων, δοκιμάζοντας ἀκόμι τὸ γνήσιον τῆς ἀγάπης σας.

9 Διατὶ γνωρίζετε τὴν χάριν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ὅτι ὄντας πλούσιος, διὰ λόγου σας ἐπτώχευσεν· διὰ νὰ πλουτήσετε ἐσεῖς μὲ τὴν πτωχείαν ἐκείνου.

10 Καὶ συμβουλεύω σας εἰς ἐτοῦτο· διατὶ τοῦτο εἶναι ὠφέλιμον εἰς ἐσᾶς, οἱ ὁποῖοι ἀπὸ πέρυσι ἐπροαρχίσετε ὄχι μόνον τὸ νὰ κάμετε, ἀλλὰ καὶ τὸ νὰ θελήσετε.

11 Καὶ τώρα ἐτελειώσετε καὶ τὸ νὰ κάμετε (τὸ πρᾶγμα·) διὰ νὰ εἶναι καὶ ἡ τελείωσις τοῦ

καὶ τὸ ἐπιτελέσαι ἐκ τοῦ ἔχειν.

12 Εἰ γὰρ ἡ προθυμία πρόκειται, καθὸ ἐὰν ἔχῃ τις, εὐπρόσδεκτος, ȣ̓ καθὸ οὐκ ἔχει.

13 Οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλίψις· ἀλλ᾽ ἐξ ἰσότητος, ἐν τῷ νῦν καιρῷ τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα·

14 Ἵνα καὶ τὸ ἐκείνων περίσσευμα γίνηται εἰς τὸ ὑμῶν ὑστέρημα, ὅπως γένηται ἰσότης·

15 Καθὼς γέγραπται· Ὁ τὸ πολὺ, οὐκ ἐπλεόνασε· καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησε.

16 Χάρις δὲ τῷ Θεῷ τῷ διδόντι τὴν αὐτὴν σπȣδὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ Τίτȣ·

17 Ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο· σπȣδαιότερος δὲ ὑπάρχων, αὐθαίρετος ἐξῆλθε πρὸς ὑμᾶς.

18 Συνεπέμψαμεν δὲ μετ᾽

ἔργȣ κατὰ δύναμιν ὁπȣ̃ ἔχετε, καθὼς ἔγινεν ἡ προθυμία τῆς θελήσεως.

12 Διατὶ ἐὰν εἶναι ἡ προθυμία, κάθε ἕνας εἶναι εὐπρόσδεκτος (δίδωντας) ἀπ᾽ ἐκεῖνο ὁπȣ̃ ἔχει ὅσον δύνεται, καὶ ὄχι καθόσον δὲν ἔχει.

13 Διατὶ (ἰτȣ̃τα λέγω) ὄχι διὰ νὰ εἶναι ἄνεσις εἰς ἄλλȣς, καὶ εἰς ἐσᾶς θλίψις· ἀλλὰ νὰ εἶναι ἰσότης, εἰς τȣ̃τον τὸν καιρὸν τὸ περίσσευμα τὸ ἐδικόν σας ἂς ἀναπληροῖ τὸ ἐλλειπὲς ἐκείνων·

14 Καὶ τὸ περίσσευμα ἐκεινῶν ἂς ἀναπληρώσῃ τὸ λείψιμον τὸ ἐδικόν σας, διὰ νὰ γενῇ ἰσότης·

15 Καθὼς εἶναι γεγραμμένον· Ἐκεῖνος ὁπȣ̃ (ἐμάζωξε) τὸ πολὺ, δὲν ἐπῆρε τίποτες περισσότερον (ἀπὸ τὸ μέτρον·) καὶ ἐκεῖνος ὁπȣ̃ ἐμάζωξε τὸ ὀλίγον, δὲν ἐπῆρεν ὀλιγότερον (ἀπὸ τὸ μέτρον ὁποῦ ἐχρειάζουντον.)

16 Καὶ χάρις τῷ Θεῷ ὁπȣ̃ δίδει τὴν αὐτὴν σπȣδὴν διὰ λόγȣ σας εἰς τὴν καρδίαν τοῦ Τίτȣ·

17 Ὅτι τὴν μὲν νȣθεσίαν τὴν ἐδέχθη· καὶ ὤντας πρόθυμος, μὲ τὸ ἴδιόν τȣ θέλημα εὐγῆκε καὶ ἦλθεν εἰς ἐσᾶς.

18 Καὶ ἐπέμψαμεν ὁμȣ̃

αὐτοῦ τὸν ἀδελφὸν, ἧ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν·

19 (Οὐ μόνον δὲ, ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν συνέκδημος ἡμῶν, σὺν τῇ χάριτι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν πρὸς τὴν αὐτοῦ τοῦ Κυρίου δόξαν καὶ προθυμίαν ὑμῶν·)

20 Στελλόμενοι τοῦτο, μή τις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν·

21 Προνοούμενοι καλὰ οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων.

22 Συνεπέμψαμεν δὲ αὐτοῖς τὸν ἀδελφὸν ἡμῶν, ὃν ἐδοκιμάσαμεν ἐν πολλοῖς πολλάκις σπουδαῖον ὄντα, νυνὶ δὲ πολὺ σπουδαιότερον, πεποιθήσει πολλῇ τῇ εἰς ὑμᾶς.

23 Εἴτε ὑπὲρ Τίτου, κοινωνὸς ἐμὸς καὶ εἰς ὑμᾶς συνεργός· εἴτε ἀδελφοὶ ἡμῶν, ἀπόστολοι ἐκκλησιῶν, δόξα Χριστοῦ.

24 Τὴν οὖν ἔνδειξιν τῆς

μετ' αὐτὸν τὸν ἀδελφὸν, τοῦ ὁποίου ὁ ἔπαινος εἶναι εἰς τὸ εὐαγγέλιον διαμέσου ὅλων τῶν ἐκκλησιῶν·

19 (Καὶ ὄχι μόνον (ἐτοῦτο) ἀλλὰ καὶ ἐχειροτονήθη ἀπὸ ταῖς ἐκκλησίαις νὰ μισεύσῃ ὁμοῦ μετ' ἐμᾶς, μὲ τὴν χάριν ἐτούτην ὁποῦ διακονεῖται ἀπὸ λόγου μας εἰς τὴν δόξαν αὐτοῦ τοῦ Κυρίου, καὶ (νὰ ὑπηρετοῦμεν) εἰς τὴν προθυμίαν σας·)

20 Φεύγοντες τοῦτο, μήπως καὶ κανένας μᾶς κατηγορήσῃ εἰς τούτην τὴν περίσσευσιν (τῆς ἐλεημοσύνης) ὁποῦ ὑπηρετᾶται ἀπὸ λόγου μας·

21 Φροντίζοντες ἐκεῖνα ὁποῦ εἶναι καλὰ, ὄχι μόνον ὀμπροστὰ εἰς τὸν Κύριον, ἀλλὰ καὶ ὀμπροστὰ εἰς τοὺς ἀνθρώπους.

22 Καὶ ὁμοῦ μὲ αὐτοὺς ἐπέμψαμεν τὸν ἀδελφὸν μας, τὸν ὁποῖον τὸν ἐδοκιμάσαμεν πολλαῖς φοραῖς εἰς πολλὰ πράγματα, καὶ τὸν εὑρήκαμεν πρόθυμον, καὶ τώρα εἶναι πολλὰ σπουδαιότερος διὰ τὸ πολὺ θάῤῥος ὁποῦ ἔχει εἰς ἐσᾶς.

23 Καὶ διὰ τὸν Τίτον, εἶναι σύντροφός μου καὶ συμβοηθός μου εἰς ἐσᾶς· καὶ οἱ λοιποί μας ἀδελφοὶ εἶναι ἀπόστολοι τῶν ἐκκλησιῶν, καὶ δόξα Χριστοῦ.

24 Τὴν ἀπόδειξιν λοιπὸν

ἀγάπης ὑμῶν, καὶ ἡμῶν καυχήσεως ὑπὲρ ὑμῶν, εἰς αὐτοὺς ἐνδείξασθε, καὶ εἰς πρόσωπον τῶν ἐκκλησιῶν.

τῆς ἀγάπης σας, καὶ τῆς καυχήσεώς μας διὰ λόγου σας, εἰς αὐτοὺς νὰ τὴν δείξετε ὀμπροστὰ εἰς ταῖς ἐκκλησίαις.

Κεφ. θ'. 9.

ΠΕρὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους περισσόν μοι ἐστὶ τὸ γράφειν ὑμῖν.

ΚΑὶ διὰ τὴν διακονίαν ὁποῦ γίνεται διὰ τοὺς ἁγίους, περισσόν μου εἶναι τὸ νὰ σᾶς γράφω.

2 Οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν, ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι Ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι· καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας.

2 Διατὶ ἐξεύρω τὴν προθυμίαν σας, τὴν ὁποῖαν καυχῶμαι διὰ λόγου σας εἰς τοὺς Μακεδόνας, ὅτι ἡ Ἀχαΐα εἶναι ἑτοιμασμένη ἀπὸ πέρυσι· καὶ ὁ ἐδικός σας ζῆλος ἐπαρακίνησε πολλούς.

3 Ἔπεμψα δὲ τοὺς ἀδελφούς, ἵνα μὴ τὸ καύχημα ἡμῶν τὸ ὑπὲρ ὑμῶν κενωθῇ ἐν τῷ μέρει τούτῳ· ἵνα (καθὼς ἔλεγον) παρεσκευασμένοι ἦτε·

3 Καὶ ἔπεμψα (ἐτοῦτες) τοὺς ἀδελφούς, διὰ νὰ μὴν εὐκαιρωθῇ εἰς τοῦτο τὸ μέρος τὸ καύχημά μας, ὁποῦ εἶναι διὰ λόγου σας· διὰ νὰ εἶσθεν ἑτοιμασμένοι, καθὼς ἔλεγον·

4 Μή πως ἐὰν ἔλθωσι σὺν ἐμοὶ Μακεδόνες, καὶ εὕρωσιν ὑμᾶς ἀπαρασκευάστους, καταισχυνθῶμεν ἡμεῖς (ἵνα μὴ λέγωμεν ὑμεῖς) ἐν τῇ ὑποστάσει ταύτῃ τῆς καυχήσεως.

4 Μήπως ἐὰν ἔλθωσι ὁμοῦ μετ' ἐμᾶς Μακεδόνες, καὶ σᾶς εὕρουν ἀνέτοιμους, ἐντροπιασθοῦμεν ἐμεῖς (διὰ νὰ μὴν εἰποῦμεν ἐσεῖς) εἰς τοῦτο τὸ στήριγμα τῆς καυχήσεως.

5 Ἀναγκαῖον οὖν ἡγησάμην παρακαλέσαι τοὺς ἀδελφούς, ἵνα προέλθωσιν εἰς ὑμᾶς, καὶ προκαταρτίσωσι τὴν προκατηγγελμένην εὐλογίαν ὑμῶν, ταύτην ἑτοίμην εἶναι οὕτως ὡς εὐλογίαν, καὶ μὴ ὥσπερ πλεονεξίαν.

5 Ἀναγκαῖον λοιπὸν ἐλογίασα νὰ παρακαλέσω τοὺς ἀδελφούς, νὰ ἔλθουν προτίτερα εἰς ἐσᾶς, καὶ νὰ προετοιμάσουν τελείως τὴν εὐλογίαν σας ὁποῦ ἐπροείπαμεν, νὰ εἶναι ἕτοιμη ἔτζι ὡσὰν εὐλογία, καὶ ὄχι ὡσὰν πλεονεξία.

6 Τοῦτο δὲ, ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει.

7 Ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ· μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός.

8 Δυνατὸς δὲ ὁ Θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς· ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν·

9 (Καθὼς γέγραπται· Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα.

10 Ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν, χορηγήσαι, καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν·)

11 Ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ Θεῷ·

12 Ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερή-

6 Καὶ ἰξεύρετε τοῦτο, ὅτι ἐκεῖνος ὅπου σπέρνει ἀκριβολογημένα, ἀκριβολογημένα καὶ θέλει θερίσει· καὶ ἐκεῖνος ὅπου σπέρνει πλούσια, θέλει θερίσει καὶ πλούσια.

7 Καθ' ἕνας καθὼς προαιρεῖται εἰς τὴν καρδίαν του (ἂς δίδῃ·) ὄχι μὲ λύπην, ἢ στανικῶς· διατὶ ὁ Θεὸς ἀγαπᾷ ἥμερον δότην.

8 Καὶ ὁ Θεὸς εἶναι δυνατὸς κάθε χάριν νὰ τὴν περισσεύσῃ εἰς ἐσᾶς· διὰ νὰ ἔχετε πάντοτε εἰς κάθε πρᾶγμα, κάθε λογῆς αὐτάρκειαν, νὰ περισσεύετε εἰς κάθε ἔργον ἀγαθόν·

9 (Καθὼς εἶναι γεγραμμένον· Ἐσκόρπισεν, ἔδωκεν εἰς τοὺς πτωχούς· ἡ δικαιοσύνη του μένει εἰς τὸν αἰῶνα.

10 Καὶ ἐκεῖνος ὅπου προφθάνει σπέρμα ἐκείνου ὅπου σπέρνει, καὶ ψωμὶ εἰς φαγητόν, ἄμποτε νὰ προφθάσῃ καὶ νὰ πληθύνῃ τὸν σπόρον σας, καὶ νὰ αὐξήσῃ τὰ γεννήματα τῆς δικαιοσύνης σας·)

11 Εἰς κάθε πρᾶγμα νὰ πλουτῆτε εἰς κάθε λογῆς ἁπλότητα, ἡ ὁποία κάμνει διὰ μέσου μας εὐχαριστίαν εἰς τὸν Θεόν·

12 Ὅτι ἡ διακονία τῆς ὑπηρεσίας ἐτούτης, οὐ μόνον ἀναπληροῖ τὴν χρείαν τῶν

ματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ Θεῷ,

13 (Διὰ τῆς δοκιμῆς τῆς διακονίας ταύτης δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτοὺς καὶ εἰς πάντας,)

14 Καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν, ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ Θεοῦ ἐφ' ὑμῖν.

15 Χάρις δὲ τῷ Θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ.

ἁγίων, ἀλλὰ καὶ περισσεύει μὲ τὴν εὐχαριστίαν ὁπου κάμνουν οἱ πολλοὶ εἰς τὸν Θεὸν,

13 (Διαμέσου τῆς δοκιμῆς τῆς ὑπηρεσίας ἐτούτης δοξάζοντες τὸν Θεὸν εἰς τὴν ὑποταγὴν τῆς ὁμολογίας σας (ὁπου ἔχετε) εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ εἰς τὴν ἁπλότητα τῆς κοινωνίας (ὁπου ἔχετε) εἰς αὐτοὺς καὶ εἰς ὅλους,)

14 Καὶ μὲ τὴν παρακάλεσιν αὐτῶν (ὁπου κάμνουν) διὰ λόγου σας, ἀγαπῶντές σας πολλὰ, διὰ τὴν ὑπερβολικὴν χάριν τοῦ Θεοῦ (ὁπου εἶναι) εἰς ἐσᾶς.

15 Καὶ δόξαν νὰ ἔχῃ ὁ Θεὸς εἰς τὴν δωρεάν του τὴν ἀδιήγητον.

Κεφ. ι'. 10.

Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πρᾳότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ, ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαῤῥῶ εἰς ὑμᾶς.

2 Δέομαι δὲ τὸ μὴ παρὼν θαῤῥῆσαι τῇ πεποιθήσει ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦντας.

3 Ἐν σαρκὶ γὰρ περιπατοῦν-

ΚΑΙ' αὐτὸς ἐγὼ ὁ Παῦλος σᾶς παρακαλῶ διὰ τὴν πρᾳότητα καὶ καλωσύνην τοῦ Χριστοῦ, ὁ ὁποῖος ἐγὼ ὤντας παρὼν ἤμουν ταπεινὸς εἰς ἐσᾶς, καὶ ὤντας ἀπὼν ἔχω θάῤῥος εἰς ἐσᾶς.

2 Καὶ παρακαλῶ σας ἔτζι κάμετε, νὰ μὴν χρειασθῶ, ὅταν θέλω εἶσθαι παρὼν, τὸ θάῤῥος ὁπου ἐγὼ λογιάζω νὰ ἔχω εἰς κάποιους, ὁπου μᾶς λογαριάζουν πῶς περιπατοῦμεν κατὰ σάρκα.

3 Διατὶ (ἀγκαλὰ) καὶ πε-

τες, οὐ κατὰ σάρκα στρατευόμεθα·

4 (Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων·)

5 Λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ·

6 Καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοὴν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή.

7 Τὰ κατὰ πρόσωπον βλέπετε; Εἴ τις πέποιθεν ἑαυτῷ Χριστοῦ εἶναι, τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ, ὅτι καθὼς αὐτὸς Χριστοῦ, οὕτω καὶ ἡμεῖς Χριστοῦ.

8 Ἐάν τε γὰρ καὶ περισσότερόν τι καυχήσωμαι περὶ τῆς ἐξουσίας ἡμῶν, ἧς ἔδωκεν ὁ Κύριος ἡμῖν εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς καθαίρεσιν ὑμῶν, οὐκ αἰσχυνθήσομαι·

9 Ἵνα μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς διὰ τῶν ἐπιστολῶν.

10 Ὅτι αἱ μὲν ἐπιστολαὶ, φησὶ, βαρεῖαι καὶ ἰσχυραί· ἡ

ριπατοῦμεν εἰς σάρκα, δὲν στρατευόμεσθεν κατὰ τὴν σάρκα·

4 (Διατὶ τὰ ἅρματα τῆς στρατείας μας δὲν εἶναι σαρκικὰ, ἀλλὰ εἶναι δυνατὰ μὲ τὸν Θεὸν, εἰς χαλασμὸν τῶν κάστρων·)

5 Χαλνοῦντες τοὺς λογισμοὺς, καὶ κάθε λογῆς ὕψωμα ὁποῦ ὑψώνεται ἐναντίον τῆς γνώσεως τοῦ Θεοῦ, καὶ σύροντες ὡσὰν δοῦλον κάθε νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ·

6 Καὶ εἴμεσθεν ἕτοιμοι νὰ ξεκδικήσωμεν κάθε λογῆς παρακοὴν, ὅταν τελειωθῇ ἡ ὑπακοή σας.

7 Τὰ (φαινόμενα) κατὰ πρόσωπον βλέπετε; Ἐὰν κανένας ἔχει θάῤῥος εἰς τοῦ λόγου του, νὰ εἶναι τοῦ Χριστοῦ, ἂς λογαριάζῃ τοῦτο πάλιν ἀπὸ λόγου του, ὅτι καθὼς αὐτὸς εἶναι τοῦ Χριστοῦ, τοιουτοτρόπως καὶ ἐμεῖς εἴμεσθε τοῦ Χριστοῦ.

8 Διατὶ ἐὰν καὶ καυχηθῶ τίποτες περισσότερον διὰ τὴν ἐξουσίαν μας, τὴν ὁποίαν μᾶς ἔδωκεν ὁ Κύριος εἰς οἰκοδομὴν, καὶ ὄχι εἰς χαλασμὸν σας, δὲν θέλω ἐντραπῆ·

9 Διὰ νὰ μὴν φανῶ πῶς σᾶς καταφοβίζω μὲ ταῖς ἐπιστολαῖς.

10 Ὅτι λέγει κάποιος διὰ λόγου μου, αἱ ἐπιστολαῖς μου νὰ

δὲ παρȣσία τοῦ σώματος
ἀσθενὴς, καὶ ὁ λόγος ἐξȣθε-
νημένος.

11 Τȣ̃το λογιζέσθω ὁ
τοιȣ̃τος, ὅτι οἷοί ἐσμεν τῷ
λόγῳ δι' ἐπιςολῶν ἀπόντες,
τοιȣ̃τοι καὶ παρόντες τῷ
ἔργῳ.

12 Οὐ γὰρ τολμῶμεν ἐγ-
κρῖναι ἢ συγκρῖναι ἑαυτȣ̀ς
τισι τῶν ἑαυτȣ̀ς συνιςανόν-
των· ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς
ἑαυτȣ̀ς μετροῦντες, καὶ συγ-
κρίνοντες ἑαυτȣ̀ς ἑαυτοῖς ȣ̓
συνιȣ̃σιν.

13 Ἡμεῖς δὲ ȣ̓χὶ εἰς τὰ
ἄμετρα καυχησόμεθα, ἀλλὰ
κατὰ τὸ μέτρον τοῦ κανόνος
ȣ̔ ἐμέρισεν ἡμῖν ὁ Θεὸς μέτρȣ,
ἐφικέσθαι ἄχρι καὶ ὑμῶν.

14 Οὐ γὰρ ὡς μὴ ἐφικνȣ-
μενοι εἰς ὑμᾶς, ὑπερεκτείνο-
μεν ἑαυτȣ́ς· ἄχρι γὰρ καὶ
ὑμῶν ἐφθάσαμεν ἐν τῷ εὐαγ-
γελίῳ τοῦ Χριςοῦ·

15 Οὐκ εἰς τὰ ἄμετρα
καυχώμενοι ἐν ἀλλοτρίοις κό-
ποις, ἐλπίδα δὲ ἔχοντες, αὐ-
ξανομένης τῆς πίςεως ὑμῶν, ἐν

εἶναι βαρείαις καὶ δυναταῖς·
ἀμὴ ἡ παρȣσία τοῦ σώματος
μȣ νὰ εἶναι ἀσθενησμένη, καὶ
ὁ λόγος νὰ εἶναι καταφρονε-
μένος καὶ ȣδετιποτένος.
11 Ὁ τοιȣ̃τος ἄνθρωπος
ἂς λογαριάζῃ ἐτȣ̃το, πῶς
ὅ, τι λογῆς εἴμεσθε μὲ τὸν
λόγον εἰς ταῖς ἐπιστολαῖς
ἀπόντες, τέτοιας λογῆς εἴ-
μεσθε καὶ παρόντες μὲ τὸ
ἔργον.
12 Διατὶ δὲν ἀποκοτȣ̃-
μεν ἐμεῖς νὰ συναριθμήσωμεν
ἢ νὰ συγκρίνωμεν τοῦ λόγου
μας μὲ κάποιȣς, ὁπȣ̃ συστή-
νȣσι τȣ̃ λόγȣ τȣς· ἀλλὰ ἐκεῖ-
νοι ἔςωντας νὰ μετρȣ̃σι τοῦ
λόγȣ τȣς ἀπατήτȣς, καὶ νὰ
συγκρίνȣσι τοῦ λόγȣ τȣς μὲ
τὸν ἑαυτόν τȣς, δὲν γροικȣ̃σι.
13 Ἀμὴ ἐμεῖς δὲν θέλο-
μεν καυχηθῆ ἄμετρα, ἀλλὰ
κατὰ τὸ μέτρον τοῦ κανόνος,
τοῦ ὁποίȣ μέτρȣ μᾶς ἐμοί-
ρασεν ὁ Θεὸς, νὰ φθάσωμεν
ἕως εἰς ἐσᾶς.
14 Διατὶ δὲν ξαπλώνομεν
τοῦ λόγȣ μας περισσότερον
(ἀπὸ τὴν ἀλήθειαν) λέγοντες
πῶς ἐφθάσαμεν ἕως εἰς ἐσᾶς,
μὴ φθάνοντες· διατὶ καὶ ἕως
εἰς ἐσᾶς ἐφθάσαμεν μὲ τὸ
εὐαγγέλιον τοῦ Χριςȣ̃·
15 Δὲν καυχώμεσθε εἰς
τὰ ἄμετρα, εἰς τȣς κόπȣς τῶν
ἄλλων, ἀλλὰ ἔχοντες θάῤῥος,
αὐξανομένης, τῆς πίςεώς σας,

ὑμῖν μεγαλυνθῆναι κατὰ τὸν κανόνα ἡμῶν εἰς περισσείαν·

να μεγαλυνθῶμεν καὶ ἐμεῖς εἰς ἐσᾶς περισσὰ κατὰ τὸν κανόνα μας·

16 Εἰς τὰ ὑπερέκεινα ὑμῶν εὐαγγελίσασθαι· οὐκ ἐν ἀλλοτρίῳ κανόνι εἰς τὰ ἕτοιμα καυχήσασθαι.

16 Νὰ εὐαγγελίσω καὶ εἰς ταῖς χώραις ὁπῦ εἶναι παραπάνω ἀπὸ σᾶς· καὶ ὄχι νὰ καυχηθῶ εἰς ἄλλυ κανόνα, διὰ ἐκεῖνα ὁπῦ ἑτοιμάσθηκαν (ἀπ' ἄλλον.)

17 Ὁ δὲ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω.

17 Ἐκεῖνος ὁπῦ καυχᾶται, ἂς καυχᾶται ἐν Κυρίῳ.

18 Οὐ γὰρ ὁ ἑαυτὸν συνιςῶν, ἐκεῖνός ἐςι δόκιμος, ἀλλ' ὃν ὁ Κύριος συνίστησιν.

18 Διατὶ ὄχι ἐκεῖνος ὁπῦ συςήνει τοῦ λόγυ τυ εἶναι δόκιμος, ἀλλὰ ἐκεῖνος ὁπῦ συςήνει ὁ Κύριος.

Κεφ. ια'. 11.

Ὄφελον ἠνείχεσθέ μυ μικρόν τι τῆς ἀφροσύνης· ἀλλὰ καὶ ἀνέχεσθέ μυ.

Ἄμποτες νὰ ὑπομένετε ὀλίγον τὴν ἀφροσύνην μυ· ἀλλὰ καὶ μὲ ὑπομένετε.

2 Ζηλῶ γὰρ ὑμᾶς Θεῦ ζήλῳ· ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραςῆσαι, τῷ Χριςῷ·

2 Διατὶ σᾶς ἀγαπῶ περισσὰ, ἀγάπην κατὰ Θεόν· διατὶ σᾶς ἅρμοσα μὲ ἕνα ἄνδρα, νὰ σᾶς παραςήσω εἰς τὸν Χριςὸν, ὡσὰν παρθένον καθαράν·

3 Φοβῦμαι δὲ μήπως ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανυργίᾳ αὐτοῦ, ὕτω φθαρῇ τὰ νοήματα ὑμῶν, ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριςόν.

3 Καὶ φοβῦμαι μήπως, καθὼς ὁ ὄφις ἐξεπάτησε τὴν Εὔαν μὲ τὴν πανυργίαν τυ, ἔτζι φθαρθῦσι τὰ νοήματά σας ἀπὸ τὴν ἁπλότητα, ὁπῦ πρέπει νὰ ἔχετε εἰς τὸν Χριςόν.

4 Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει ὃν οὐκ ἐκηρύξαμεν, ἢ Πνεῦμα

4 Διατὶ ἐὰν ἐκεῖνος ὁπῦ ἔρχεται εἰς ἐσᾶς κηρύττει ἄλλον Ἰησοῦν, τὸν ὁποῖον ἐμεῖς

ἕτερον λαμβάνετε ὃ οὐκ ἐλά-
βετε, ἢ εὐαγγέλιον ἕτερον ὃ
οὐκ ἐδέξασθε, καλῶς ἠνεί-
χεσθε.

5 Λογίζομαι γὰρ μηδὲν
ὑστερηκέναι τῶν ὑπὲρ λίαν ἀπο-
στόλων.
6 Εἰ δὲ καὶ ἰδιώτης τῷ
λόγῳ, ἀλλ' οὐ τῇ γνώσει· ἀλλ'
ἐν παντὶ φανερωθέντες ἐν πᾶ-
σιν εἰς ὑμᾶς.

7 Ἢ ἁμαρτίαν ἐποίησα,
ἐμαυτὸν ταπεινῶν ἵνα ὑμεῖς
ὑψωθῆτε; ὅτι δωρεὰν τὸ τοῦ
Θεοῦ εὐαγγέλιον εὐηγγελισά-
μην ὑμῖν;
8 Ἄλλας ἐκκλησίας ἐσύ-
λησα, λαβὼν ὀψώνιον, πρὸς
τὴν ὑμῶν διακονίαν· καὶ πα-
ρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθεὶς,
οὐ κατενάρκησα οὐδενός.

9 Τὸ γὰρ ὑστέρημά μου
προσανεπλήρωσαν οἱ ἀδελφοὶ
ἐλθόντες ἀπὸ Μακεδονίας·
καὶ ἐν παντὶ ἀβαρῆ ὑμῖν
ἐμαυτὸν ἐτήρησα, καὶ τηρή-
σω.

10 Ἔστιν ἀλήθεια Χρι-
στοῦ ἐν ἐμοὶ, ὅτι ἡ καύχη-
σις αὕτη οὐ φραγήσεται
εἰς ἐμὲ ἐν τοῖς κλίμασι τῆς
Ἀχαΐας.

δὲν τὸν ἐκηρύξαμεν, ἢ λαμβά-
νετε ἄλλον Πνεῦμα, τὸ ὁποῖον
δὲν τὸ ἐλάβετε, ἢ ἄλλον εὐ-
αγγέλιον, τὸ ὁποῖον δὲν τὸ
ἐδεχθήκετε, καλὰ ἠθέλετε
τὸν ὑπομένη.
5 Διατὶ λογιάζω νὰ μὴν εἶ-
μαι ἐλλειπὴς τίποτες ἀπὸ τοὺς
ἀποστόλους τοὺς πολλὰ μεγάλους.
6 Καὶ ἐὰν εἶμαι ἰδιώτης
εἰς τὸν λόγον, δὲν (εἶμαι ἰδιώ-
της) εἰς τὴν γνῶσιν· ἀλλὰ
ἐφανερώθημεν ὅλως δι' ὅλου
εἰς κάθε πρᾶγμα εἰς ἐσᾶς.
7 Ἢ ἔκαμα ἁμαρτίαν,
ταπεινώνωντας τοῦ λόγου μου
διὰ νὰ ὑψωθῆτε ἐσεῖς; ὅτι
χάρισμα σᾶς εὐαγγέλισα τὸ
εὐαγγέλιον τοῦ Θεοῦ;
8 Ἄλλαις ἐκκλησίαις ἐκούρ-
σευσα, πέρωντας σιτηρέσιον
διὰ διακονίαν ἐδικήν σας· καὶ
ὥντας παρὼν εἰς ἐσᾶς ἀγ-
καλὰ καὶ ὑστερήθηκα τῶν
ἀναγκαίων, ὅμως δὲν ἐπαρα-
βάρεσα κανένα.
9 Διατὶ τὴν χρείαν μου
τὴν ἀνεπλήρωσαν οἱ ἀδελφοὶ
ὁποῦ ἦλθαν ἀπὸ τὴν Μακε-
δονίαν· καὶ εἰς κάθε πρᾶγμα
ἐφυλάχθηκα νὰ μὴν σᾶς
παραβαρέσω, καὶ θέλω φυ-
λαχθῆ.
10 Ἡ ἀλήθεια τοῦ Χριστοῦ
εἶναι εἰς ἐμένα, ὅτι ἡ καύχη-
σις ἐτούτη δὲν θέλει φραχθῆ
εἰς ἐμένα εἰς τὰ μέρη τῆς
Ἀχαΐας.

11 Διατί; ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; Ὁ Θεὸς οἶδεν.

12 Ὃ δὲ ποιῶ, καὶ ποιήσω, ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμὴν, ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς.

13 Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ.

14 Καὶ οὐ θαυμαστόν· αὐτὸς γὰρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός.

15 Οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης· ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν.

16 Πάλιν λέγω, μή τις με δόξῃ ἄφρονα εἶναι· εἰ δὲ μή γε, κἂν ὡς ἄφρονα δέξασθέ με, ἵνα μικρόν τι κἀγὼ καυχήσωμαι.

17 Ὃ λαλῶ, οὐ λαλῶ κατὰ Κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως.

18 Ἐπεὶ πολλοὶ καυχῶνται κατὰ τὴν σάρκα, κἀγὼ καυχήσομαι.

11 Διατί; (τάχα) ὅτι δὲν σᾶς ἀγαπῶ; Ὁ Θεὸς τὸ ἠξεύρει.

12 Ἀμὴ ἐκεῖνο ὅπου κάμνω, καὶ ἀκόμι θέλω τὸ κάμει, διὰ νὰ κόψω τὴν ἀφορμὴν ἐκεινῶν ὅπου θέλουν ἀφορμὴν διὰ νὰ εὑρεθοῦσιν, εἰς ἐκεῖνο ὅπου καυχῶνται καθὼς εἴμεσθε καὶ ἐμεῖς.

13 Διατὶ οἱ τέτοιας λογῆς ψευδαπόστολοι, εἶναι ἐργάται δόλιοι, καὶ μεταμορφώνουνται εἰς ἀποστόλους τοῦ Χριστοῦ.

14 Καὶ δὲν εἶναι θαυμαστόν· διατὶ καὶ αὐτὸς ὁ Σατανᾶς μεταμορφώνεται εἰς ἄγγελον φωτός.

15 Δὲν εἶναι μεγάλον (πράγμα) λοιπὸν, ἐὰν καὶ οἱ ὑπηρέται του μεταμορφώνουνται (νὰ φαίνωνται) ὡσὰν ὑπηρέται δικαιοσύνης· τῶν ὁποίων τὸ τέλος θέλει εἶσθαι κατὰ τὰ ἔργα τους.

16 Πάλιν λέγω, καὶ μὴν λογιάσει κανένας νὰ εἶμαι ἄγνωστος, εἰδεμὴ, κἂν ὡς ἄγνωστον δεχθῆτέ με, διὰ νὰ καυχηθῶ καὶ ἐγὼ ὀλίγον τίποτε.

17 Ἐκεῖνο ὅπου λέγω, δὲν τὸ λέγω κατὰ Κύριον, ἀλλὰ ὡσὰν ἄγνωστος, ἔχωντας ἐτούτην τὴν ἀφορμὴν νὰ καυχηθῶ.

18 Ἐπειδὴ πολλοὶ καυχῶνται κατὰ τὴν σάρκα, θέλω νὰ καυχηθῶ καὶ ἐγώ.

19 Ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων, φρόνιμοι ὄντες.

19 Διατὶ μετὰ χαρᾶς ὑπομένετε τοὺς ἀγνώστους, μὲ τὸ νὰ εἶσθε φρόνιμοι.

20 Ἀνέχεσθε γὰρ, εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τίς ὑμᾶς εἰς πρόσωπον δέρει.

20 Διατὶ ἐὰν κανένας σᾶς καταδουλώνει, ἂν κανένας σᾶς κατατρώγει, ἂν κανένας σᾶς πέρνει τίποτες, ἂν κανένας ὑψώνεται, ἂν κανένας σᾶς δέρνει εἰς τὸ πρόσωπον, ἐσεῖς τὸν ὑπομένετε.

21 Κατὰ ἀτιμίαν λέγω, ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν· ἐν ᾧ δ᾽ ἄν τις τολμᾷ, (ἐν ἀφροσύνῃ λέγω,) τολμῶ κἀγώ.

21 Διὰ ἀτιμίαν λέγω, διατὶ τάχα ἐμεῖς ἀσθενήσαμεν· ἀλλὰ εἰς ὁποῖον δήποτε πρᾶγμα ἀποκοτᾷ κανένας, (ὡς ἄγνωστος λέγω,) ἀποκοτῶ καὶ ἐγώ.

22 Ἑβραῖοί εἰσι; κἀγώ. Ἰσραηλῖταί εἰσι; κἀγώ· σπέρμα Ἀβραάμ εἰσι; κἀγώ.

22 Ἑβραῖοι εἶναι αὐτοί; καὶ ἐγὼ Ἑβραῖος. Ἰσραηλῖται εἶναι αὐτοί; καὶ ἐγὼ Ἰσραηλίτης· σπέρμα τοῦ Ἀβραὰμ εἶναι αὐτοί; καὶ ἐγὼ (σπέρμα τοῦ Ἀβραάμ.)

23 Διάκονοι Χριστοῦ εἰσι; (παραφρονῶν λαλῶ,) ὑπὲρ ἐγώ· ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις.

23 Διάκονοι Χριστοῦ εἶναι αὐτοί; (ἔξω ἀπὸ τὸν νοῦν μου λαλῶ,) περισσότερον εἶμαι ἐγὼ παρ᾽ αὐτοί· εἰς τοὺς κόπους, περισσότερον εἶμαι εἰς ταῖς πληγαῖς, πολλὰ περισσότερον· εἰς ταῖς φυλακαῖς, περισσότερον· εἰς θανάτους, πολλαῖς φοραῖς.

24 Ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον.

24 Ἀπὸ τοὺς Ἰουδαίους πέντε φοραῖς ἐδάρθηκα, σαράντα παρὰ μίαν ξυλιαῖς.

25 Τρὶς ἐῤῥαβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυά-

25 Τρεῖς φοραῖς ἐῤῥαβδίσθηκα, μίαν φορὰν ἐλιθάσθην

γησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα.

26 Ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις·

27 Ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι.

28 Χωρὶς τῶν παρεκτὸς, ἡ ἐπισύστασίς μου ἡ καθ᾽ ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν.

29 Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;

30 Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι.

31 Ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι.

32 Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων·

κα, τρεῖς φοραῖς ἐθαλασσοναυάγησα, ἕνα μερόνυκτον ἔκαμα μέσα εἰς τὸν βυθόν.

26 Πολλαῖς φοραῖς εἰς ταῖς ὁδοιπορίαις, εἰς κινδύνους τῶν ποταμῶν, εἰς κινδύνους ἀπὸ τοὺς λῃστάδες, κινδύνους ἀπὸ τὸ γένος μου, κινδύνους ἀπὸ τὰ ἔθνη, κινδύνους εἰς ταῖς πόλαις, κινδύνους εἰς ταῖς ἐρημίαις, κινδύνους εἰς τὴν θάλασσαν, κινδύνους ἀπὸ τοὺς ψευδαδέλφους·

27 Εἰς κόπους καὶ μόχθους, πολλαῖς φοραῖς εἰς ἀγρυπνίαις, εἰς πεῖναν καὶ δίψαν, πολλαῖς φοραῖς εἰς νηστείαις, εἰς ψύχραν καὶ γυμνότητα.

28 Χωρὶς ἐκεῖνα (ὁποῦ συμβαίνουσιν) ἀπέξω, ἡ φροντίδα ὅλων τῶν ἐκκλησιῶν μὲ τρυγυρίζει καὶ μὲ πολεμεῖ καθημέραν.

29 Ποῖος ἀσθενεῖ, καὶ ἐγὼ δὲν ἀσθενῶ; ποῖος σκανδαλίζεται, καὶ ἐγὼ δὲν φλέγομαι;

30 Ἂν κάμνῃ χρεία νὰ καυχοῦμαι, θέλω καυχηθῆ τὰ πράγματα τῆς ἀσθενείας μου.

31 Ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ὁποῦ εἶναι εὐλογημένος εἰς τοὺς αἰῶνας, ἐξεύρει ὅτι δὲν ψεύδομαι.

32 Εἰς τὴν Δαμασκὸν ὁ ἐθνάρχης τοῦ βασιλέως Ἀρέτα, ἐφύλαγε τὴν πόλιν τῶν Δαμασκηνῶν, θέλωντας νὰ μὲ πιάσῃ·

33 Καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους, καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ.

33 Καὶ ἐγὼ ἐκρεμάσθηκα μὲ κοφίνι ἀπὸ τὴν θυρίδα ὁποῦ ἦτον διαμέσου τοῦ τείχους, καὶ ἔφυγα ἔξω ἀπὸ τὰ χέριά του.

Κεφ. ιβ΄. 12.

ΚΑυχᾶσθαι δὴ οὐ συμφέρει μοι· ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου.

ΝΑ᾽ καυχοῦμαι λοιπὸν δὲν μὲ ὠφελᾷ· διατὶ θέλω ἔλθη εἰς ὀπτασίαις καὶ ἀποκαλύψεις Κυρίου.

2 Οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων (εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν·) ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ.

2 Ἰξεύρω ἄνθρωπον ἐν Χριστῷ, ὁποῦ ἁρπάχθη ἕως τρίτου οὐρανοῦ ὁ τοιοῦτος προτίτερα ἀπὸ δεκατέσσαρες χρόνους (κἂν τε εἰς τὸ κορμὶ ἦτον, δὲν ἰξεύρω· κἂν τε ἔξω ἀπὸ τὸ κορμὶ, δὲν ἰξεύρω· ὁ Θεὸς τὸ ἰξεύρει·)

3 Καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, (εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδα·)

3 Καὶ ἰξεύρω τὸν τοιοῦτον ἄνθρωπον, (κἂν τε εἰς τὸ κορμὶ (ἔγινε,) κἂν τε ἔξω ἀπὸ τὸ κορμὶ, δὲν ἰξεύρω· ὁ Θεὸς τὸ ἰξεύρει·)

4 Ὅτι ἡρπάγη εἰς τὸν παράδεισον, καὶ ἤκουσεν ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι.

4 Ὅτι ἁρπάχθη εἰς τὸν παράδεισον, καὶ ἤκουσεν λόγια ὁποῦ δὲν ἠμποροῦν νὰ λαληθοῦσι, τὰ ὁποῖα δὲν εἶναι δυνατὸν νὰ τὰ εἰπῇ ἄνθρωπος.

5 Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι· ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι, εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου.

5 Διὰ τὸν τοιοῦτον ἄνθρωπον θέλω καυχηθῆ· ἀμὴ διὰ λόγου μου δὲν θέλω καυχηθῆ, παρὰ εἰς ταῖς ἀσθενείαις μου.

6 Ἐὰν γὰρ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ· φείδομαι

6 Διατὶ ἐὰν θελήσω νὰ καυχηθῶ, δὲν θέλω εἶσθαι ἄφρων· διατὶ θέλω εἰπεῖ ἀλή-

δὲ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκȣ́ει τι ἐξ ἐμȣ͂.

θειαν· ἀμὴ φυλάγομαι, (ἀπὸ τȣ́τȣς τȣ̀ς λόγȣς,) μήπως καὶ κανένας λογιάσει διὰ λόγȣ μου (πῶς εἶμαι) τίποτις ἔξω ἀπ' ἐκεῖνο ὁποῦ μὲ βλέπει, ἢ ἀκȣ́ει ἀπὸ λόγȣ μȣ.

7 Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι.

7 Καὶ διὰ νὰ μὴν παρὰ ὑψώνωμαι, διὰ τὴν ὑπερβολὴν τῶν ἀποκαλύψεων, μȣ͂ ἐδόθη κεντρίδι εἰς τὴν σάρκα, ἄγγελος τȣ͂ Σατᾶν, διὰ νὰ μὲ κτυπᾷ, νὰ μὴν παρὰ ὑψώνωμαι.

8 Ὑπὲρ τȣ́τȣ τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμȣ͂.

8 Διὰ ἐτȣ͂το τρεῖς φοραῖς ἐπαρακάλεσα τὸν Κύριον, διὰ νὰ ἀναχωρήσῃ ἀπ' ἐμένα.

9 Καὶ εἴρηκέ μοι· Ἀρκεῖ σοι ἡ χάρις μȣ· ἡ γὰρ δύναμίς μȣ ἐν ἀσθενείᾳ τελειȣ͂ται. Ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μȣ, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστȣ͂.

9 Καὶ μοῦ εἶπε· Σώνει σου ἡ χάρις μȣ· διατὶ ἡ δύναμίς μου τελειοῦται ἐν ἀσθενείᾳ. Πολλὰ μετὰ χαρᾶς λοιπὸν θέλω καυχηθῇ εἰς ταῖς ἀσθενείαις μου, διὰ νὰ κατοικήσῃ εἰς ἐμένα ἡ δύναμις τοῦ Χριστοῦ.

10 Διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις ὑπὲρ Χριστȣ͂· ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι.

10 Διὰ τοῦτο ἀναπαύομαι εἰς ἀσθενείαις, εἰς ταῖς λοιδορίαις, εἰς ταῖς ἀνάγκαις, εἰς τȣ̀ς διωγμȣ̀ς, εἰς ταῖς στενοχωρίαις, (ὁποῦ εἶναι,) διὰ τὸν Χριστόν· διατὶ ὅταν ἀσθενῶ, τότε εἶμαι δυνατός.

11 Γέγονα ἄφρων καυχώμενος· ὑμεῖς με ἠναγκάσατε· ἐγὼ γὰρ ὤφειλον ὑφ' ὑμῶν συνίστασθαι· ȣ̓δὲν γὰρ

11 Ἐγὼ καυχώμενος ἔγινα ἄγνωστος· ἐσεῖς τὸ ἀναγκάσετε· διατὶ ἐγὼ ἔπρεπε νὰ συστήνωμαι ἀπὸ λόγȣ σας· διατὶ

ὑστέρησα τῶν ὑπὲρ λίαν ἀποστόλων, εἰ καὶ οὐδέν εἰμι.

12 Τὰ μὲν σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ, ἐν σημείοις καὶ τέρασι καὶ δυνάμεσι.

13 Τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας, εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν; Χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην.

14 Ἰδοὺ, τρίτον ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ οὐ καταναρκήσω ὑμῶν· οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ' ὑμᾶς· οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις.

15 Ἐγὼ δὲ ἥδιστα δαπανήσω καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν· εἰ καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν, ἧττον ἀγαπῶμαι.

16 Ἔστω δὲ, ἐγὼ οὐ κατεβάρησα ὑμᾶς· ἀλλ' ὑπάρχων πανοῦργος, δόλῳ ὑμᾶς ἔλαβον.

17 Μή τινα ὧν ἀπέσταλκα πρὸς ὑμᾶς, δι' αὐτοῦ ἐπλεονέκτησα ὑμᾶς;

εἰς τίποτες δὲν ἔγινα ἐλλειπὴς ἀπὸ τοὺς πολλὰ μεγάλους ἀποστόλους, ἀγκαλὰ καὶ δὲν εἶμαι τίποτες.

12 Τὰ μὲν σημάδια τοῦ ἀποστόλου ἔγιναν εἰς ἐσᾶς μὲ κάθε ὑπομονὴν, μὲ σημεῖα καὶ τέρατα καὶ μὲ δυνάμεις.

13 Διατὶ τί εἶναι ἐκεῖνο ὁποῦ ἐκατωτερεύσατε ἀπὸ ταῖς λοιπαῖς ἐκκλησίαις, παρὰ ὅτι αὐτὸς ἐγὼ δὲν σᾶς ἐπαραβάρεσα; Χαρίσετέ μου τὴν ἀδικίαν ἐτούτην.

14 Νὰ, τῶρα τρίτη φορὰ εἶναι ὁποῦ εἶμαι ἕτοιμος νὰ ἔλθω εἰς ἐσᾶς, καὶ δὲν θέλω σᾶς παραβαρέσει· διατὶ δὲν ζητῶ τὰ ἐδικά σας, ἀλλὰ ἐσᾶς· διατὶ δὲν χρεωστοῦσι τὰ παιδία νὰ θησαυρίζουν διὰ τοὺς γονεῖς, ἀλλὰ οἱ γονεῖς διὰ τὰ παιδία.

15 Καὶ ἐγὼ πολλὰ μετὰ χαρᾶς θέλω ἐξοδιάσει, καὶ θέλω ἐξοδιασθῆ διὰ ταῖς ψυχαῖς σας· ἀγκαλὰ καὶ ἀγαπῶντάς σας περισσότερον, ἀγαποῦμαι ὀλιγότερον.

16 Καὶ ἂς εἶναι, ἐγὼ δὲν σᾶς ἐπαραβάρεσα· ἀλλὰ ὤντας πανοῦργος, σᾶς ἐπίασα μὲ δόλον.

17 Μήπως καὶ κανένας ἀπ' ἐκείνους ὁποῦ ἔστειλα εἰς ἐσᾶς, διαμέσου ἐκείνου σᾶς ἐπλεονέκτησα;

18 Παρεκάλεσα Τίτον, καὶ συναπέστειλα τὸν ἀδελφόν· μή τι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσαμεν; οὐ τοῖς αὐτοῖς ἴχνεσι;

19 Πάλιν δοκεῖτε ὅτι ὑμῖν ἀπολογούμεθα; κατενώπιον τοῦ Θεοῦ, ἐν Χριστῷ λαλοῦμεν· τὰ δὲ πάντα, ἀγαπητοὶ, ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς.

20 Φοβοῦμαι γὰρ, μή πως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς, κἀγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε· μή πως ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, καταλαλιαὶ, ψιθυρισμοὶ, φυσιώσεις, ἀκαταστασίαι·

21 Μὴ πάλιν ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ, καὶ πορνείᾳ, καὶ ἀσελγείᾳ ᾗ ἔπραξαν.

18 Ἐπαρακάλεσα τὸν Τίτον, καὶ ἔστειλα μὲ λόγου του τὸν ἀδελφόν· μὴ νὰ σᾶς ἐπλεονέκτησε τίποτες ὁ Τίτος; δὲν ἐπεριπατήσαμεν μὲ τὸ αὐτὸ πνεῦμα; δὲν ἐπεριπατήσαμεν μὲ τὰ αὐτὰ ἴχνη;

19 Πάλιν λογιάζετε, ὅτι σᾶς ἀπολογούμεσθε; ὀμπροστὰ εἰς τὸν Θεὸν ἐν Χριστῷ λαλοῦμεν· καὶ τὸ ὅλον, ἀγαπητοὶ, εἶναι διὰ τὴν οἰκοδομήν σας.

20 Διατὶ φοβοῦμαι, μήπως ὅταν ἔλθω, δὲν σᾶς εὕρω τέτοιους ὡσὰν θέλω, καὶ ἐγὼ εὑρεθῶ εἰς ἐσᾶς τέτοιος ὡσὰν δὲν θέλετε· καὶ μήπως καὶ εἶναι εἰς ἐσᾶς φιλονικίαις, ζηλίαις, θυμοὶ, μαλώματα, καταλαλιαὶ, μουρμουρίσματα, κενοδοξίαις, ἀκαταστασίαις·

21 Μήπως πάλιν ὡσὰν ἔλθω εἰς ἐσᾶς μὲ ταπεινώσῃ ὁ Θεός μου, καὶ κλαύσω πολλοὺς ἀπ' ἐκείνους ὅπου ἡμάρταν προτίτερα, καὶ δὲν ἐμετανοήσαν διὰ τὴν ἀκαθαρσίαν καὶ πορνείαν καὶ ἀσέλγειαν ὅπου ἔκαμαν.

Κεφ. ιγ'. 13.

ΤΡίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς· ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα.

2 Προείρηκα καὶ προλέγω, ὡς παρὼν τὸ δεύτερον, καὶ ἀπὼν νῦν γράφω τοῖς προη-

ΤΡίτη φορὰ εἶναι ἐτούτη ὅπου ἔρχομαι εἰς ἐσᾶς· ἀπὸ στόμα δύο μαρτύρων καὶ τριῶν θέλει σταθῇ κάθε λόγος.

2 Ἐπροεῖπα καὶ προλέγω τὸ δεύτερον, ὡσὰν νὰ εἶμαι παρὼν, καὶ ἀπὼν τώρα γρά-

μαρτηκόσι καὶ τοῖς λοιποῖς πᾶσιν, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι·

3 Ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ, ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ, ἀλλὰ δυνατεῖ ἐν ὑμῖν.

4 Καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ· καὶ γὰρ καὶ ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ, ἀλλὰ ζησόμεθα σὺν αὐτῷ ἐκ δυνάμεως Θεοῦ εἰς ὑμᾶς.

5 Ἑαυτοὺς πειράζετε εἰ ἐστὲ ἐν τῇ πίστει, ἑαυτοὺς δοκιμάζετε· ἢ οὐκ ἐπιγινώσκετε ἑαυτοὺς, ὅτι Ἰησοῦς Χριστὸς ἐν ὑμῖν ἐστιν; εἰ μή τι ἀδόκιμοί ἐστε.

6 Ἐλπίζω δὲ ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι.

7 Εὔχομαι δὲ πρὸς τὸν Θεὸν μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδέν· οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν.

8 Οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας, ἀλλ' ὑπὲρ τῆς ἀληθείας.

9 Χαίρομεν γὰρ ὅταν ἡμεῖς

φω, εἰν ἐκείνους ὅπου ἔφταιξαν προτίτερα, καὶ εἰς τοὺς λοιποὺς ὅλους, ὅτι ἐὰν ἔλθω πάλιν, δὲν θέλω τοὺς λυπηθῆ·

3 Ἐπειδὴ ζητᾶτε δοκιμὴν τοῦ Χριστοῦ, ὅπου λαλεῖ εἰς ἐμένα, ὁ ὁποῖος εἰς ἐσᾶς δὲν ἀσθενεῖ, ἀλλὰ εἶναι δυνατὸς μέσα εἰς ἐσᾶς.

4 Διατὶ ἀγκαλὰ καὶ ἐσταυρώθη μὲ ἀσθένειαν, ἀλλὰ ζῇ ἀπὸ τὴν δύναμιν τοῦ Θεοῦ· διατὶ καὶ ἐμεῖς ἀσθενοῦμεν εἰς αὐτὸν, ἀλλὰ θέλομεν ζήσει ὁμοῦ μετ' αὐτὸν ἀπὸ τὴν δύναμιν τοῦ Θεοῦ εἰς ἐσᾶς.

5 Δοκιμάζετε τοῦ λόγου σας διὰ νὰ γνωρίζετε, ἐὰν εἶσθε εἰς τὴν πίστιν, τοῦ λόγου σας ἐξετάζετε· ἢ δὲν γνωρίζετε τοῦ λόγου σας ὅτι ὁ Ἰησοῦς Χριστὸς εἶναι εἰς ἐσᾶς; ἐὰν δὲν εἶσθεν ἀδόκιμοι.

6 Καὶ ἐλπίζω ὅτι θέλετε γνωρίσει, ὅτι καὶ ἐμεῖς δὲν εἴμεσθεν ἀδόκιμοι.

7 Καὶ παρακαλῶ τὸν Θεὸν, νὰ μὴν κάμετε τίποτες κακόν· ὄχι διὰ νὰ φανοῦμεν ἐμεῖς δόκιμοι, ἀλλὰ διὰ νὰ κάμετε ἐσεῖς τὸ καλὸν, καὶ ἐμεῖς νὰ εἴμεσθεν ὡσὰν ἀδόκιμοι.

8 Διατὶ δὲν δυνόμεσθε νὰ κάμωμεν τίποτες ἐναντία τῆς ἀληθείας, ἀλλὰ διὰ τὴν ἀλήθειαν.

9 Καὶ ὅταν ἐμεῖς ἀσθενοῦ-

ἀσθενῶμεν, ὑμεῖς δὲ δυνατοὶ ἦτε· τȣ͂το δὲ καὶ εὐχόμεθα, τὴν ὑμῶν κατάρτισιν.

10 Διὰ τȣ͂το ταῦτα ἀπὼν γράφω, ἵνα παρὼν μὴ ἀποτόμως χρήσωμαι κατὰ τὴν ἐξȣσίαν ἣν ἔδωκέ μοι ὁ Κύριος εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς καθαίρεσιν.

11 Λοιπὸν, ἀδελφοὶ, χαίρετε, καταρτίζεσθε, παρακαλεῖσθε, τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε· καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ εἰρήνης ἔςαι μεθ' ὑμῶν.

12 Ἀσπάσασθε ἀλλήλȣς ἐν ἁγίῳ φιλήματι· ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες.

13 Ἡ χάρις τοῦ Κυρίȣ Ἰησȣ͂ Χριςȣ͂, καὶ ἡ ἀγάπη τȣ͂ Θεȣ͂, καὶ ἡ κοινωνία τȣ͂ ἁγίȣ Πνεύματ☉ μετὰ πάντων ὑμῶν. Ἀμήν.

† Πρὸς Κορινθίȣς δευτέρα ἐγράφη ἀπὸ Φιλίππων τῆς Μακεδονίας, διὰ Τίτȣ καὶ Λȣκᾶ.

μεν, καὶ ἐσεῖς εἶσθε δυνατοὶ, χαίρομεν· τὸ ὁποῖον καὶ εὐχόμεσθεν (ἤγουν) τὴν τελείωσίν σας.

10 Διὰ τοῦτο γράφω ἐτȣ͂τα ἀπὼν, ἵνα ὅταν θέλω εἶσθαι παρὼν, νὰ μὴν σᾶς μεταχειρισθῶ αὐςηρὰ, κατὰ τὴν ἐξȣσίαν ὁπȣ͂ μȣ͂ ἔδωκεν ὁ Κύρι☉ εἰς οἰκοδομὴν, καὶ ὄχι εἰς χαλασμόν.

11 Λοιπὸν, ἀδελφοὶ, χαίρεσθε, τελειώνεσθε, παρηγορᾶσθε, τὸ αὐτὸ φρονεῖτε, ἔχετε εἰρήνην· καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ τῆς εἰρήνης θέλει εἶσθαι μετὰ σᾶς.

12 Χαιρετηθῆτε ἕνας τὸν ἄλλον μὲ φίλημα ἅγιον· οἱ ἅγιοι ὅλοι σᾶς χαιρετοῦσιν.

13 Ἡ χάρις τοῦ Κυρίȣ Ἰησȣ͂ Χριςȣ͂, καὶ ἡ ἀγάπη τοῦ Θεȣ͂, καὶ ἡ κοινωνία τοῦ ἁγίȣ Πνεύματ☉ ἂς εἶναι μὲ ὅλȣς σας. Ἀμήν.

† Ἡ εἰς Κορινθίȣς δευτέρα ἐγράφη ἀπὸ Φιλίππων τῆς Μακεδονίας, διὰ μέσȣ τȣ͂ Τίτȣ καὶ Λȣκᾶ.

ΠΑΥΛΟΥ ΤΟΥ ἈΠΟΣΤΟΛΟΥ

Ἡ ΠΡΟΣ ΓΑΛΑΤΑΣ ἘΠΙΣΤΟΛΗ.

Κεφ. α΄. 1.

ΠΑΥΛΟΣ ἀπόστολος (οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ, καὶ Θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν,)

2 Καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοὶ, ταῖς ἐκκλησίαις τῆς Γαλατίας·

3 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

4 Τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ, κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν·

5 Ὧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

6 Θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ, εἰς ἕτερον εὐαγγέλιον·

7 Ὃ οὐκ ἔστιν ἄλλο· εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς, καὶ θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.

ΠΑΥΛΟΣ ἀπόστολος, (ὄχι ἀπ' ἀνθρώπους, οὐδὲ διαμέσου κανενὸς ἀνθρώπου, ἀλλὰ διαμέσου τοῦ Ἰησοῦ Χριστοῦ, καὶ Θεοῦ πατρὸς ὁποῦ τὸν ἀνάστησεν ἐκ νεκρῶν,)

2 Καὶ ὅλοι οἱ ἀδελφοὶ ὁποῦ εἶναι μὲ λόγου μου, εἰς ταῖς ἐκκλησίαις τῆς Γαλατίας·

3 Ἂς εἶναι χάρις εἰς ἐσᾶς καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς, καὶ Κυρίου μας Ἰησοῦ Χριστοῦ,

4 Ὁποῦ ἔδωσε τοῦ λόγου του διὰ ταῖς ἁμαρτίαις μας, διὰ νὰ μᾶς εὐγάλῃ ἀπὸ τὸν τωρινὸν αἰῶνα τὸν πονηρὸν, κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ πατρός μας·

5 Εἰς τὸν ὁποῖον ἂς εἶναι δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

6 Θαυμάζω ὅτι ἔτζι γλίγωρα ἀπ' ἐκεῖνον, ὁποῦ σᾶς ἐκάλεσε μὲ τὴν χάριν τοῦ Χριστοῦ, ἐμεταφερθήκετε εἰς ἄλλο εὐαγγέλιον·

7 Τὸ ὁποῖον δὲν εἶναι ἄλλο· ἀλλὰ μοναχὰ εἶναι τινὲς ὁποῦ σᾶς συγχύζουσι, καὶ θέλουσι νὰ μεταγυρίσουν τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.

8 Ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ ȣ̓ρανȣ̃ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔςω.

9 Ὡς προειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω, εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔςω.

10 Ἄρτι γὰρ ἀνθρώπȣς πείθω ἢ τὸν Θεόν; Ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριςȣ̃ δȣ̃λος οὐκ ἂν ἤμην.

11 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ' ἐμȣ̃, ὅτι οὐκ ἔςι κατὰ ἄνθρωπον.

12 Οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπȣ παρέλαβον αὐτό, ȣ̓́τε ἐδιδάχθην· ἀλλὰ δι' ἀποκαλύψεως Ἰησȣ̃ Χριςȣ̃.

13 Ἠκȣ́σατε γὰρ τὴν ἐμὴν ἀναςροφήν ποτε ἐν τῷ Ἰȣδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεȣ̃, καὶ ἐπόρθȣν αὐτήν.

14 Καὶ προέκοπτον ἐν τῷ Ἰȣδαϊσμῷ ὑπὲρ πολλȣ̀ς συνηλικιώτας ἐν τῷ γένει μȣ, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μȣ παραδόσεων.

8 Ἀλλὰ ἐὰν καὶ ἐμεῖς ἢ ἄγγελος ἐξ ȣ̓ρανȣ̃ σᾶς εὐαγγελίζῃ, ἔξω ἀπ' ἐκεῖνο ὁπȣ̃ σᾶς εὐαγγελίσαμεν, ἂς εἶναι ἀνάθεμα.

9 Καθὼς ἐπροείπαμεν, καὶ τῶρα πάλιν λέγω, ἐὰν κανένας σᾶς εὐαγγελίζῃ, ἔξω ἀπ' ἐκεῖνο ὁπȣ̃ ἐπαρελάβετε, ἂς εἶναι ἀνάθεμα.

10 Διατὶ τῶρα ἀνθρώπȣς πείθω (νὰ πιςεύετε) ἢ τὸν Θεόν; Ἢ ζητῶ νὰ ἀρέσκω ἀνθρώπων; διατὶ ἂν ἐγὼ ἀκόμι ἄρεσκα τῶν ἀνθρώπων, δὲν ἤμȣν Χριςȣ̃ δȣ̃λος.

11 Καὶ σᾶς δηλοποιῶ, ἀδελφοί, τὸ εὐαγγέλιον ὁπȣ̃ εὐαγγελίσθη ἀπὸ λόγȣ μȣ, ὅτι δὲν εἶναι ἀνθρώπινον.

12 Ἀλλὰ ȣ̓δὲ ἐγὼ τὸ ἐπαράλαβα, ȣ̓δὲ τὸ ἐδιδάχθηκα ἀπὸ ἀνθρώπȣς· ἀλλὰ τὸ ἐδιδάχθηκα διαμέσȣ ἀποκαλύψεως τοῦ Ἰησȣ̃ Χριςȣ̃.

13 Διατὶ ἀκȣ́σετε τὴν πολιτείαν μȣ ὁπȣ̃ εἶχα ἕνα καιρὸν εἰς τὸν Ἰȣδαϊσμόν, ὅτι περισσὰ ἐκατάτρεχα τὴν ἐκκλησίαν τȣ̃ Θεȣ̃, καὶ τὴν ἐκȣ́ρσευα.

14 Καὶ ἐπρόκοπτα εἰς τὸν Ἰȣδαϊσμόν, παρὰ ἄλλȣς πολλȣ̀ς συνομιλίκȣς μȣ ἀπὸ τὸ γένος μȣ, ὤντας πολλὰ περισσὰ ζηλωτὴς εἰς ταῖς παράδοσαις τῶν πατέρων μȣ.

15 Ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ,

16 Ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοὶ, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι·

17 Οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους· ἀλλ' ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν.

18 Ἔπειτα μετὰ ἔτη τρία ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον· καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε.

19 Ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου.

20 Ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ Θεοῦ, ὅτι οὐ ψεύδομαι.

21 Ἔπειτα ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλικίας.

22 Ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας ταῖς ἐν Χριστῷ·

23 Μόνον δὲ ἀκούοντες ἦσαν· Ὅτι ὁ διώκων ἡμᾶς ποτε, νῦν

15 Ἀμὴ ὅταν ἠθέλησεν ὁ Θεὸς, ὁποῦ μὲ ἐχώρισεν ἀπὸ τὴν κοιλίαν τῆς μητρός μου, καὶ μὲ ἐκάλεσε διαμέσου τῆς χάριτός του,

16 Νὰ φανερώσῃ τὸν υἱόν του εἰς ἐμένα, διὰ νὰ τὸν εὐαγγελίσω εἰς τὰ ἔθνη, παρευθὺς δὲν ἐσυμβουλεύθηκα μὲ σάρκα καὶ μὲ αἷμα·

17 Οὐδὲ ἀνέβηκα εἰς τὰ Ἱεροσόλυμα εἰς τοὺς προτιτέρους μου ἀποστόλους· ἀλλὰ ἐπῆγα εἰς τὴν Ἀραβίαν, καὶ πάλιν ἐγύρισα εἰς τὴν Δαμασκόν.

18 Ἔπειτα ὕστερα ἀπὸ τρεῖς χρόνους ἀνέβηκα εἰς τὰ Ἱεροσόλυμα, νὰ εἰδῶ τὸν Πέτρον· καὶ ἀπόμεινα εἰς ἐκεῖνον δεκαπέντε ἡμέραις.

19 Καὶ κανένα ἄλλον ἀπὸ τοὺς ἀποστόλους δὲν εἶδα, παρὰ τὸν Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου.

20 Καὶ ἐκεῖνα ὁποῦ σᾶς γράφω, νὰ ὁποῦ τὰ γράφω ὀμπροστὰ εἰς τὸν Θεὸν, ὅτι δὲν ψεύδομαι.

21 Ἔπειτα ἦλθα εἰς τὰ μέρη τῆς Συρίας καὶ τῆς Κιλικίας.

22 Καὶ δὲν ἤμουν εἰς τὸ πρόσωπον γνωρισμένος εἰς ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας, ὁποῦ ἦταν εἰς τὸν Χριστόν·

23 Μόνον ἄκουαν· Ὅτι ἐκεῖνος ὁποῦ μᾶς ἐκατάτρεχεν ἕνα

εὐαγγελίζεται τὴν πίστιν ἥν ποτε ἐπόρθει.

καιρὸν, τώρα εὐαγγελίζει τὴν πίστιν, τὴν ὁποῖαν ἕνα καιρὸν ἐχούρσευε.

24 Καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν Θεόν.

24 Καὶ ἐδόξαζον εἰς ἐμένα τὸν Θεόν.

Κεφ. β'. 2.

Ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν πάλιν ἀνέβην εἰς Ἱεροσόλυμα μετὰ Βαρνάβα, συμπαραλαβὼν καὶ Τίτον.

Ἔπειτα πάλιν ὡσὰν ἐπέρασαν δεκατέσσαρες χρόνοι, ἀνέβηκα εἰς τὰ Ἱεροσόλυμα μαζὺ μὲ τὸν Βαρνάβα, πέρνοντας ὁμοῦ καὶ τὸν Τίτον.

2 Ἀνέβην δὲ κατὰ ἀποκάλυψιν, καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον ὃ κηρύσσω ἐν τοῖς ἔθνεσι· κατ' ἰδίαν δὲ τοῖς δοκοῦσι, μή πως εἰς κενὸν τρέχω, ἢ ἔδραμον.

2 Καὶ ἀνέβηκα καθὼς μοῦ ἀπεκάλυψεν ὁ Θεὸς, καὶ τοὺς ὡμολόγησα τὸ εὐαγγέλιον ὁποῦ κηρύττω εἰς τὰ ἔθνη· καὶ ξεχωριστὰ εἰς ἐκείνους ὁποῦ ἐλογαριάζουνταν πολλὰ τίμιοι, μήπως καὶ τρέχω, ἢ ἔτρεξα, εὔκαιρα.

3 Ἀλλ' οὐδὲ Τίτος ὁ σὺν ἐμοὶ, Ἕλλην ὢν, ἠναγκάσθη περιτμηθῆναι·

3 Ἀλλὰ καὶ ὁ Τίτος ὁποῦ ἦτον μαζύ μου, ἀγκαλὰ καὶ ἦτον Ἕλλην, δὲν ἀναγκάσθη νὰ περιτμηθῇ·

4 Διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους, οἵτινες παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ, ἵνα ἡμᾶς καταδουλώσωνται·

4 Καὶ διὰ τοὺς ψευδαδέλφους, οἱ ὁποῖοι ἐμβήκασι κρυφὰ μὲ δόλον, νὰ κατασκοπεύσουν τὴν ἐλευθερίαν μας ὁποῦ ἔχομεν εἰς τὸν Χριστὸν Ἰησοῦν, διὰ νὰ μᾶς καταδουλώσουν·

5 Οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ, ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς.

5 Τοὺς ὁποίους οὐδὲ ὥραν δὲν τοὺς ἐδώσαμεν ἄδειαν, οὐδὲ τοὺς ὑποταχθήκαμεν, διὰ νὰ μένῃ πάντοτε ἡ ἀλήθεια τοῦ εὐαγγελίου εἰς ἐσᾶς.

6 Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, ὁποῖοί ποτε ἦσαν,

6 Καὶ ἀπ' ἐκείνους ὁποῦ λογιάζονται νὰ εἶναι τίποτες, ὅ,τι

οὐδέν μοι διαφέρει· πρόσωπον Θεὸς ἀνθρώπου οὐ λαμβάνει· ἐμοὶ γὰρ οἱ δοκοῦντες, οὐδὲν προσανέθεντο.

7 Ἀλλὰ τοὐναντίον, ἰδόντες ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς Πέτρος τῆς περιτομῆς·

8 (Ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη·)

9 Καὶ γνόντες τὴν χάριν τὴν δοθεῖσάν μοι Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ δοκοῦντες στῦλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας· ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν·

10 Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν· ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι.

11 Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν.

12 Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου, μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλε καὶ ἀφώρι-

λογῆς καὶ ἂν εἶναι, δὲν μὲ μέλει· ὁ Θεὸς δὲν δέχεται πρόσωπον ἀνθρώπου· διατὶ ἐκεῖνοι ὁποῦ λογιάζονται νὰ εἶναι μεγάλοι, δὲν μὲ αὔξησαν τίποτες.

7 Ἀλλὰ τὸ ἐναντίον, ὡσὰν εἴδασιν ἐκεῖνοι ὅτι ἐγὼ ἐπιστεύθηκα τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς ὁ Πέτρος ἐπιστεύθη τὸ εὐαγγέλιον τῆς περιτομῆς·

8 (Διατὶ ἐκεῖνος ὁποῦ ἐνέργησεν εἰς τὸν Πέτρον εἰς τὴν ἀποστολὴν τῆς περιτομῆς, ἐνέργησεν καὶ εἰς ἐμένα εἰς τὴν ἀποστολὴν εἰς τὰ ἔθνη·)

9 Καὶ ἔστωντας νὰ γνωρίσουν τὴν χάριν ὁποῦ μοῦ ἐδόθη, ὁ Ἰάκωβος καὶ ὁ Κηφᾶς καὶ ὁ Ἰωάννης, οἱ ὁποῖοι λογαριάζονται νὰ εἶναι στῦλοι, ἔδωκαν ἐμένα καὶ τοῦ Βαρνάβα τὰ δεξιὰ (σημάδι) τῆς κοινωνίας· διὰ νὰ ὑπᾶμεν νὰ κηρύττωμεν ἐμεῖς εἰς τὰ ἔθνη, καὶ ἐκεῖνοι εἰς τὴν περιτομήν·

10 Μοναχὰ τοὺς πτωχοὺς διὰ νὰ ἐνθυμούμεσθε· τὸ ὁποῖον καὶ ἐσπούδασα νὰ τὸ κάμω.

11 Καὶ ὅταν ἦλθεν ὁ Πέτρος εἰς τὴν Ἀντιόχειαν, τὸν ἀντιστάθηκα εἰς τὸ πρόσωπον, ὅτι ἦτον κατεγνωσμένος.

12 Διατὶ πρὸ τοῦ νὰ ἔλθουν τινὲς ἀπὸ τοῦ Ἰακώβου, ἔτρωγε ὁμοῦ μὲ τὰ ἔθνη· καὶ ὅταν ἦλθαν, ἐσύρνετον ὀπίσω καὶ ἐχώ-

ζειν ἑαυτὸν, φοβούμενος τοὺς ἐκ περιτομῆς.

13 Καὶ συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι· ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει.

14 Ἀλλ' ὅτε εἶδον ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων· Εἰ σὺ Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς, καὶ οὐκ Ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν;

15 Ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί·

16 Εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ· καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου· διότι οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ.

17 Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ, εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοὶ, ἆρα Χριστὸς ἁμαρτίας διάκονος; Μὴ γένοιτο.

18 Εἰ γὰρ ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ,

ριζε τοῦ λόγου του, φοβούμενος ἐκείνους ὁποῦ ἦταν ἀπὸ τὴν περιτομήν.

13 Καὶ ὁμοῦ μετ' αὐτὸν ἐκαμώνουνταν καὶ οἱ λοιποὶ Ἰουδαῖοι· εἰς τόσον ὁποῦ καὶ ὁ Βαρνάβας ἐσύρθη μὲ τὴν ὑπόκρισιν αὐτονῶν.

14 Ἀλλὰ ὅταν εἶδα ἐγὼ ὅτι δὲν ἐπεριπατοῦσαν ὀρθὰ εἰς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπα τοῦ Πέτρου ὀμπροστὰ εἰς ὅλους· Ἂν ἐσὺ ὥντας Ἰουδαῖος ζῇς ἐθνικὰ, καὶ ὄχι Ἰουδαϊκὰ, τί ἀναγκάζεις τὰ ἔθνη νὰ ἰουδαΐζουν;

15 Ἐμεῖς εἴμεσθε φυσικὰ Ἰουδαῖοι, καὶ ὄχι ἁμαρτωλοὶ ἀπὸ τὰ ἔθνη·

16 Ἀμὴ ἰξεύροντες ὅτι δὲν δικαιοῦται ὁ ἄνθρωπος ἀπὸ τὰ ἔργα τοῦ νόμου, ἀλλὰ διαμέσου τῆς πίστεως τοῦ Ἰησοῦ Χριστοῦ· καὶ ἐμεῖς ἐπιστεύσαμεν εἰς τὸν Ἰησοῦν Χριστὸν, διὰ νὰ δικαιωθοῦμεν ἀπὸ τὴν πίστιν τοῦ Χριστοῦ, καὶ ὄχι ἀπὸ τὰ ἔργα τοῦ νόμου· διατὶ δὲν θέλει δικαιωθῇ ἀπὸ τὰ ἔργα τοῦ νόμου καμία σάρκα.

17 Ἀλλὰ ἀνίσως ζητοῦντες νὰ δικαιωθοῦμεν εἰς τὸν Χριστὸν, εὑρεθήκαμεν καὶ ἐμεῖς αὐτοὶ ἁμαρτωλοὶ, ἆρα ὁ Χριστὸς εἶναι ὑπηρέτης τῆς ἁμαρτίας; Μὴ γένοιτο.

18 Διατὶ ἐὰν ἐκεῖνα ὁποῦ ἐχάλασα, ἐκεῖνα πάλιν οἰκο-

παραβάτην ἐμαυτὸν συνίστημι.

19 Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον, ἵνα Θεῷ ζήσω.

20 Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ, οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ.

21 Οὐκ ἀθετῶ τὴν χάριν τοῦ Θεοῦ· εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανεν.

δομῶ, κάμνω τοῦ λόγου μου παραβάτην.

19 Διατὶ ἐγὼ διαμέσου ἑνὸς νόμου ἀπέθανα εἰς τὸν νόμον, διὰ νὰ ζήσω εἰς τὸν Θεόν.

20 Ἐσταυρώθηκα μὲ τὸν Χριστόν· καὶ πλέον ἐγὼ δὲν ζῶ, ἀλλὰ ὁ Χριστὸς ζῇ εἰς ἐμένα· καὶ ἐκεῖνο ὁποῦ ζῶ τώρα εἰς τὴν σάρκα, ζῶ μὲ τὴν πίστιν τοῦ υἱοῦ τοῦ Θεοῦ, ὁποῦ μὲ ἀγάπησε καὶ ἐπαράδωκε τὸν ἑαυτόν του διὰ λόγου μου.

21 Δὲν καταφρονῶ τὴν χάριν τοῦ Θεοῦ· διατὶ ἐὰν εἶναι ἡ δικαιοσύνη διαμέσου τοῦ νόμου, ὁ Χριστὸς λοιπὸν εὔκαιρα ἀπέθανεν.

Κεφ. γʹ. 3.

Ὦ Ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκανε τῇ ἀληθείᾳ μὴ πείθεσθαι; οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη, ἐν ὑμῖν ἐσταυρωμένος.

2 Τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν, ἐξ ἔργων νόμου τὸ Πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως;

3 Οὕτως ἀνόητοί ἐστε; ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε;

4 Τοσαῦτα ἐπάθετε εἰκῇ; εἴ γε καὶ εἰκῇ.

Ὦ Ἀνόητοι Γαλάται, τίς σᾶς ἐβάσκανε νὰ μὴν πείθεσθε εἰς τὴν ἀλήθειαν; ὁποῦ ὀμπροστὰ εἰς τὰ μάτιά σας ἐπροεγράφθη ὁ Ἰησοῦς Χριστὸς, ἐσταυρωμένος εἰς ἐσᾶς.

2 Ἐτοῦτο μοναχὰ θέλω νὰ μάθω ἀπὸ λόγου σας, ἀπὸ τὰ ἔργα τοῦ νόμου ἐλάβετε τὸ Πνεῦμα, ἢ ἀπὸ τὴν ἀκοὴν τῆς πίστεως;

3 Τέτοιας λογῆς εἶσθε ἀνόητοι; ἔσωντας νὰ ἀρχίσετε μὲ πνεῦμα, τώρα νὰ τελειώνεσθε μὲ τὴν σάρκα;

4 Τόσα πολλὰ ἐπάθετε ματαίως; καὶ ἄμποτε νὰ ἦταν ματαίως.

5 Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ Πνεῦμα, καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων νόμου ἢ ἐξ ἀκοῆς πίστεως;

6 Καθὼς Ἀβραὰμ ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην·

7 Γινώσκετε ἄρα ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοὶ Ἀβραάμ.

8 Προϊδοῦσα δὲ ἡ γραφὴ ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ Θεὸς, προευηγγελίσατο τῷ Ἀβραάμ· Ὅτι εὐλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη.

9 Ὥστε οἱ ἐκ πίστεως, εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ.

10 Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν, ὑπὸ κατάραν εἰσί· γέγραπται γάρ· Ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά.

11 Ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ Θεῷ, δῆλον· ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται·

12 Ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως· ἀλλ' ὁ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς.

13 Χριστὸς ἡμᾶς ἐξηγόρασεν

5 Ἐκεῖνος λοιπὸν ὁποῦ σᾶς δίδει τὸ Πνεῦμα, καὶ ἐνεργεῖ δυνάμεις εἰς ἐσᾶς, ἀπὸ τὰ ἔργα τοῦ νόμου τὸ κάμνει, ἢ ἀπὸ τὴν ἀκοὴν τῆς πίστεως;

6 Καθὼς Ἀβραὰμ ἐπίστευσεν εἰς τὸν Θεὸν, καὶ τοῦ ἐλογαριάσθη εἰς δικαιοσύνην·

7 Γνωρίζετε λοιπὸν, ὅτι ἐκεῖνοι ὁποῦ εἶναι ἀπὸ τὴν πίστιν, τοῦτοι εἶναι υἱοὶ τοῦ Ἀβραάμ.

8 Καὶ ἡ γραφὴ ἔστωντας νὰ προειδῇ, ὅτι ὁ Θεὸς θέλει δικαιώσει τὰ ἔθνη ἀπὸ τὴν πίστιν, εὐαγγέλισε προτίτερα τὸν Ἀβραάμ· Ὅτι εἰς ἐσένα θέλουσιν εὐλογηθῇ ὅλα τὰ ἔθνη.

9 Εἰς τόσον ὁποῦ ἐκεῖνοι ὁποῦ εἶναι ἀπὸ τὴν πίστιν, εὐλογοῦνται μαζὺ μὲ τὸν πιστὸν Ἀβραάμ.

10 Διατὶ ὅσοι εἶναι ἀπὸ τὰ ἔργα τοῦ νόμου, εἶναι ἀποκάτω εἰς τὴν κατάραν· διατὶ εἶναι γεγραμμένον· Καταραμένος εἶναι κάθε ἕνας ὁποῦ δὲν κάμνει τελείως ὅλα ἐκεῖνα ὁποῦ εἶναι γεγραμμένα εἰς τὸ βιβλίον τοῦ νόμου.

11 Καὶ ὅτι εἰς τὸν νόμον κανένας δὲν δικαιώνεται σιμὰ εἰς τὸν Θεὸν, φανερὸν εἶναι· ὅτι ὁ δίκαιος θέλει ζήσει ἀπὸ τὴν πίστιν·

12 Ἀλλὰ ὁ νόμος δὲν εἶναι ἀπὸ τὴν πίστιν· ἀλλὰ λέγει, ἐκεῖνος ὁποῦ κάμνει αὐτὰ, θέλει ζήσει διὰ αὐτά.

13 Ὁ Χριστὸς μᾶς ἐξαγόρα-

ἐκ τῆς κατάρας τȣ͂ νόμȣ, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· γέγραπται γάρ· Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλȣ.

σεν ἀπὸ τὴν κατάραν τοῦ νόμȣ, ἔσωντας νὰ ἔγινε διὰ λόγȣ μας κατάρα· διατὶ εἶναι γεγραμμένον· Κάθε ἕνας ὁπȣ͂ εἶναι κρεμασμένος εἰς τὸ ξύλον, εἶναι ἐπικατάρατος.

14 Ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τȣ͂ Ἀβραὰμ γένηται ἐν Χριςῷ Ἰησȣ͂, ἵνα τὴν ἐπαγγελίαν τȣ͂ Πνεύματος λάβωμεν διὰ τῆς πίςεως.

14 Διὰ νὰ γένῃ εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ, εἰς τὸν Χριςὸν Ἰησȣ͂ν, διὰ νὰ λάβωμεν ἐμεῖς τὸ τάξιμον τοῦ Πνεύματος μὲ τὴν πίςιν.

15 Ἀδελφοὶ, κατὰ ἄνθρωπον λέγω· ὅμως ἀνθρώπȣ κεκυρωμένην διαθήκην ȣ̓δεὶς ἀθετεῖ ἢ ἐπιδιατάσσεται.

15 Ἀδελφοὶ, ἀνθρωπίνως λέγω· ὅμως διαθήκην ἀνθρώπȣ βεβαιωμένην κανένας δὲν τὴν χαλνᾷ, ȣ̓ δὲ προσθέτει παραπάνω.

16 Τῷ δὲ Ἀβραὰμ ἐῤῥήθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτȣ͂· ȣ̓ λέγει· Καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ᾽ ὡς ἐφ᾽ ἑνός· Καὶ τῷ σπέρματί σȣ, ὅς ἐςι Χριςός.

16 Εἰς τὸν Ἀβραὰμ ἐλαλήθησαν τὰ ταξίματα, καὶ εἰς τὸ σπέρμα τȣ· δὲν λέγει· Καὶ εἰς τὰ σπέρματα, ὡσὰν νὰ λαλῇ διὰ πολλȣ̀ς, ἀλλὰ λέγωντας ὡσὰν διὰ ἕνα, λέγει· Καὶ εἰς τὸ σπέρμα σȣ, τὸ ὁποῖον (σπέρμα) εἶναι ὁ Χριςός.

17 Τȣ͂το δὲ λέγω, διαθήκην προκεκυρωμένην ὑπὸ τȣ͂ Θεȣ͂ εἰς Χριςὸν, ὁ μετὰ ἔτη τετρακόσια καὶ τριάκοντα γεγονὼς νόμος οὐκ ἀκυροῖ, εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν.

17 Καὶ τȣ͂το λέγω, διαθήκην ὁπȣ͂ εἶναι βεβαιωμένη προτίτερα ἀπὸ τὸν Θεὸν εἰς τὸν Χριςὸν, ὁ νόμος ὁπȣ͂ ἔγινεν ὕςερον ἀπὸ τετρακοσίȣς καὶ τριάντα χρόνȣς, δὲν τὴν κάμνει ἀβέβαιον, εἰς τὸ νὰ χαλάσῃ τὸ τάξιμον.

18 Εἰ γὰρ ἐκ νόμȣ ἡ κληρονομία, οὐκ ἔτι ἐξ ἐπαγγελίας· τῷ δὲ Ἀβραὰμ δι᾽ ἐπαγγελίας κεχάριςαι ὁ Θεός.

18 Διατὶ ἐὰν ἡ κληρονομία εἶναι ἀπὸ τὸν νόμον, δὲν εἶναι πλέον ἀπὸ τὸ τάξιμον· ἀλλὰ ὁ Θεὸς διαμέσȣ τοῦ ταξίματος ἐχάρισε (τὴν κληρονομίαν) εἰς τὸν Ἀβραάμ.

19 Τί οὖν ὁ νόμος; Τῶν παραβάσεων χάριν προσετέθη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ ἐπήγγελται, διαταγεὶς δι' ἀγγέλων, ἐν χειρὶ μεσίτου.

20 Ὁ δὲ μεσίτης, ἑνὸς οὐκ ἔστιν· ὁ δὲ Θεὸς, εἷς ἐστιν.

21 Ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ; Μὴ γένοιτο· εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆσαι, ὄντως ἂν ἐκ νόμου ἦν ἡ δικαιοσύνη.

22 Ἀλλὰ συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύουσι.

23 Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι.

24 Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν.

25 Ἐλθούσης δὲ τῆς πίστεως, οὐκ ἔτι ὑπὸ παιδαγωγόν ἐσμεν.

26 Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ.

19 Διατὶ λοιπὸν (ἐδόθη) ὁ νόμος; Ἐβάλθη παραπάνω διὰ ταῖς παράβασαις, ἕως ὁπου νὰ ἔλθῃ τὸ σπέρμα, εἰς τὸ ὁποῖον ἔγινεν τὸ τάξιμον, ἔστωντας νὰ δοθῇ ὁ νόμος διαμέσου τῶν ἀγγέλων μὲ τὸ χέρι τοῦ μεσίτου.

20 Καὶ ὁ μεσίτης δὲν εἶναι τοῦ ἑνός· ἀλλὰ ὁ Θεὸς εἶναι ἕνας.

21 Ὁ νόμος λοιπὸν ἐναντίος τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ ἐδόθη; Μὴ γένοιτο· διατὶ ἐὰν ὁ νόμος ἤθελε δοθῇ ὁπου νὰ ἐδύνετον νὰ ζωοποιήσῃ, βέβαια ἡ δικαιοσύνη ἤθελεν εἶσθαι ἀπὸ τὸν νόμον.

22 Ἀλλὰ ἡ γραφὴ ἐσφάλισεν ὅλα ἀποκάτω εἰς τὴν ἁμαρτίαν, διὰ νὰ δοθῇ εἰς ἐκείνους ὁπου πιστεύουσιν τὸ τάξιμον, τὸ ὁποῖον εἶναι ἀπὸ τὴν πίστιν τοῦ Χριστοῦ.

23 Καὶ πρὸ τοῦ νὰ ἔλθῃ ἡ πίστις, ἐφυλαγόμεσθεν ἀποκάτω εἰς τὸν νόμον, σφαλισμένοι ἕως εἰς τὴν πίστιν, ἡ ὁποῖα ἔμελλε νὰ ξεσκεπασθῇ.

24 Εἰς τόσον ὁπου ὁ νόμος ἔγινε παιδαγωγός μας εἰς τὸν Χριστὸν, διὰ νὰ δικαιωθοῦμεν ἀπὸ τὴν πίστιν.

25 Ἀμὴ ὡσὰν ἦλθεν ἡ πίστις, πλέον δὲν εἴμεσθεν ἀποκάτω εἰς τὸν παιδαγωγόν.

26 Διατὶ ὅλοι εἶσθεν υἱοὶ Θεοῦ, διαμέσου τῆς πίστεως εἰς Χριστὸν Ἰησοῦν.

27 Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.

27 Διατὶ ὅσοι ἐβαπτισθήκετε εἰς τὸν Χριστὸν, ἐνδυθήκετε τὸν Χριστόν.

28 Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ.

28 Καὶ δὲν εἶναι Ἰουδαῖος οὐδὲ Ἕλληνας· δὲν εἶναι δοῦλος οὐδὲ ἐλεύθερος· δὲν εἶναι ἄρσεν οὐδὲ θῆλυ· διατὶ ὅλοι ἐσεῖς ἕνας εἶσθε εἰς τὸν Χριστὸν Ἰησοῦν.

29 Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ, καὶ κατ' ἐπαγγελίαν κληρονόμοι.

29 Καὶ ἐὰν ἐσεῖς εἶσθε τοῦ Χριστοῦ, τοῦ Ἀβραὰμ λοιπὸν εἶσθε σπέρμα, καὶ κληρονόμοι κατὰ τὸ τάξιμον.

Κεφ. δ'. 4.

Λέγω δὲ, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν·

ΚΑΙ λέγω, εἰς ὅσον χρόνον ὁ κληρονόμος εἶναι νήπιος, δὲν διαφέρει ἀπὸ τὸν δοῦλον, ἀγκαλὰ καὶ νὰ εἶναι αὐθέντης ὅλονῶν·

2 Ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός.

2 Ἀλλὰ εἶναι ἀποκάτω εἰς τοὺς ἐπιτρόπους καὶ τοὺς οἰκονόμους, ἕως εἰς τὸν καιρὸν ὁποῦ εἶναι διωρισμένος ἀπὸ τὸν πατέρα.

3 Οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι·

3 Τέτοιας λογῆς καὶ ἐμεῖς, ὅταν ἤμεσθαν νήπιοι, ἤμεσθαν δουλωμένοι ἀποκάτω εἰς τὰ στοιχεῖα τοῦ κόσμου·

4 Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον·

4 Ἀμὴ ὅταν ἦλθε τὸ πλήρωμα τοῦ καιροῦ, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱόν του, ὁ ὁποῖος ἐγεννήθη ἀπὸ γυναῖκα, ὑποτεταγμένος ἀποκάτω εἰς τὸν νόμον·

5 Ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

5 Διὰ νὰ ἐξαγοράσῃ ἐκείνους ὁποῦ εἶναι ἀποκάτω εἰς τὸν νόμον, διὰ νὰ ἀπολαύσωμεν ἐμεῖς τὴν υἱοθεσίαν.

6 Ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέ-

6 Καὶ ὅτι εἶσθε υἱοὶ, ἐξα-

ςειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ
υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας
ὑμῶν, κρᾶζον, Ἀββᾶ, ὁ πα-
τήρ.
7 Ὥςε οὐκ ἔτι εἶ δοῦλος,
ἀλλ' υἱός· εἰ δὲ υἱὸς, καὶ
κληρονόμος Θεοῦ διὰ Χριςοῦ.

8 Ἀλλὰ τότε μὲν οὐκ
εἰδότες Θεὸν, ἐδουλεύσατε τοῖς
μὴ φύσει οὖσι θεοῖς·

9 Νῦν δὲ, γνόντες Θεὸν,
μᾶλλον δὲ γνωσθέντες ὑπὸ
Θεοῦ, πῶς ἐπιςρέφετε πάλιν
ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ
ςοιχεῖα, οἷς πάλιν ἄνωθεν
δουλεύειν θέλετε;

10 Ἡμέρας παρατηρεῖσθε,
καὶ μῆνας, καὶ καιροὺς, καὶ
ἐνιαυτούς.
11 Φοβοῦμαι ὑμᾶς, μή
πως εἰκῇ κεκοπίακα εἰς
ὑμᾶς.
12 Γίνεσθε ὡς ἐγὼ, ὅτι
κἀγὼ ὡς ὑμεῖς· ἀδελφοὶ,
δέομαι ὑμῶν· οὐδέν με ἠδική-
σατε.
13 Οἴδατε δὲ ὅτι δι' ἀσθέ-
νειαν τῆς σαρκὸς εὐηγγελισά-
μην ὑμῖν τὸ πρότερον·
14 Καὶ τὸν πειρασμόν
μου τὸν ἐν τῇ σαρκί μου
οὐκ ἐξουθενήσατε, οὐδὲ ἐξεπτύ-
σατε, ἀλλ' ὡς ἄγγελον Θεοῦ
ἐδέξασθέ με, ὡς Χριςὸν Ἰη-
σοῦν.

πέςειλεν ὁ Θεὸς τὸ Πνεῦμα
τοῦ υἱοῦ του εἰς ταῖς καρδίαις
σας, τὸ ὁποῖον κράζει, Ἀβ-
βᾶ, ὁ πατήρ.
7 Εἰς τόσον ὁποῦ δὲν εἶσαι
πλέον δοῦλος, ἀλλὰ υἱός· καὶ
ἐὰν εἶσαι υἱὸς, εἶσαι καὶ κληρο-
νόμος Θεοῦ διαμέσου τοῦ Χριςοῦ.
8 Ἀλλὰ τότε ἔςωντας νὰ
μὴν γνωρίζετε τὸν Θεὸν, ἐδου-
λεύσετε ἐκείνους ὁποῦ δὲν εἶναι
φυσικὰ θεοί·
9 Ἀμὴ τῶρα, ἔςωντας νὰ
γνωρίζετε τὸν Θεὸν, καὶ περισ-
σότερον ὁποῦ ἐγνωρίσθητε ἀπὸ
τὸν Θεὸν, πῶς γυρίζετε πάλιν
εἰς τὰ ἀσθενῆ καὶ πτωχὰ
ςοιχεῖα, τὰ ὁποῖα θέλετε νὰ
ἀρχίσετε πάλιν νὰ τὰ δου-
λεύετε;
10 Ταῖς ἡμέραις παρατη-
ρᾶτε καὶ τοὺς μῆνας, καὶ τοὺς
καιροὺς, καὶ τοὺς χρόνους.
11 Φοβοῦμαι διὰ λόγου
σας, μήπως καὶ ἐκοπίασα
εὔκαιρα εἰς ἐσᾶς.
12 Γενῆτε ὡσὰν ἐγὼ, ὅτι
καὶ ἐγὼ ἔγινα ὡσὰν ἐσᾶς·
ἀδελφοὶ, παρακαλῶ σας· δὲν
μὲ ἀδικήσετε τίποτες.
13 Καὶ ἰξεύρετε ὅτι μὲ
ἀσθένειαν τῆς σάρκας σᾶς
εὐαγγέλισα προτίτερα·
14 Καὶ τὸν πειρασμόν μου
ὁποῦ εἶχα εἰς τὴν σάρκα μου δὲν
τὸν ἐκαταφρονέσετε, οὐδὲ τὸν
ἐσυχαθήκετε, ἀλλὰ ὡσὰν
ἄγγελον Θεοῦ μὲ ἐδεχθήκετε,
ὡσὰν τὸν Χριςὸν Ἰησοῦν.

15 Τίς οὖν ἦν ὁ μακα-
ρισμὸς ὑμῶν; μαρτυρῶ γὰρ
ὑμῖν ὅτι, εἰ δυνατὸν, τοὺς
ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες
ἂν ἐδώκατέ μοι.
16 Ὥστε ἐχθρὸς ὑμῶν
γέγονα ἀληθεύων ὑμῖν;

17 Ζηλοῦσιν ὑμᾶς οὐ καλῶς,
ἀλλὰ ἐκκλεῖσαι ἡμᾶς θέλουσιν,
ἵνα αὐτοὺς ζηλοῦτε.

18 Καλὸν δὲ τὸ ζηλοῦσθαι
ἐν καλῷ πάντοτε, καὶ μὴ
μόνον ἐν τῷ παρεῖναί με πρὸς
ὑμᾶς.
19 Τεκνία μου, οὓς πάλιν
ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χρι-
στὸς ἐν ὑμῖν.
20 Ἤθελον δὲ παρεῖναι
πρὸς ὑμᾶς ἄρτι, καὶ ἀλλάξαι
τὴν φωνήν μου· ὅτι ἀποροῦμαι
ἐν ὑμῖν.
21 Λέγετέ μοι οἱ ὑπὸ
νόμον θέλοντες εἶναι, τὸν νόμον
οὐκ ἀκούετε;
22 Γέγραπται γὰρ ὅτι
Ἀβραὰμ δύο υἱοὺς ἔσχεν· ἕνα
ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ
τῆς ἐλευθέρας.
23 Ἀλλ' ὁ μὲν ἐκ τῆς
παιδίσκης, κατὰ σάρκα
γεγέννηται· ὁ δὲ ἐκ τῆς
ἐλευθέρας, διὰ τῆς ἐπαγγε-
λίας.

24 Ἅτινά ἐστιν ἀλληγορού-

15 Τί λοιπὸν ἦτον ὁ μακα-
ρισμός σας τότε; διατὶ σᾶς
μαρτυρῶ ὅτι, ἂν ἦτον δυνατὸν,
τὰ μάτιά σας εὐγάνετε καὶ
μοῦ τὰ ἐδίδετε.
16 Εἰς τόσον ὁποῦ λέγων-
τάς σας τὴν ἀλήθειαν ἔγινα
ἐχθρός σας;
17 Σᾶς ζηλεύουν ἀλλὰ
ὄχι μὲ καλὴν διάθεσιν, ἀμὴ
θέλουσιν νὰ μᾶς εὐγάλουσιν
ἔξω, διὰ νὰ τοὺς ζηλεύετε
ἐσεῖς.
18 Καλὸν εἶναι τὸ νὰ
ζηλεύετε εἰς τὸ καλὸν πάν-
τοτε, καὶ ὄχι μόνον ὅταν
εἶμαι παρὼν εἰς ἐσᾶς.
19 Παιδία μου, τοὺς ὁποίους
πάλιν σᾶς κοιλοπονῶ, ἕως ὁποῦ
νὰ μορφωθῇ ὁ Χριστὸς εἰς ἐσᾶς.
20 Καὶ ἤθελα νὰ εἶμαι
παρὼν εἰς ἐσᾶς τῶρα, καὶ νὰ
ἀλλάξω τὴν φωνήν μου· ὅτι
ἀπορῶ εἰς ἐσᾶς.
21 Εἰπέτε μου ἐσεῖς ὁποῦ θέ-
λετε νὰ εἶσθε ἀποκάτω εἰς τὸν
νόμον, δὲν ἀκούετε τὸν νόμον;
22 Διατὶ εἶναι γεγραμμέ-
νον ὅτι ὁ Ἀβραὰμ εἶχε δύο
υἱούς· ἕνα ἀπὸ τὴν δουλεύτραν,
καὶ ἕνα ἀπὸ τὴν ἐλευθέραν.
23 Ἀλλὰ ἐκεῖνος ὁποῦ
ἐγεννήθη ἀπὸ τὴν δουλεύτραν,
ἐγεννήθη κατὰ σάρκα· ἀμὴ ὁ
ἄλλος (ὁποῦ ἦτον) ἀπὸ τὴν
ἐλευθέραν, ἐγεννήθη διαμέσου
τοῦ ταξίματος.
24 Τὰ ὁποῖα ἀλληγοροῦν-

μενα· αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι· μία μὲν ἀπὸ ὄρους Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ.

25 Τὸ γὰρ Ἄγαρ, Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ δὲ τῇ νῦν Ἱερουσαλὴμ, δουλεύει δὲ μετὰ τῶν τέκνων αὐτῆς.

26 Ἡ δὲ ἄνω Ἱερουσαλὴμ, ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν.

27 Γέγραπται γάρ· Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

28 Ἡμεῖς δὲ, ἀδελφοὶ, κατὰ Ἰσαὰκ, ἐπαγγελίας τέκνα ἐσμέν.

29 Ἀλλ᾽ ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς, ἐδίωκε τὸν κατὰ πνεῦμα· οὕτω καὶ νῦν.

30 Ἀλλὰ τί λέγει ἡ γραφή; Ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας.

31 Ἄρα, ἀδελφοὶ, οὐκ ἐσμὲν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας.

ται· διατὶ αὐταῖς εἶναι αἱ δύο διαθήκαις· ἡ μία εἶναι ἀπὸ τὸ ὄρος τὸ Σινᾶ, καὶ γεννᾷ εἰς δουλείαν, ἡ ὁποῖα εἶναι ἡ Ἄγαρ.

25 Διατὶ τὸ Ἄγαρ εἶναι ὄρος Σινᾶ εἰς τὴν Ἀραβίαν, καὶ εἶναι ὅμοιον καὶ ἀντιπροσωπίζει μὲ τὴν Ἱερουσαλὴμ, ὁποῦ εἶναι τῶρα καὶ δουλεύει μὲ τὰ παιδία της.

26 Ἀμὴ ἡ ἀπάνω Ἱερουσαλὴμ εἶναι ἐλευθέρα, ἡ ὁποῖα εἶναι μητέρα ὁλονῶν μας.

27 Διατὶ εἶναι γεγραμμένον· Χαίρου ἐσὺ στεῖρα ὁποῦ δὲν γεννᾷς· ἄφησε φωνὴν καὶ βόησον ἐσὺ ὁποῦ δὲν κοιλοπονεῖς, ὅτι περισσότερα (θέλουσιν εἶσθαι) τὰ παιδία τῆς ἐρήμου (γυναικὸς) παρὰ ἐκείνης ὁποῦ ἔχει τὸν ἄνδρα.

28 Καὶ ἐμεῖς, ἀδελφοὶ, ὡσὰν ὁ Ἰσαὰκ, εἴμεσθε τέκνα τοῦ ταξίματος.

29 Ἀλλὰ καθὼς τότε ἐκεῖνος ὁποῦ ἐγεννήθη κατὰ σάρκα, ἐδίωχνε τὸν κατὰ πνεῦμα υἱὸν· τέτοιας λογῆς (γίνεται) καὶ τῶρα.

30 Ἀλλὰ τί λέγει ἡ γραφή; Εὔγαλε τὴν δουλεύτραν καὶ τὸν υἱόν της· διατὶ δὲν θέλει κληρονομήσει ὁ υἱὸς τῆς δουλεύτρας ὁμοῦ μὲ τὸν υἱὸν τῆς ἐλευθέρας.

31 Λοιπὸν, ἀδελφοὶ, δὲν εἴμεσθε παιδία τῆς δουλεύτρας, ἀλλὰ τῆς ἐλευθέρας.

Κεφ. ι'. 5.

Τῇ ἐλευθερίᾳ οὖν ᾗ Χριστὸς
ἡμᾶς ἠλευθέρωσε, στήκε-
τε, καὶ μὴ πάλιν ζυγῷ δου-
λείας ἐνέχεσθε.
2 Ἴδε, ἐγὼ Παῦλος λέγω
ὑμῖν ὅτι ἐὰν περιτέμνησθε,
Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει.
3 Μαρτύρομαι δὲ πάλιν
παντὶ ἀνθρώπῳ περιτεμνο-
μένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον
τὸν νόμον ποιῆσαι·
4 Κατηργήθητε ἀπὸ τοῦ
Χριστοῦ οἵτινες ἐν νόμῳ δικαιοῦ-
σθε· τῆς χάριτος ἐξεπέ-
σατε.
5 Ἡμεῖς γὰρ πνεύματι
ἐκ πίστεως ἐλπίδα δικαιοσύνης
ἀπεκδεχόμεθα.
6 Ἐν γὰρ Χριστῷ Ἰησοῦ
οὔτε περιτομή τι ἰσχύει, οὔτε
ἀκροβυστία, ἀλλὰ πίστις δι'
ἀγάπης ἐνεργουμένη.
7 Ἐτρέχετε καλῶς· τίς
ὑμᾶς ἀνέκοψε τῇ ἀληθείᾳ
μὴ πείθεσθαι;
8 Ἡ πεισμονὴ οὐκ ἐκ τοῦ
καλοῦντος ὑμᾶς.
9 Μικρὰ ζύμη ὅλον τὸ
φύραμα ζυμοῖ.
10 Ἐγὼ πέποιθα εἰς ὑμᾶς

Σταθῆτε λοιπὸν βέβαιοι εἰς
τὴν ἐλευθερίαν ὅπου μᾶς
ἐλευθέρωσεν ὁ Χριστὸς, καὶ μὴν
περιπλέκεσθε πάλιν εἰς τὸν
ζυγὸν τῆς δουλείας.
2 Νὰ, ἐγὼ ὁ Παῦλος σᾶς
λέγω, ὅτι ἐὰν περιτέμνεσθε,
ὁ Χριστὸς δὲν θέλει σᾶς ὠφε-
λήσει τίποτες.
3 Καὶ πάλιν μαρτύρομαι
κάθε ἄνθρωπον ὅπου περιτέ-
μνεται, ὅτι εἶναι χρεώστης νὰ
κάμῃ ὅλον τὸν νόμον·
4 Ἐσεῖς ὅπου δικαιώνεσθε
εἰς τὸν νόμον, ἐχωρισθήκετε
ἀπὸ τὸν Χριστόν· ἐξεπέσετε
ἀπὸ τὴν χάριν.
5 Διατὶ ἐμεῖς διαμέσου
τοῦ πνεύματος μὲ τὴν πίστιν
ἀναμένομεν τὴν ἐλπίδα τῆς
δικαιοσύνης.
6 Διατὶ εἰς τὸν Χριστὸν
Ἰησοῦν οὔτε ἡ περιτομὴ δύνε-
ται τίποτες, οὔτε ἡ ἀκρο-
βυστία, ἀλλὰ πίστις ὅπου
ἐνεργεῖ διαμέσου τῆς ἀγάπης.
7 Καλὰ ἐτρέχετε· τίς σᾶς
ἐμπόδισε νὰ μὴν πείθεσθε
τὴν ἀλήθειαν;
8 Ἡ κατάπεισις (αὕτη)
δὲν εἶναι ἀπ' ἐκεῖνον ὅπου σᾶς
κράζει.
9 Ὀλίγον προζύμι ζυμώνει
ὅλον τὸ ζυμωτόν.
10 Ἐγὼ πιστεύω εἰς ἐσᾶς

ἐν Κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε· ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρῖμα, ὅς τις ἂν ᾖ.

11 Ἐγὼ δὲ, ἀδελφοὶ, εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι διώκομαι; ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ.

12 Ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς.

13 Ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί· μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκὶ, ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις.

14 Ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν.

15 Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε.

16 Λέγω δέ· Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε.

17 Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος· τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀντίκειται ἀλλήλοις, ἵνα μὴ ἃ ἂν θέλητε, ταῦτα ποιῆτε.

ἐν Κυρίῳ, ὅτι δὲν θέλετε ἔχει ἄλλην γνώμην· ἀλλὰ ἐκεῖνος ὁποῦ σᾶς συγχύζει, θέλει σηκώσει τὸ κρῖμα, ὁποῖος καὶ ἂν εἶναι.

11 Ἀμὴ ἐγὼ, ἀδελφοὶ, ἐὰν ἀκόμι κηρύττω περιτομὴν, διατί κατατρέχομαι; ἔμεινεν ἀργὸν λοιπὸν τὸ σκάνδαλον τοῦ σταυροῦ.

12 Καὶ ἄμποτες νὰ ἤθελαν ἀποκοπῇ ἐκεῖνοι ὁποῦ σᾶς συγχύζουσι.

13 Διατὶ ἐσεῖς, ἀδελφοὶ, ἐκαλεσθήκετε εἰς ἐλευθερίαν· μόνον ἔχετε τὸν νοῦν σας, μὴν χρειάζεσθε τὴν ἐλευθερίαν εἰς τὴν ἀφορμὴν τῆς σάρκας, ἀλλὰ δουλεύετε ἕνας τὸν ἄλλον μὲ ἀγάπην.

14 Διατὶ ὅλος ὁ νόμος εἰς ἕνα λόγον τελειώνεται, εἰς τό· Νὰ ἀγαπήσῃς τὸν γείτονά σου ὡσὰν καὶ τοῦ λόγου σου.

15 Ἀμὴ ἐὰν δαγκάνετε καὶ κατατρώγεσθε ἕνας τὸν ἄλλον, βλέπετε νὰ μὴν χαλασθῆτε ἕνας ἀπὸ τὸν ἄλλον.

16 Καὶ λέγω σας· Περιπατεῖτε μὲ τὸ πνεῦμα, καὶ μὴν κάμετε ἐπιθυμίαν σάρκας.

17 Διατὶ ἡ σάρκα ἐπιθυμεῖ ἐναντία τοῦ πνεύματος· καὶ τὸ πνεῦμα ἐναντία τῆς σάρκας· καὶ ἐτοῦτα ἐναντιοῦνται ἕνα μὲ τὸ ἄλλον, διὰ νὰ μὴν κάμνετε ἐκεῖνα ὁποῦ ἐσεῖς θέλετε.

18 Εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον.

19 Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκός· ἅ τινά ἐστι μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια,

20 Εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις,

21 Φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν.

22 Ὁ δὲ καρπὸς τοῦ Πνεύματος, ἐστιν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια·

23 Κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος.

24 Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.

25 Εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν.

26 Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες.

18 Καὶ ἐὰν φέρνεσθε ὑπὸ τοῦ πνεύματος, δὲν εἶσθε ἀποκάτω εἰς τὸν νόμον.

19 Καὶ φανερὰ εἶναι τὰ ἔργα τῆς σάρκας· τὰ ὁποῖα εἶναι μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια,

20 Εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, φιλονεικίαι, ζηλίαι, θυμοὶ, μαλώματα, διχοστασίαις, αἱρέσεις,

21 Φθόνοι, φόνοι, μέθαι, ξεφαντώματα, καὶ τὰ ὅμοια τούτοις, τὰ ὁποῖα σᾶς προλέγω, καθὼς καὶ προεῖπα, ὅτι ἐκεῖνοι ὁποῦ κάμνουσι τὰ τέτοιας λογῆς, δὲν θέλουσι κληρονομήσει βασιλείαν Θεοῦ.

23 Ἐτοῦτον λοιπὸν ἐλπίζω νὰ πέμψω, εὐθὺς ὁποῦ νὰ ἰδῶ τὴν κατάστασιν τῶν πραγμάτων μου.

24 Πέποιθα δὲ ἐν Κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως ἐλεύσομαι.

25 Ἀναγκαῖον δὲ ἡγησάμην Ἐπαφρόδιτον τὸν ἀδελφὸν καὶ συνεργὸν καὶ συστρατιώτην μου, ὑμῶν δὲ ἀπόστολον, καὶ λειτουργὸν τῆς χρείας μου πέμψαι πρὸς ὑμᾶς·

26 Ἐπειδὴ ἐπιποθῶν ἦν πάντας ὑμᾶς, καὶ ἀδημονῶν, διότι ἠκούσατε ὅτι ἠσθένησε.

27 Καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτῳ· ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησεν· οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμὲ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ.

28 Σπουδαιοτέρως οὖν ἔπεμψα αὐτὸν, ἵνα ἰδόντες αὐτὸν πάλιν, χαρῆτε, κἀγὼ ἀλυπότερος ὦ.

29 Προσδέχεσθε οὖν αὐτὸν ἐν Κυρίῳ μετὰ πάσης χαρᾶς, καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε·

30 Ὅτι διὰ τὸ ἔργον τοῦ Χριστοῦ μέχρι θανάτου ἤγγισε, παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας.

24 Καὶ πιστεύω εἰς τὸν Κύριον, ὅτι καὶ ἐγὼ θέλω ἔλθη ὀγλίγωρα εἰς ἐσᾶς.

25 Ἀμὴ ἐλογίασα ἀναγκαῖον νὰ πέμψω εἰς ἐσᾶς τὸν Ἐπαφρόδιτον τὸν ἀδελφὸν καὶ συνεργὸν καὶ συστρατιώτην μου, καὶ ἀπόστολόν σας, καὶ ὑπηρέτην τῆς χρείας μου·

26 Ἐπειδὴ αὐτὸς σᾶς ἀγάπαν ὅλους, καὶ ἀδημόνα, διότι ἀκούσετε ὅτι ἀσθένησε.

27 Καὶ βέβαια ἀσθένησε καὶ ἦλθε σιμὰ εἰς τὸν θάνατον· ἀλλὰ ὁ Θεὸς τὸν ἐλέησε· καὶ ὄχι αὐτὸν μοναχὸν, ἀλλὰ καὶ ἐμένα, διὰ νὰ μὴν ἔχω λύπην ἀπάνω εἰς τὴν λύπην.

28 Διὰ τοῦτο λοιπὸν τὸν ἔπεμψα τὸ γλιγωρώτερον, διὰ νὰ χαρῆτε πάλιν ὡσὰν τὸν εἰδῆτε, καὶ ἐγὼ νὰ ἔχω ὀλιγώτερην λύπην.

29 Δεχθῆτέ τον λοιπὸν διὰ τὸν Κύριον μετὰ πάσης χαρᾶς, καὶ τοὺς τοιούτους ἔχετέ τους τιμημένους·

30 Ὅτι διὰ τὸ ἔργον τοῦ Χριστοῦ ἕως τὸν θάνατον ἐσήμωσε, καὶ δὲν ἐλογαρίασε τὴν ζωήν του, διὰ νὰ ἀναπληρώσῃ τὴν ἔλλειψιν τῆς ὑπηρεσίας, ὁποῦ ἔκαμνε χρεία νὰ κάμετε ἐσεῖς εἰς ἐμένα.

Κεφ. γ΄. 3.

ΤΟ` λοιπὸν, ἀδελφοί μου, χαίρετε ἐν Κυρίῳ· τὰ αὐτὰ γράφειν ὑμῖν ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές.

2 Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν.

3 Ἡμεῖς γάρ ἐσμεν ἡ περιτομὴ, οἱ πνεύματι Θεῷ λατρεύοντες, καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες·

4 Καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν σαρκί. Εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκὶ, ἐγὼ μᾶλλον·

5 Περιτομὴ ὀκταήμερος, ἐκ γένους Ἰσραὴλ, φυλῆς Βενιαμὶν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος,

6 Κατὰ ζῆλον διώκων τὴν ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος·

7 Ἀλλ' ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν.

ΤΟ` λοιπὸν, ἀδελφοί μου, χαίρετε εἰς τὸν Κύριον· τὸ νὰ γράφω εἰς ἐσᾶς τὰ αὐτὰ, ὅσον εἰς ἐμένα, δὲν ὀκνεύω, καὶ εἰς ἐσᾶς τοῦτο εἶναι ἄσφαλτον.

2 Βλέπετε τοὺς σκύλους, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν.

3 Διατὶ ἐμεῖς εἴμεσθεν ἡ περιτομὴ, ὁποῦ λατρεύομεν τὸν Θεὸν μὲ τὸ πνεῦμα, καὶ καυχώμεσθεν εἰς τὸν Χριστὸν Ἰησοῦν, καὶ δὲν θαῤῥοῦμεν εἰς τὴν σάρκα·

4 Ἀγκαλὰ καὶ ἐγὼ ἔχω ἀφορμὴν νὰ θαῤῥῶ καὶ εἰς τὴν σάρκα. Ἂν κανένας ἄλλος λογιάζῃ νὰ ἔχῃ θάῤῥος εἰς τὴν σάρκα, ἐγὼ ἔχω περισσότερον·

5 Ὦντας περιτετμημένος εἰς τὴν ὀγδόην ἡμέραν, ἀπὸ τὸ γένος τοῦ Ἰσραὴλ, ἀπὸ τὴν φυλὴν τοῦ Βενιαμὶν, Ἑβραῖος ἀπὸ Ἑβραίους, Φαρισαῖος κατὰ νόμον,

6 Ὁποῦ κατὰ ζῆλον ἐκατάτρεχα τὴν ἐκκλησίαν, καὶ κατὰ τὴν δικαιοσύνην ὁποῦ εἶναι εἰς τὸν νόμον, ἤμουν ἀκατηγόρητος·

7 Ἀλλὰ ἐκεῖνα ὁποῦ ἦταν εἰς ἐμένα κέρδος, τὰ ἐλογίασα ζημίαν διὰ τὸν Χριστόν.

8 Ἀλλὰ μενοῦνγε καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου μου, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι ἵνα Χριστὸν κερδήσω,

8 Καὶ βέβαια καὶ τῶρα ὅλα τὰ λογιάζω νὰ εἶναι ζημία διὰ τὴν ὑπεροχὴν τῆς γνώσεως τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μου, διὰ τὸν ὁποῖον τὰ ἐζημιώθηκα ὅλα, καὶ τὰ λογιάζω νὰ εἶναι σκύβαλα, διὰ νὰ κερδήσω τὸν Χριστὸν,

9 Καὶ εὑρεθῶ ἐν αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει·

9 Καὶ νὰ εὑρεθῶ εἰς αὐτὸν, νὰ μὴν ἔχω τὴν ἐδικήν μου δικαιοσύνην ὁποῦ εἶναι ἀπὸ τὸν νόμον, ἀλλὰ νὰ ἔχω τὴν δικαιοσύνην ὁποῦ εἶναι διαμέσου τῆς πίστεως τοῦ Χριστοῦ, τὴν δικαιοσύνην (λέγω) ὁποῦ εἶναι ἀπὸ τὸν Θεὸν εἰς τὴν πίστιν·

10 Τοῦ γνῶναι αὐτὸν, καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ, συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ·

10 Τὸ νὰ γνωρίσω αὐτὸν, καὶ τὴν δύναμιν τῆς ἀναστάσεώς του, καὶ τὴν κοινωνίαν τῶν παθημάτων του, συμμορφούμενος εἰς τὸν θάνατόν του·

11 Εἴπως καταντήσω εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν.

11 Ἂν τύχῃ νὰ καταντήσω εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν.

12 Οὐχ ὅτι ἤδη ἔλαβον, ἢ ἤδη τετελείωμαι· διώκω δὲ εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ τοῦ Χριστοῦ Ἰησοῦ.

12 Ὄχι, ὅτι ἐγὼ τῶρα ἐπῆρα τὸ βραβεῖον, ἢ τῶρα ἐτελειώθηκα· ἀλλὰ τρέχω δοκιμάζωντας ἂν τὸ πιάσω, διὰ τὸ ὁποῖον καὶ ἐπιάσθηκα ἀπὸ τὸν Χριστὸν Ἰησοῦν.

13 Ἀδελφοὶ, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι·

13 Ἐγὼ, ἀδελφοὶ, δὲν λογαριάζω τοῦ λόγου μου νὰ ἐπίασα (τὸ βραβεῖον·)

14 Ἓν δὲ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον

14 Ἀλλὰ ἕνα πρᾶγμα (ἐξεύρω) ἀλησμονῶντας τὰ ὀπίσω, καὶ ἁπλωνόμενος εἰς τὰ ἔμπροσθεν, τρέχω κατὰ τὸ

τῆς ἄνω κλήσεως τοῦ Θεȣ̃ ἐν Χριςῷ Ἰησȣ̃.

15 Ὅσοι οὖν τέλειοι, τȣ̃το φρονῶμεν· καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τȣ̃το ὁ Θεὸς ὑμῖν ἀποκαλύψει·

16 Πλὴν εἰς ὃ ἐφθάσαμεν, τῷ αὐτῷ ςοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν.

17 Συμμιμηταί μȣ γίνεσθε, ἀδελφοὶ, καὶ σκοπεῖτε τȣ̀ς ἕτω περιπατοῦντας, καθὼς ἔχετε τύπον ἡμᾶς.

18 Πολλοὶ γὰρ περιπατȣ̃σιν, ȣ̃ς πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω, τȣ̀ς ἐχθρȣ̀ς τοῦ ςαυρȣ̃ τοῦ Χριςȣ̃·

19 Ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες.

20 Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν ȣ̓ρανοῖς ὑπάρχει, ἐξ ȣ̃ καὶ σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριςόν·

21 Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ

σημάδι εἰς τὸ βραβεῖον τοῦ ἄνωθεν καλεσμȣ̃ τοῦ Θεȣ̃, ὁπȣ̃ μᾶς καλεῖ εἰς τὸν Χριςὸν Ἰησοῦν.

15 Ὅσοι λοιπὸν εἴμεσθε τέλειοι, ἂς φρονȣ̃μεν τȣ̃το· καὶ ἂν φρονῆτε τίποτες ἄλλης λογῆς, καὶ τȣ̃το ὁ Θεὸς θέλει σᾶς τὸ ἀποκαλύψει·

16 Ὅμως εἰς ἐκεῖνο ὁπȣ̃ ἐφθάσαμεν, μὲ τὸν αὐτὸν κανόνα νὰ περιπατȣ̃μεν, τὸ αὐτὸ νὰ φρονȣ̃μεν.

17 Συμμιμηταί μȣ γίνεσθε, ἀδελφοὶ, καὶ ςοχάζεσθε ἐκείνȣς ὁπȣ̃ περιπατοῦν τέτοιας λογῆς, καθὼς ἔχετε παράδειγμα ἐμᾶς.

18 Διατὶ πολλοὶ περιπατȣ̃σι, διὰ τȣ̀ς ὁποίȣς πολλάκις σᾶς ἔλεγα, καὶ τώρα ἀκόμι κλαίωντας λέγω, πῶς εἶναι ἐχθροὶ τοῦ ςαυρȣ̃ τοῦ Χριςȣ̃·

19 Τῶν ὁποίων τὸ τέλος εἶναι ἀπώλεια, καὶ ὁ Θεὸς τȣς εἶναι ἡ κοιλία τȣς, καὶ ἡ δόξα τȣς εἶναι εἰς ἐντροπήν τȣς, οἱ ὁποῖοι ἔχȣσι τὸν νοῦν τȣς εἰς τὰ ἐπίγεια.

20 Ἀμὴ ἡ πολιτεία ἡ ἐδική μας εἶναι εἰς τȣ̀ς ȣ̓ρανȣ̀ς, ἀπ᾽ ἐκεῖ ὁπȣ̃ ἀπεκδεχόμεσθεν σωτῆρα, τὸν Κύριον Ἰησοῦν Χριςόν·

21 Ὁ ὁποῖος θέλει μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεώς μας, νὰ γίνῃ

σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα.

αὐτὸ ὅμοιον μὲ τὸ σῶμα τῆς δόξης του, κατὰ τὴν ἐνέργειαν ὁποῦ δύνεται αὐτὸς καὶ νὰ ὑποτάξῃ τὰ πάντα εἰς τοῦ λόγου του.

Κεφ. δ'. 4.

Ὥστε, ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου, οὕτω στήκετε ἐν Κυρίῳ, ἀγαπητοί.

2 Εὐοδίαν παρακαλῶ καὶ Συντύχην παρακαλῶ τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ·

3 Καὶ ἐρωτῶ καί σε σύζυγε γνήσιε, συλλαμβάνου αὐταῖς, αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι, μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς.

4 Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε.

5 Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις· ὁ Κύριος ἐγγύς.

6 Μηδὲν μεριμνᾶτε· ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν·

ΤΟ' λοιπὸν, ἀγαπητοί μου ἀδελφοὶ καὶ ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου, τοιουτοτρόπως στέκεσθε εἰς τὸν Κύριον, ἀγαπητοί.

2 Παρακαλῶ τὴν Εὐοδίαν καὶ τὴν Συντύχην νὰ φρονοῦσι τὸ αὐτὸ εἰς τὸν Κύριον·

3 Καὶ παρακαλῶ καὶ ἐσένα, σύντροφέ μου γνήσιε, συμβοήθα ταις, αἱ ὁποίαις ἀγωνίσθηκαν ἀντάμα μὲ ἐμένα εἰς τὸ εὐαγγέλιον, μαζὺ καὶ μὲ τὸν Κλήμεντα καὶ μὲ τοὺς λοιποὺς συνεργούς μου, τῶν ὁποίων τὰ ὀνόματα εἶναι εἰς τὸ βιβλίον τῆς ζωῆς.

4 Χαίρεσθε εἰς τὸν Κύριον πάντοτε· πάλιν λέγω, χαίρεσθε.

5 Ἡ μετριότης σας ἂς γνωρισθῇ εἰς ὅλους τοὺς ἀνθρώπους· ὁ Κύριος εἶναι σιμά.

6 Κανένα πρᾶγμα μὴν φροντίζετε· ἀλλὰ εἰς κάθε πρᾶγμα, μὲ τὴν προσευχὴν καὶ μὲ τὴν δέησιν ὁμοῦ μὲ εὐχαριστίαν, ἂς γνωρίζωνται τὰ ζητήματά σας εἰς τὸν Θεόν·

7 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ.

7 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ὁποῦ ὑπερέχει κάθε νοῦν, θέλει φυλάξει ταῖς καρδίαις σας καὶ τὰ νοήματά σας εἰς τὸν Χριστὸν Ἰησοῦν.

8 Τὸ λοιπὸν, ἀδελφοὶ, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε.

8 Τὸ λοιπὸν, ἀδελφοὶ, ὅσα πράγματα εἶναι ἀληθινὰ, ὅσα εἶναι τιμημένα, ὅσα εἶναι δίκαια, ὅσα εἶναι καθαρὰ, ὅσα εἶναι ἀγαπημένα, ὅσα εἶναι ἐπαινεμένα, ἐὰν εἶναι καμία ἀρετὴ, ἐὰν εἶναι κανένας ἔπαινος, ἐτοῦτο λογιάζετε.

9 Ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοὶ, ταῦτα πράσσετε· καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν.

9 Τὰ ὁποῖα καὶ ἐμάθετε καὶ ἐπαραλάβετε καὶ ἀκούσετε καὶ εἴδετε εἰς ἐμένα, ἐτοῦτα κάμνετε· καὶ ὁ Θεὸς τῆς εἰρήνης θέλει εἶσθαι μετ' ἐσᾶς.

10 Ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως, ὅτι ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· ἐφ' ᾧ καὶ ἐφρονεῖτε, ἠκαιρεῖσθε δέ.

10 Ἐχάρηκα μεγάλως εἰς τὸν Κύριον, ὅτι ὅπως δήποτε ἐξανεβλαστήσετε τὸ νὰ φροντίζετε διὰ λόγου μου· διὰ τὸ ὁποῖον καὶ ἐφροντίζετε, ἀμὴ δὲν εἴχετε καιρὸν ἐπιτήδειον.

11 Οὐχ ὅτι καθ' ὑστέρησιν λέγω· ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμι, αὐτάρκης εἶναι.

11 Ὄχι διατὶ εἶμαι ὑστερημένος τὸ λέγω· διατὶ ἐγὼ ἔμαθα, εἰς ἐκεῖνο ὁποῦ εὑρίσκομαι, νὰ εἶμαι εὐχαριστημένος.

12 Οἶδα δὲ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν· ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι· καὶ χορτάζεσθαι, καὶ πεινᾷν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι·

12 Ἰξεύρω καὶ νὰ ταπεινώνωμαι, ἰξεύρω καὶ νὰ περισσεύω· εἰς κάθε καιρὸν καὶ τόπον, καὶ εἰς ὅλα ἐδιδάχθηκα· καὶ νὰ χορταίνω καὶ νὰ πεινῶ, καὶ νὰ περισσεύω καὶ νὰ ὑστεροῦμαι.

13 Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριςῷ.

14 Πλὴν καλῶς ἐποιήσατε, συγκοινωνήσαντές μȣ τῇ θλίψει.

15 Οἴδατε δὲ καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίȣ, ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας, ȣδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι·

16 Ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε.

17 Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, ἀλλ' ἐπιζητῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν.

18 Ἀπέχω δὲ πάντα, καὶ περισσεύω· πεπλήρωμαι, δεξάμενος παρὰ Ἐπαφροδίτȣ τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν δεκτὴν, εὐάρεςον τῷ Θεῷ.

19 Ὁ δὲ Θεός μȣ πληρώσει πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν πλȣ̃τον αὐτοῦ, ἐν δόξῃ ἐν Χριςῷ Ἰησȣ̃.

20 Τῷ δὲ Θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

21 Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριςῷ Ἰησȣ̃· ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί.

13 Εἰς ὅλα εἶμαι δυνατὸς διαμέσȣ τοῦ Χριςȣ̃ ὁπȣ̃ μὲ δυναμώνει.

14 Ὅμως καλὰ ἐκάμετε, ὁπȣ̃ ἐσυγκοινωνήσετε εἰς τὴν θλίψιν μȣ.

15 Καὶ ἐξεύρετε καὶ ἐσεῖς, Φιλιππήσιοι, ὅτι εἰς τὴν ἀρχὴν τοῦ εὐαγγελίȣ, ὁπόταν εὐγῆκα ἀπὸ τὴν Μακεδονίαν, ȣδὲ καμία ἐκκλησία μȣ̃ ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ πάρσεως, παρὰ ἐσεῖς μοναχοί·

16 Ὅτι καὶ εἰς τὴν Θεσσαλονίκην μιᾷ καὶ δύο μȣ̃ ἐπέμψετε εἰς τὴν χρείαν μȣ.

17 Ὄχι ὅτι ζητῶ τὸ δόσιμον, ἀλλὰ ζητῶ τὸν καρπὸν νὰ περισσεύῃ εἰς τὸν λογαριασμόν σας.

18 Καὶ ἔλαβά τὰ ὅλα καὶ περισσεύω· εἶμαι γεμάτος, ἔςωντας νὰ δεχθῶ ἀπὸ τὸν Ἐπαφρόδιτον ἐκεῖνα ὁπȣ̃ ἐςείλετε, μυρωδίαν εὐωδίας, θυσίαν δεκτὴν, εὐάρεςον τῷ Θεῷ.

19 Καὶ ὁ Θεός μȣ θέλει σᾶς πληρώσει κάθε λογῆς χρείαν ὁπȣ̃ ἔχετε, κατὰ τὸν πλȣ̃τόν τȣ μὲ δόξαν εἰς Χριςὸν Ἰησοῦν.

20 Ἡ δόξα ἂς εἶναι εἰς τὸν Θεὸν καὶ πατέρα μας, εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

21 Χαιρετήσετε κάθε ἅγιον εἰς Χριςὸν Ἰησοῦν· οἱ ἀδελφοὶ ὁπȣ̃ εἶναι μαζύ μȣ σᾶς χαιρετοῦν.

22 Ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας.

22 Ὅλοι οἱ ἅγιοι σᾶς χαιρετοῦν, καὶ περισσότερον ἐκεῖνοι ὅπου εἶναι ἀπὸ τὸ σπῆτι τοῦ Καίσαρος.

23 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

23 Ἡ χάρις τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ ἂς εἶναι μὲ ὅλους σας. Ἀμήν.

† Πρὸς Φιλιππησίους ἐγράφη ἀπὸ Ῥώμης δι' Ἐπαφροδίτου.

† Ἡ εἰς Φιλιππησίους ἐγράφη ἀπὸ Ῥώμην διαμέσου τοῦ Ἐπαφροδίτου.

ΠΑΥ͂ΛΟΥ ΤΟΥ͂ ἈΠΟΣΤΟ͂ΛΟΥ

Ἡ ΠΡΟ͂Σ ΚΟΛΟΣΣΑΕΙ͂Σ ἘΠΙΣΤΟΛΗ͂.

Κεφ. α΄. 1.

ΠΑΥ͂ΛΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός,

ΠΑΥ͂ΛΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ μὲ τὸ θέλημα τοῦ Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός,

2 Τοῖς ἐν Κολοσσαῖς ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

2 Εἰς τοὺς ἁγίους, καὶ πιστοὺς ἀδελφοὺς εἰς Χριστὸν Ἰησοῦν, ὅπου εἶναι εἰς ταῖς Κολοσσαῖς· ἂς εἶναι χάρις εἰς ἐσᾶς καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρός μας, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

3 Εὐχαριστοῦμεν τῷ Θεῷ καὶ πατρὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πάντοτε περὶ ὑμῶν προσευχόμενοι·

3 Εὐχαριστοῦμεν τὸν Θεὸν καὶ πατέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, προσευχόμενοι πάντοτε διὰ λόγου σας·

4 Ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους,

4 Ἔστωντας νὰ ἀκούσωμεν τὴν πίστιν σας (ὅπου ἔχετε) εἰς τὸν Χριστὸν Ἰησοῦν, καὶ τὴν ἀγάπην (ὅπου ἔχετε) εἰς ὅλους τοὺς ἁγίους,

5 Διὰ τὴν ἐλπίδα τὴν ἀπο-

5 Διὰ τὴν ἐλπίδα ὅπου

κειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς, ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου,

6 Τοῦ παρόντος εἰς ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ· καὶ ἐστι καρποφορούμενον, καθὼς καὶ ἐν ὑμῖν, ἀφ' ἧς ἡμέρας ἠκούσατε καὶ ἐπέγνωτε τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ,

7 Καθὼς καὶ ἐμάθετε ἀπὸ Ἐπαφρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν, ὅς ἐστι πιστὸς ὑπὲρ ὑμῶν διάκονος τοῦ Χριστοῦ·

8 Ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι.

9 Διὰ τοῦτο καὶ ἡμεῖς, ἀφ' ἧς ἡμέρας ἠκούσαμεν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι, καὶ αἰτούμενοι ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ·

10 Περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου εἰς πᾶσαν ἀρέσκειαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες καὶ αὐξανόμενοι εἰς τὴν ἐπίγνωσιν τοῦ Θεοῦ·

11 Ἐν πάσῃ δυνάμει δυναμούμενοι κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ, εἰς πᾶσαν

φυλάττεται διὰ λόγου σας εἰς τοὺς οὐρανοὺς, τὴν ὁποίαν ἀκούσετε προτίτερα εἰς τὸν λόγον τῆς ἀληθείας τοῦ εὐαγγελίου,

6 Ὁποῦ ἦλθεν εἰς ἐσᾶς, καθὼς καὶ εἰς ὅλον τὸν κόσμον· καὶ κάμνει καρπὸν, καθὼς καὶ εἰς ἐσᾶς, ἀπὸ τὴν ἡμέραν ἐκείνην ὁποῦ ἀκούσετε καὶ ἐγνωρίσετε τὴν χάριν τοῦ Θεοῦ μὲ ἀλήθειαν,

7 Καθὼς καὶ ἐμάθετε ἀπὸ Ἐπαφρᾶ τοῦ ἀγαπητοῦ συνδούλου μας, ὁ ὁποῖος εἶναι πιστὸς διάκονος τοῦ Χριστοῦ διὰ λόγου σας·

8 Ὁ ὁποῖος καὶ μᾶς ἐφανέρωσε τὴν ἀγάπην σας (ὁποῦ ἔχετε) διαμέσου τοῦ πνεύματος.

9 Διὰ τοῦτο καὶ ἐμεῖς, ἀπ' ἐκείνην τὴν ἡμέραν ὁποῦ τὸ ἀκούσαμεν, δὲν παύομεν νὰ προσευχώμεσθε διὰ λόγου σας, καὶ νὰ ζητοῦμεν διὰ νὰ γεμισθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματός του, μὲ κάθε σοφίαν καὶ μὲ σύνεσιν πνευματικήν·

10 Νὰ περιπατήσετε καθὼς πρέπει εἰς τὸν Κύριον, εἰς κάθε ἀρέσκειαν, εἰς κάθε ἔργον ἀγαθὸν, κάμνοντες καρπὸν καὶ αὐξανόμενοι εἰς τὴν ἐπίγνωσιν τοῦ Θεοῦ·

11 Δυναμωνόμενοι μὲ κάθε δύναμιν κατὰ τὸ κράτος τῆς δόξης του, εἰς κάθε ὑπο-

ὑπομονὴν καὶ μακροθυμίαν μετὰ χαρᾶς·

12 Εὐχαριστοῦντες τῷ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί·

13 Ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ·

14 Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν·

15 Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως·

16 Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται·

17 Καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε·

18 Καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ὅς ἐστιν ἀρχὴ πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων·

μονὴν καὶ μακροθυμίαν μετὰ χαρᾶς·

12 Εὐχαριστοῦντες τὸν πατέρα ὁποῦ μᾶς ἔκαμεν ἱκανοὺς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων εἰς τὸ φῶς·

13 Ὁ ὁποῖος μᾶς ἐλευθέρωσεν ἀπὸ τὴν ἐξουσίαν τοῦ σκότους καὶ μᾶς ἐμετάθεσεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης του·

14 Εἰς τὸν ὁποῖον ἔχομεν τὴν ἐξαγόρασιν διαμέσου τοῦ αἵματός του, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν·

15 Ὁ ὁποῖος εἶναι εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος ὅλης τῆς κτίσεως·

16 Ὅτι διαμέσου αὐτουνοῦ ἐκτίσθηκαν τὰ πάντα, ἐκεῖνα ὁποῦ εἶναι εἰς τοὺς οὐρανοὺς, καὶ ἐκεῖνα ὁποῦ εἶναι ἀπάνω εἰς τὴν γῆν, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, κἂν τε θρόνοι, κἂν τε κυριότητες, κἂν τε ἀρχαῖς, κἂν τε ἐξουσίαις· τὰ πάντα διαμέσου αὐτουνοῦ καὶ εἰς αὐτὸν ἐκτίσθηκαν·

17 Καὶ αὐτὸς εἶναι προτίτερα ἀπὸ ὅλα, καὶ τὰ πάντα διαμέσου αὐτουνοῦ στέκουνται·

18 Καὶ αὐτὸς εἶναι ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ὁ ὁποῖος εἶναι ἀρχὴ πρωτότοκος ἐκ τῶν νεκρῶν, διὰ νὰ γένῃ αὐτὸς εἰς ὅλα πρῶτος·

19 Ὅτι ἐν αὐτῷ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι,

20 Καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν· εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, δι' αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς.

21 Καὶ ὑμᾶς ποτε ὄντας ἀπηλλοτριωμένους καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνὶ δὲ ἀποκατήλλαξεν,

22 Ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ, διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ·

23 Εἴγε ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι, καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν· οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος.

24 Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου, ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία·

19 Ὅτι ἄρεσεν ἐτοῦτο (εἰς τὸν πατέρα) νὰ κατοικήσῃ εἰς αὐτὸν ὅλον τὸ πλήρωμα,

20 Καὶ διαμέσου αὐτουνοῦ νὰ φιλιώσῃ τὰ πάντα εἰς τοῦ λόγου του· εἰρηνοποιῶντας, διαμέσου τοῦ αἵματος τοῦ σταυροῦ του, διαμέσου αὐτουνοῦ κἄν τε ἐκεῖνα ὁποῦ εἶναι ἀπάνω εἰς τὴν γῆν, κἄν τε ἐκεῖνα ὁποῦ εἶναι εἰς τοὺς οὐρανούς.

21 Καὶ ἐσεῖς ὁποῦ ἦσθαν ἕνα καιρὸν ἀποξενωμένοι καὶ ἐχθροὶ μὲ τὴν διάνοιαν (εὑρισκόμενοι) εἰς τὰ ἔργα τὰ πονηρὰ, τώρα σᾶς ἐφιλίωσεν,

22 Εἰς τὸ σῶμα τῆς σάρκας του, διαμέσου τοῦ θανάτου του, νὰ σᾶς παραστήσῃ ἁγίους καὶ ἀμώμους καὶ ἀκατηγορήτους ὀμπροστά του·

23 Ἐὰν ἐπιμένετε εἰς τὴν πίστιν θεμελιωμένοι καὶ βέβαιοι, καὶ δὲν μετακινεῖσθε ἀπὸ τὴν ἐλπίδα τοῦ εὐαγγελίου τοῦ ὁποίου ἀκούσετε, ὁποῦ ἐκηρύχθη εἰς ὅλην τὴν κτίσιν ὁποῦ εἶναι ἀποκάτω εἰς τὸν οὐρανόν· τοῦ ὁποίου ἐγὼ ὁ Παῦλος ἔγινα διάκονος.

24 Καὶ τώρα χαίρομαι εἰς τὰ παθήματά μου διὰ λόγου σας, καὶ ξαναπληρώνω τὰ λειψήματα τῶν θλίψεων τοῦ Χριστοῦ εἰς τὴν σάρκα μου, διὰ τὸ σῶμά του, τὸ ὁποῖον σῶμα εἶναι ἡ ἐκκλησία·

25 Ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ Θεȣ̃, τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς, πληρῶσαι τὸν λόγον τοῦ Θεȣ̃·

26 Τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτȣ̃·

27 Οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι τίς ὁ πλȣ̃τος τῆς δόξης τȣ̃ μυστηρίȣ τȣ́τȣ ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης·

28 Ὃν ἡμεῖς καταγγέλλομεν, νȣθετȣ̃ντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησȣ̃·

29 Εἰς ὃ καὶ κοπιῶ, ἀγωνιζόμενος κατὰ τὴν ἐνέργειαν αὐτȣ̃ τὴν ἐνεργȣμένην ἐν ἐμοὶ ἐν δυνάμει.

25 Τῆς ὁποίας ἐκκλησίας ἐγὼ ἔγινα διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ Θεοῦ, ὁπȣ̃ μȣ̃ ἐδόθη εἰς ἐσᾶς, νὰ γεμίσω τὸν λόγον τοῦ Θεȣ̃·

26 Τὸ μυστήριον ὁπȣ̃ ἦτον κεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, καὶ τῶρα ἐφανερώθη εἰς τȣ̀ς ἁγίȣς τȣ·

27 Τȣ̀ς ὁποίȣς ἠθέλησεν ὁ Θεὸς νὰ κάμῃ νὰ γνωρίσȣν ποῖος εἶναι ὁ πλȣ̃τος τῆς δόξης τοῦ μυστηρίȣ ἐτȣ́τȣ εἰς τὰ ἔθνη, ὁ ὁποῖος εἶναι Χριστὸς εἰς ἐσᾶς, ἡ ἐλπὶς τῆς δόξης·

28 Τὸν ὁποῖον ἐμεῖς κηρύττομεν, νȣθετȣ̃ντες κάθε ἄνθρωπον, καὶ διδάσκοντες κάθε ἄνθρωπον μὲ κάθε σοφίαν, διὰ νὰ παραστήσωμεν κάθε ἄνθρωπον τέλειον εἰς τὸν Χριστὸν Ἰησȣ̃ν·

29 Εἰς τὸ ὁποῖον καὶ κοπιάζω, ἀγωνιζόμενος κατὰ τὴν ἐνέργειάν τȣ, ὁπȣ̃ ἐνεργεῖ εἰς ἐμένα μὲ δύναμιν.

Κεφ. β.′ 2.

ΘΕλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω περὶ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ ὅσοι οὐχ ἑωράκασι τὸ πρόσωπόν μȣ ἐν σαρκί·

2 Ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντων ἐν ἀγάπῃ, καὶ εἰς πάντα

ΔΙατὶ θέλω νὰ ἠξεύρετε ἐσεῖς, πόσον μεγάλον ἀγῶνα ἔχω διὰ λόγȣ σας, καὶ διὰ ἐκείνȣς ὁπȣ̃ εἶναι εἰς τὴν Λαοδικείαν, καὶ ὅσοι δὲν εἴδασι τὸ πρόσωπόν μȣ σωματικῶς·

2 Διὰ νὰ παρηγορηθȣ̃σιν αἱ καρδίαις των, ὄντας νὰ σμιχθȣ̃σι μὲ ἀγάπην, καὶ εἰς

πλȣ̃τον τῆς πληροφορίας τῆς συνέσεως εἰς ἐπίγνωσιν τȣ̃ μυςηρίȣ τȣ̃ Θεȣ̃ καὶ πατρὸς καὶ τȣ̃ Χριςȣ̃·

3 Ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι.

4 Τȣ̃το δὲ λέγω ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ.

5 Εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι, χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν, καὶ τὸ ςερέωμα τῆς εἰς Χριςὸν πίςεως ὑμῶν.

6 Ὡς ȣ̃ν παρελάβετε τὸν Χριςὸν Ἰησȣ̃ν τὸν Κύριον, ἐν αὐτῷ περιπατεῖτε·

7 Ἐῤῥιζωμένοι καὶ ἐποικοδομȣ́μενοι ἐν αὐτῷ, καὶ βεβαιȣ́μενοι ἐν τῇ πίςει, καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν αὐτῇ ἐν εὐχαριςίᾳ.

8 Βλέπετε μή τις ὑμᾶς ἔςαι ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ ςοιχεῖα τȣ̃ κόσμȣ, καὶ ȣ̓ κατὰ Χριςόν.

9 Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς·

10 Καὶ ἐςὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐςιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξȣσίας·

κάθε πλȣ̃τον τῆς πληροφορίας τῆς συνέσεως, εἰς ἐπίγνωσιν τοῦ μυςηρίȣ τοῦ Θεȣ̃ πατρὸς καὶ τοῦ Χριςȣ̃·

3 Εἰς τὸν ὁποῖον εἶναι κρυμμένοι ὅλοι οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως.

4 Καὶ τȣ̃το λέγω διὰ νὰ μὴν σᾶς ἀπατᾷ τινὰς μὲ συλλογισμȣ̀ς, καὶ καταπιςικȣ̀ς λόγȣς.

5 Διατὶ ἀγκαλὰ καὶ μὲ τὸ κορμὶ λείπω, ἀλλὰ μὲ τὸ πνεῦμα εἶμαι μετ᾽ ἐσᾶς, χαίροντας καὶ βλέποντας τὴν τάξιν σας, καὶ τὸ βέβαιον τῆς πίςεώς σας εἰς τὸν Χριςόν.

6 Καθὼς λοιπὸν ἐπαραλάβετε τὸν Κύριον Ἰησȣ̃ν Χριςὸν, (τέτοιας λογῆς,) εἰς αὐτὸν περιπατεῖτε·

7 Ῥιζωνόμενοι καὶ κτιζόμενοι ἀπάνω εἰς αὐτὸν, καὶ βεβαιωνόμενοι εἰς τὴν πίςιν, καθὼς ἐδιδάχθητε, περισσεύοντες εἰς αὐτὴν μὲ εὐχαριςίαν.

8 Ἔχετε τὸν νȣ̃ν σας μήπως καὶ εἶναι κανένας ὁπȣ̃ νὰ σᾶς σκυλεύῃ διαμέσȣ τῆς φιλοσοφίας καὶ εὔκαιρης ἀπάτης κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ ςοιχεῖα τοῦ κόσμȣ, καὶ ὄχι κατὰ Χριςόν.

9 Ὅτι εἰς αὐτὸν κατοικεῖ ὅλον τὸ πλήρωμα τῆς θεότητος σωματικῶς·

10 Καὶ εἶσθε γεμάτοι εἰς αὐτὸν, ὁ ὁποῖος εἶναι κεφαλὴ κάθε ἀρχῆς καὶ ἐξȣσίας·

11 Ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ·

12 Συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν νεκρῶν.

13 Καὶ ὑμᾶς νεκροὺς ὄντας ἐν τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν, συνεζωοποίησε σὺν αὐτῷ, χαρισάμενος ὑμῖν πάντα τὰ παραπτώματα,

14 Ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ·

15 Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παῤῥησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ.

16 Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς ἢ νουμηνίας, ἢ σαββάτων·

17 Ἅ ἐστι σκιὰ τῶν μελλόντων, τὸ δὲ σῶμα τοῦ Χριστοῦ·

18 Μηδεὶς ὑμᾶς καταβρα-

11 Εἰς τὸν ὁποῖον καὶ περιετμήθητε μὲ περιτομὴν ἀχειροποίητον, μὲ τὸ νὰ ξεγυμνωθῆτε τὸ σῶμα τῶν ἁμαρτημάτων τῆς σάρκας, εἰς τὴν περιτομὴν τοῦ Χριστοῦ·

12 Ἔστωντας νὰ συνθαπτῆτε μετ' αὐτὸν εἰς τὸ βάπτισμα, εἰς τὸ ὁποῖον καὶ ἀναστηθήκετε ὁμοῦ μετ' αὐτὸν, διαμέσου τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ, ὁποῦ τὸν ἀνάστησεν ἐκ νεκρῶν.

13 Καὶ ὄντες ἐσεῖς νεκροὶ εἰς ταῖς ἁμαρτίαις καὶ εἰς τὴν ἀκροβυστίαν τῆς σάρκας σας, σᾶς συνεζωοποίησεν ὁμοῦ μετ' αὐτὸν χαρίζωντάς σας ὅλα τὰ σφάλματα,

14 Λειώνωντας τὸ καθ' ἡμῶν χειρόγραφον (ὁποῦ ἦτον) εἰς τὰ δόγματα, τὸ ὁποῖον μᾶς ἦτον ἐναντίον, καὶ αὐτὸ τὸ ἐσήκωσεν ἀπὸ τὸ μέσον, καρφώνωντάς το εἰς τὸν σταυρόν·

15 Ξεγυμνώνωντας ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις, ταῖς ἐπόμπευσε φανερὰ, θριαμβεύωντάς ταις εἰς τὸν σταυρόν.

16 Κανένας λοιπὸν ἂς μὴν σᾶς κρίνει εἰς τὸ φαγητὸν, ἢ εἰς τὸ πιοτὸν, ἢ εἰς μέρος ἑορτῆς, ἢ ἀρχῆς τοῦ μηνὸς, ἢ τῶν σαββάτων·

17 Τὰ ὁποῖα εἶναι σκιὰ τῶν μελλόντων, ἀμὴ τὸ σῶμα εἶναι τοῦ Χριστοῦ.

18 Κανένας ἂς μὴν σας αὐ-

βευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῆ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ,

θευτεύει θέλωντας μὲ τὴν ταπεινοφροσύνην, καὶ λατρείαν τῶν ἀγγέλων, ἐμβαίνωντας εἰς ἐκεῖνα ὁποῦ δὲν εἶδε, ματαίως ἀλαζονευόμενος ἀπὸ τὸν νοῦν τῆς σάρκας του,

19 Καὶ οὐ κρατῶν τὴν κεφαλὴν, ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἁφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ.

19 Καὶ μὴ κρατῶντας τὴν κεφαλὴν (τὸν Χριστὸν) ἀπὸ τὸν ὁποῖον ὅλον τὸ σῶμα διαμέσου τῶν ἁφῶν καὶ συνδέσμων πέρνωντας τὴν τροφὴν καὶ σμιγόμενον, αὐξάνει τὴν αὔξησιν τοῦ Θεοῦ.

20 Εἰ οὖν ἀπεθάνετε σὺν τῷ Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε;

20 Ἐὰν λοιπὸν ἀπεθάνετε ὁμοῦ μὲ τὸν Χριστὸν ἀπὸ τὰ στοιχεῖα τοῦ κόσμου, διατί ὡσὰν ζωντανοὶ εἰς τὸν κόσμον νομοθετεῖσθε;

21 Μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς·

21 Νὰ μὴν πιάσῃς, μηδὲ νὰ γευθῇς, μηδὲ ἀγγίζῃς·

22 Ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων·

22 Τὰ ὁποῖα χρειαζόμενα φθείρονται κατὰ ταῖς παραγγελίαις καὶ διδασκαλίαις τῶν ἀνθρώπων·

23 Ἅ τινά ἐστι λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός.

23 Τὰ ὁποῖα εὑρίσκονται νὰ ἔχουσι λόγον σοφίας, διὰ ἐθελοθρησκείαν καὶ ταπεινοφροσύνην καὶ ἀψυχοπόνημα τοῦ κορμίου, μὲ τὸ νὰ μὴν ἔχουσι τὴν χόρτασιν τῆς σάρκας εἰς καμίαν τιμήν.

Κεφ. γ΄. 3.

ΕΙ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος.

ἈΝίσως λοιπὸν ἀνεστηθήκετε ὁμοῦ μὲ τὸν Χριστὸν, ζητᾶτε τὰ ἀπάνω, ἐκεῖ ὁποῦ ὁ Χριστὸς κάθεται εἰς τὴν δεξιὰν τοῦ Θεοῦ.

2 Τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς.

3 Ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ.

4 Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.

5 Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία·

6 Δι᾽ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.

7 Ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς.

8 Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργὴν, θυμὸν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν, ἐκ τοῦ στόματος ὑμῶν.

9 Μὴ ψεύδεσθε εἰς ἀλλήλους· ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ·

10 Καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτόν.

11 Ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκρο-

2 Φροντίζετε τὰ ἀπάνω, καὶ ὄχι ἐκεῖνα ὁποῦ εἶναι ἀπάνω εἰς τὴν γῆν.

3 Διατὶ ἀπεθάνετε, καὶ ἡ ζωή σας εἶναι κρυμμένη μαζὺ μὲ τὸν Χριστὸν εἰς τὸν Θεόν.

4 Καὶ ὅταν ὁ Χριστὸς, ὁποῦ εἶναι ἡ ζωή μας, φανερωθῇ, τότε καὶ ἐσεῖς θέλετε φανερωθῆ ἀντάμα μετ᾽ αὐτὸν εἰς δόξαν.

5 Νεκρώσετε λοιπὸν τὰ μέλη σας ὁποῦ εἶναι ἀπάνω εἰς τὴν γῆν, πορνείαν, ἀκαθαρσίαν, πάθος, κακὴν ἐπιθυμίαν, καὶ τὴν πλεονεξίαν, ἡ ὁποῖα εἶναι εἰδωλολατρεία·

6 Διὰ τὰ ὁποῖα ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ εἰς τοὺς υἱοὺς τῆς ἀπειθείας.

7 Εἰς τὰ ὁποῖα ἐπεριπατήσετε καὶ ἐσεῖς ἕνα καιρὸν, ὅταν ἐζήσετε εἰς αὐτά.

8 Ἀμὴ τώρα ἀποδιώξετέ τα καὶ ἐσεῖς ὅλα, ὀργὴν, θυμὸν, κακίαν, βλασφημίαν, τὴν ἀσχημολογίαν ἀπὸ τὸ στόμα σας.

9 Μὴν ψεύδεσθε ἕνας εἰς τὸν ἄλλον· ἔχωντας νὰ ἐκδυθῆκετε τὸν παλαιὸν ἄνθρωπον μὲ ταῖς πράξαις του·

10 Καὶ ἐνδυθῆκετε τὸν νέον, ὁποῦ ξανακαινουργοῦνται εἰς γνῶσιν, κατὰ τὴν εἰκόνα ἐκείνου ὁποῦ τὸν ἔκτισε.

11 Ἐκεῖ ὁποῦ δὲν εἶναι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ

βυςία· βάρβαρος, Σκύθης· δοῦλος, ἐλεύθερος· ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριςός.

12 Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμῶν, χρηςότητα, ταπεινοφροσύνην, πρᾳότητα, μακροθυμίαν·

13 Ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριςὸς ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς.

14 Ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην· ἥτις ἐςὶ σύνδεσμος τῆς τελειότητος·

15 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι, καὶ εὐχάριςοι γίνεσθε.

16 Ὁ λόγος τοῦ Χριςοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σοφίᾳ· διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς, ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ἐν χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

17 Καὶ πᾶν ὅ, τι ἂν ποιῆτε, ἐν λόγῳ, ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι Κυρίου Ἰησοῦ, εὐχαρι-

ἀκροβυςία· Βάρβαρος καὶ Σκύθης· δοῦλος καὶ ἐλεύθερος· ἀλλὰ ὁ Χριςὸς εἶναι ὅλα εἰς ὅλους.

12 Ἐνδυθῆτε λοιπὸν, ὡσὰν ἐκλεκτοὶ τοῦ Θεοῦ, ἅγιοι καὶ ἀγαπημένοι, σπηγάγχνα ἐλεημοσύνης, καλωσύνην, ταπεινοφροσύνην, πρᾳότητα, μακροθυμίαν·

13 Ὑπομένοντες ἕνας τὸν ἄλλον, καὶ κάμνοντες χάριν ἕνας εἰς τὸν ἄλλον, ἂν ἔχει κανένας εἰς κανένα τίποτες μέμψιν· καθὼς ὁ Χριςὸς σᾶς ἔκαμε χάριν ὁμοίως καὶ ἐσεῖς.

14 Καὶ ἀπάνω εἰς ὅλα τοῦτα ἐνδυθῆτε τὴν ἀγάπην· ἡ ὁποῖα εἶναι σύνδεσμος τῆς τελειότητος·

15 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἂς αὐθεντεύει εἰς ταῖς καρδίαις σας, εἰς τὴν ὁποῖαν εἰρήνην καὶ ἐκαλεσθήκετε εἰς ἕνα κορμὶ, καὶ ἂς εἶσθεν εὐχάριςοι.

16 Ὁ λόγος τοῦ Χριςοῦ ἂς κατοικεῖ εἰς ἐσᾶς πλουσίως, εἰς κάθε σοφίαν, διδάσκοντες καὶ νουθετοῦντες ἕνας τὸν ἄλλον μὲ ψαλμοὺς καὶ ὕμνους καὶ ψαλμῳδίαις πνευματικαῖς, μὲ χάριν, ψάλλοντες μέσα εἰς τὴν καρδίαν σας εἰς τὸν Κύριον.

17 Καὶ κάθε πρᾶγμα ὅ, τι καὶ ἂν κάμνετε μὲ λόγον ἢ μὲ ἔργον, ὅλα εἰς τὸ ὄνομα τοῦ Κυ-

στοῦντες τῷ Θεῷ καὶ πατρὶ δι' αὐτοῦ.

18 Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ.

19 Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς.

20 Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον τῷ Κυρίῳ·

21 Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν.

22 Οἱ δοῦλοι, ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλείαις ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν·

23 Καὶ πᾶν ὅ, τι ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις·

24 Εἰδότες ὅτι ἀπὸ Κυρίου ἀπολήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας· τῷ γὰρ Κυρίῳ Χριστῷ δουλεύετε

25 Ὁ δὲ ἀδικῶν κομιεῖται ὃ ἠδίκησε· καὶ οὐκ ἔστι προσωποληψία.

ρίου Ἰησοῦ (τὰ κάμνετε) εὐχαριστοῦντες τὸν Θεὸν καὶ πατέρα διαμέσου αὐτουνοῦ.

18 Αἱ γυναῖκαις, ὑποτάσσεσθεν εἰς τοὺς ἰδίους σας ἄνδρας, καθὼς πρέπει εἰς τὸν Κύριον.

19 Οἱ ἄνδρες, ἀγαπᾶτε ταῖς γυναῖκαις, καὶ μὴν εἶσθε πικροὶ εἰς αὐταῖς.

20 Τὰ παιδία, ὑπακούετε τοὺς γονεῖς σας εἰς ὅλα· διατὶ τοῦτο εἶναι εὐάρεστον εἰς τὸν Κύριον·

21 Οἱ πατέρες, μὴν παροργίζετε τὰ παιδία σας, διὰ νὰ μὴν ἀποφασίζωνται καὶ χάνουσι τὴν προθυμίαν τους.

22 Οἱ δουλευτάδες, ὑπακούετε εἰς ὅλα τοὺς σαρκικούς σας αὐθεντάδες, ὄχι δουλεύοντες ὡσὰν ἀνθρωπάρεσκοι εἰς ταῖς δουλείαις ὅπου σᾶς βλέπει, ἀλλὰ μὲ ἁπλότητα καρδίας, φοβούμενοι τὸν Θεόν·

23 Καὶ κάθε πρᾶγμα ὅ, τι καὶ ἂν κάμνετε, κάμνετέ το ἐκ ψυχῆς, ὡσὰν νὰ τὸ κάμνετε εἰς τὸν Κύριον, καὶ ὄχι εἰς τοὺς ἀνθρώπους·

24 Ἠξεύροντες ὅτι θέλετε πάρει ἀπὸ τὸν Κύριον τὴν ἀνταπόδοσιν τῆς κληρονομίας· διατὶ δουλεύετε εἰς τὸν Κύριον Χριστόν.

25 Ἀμὴ ἐκεῖνος ὅπου ἀδικᾷ, θέλει πάρει τὴν ἀδικίαν ὅπου ἀδίκησε· καὶ δὲν εἶναι προσωποληψία.

Κεφ. δ'. 4.

Οἱ κύριοι τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε Κύριον ἐν οὐρανοῖς.

2 Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ·

3 Προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ Θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ, δι' ὃ καὶ δέδεμαι·

4 Ἵνα φανερώσω αὐτὸ, ὡς δεῖ με λαλῆσαι.

5 Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι.

6 Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

7 Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς, καὶ πιστὸς διάκονος, καὶ σύνδουλος ἐν Κυρίῳ·

8 Ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῷ τὰ περὶ ὑμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν·

9 Σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ

Οἱ αὐθεντάδες, κάμνετε ἐκεῖνο ὁποῦ εἶναι τὸ δίκαιον, καὶ τὴν ἰσότητα εἰς τοὺς δούλους, ἐξεύροντες ὅτι καὶ ἐσεῖς ἔχετε αὐθέντην εἰς τοὺς οὐρανούς.

2 Νὰ καρτερεῖτε εἰς τὴν προσευχὴν, καὶ ἀγρυπνᾶτε εἰς αὐτὴν μὲ εὐχαριστίαν·

3 Προσεύχεσθε ὁμοῦ καὶ διὰ λόγου μας, διὰ νὰ μᾶς ἀνοίξῃ ὁ Θεὸς θύραν τοῦ λόγου, νὰ λαλήσωμεν τὸ μυστήριον τοῦ Χριστοῦ, διὰ τὸ ὁποῖον καὶ εἶμαι δεμένος·

4 Διὰ νὰ τὸ φανερώσω, καθὼς κάμνει χρεία νὰ τὸ λαλήσω.

5 Εἰς τοὺς ἔξω περιπατεῖτε φρόνημα, ἐξαγοράζοντες τὸν καιρόν.

6 Ὁ λόγος σας ἂς εἶναι πάντοτε χαριτωμένος, ἀρτυμένος μὲ ἅλας, νὰ ἐξεύρετε πῶς πρέπει νὰ ἀποκρίνεσθε εἰς κάθε ἕνα.

7 Τὰ ἰδικά μου ὅλα θέλει σᾶς τὰ φανερώσει Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς, καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν Κυρίῳ·

8 Τὸν ὁποῖον ἔπεμψα εἰς ἐσᾶς δι' αὐτὴν τὴν ἀφορμὴν, διὰ νὰ μάθω τὰ ἰδικά σας, καὶ νὰ παρηγορήσῃ ταῖς καρδίαις σας·

9 Ἀντάμα μὲ τὸν Ὀνήσι-

ἀγαπητῷ ἀδελφῷ, ὅς ἐςιν ἐξ ὑμῶν· πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε.

10 Ἀσπάζεται ὑμᾶς Ἀρίσαρχος ὁ συναιχμάλωτός μου, καὶ Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν·

11 Καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦςος, οἱ ὄντες ἐκ περιτομῆς· οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία.

12 Ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς ὁ ἐξ ὑμῶν δοῦλος Χριςοῦ, πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα ςῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν παντὶ θελήματι τοῦ Θεοῦ.

13 Μαρτυρῶ γὰρ αὐτῷ ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ τῶν ἐν Ἱεραπόλει.

14 Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς, καὶ Δημᾶς.

15 Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς, καὶ Νυμφᾶν καὶ τὴν κατ᾽ οἶκον αὐτοῦ ἐκκλησίαν.

16 Καὶ ὅταν ἀναγνωσθῇ παρ᾽ ὑμῖν ἡ ἐπιστολὴ, ποιή-

μον τὸν πιςὸν καὶ ἀγαπητὸν ἀδελφὸν, ὁ ὁποῖος εἶναι ἀπὸ σας· ἐκεῖνοι θέλουσι σᾶς φανερώσει τὰ ἐδῶ.

10 Χαιρετᾷ σας Ἀρίσαρχος, ὁποῦ εἶναι φυλακωμένος μαζὺ μετ᾽ ἐμένα, καὶ Μάρκος ὁ ἀνεψιὸς τοῦ Βαρνάβα, διὰ τὸν ὁποῖον ἐπαραγγελθήκετε· ἐὰν ἔλθῃ εἰς ἐσᾶς δεχθῆτέ τον·

11 Καὶ ὁ Ἰησοῦς ὁποῦ λέγεται Ἰοῦςος, οἱ ὁποῖοι εἶναι ἀπὸ τὴν περιτομήν· ἐτοῦτοι μοναχοὶ εἶναι βοηθοί μου εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἱ ὁποῖοι ἐγιναν παρηγορία μου.

12 Χαιρετᾷ σας ὁ Ἐπαφρᾶς ὁποῦ εἶναι ἀπὸ σᾶς ὁ δοῦλος τοῦ Χριςοῦ, ὁποῦ ἀγωνίζεται πάντοτε διὰ λόγου σας εἰς ταῖς προσευχαῖς, διὰ νὰ ςαθῆτε τέλειοι καὶ γεμάτοι εἰς κάθε θέλημα τοῦ Θεοῦ.

13 Διατὶ μαρτυρῶ διὰ λόγου του ὅτι ἔχει ἀγάπην θερμὴν διὰ λόγου σας, καὶ διὰ ἐκείνους ὁποῦ εἶναι εἰς τὴν Λαοδικείαν, καὶ διὰ ἐκείνους ὁποῦ εἶναι εἰς τὴν Ἱεράπολιν.

14 Χαιρετᾷ σας ὁ Λουκᾶς, ὁ ἰατρὸς ὁ ἀγαπητὸς, καὶ Δημᾶς.

15 Χαιρετήσετε τοὺς ἀδελφοὺς ὁποῦ εἶναι εἰς τὴν Λαοδικείαν, καὶ Νυμφᾶν, καὶ τὴν ἐκκλησίαν ὁποῦ εἶναι εἰς τὸ σπῆτι του.

16 Καὶ ὅταν ἀναγνωσθῇ εἰς ἐσᾶς ἡ ἐπιςολὴ, κάμετε διὰ νὰ

σατε ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε.

17 Καὶ εἴπατε Ἀρχίππῳ· Βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς.

18 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. Μνημονεύετέ μου τῶν δεσμῶν. Ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν.

† Πρὸς Κολοσσαεῖς ἐγράφη ἀπὸ Ῥώμης διὰ Τυχικοῦ καὶ Ὀνησίμου.

ἀναγνωσθῇ καὶ εἰς τὴν ἐκκλησίαν τῶν Λαοδικέων· καὶ ἐσεῖς νὰ ἀναγνώσετε καὶ ἐκείνην ὁποῦ εἶναι ἀπὸ τὴν Λαοδικείαν.

17 Καὶ εἰπῆτε εἰς τὸν Ἄρχιππον· Βλέπε τὴν ὑπηρεσίαν ὁποῦ ἐπαράλαβες ἐν Κυρίῳ, διὰ νὰ τὴν τελειώνῃς.

18 Ὁ χαιρετισμὸς (ἐγράφη) μὲ τὸ ἐδικόν μου χέρι τοῦ Παύλου. Ἐνθυμᾶσθε τὰ δεσμά μου. Ἡ χάρις ἂς εἶναι μὲ τοῦ λόγου σας. Ἀμήν.

† Ἐγράφη ἀπὸ Ῥώμην εἰς Κολοσσαεῖς διαμέσου Τυχικοῦ καὶ Ὀνησίμου.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ

ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

Κεφ. α΄. 1.

ΠΑΥΛΟΣ καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων, ἐν Θεῷ πατρί, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

2 Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν·

3 Ἀδιαλείπτως μνημονεύ-

ΠΑΥΛΟΣ καὶ Σιλουανὸς καὶ Τιμόθεος εἰς τὴν ἐκκλησίαν τῶν Θεσσαλονικέων, ἐν Θεῷ πατρί, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ, ἂς εἶναι χάρις εἰς ἐσᾶς καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρός μας καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

2 Εὐχαριστοῦμεν τὸν Θεὸν πάντοτε διὰ ὅλους σας, ἔστωντας νὰ σᾶς ἐνθυμούμεσθεν εἰς ταῖς προσευχαῖς μας·

3 Πάντοτε ἀναθυμίζοντες

οντες ὑμῶν τοῦ ἔργου τῆς
πίστεως, καὶ τοῦ κόπου τῆς
ἀγάπης, καὶ τῆς ὑπομονῆς τῆς
ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ ἔμπροσθεν τοῦ Θεοῦ καὶ
πατρὸς ἡμῶν·
4 Εἰδότες, ἀδελφοὶ ἠγαπημένοι,
ὑπὸ Θεοῦ τὴν ἐκλογὴν
ὑμῶν·
5 Ὅτι τὸ εὐαγγέλιον ἡμῶν
οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ
μόνον, ἀλλὰ καὶ ἐν δυνάμει,
καὶ ἐν Πνεύματι ἁγίῳ, καὶ ἐν
πληροφορίᾳ πολλῇ· καθὼς
οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν
δι' ὑμᾶς.
6 Καὶ ὑμεῖς μιμηταὶ ἡμῶν
ἐγενήθητε καὶ τοῦ Κυρίου, δεξάμενοι
τὸν λόγον ἐν θλίψει
πολλῇ, μετὰ χαρᾶς Πνεύματος
ἁγίου.
7 Ὥστε γενέσθαι ὑμᾶς
τύπους πᾶσι τοῖς πιστεύουσιν
ἐν τῇ Μακεδονίᾳ καὶ τῇ
Ἀχαΐᾳ.
8 Ἀφ' ὑμῶν γὰρ ἐξήχηται
ὁ λόγος τοῦ Κυρίου οὐ μόνον
ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ
ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ
πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν,
ἐξελήλυθεν, ὥστε μὴ χρείαν
ἡμᾶς ἔχειν λαλεῖν τι.

9 Αὐτοὶ γὰρ περὶ ἡμῶν
ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον
ἔχομεν πρὸς ὑμᾶς, καὶ πῶς
ἐπεστρέψατε πρὸς τὸν Θεὸν ἀπὸ

τὸ ἔργον τῆς πίστεώς σας, καὶ
τὸν κόπον τῆς ἀγάπης, καὶ
τὴν ὑπομονὴν τῆς ἐλπίδος ὁποῦ
ἔχετε εἰς τὸν Κύριον μας
Ἰησοῦν Χριστὸν ὀμπροστὰ εἰς τὸν
Θεὸν καὶ πατέρα μας·
4 Ἰξεύροντες, ἀδελφοὶ
ἀγαπημένοι, ἀπὸ τὸν Θεὸν τὴν
ἐκλογήν σας·
5 Ὅτι τὸ εὐαγγέλιόν μας
δὲν ἔγινεν εἰς ἐσᾶς μὲ λόγον
μόνον, ἀλλὰ καὶ μὲ δύναμιν,
καὶ μὲ Πνεῦμα ἅγιον, καὶ μὲ
πληροφορίαν πολλήν· καθὼς
ἰξεύρετε τὶ λογῆς ἤμεσθαν εἰς
ἐσᾶς διὰ λόγου σας.
6 Καὶ ἐσεῖς ἐμιμηθήκετε
καὶ ἐμᾶς καὶ τὸν Κύριον,
ἔστωντας τὰ δεχθῆτε τὸν λόγον
μὲ πολλὴν θλίψιν, μετὰ χαρᾶς
τοῦ ἁγίου Πνεύματος.
7 Εἰς τόσον ὁποῦ ἐγινήκετε
ἐσεῖς παράδειγμα εἰς ὅλους τοὺς
πιστεύοντας εἰς τὴν Μακεδονίαν
καὶ εἰς τὴν Ἀχαΐαν.
8 Διατὶ ἀπὸ λόγου σας
ἐδιεβοήθη ὁ λόγος τοῦ Κυρίου,
ὄχι μόνον εἰς τὴν Μακεδονίαν
καὶ Ἀχαΐαν, ἀλλὰ καὶ εἰς
κάθε τόπον ἡ πίστις ἡ ἐδική
σας ὁποῦ ἔχετε εἰς τὸν Θεὸν,
ἔφθασεν, εἰς τόσον ὁποῦ δὲν
ἔχομεν χρείαν ἐμεῖς νὰ λέγωμεν
τίποτες.
9 Διατὶ αὐτοὶ λέγουσι διὰ
λόγου μας, τὶ λογῆς εἴσοδον
ἔχομεν εἰς ἐσᾶς, καὶ πῶς ἐγυρίσετε
εἰς τὸν Θεὸν ἀπὸ τὰ

τῶν εἰδώλων, δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ·

εἴδωλα, νὰ δουλεύετε Θεὸν ζωντανὸν καὶ ἀληθινον·

10 Καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ νεκρῶν, Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης.

10 Καὶ νὰ ἀναμένετε τὸν υἱόν του ἀπὸ τοὺς οὐρανοὺς, τὸν ὁποῖον ἀνάστησεν ἐκ νεκρῶν, τὸν Ἰησοῦν, ὁ ὁποῖος μᾶς ἐλευθερώνει ἀπὸ τὴν ὀργὴν ὁποῦ ἔρχεται.

Κεφ. β'. 2.

ΑΥ'τοὶ γὰρ οἴδατε, ἀδελφοὶ, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονεν·

ΔΙατὶ αὐτοὶ ἐσεῖς ἠξεύρετε, ἀδελφοὶ, τὴν εἴσοδον τὴν ἰδικήν μας εἰς ἐσᾶς, ὅτι δὲν ἔγινεν εὔκαιρη·

2 Ἀλλὰ καὶ προπαθόντες καὶ ὑβρισθέντες, καθὼς οἴδατε, ἐν Φιλίπποις, ἐπαῤῥησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι.

2 Ἀλλὰ ἐὰν καὶ ἐπάθαμεν προτίτερα, καὶ ὑβρισθήκαμεν, καθὼς ἠξεύρετε, εἰς τοὺς Φιλίππους, (ὅμως,) ἐπαῤῥησιασθήκαμεν εἰς τὸν Θεὸν μας, νὰ λαλήσωμεν εἰς ἐσᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ μὲ πολὺν ἀγῶνα.

3 Ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης, οὐδὲ ἐξ ἀκαθαρσίας, οὔτε ἐν δόλῳ·

3 Διατὶ ἡ παράκλησίς μας δὲν ἔγινεν ἀπὸ πλάνην, οὐδὲ ἀπὸ ἀκαθαρσίαν, οὐδὲ μὲ δόλον·

4 Ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον, οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν.

4 Ἀλλὰ καθὼς ἐδοκιμασθήκαμεν ἀπὸ τὸν Θεὸν νὰ πιστευθοῦμεν τὸ εὐαγγέλιον, τέτοιας λογῆς λαλοῦμεν, ὄχι ὡσὰν νὰ ἀρέσωμεν τῶν ἀνθρώπων, ἀλλὰ τοῦ Θεοῦ ὁποῦ δοκιμάζει ταῖς καρδίαις μας

5 Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, καθὼς οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας· Θεὸς μάρτυς.

5 Διατὶ οὐδέποτε ἐχρειασθήκαμεν λόγους κολακευτικοὺς, καθὼς τὸ ἠξεύρετε, οὔτε ποτὲ ἐπροφασισθήκαμεν τίποτες διὰ πλεονεξίαν· μάρτυς ἡμῶν εἶναι ὁ Θεός.

6 Οὔτε ζητοῦντες ἐξ ἀν-

6 Οὐδὲ ἐζητήσαμεν ἀπὸ τοὺς

θρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν,
οὔτε ἀπ' ἄλλων· δυνάμενοι
ἐν βάρει εἶναι, ὡς Χριστοῦ
ἀπόστολοι·

7 Ἀλλ' ἐγενήθημεν ἤπιοι
ἐν μέσῳ ὑμῶν, ὡς ἂν τροφὸς
θάλπῃ τὰ ἑαυτῆς τέκνα.
8 Οὕτως, ἱμειρόμενοι ὑμῶν,
εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ
μόνον τὸ εὐαγγέλιον τοῦ Θεοῦ,
ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς,
διότι ἀγαπητοὶ ἡμῖν γεγέ-
νησθε.
9 Μνημονεύετε γὰρ, ἀδελ-
φοὶ, τὸν κόπον ἡμῶν καὶ τὸν
μόχθον· νυκτὸς γὰρ καὶ
ἡμέρας ἐργαζόμενοι, πρὸς τὸ
μὴ ἐπιβαρῆσαί τινα ὑμῶν,
ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγ-
γέλιον τοῦ Θεοῦ.
10 Ὑμεῖς μάρτυρες καὶ ὁ
Θεὸς, ὡς ὁσίως καὶ δικαίως
καὶ ἀμέμπτως ὑμῖν τοῖς
πιστεύουσιν ἐγενήθημεν·
11 Καθάπερ οἴδατε ὡς ἕνα
ἕκαστον ὑμῶν, ὡς πατὴρ τέκνα
ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς
καὶ παραμυθούμενοι,

12 Καὶ μαρτυρούμενοι, εἰς
τὸ περιπατῆσαι ὑμᾶς ἀξίως
τοῦ Θεοῦ τοῦ καλοῦντος ὑμᾶς
εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ
δόξαν.
13 Διὰ τοῦτο καὶ ἡμεῖς
εὐχαριστοῦμεν τῷ Θεῷ ἀδια-
λείπτως, ὅτι παραλαβόντες

ἀνθρώπους δόξαν, οὐδὲ ἀπὸ
λόγου σας, οὐδὲ ἀπὸ ἄλλους·
ἠμποροῦντες νὰ χρειασθοῦμεν
μεγαλεῖον, ὡσὰν ἀπόστολοι τοῦ
Χριστοῦ·
7 Ἀλλὰ ἐγενήκαμεν ἥμεροι
εἰς τὴν μέσην σας, ὡσὰν ἡ τρο-
φὸς ἐπιμελεῖται τὰ παιδία της.
8 Ἔτζι καὶ ἐμεῖς ἐπιθυμοῦν-
τές σας, ἀγαπούσαμεν νὰ σᾶς
μεταδώσωμεν, ὄχι μόνον τὸ
εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ
καὶ ταῖς ψυχαῖς μας, διατὶ
ἦσθαν ἀγαπημένοι μας.
9 Διατὶ ἐνθυμᾶσθε, ἀδελ-
φοὶ, τὸν κόπον μας καὶ τὸν
μόχθον μας· διατὶ νύκτα καὶ
ἡμέραν ἐργαζόμεσθεν, διὰ νὰ
μὴν παραβαρέσωμεν κανένα
ἀπὸ σᾶς, κηρύττοντες εἰς ἐσᾶς
τὸ εὐαγγέλιον τοῦ Θεοῦ.
10 Ἐσεῖς εἶσθε μάρτυρες καὶ
ὁ Θεὸς, πῶς ὁσίως καὶ δικαίως
καὶ χωρὶς μέμψιν ἤμασθαν
εἰς ἐσᾶς ὁποῦ ἐπιστεύσετε·
11 Καθὼς ἰξεύρετε, ὅτι
καθέναν ἀπ' ἐσᾶς, ὡσὰν πατέ-
ρας τὰ παιδία του, σᾶς ἐπα-
ρακαλούσαμεν, καὶ σᾶς ἐπαρη-
γορούσαμεν,
12 Καὶ σᾶς ὁρκίσαμεν εἰς
τὸ νὰ περιπατήσετε καθὼς
πρέπει τοῦ Θεοῦ, ὁποῦ σᾶς
καλεῖ εἰς τὴν ἐδικήν του βασι-
λείαν καὶ δόξαν.
13 Διὰ τοῦτο καὶ ἐμεῖς
εὐχαριστοῦμεν τὸν Θεὸν πάν-
τοτε, ὅτι ἔσωντας νὰ παρα-

λόγον ἀκοῆς παρ' ἡμῶν τοῦ Θεοῦ, ἐδέξασθε οὐ λόγον ἀνθρώπων, ἀλλὰ (καθώς ἐστιν ἀληθῶς) λόγον Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν.

14 Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε, ἀδελφοί, τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ἐν Χριστῷ Ἰησοῦ, ὅτι ταῦτα ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων·

15 Τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων·

16 Κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσιν, εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε· ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.

17 Ἡμεῖς δὲ, ἀδελφοί, ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ.

18 Διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς (ἐγὼ μὲν Παῦλος) καὶ ἅπαξ καὶ δὶς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς.

λάβετε τὸν λόγον τοῦ Θεοῦ ὅπου ἀκούσετε ἀπὸ λόγου μας, τὸν ἐδεχθήκετε, ὄχι λόγον ἀνθρώπων, ἀλλὰ (καθὼς καὶ εἶναι ἀληθινὰ) λόγον Θεοῦ, ὁ ὁποῖος καὶ ἐνεργεῖ εἰς ἐσᾶς ὅπου πιστεύετε.

14 Διατὶ ἐσεῖς, ἀδελφοὶ, ἐμιμηθήκετε ταῖς ἐκκλησίαις τοῦ Θεοῦ, ὅπου εἶναι εἰς τὴν Ἰουδαίαν εἰς τὸν Χριστὸν Ἰησοῦν, ὅτι ἐπάθετε καὶ ἐσεῖς τὰ αὐτὰ ἀπὸ τοὺς ἰδίους ὁμοφύλους, τὰ ὁποῖα ἐπάθασιν καὶ ἐκεῖνοι ἀπὸ τοὺς Ἰουδαίους·

15 Οἱ ὁποῖοι ἐφόνευσαν καὶ τὸν Κύριον Ἰησοῦν καὶ τοὺς ἰδίους προφήτας, καὶ ἐμᾶς ἐδίωξαν, καὶ τοῦ Θεοῦ δὲν ἀρέσκουσιν, καὶ εἶναι ἐναντίοι ὅλονῶν τῶν ἀνθρώπων·

16 Ἐμποδίζοντές μας νὰ μὴν λαλήσωμεν εἰς τὰ ἔθνη νὰ σωθοῦσιν, διὰ νὰ τελειώνουν πάντοτε ταῖς ἁμαρτίαις τους· καὶ ἔφθασεν εἰς αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.

17 Ἀμὴ ἐμεῖς, ἀδελφοὶ, ἔσωντας νὰ ἀπορφανισθοῦμεν ἀπὸ σᾶς εἰς καιρὸν ὥρας, μὲ τὸ πρόσωπον, ὄχι μὲ τὴν καρδίαν, περισσότερον ἐσπουδάσαμεν νὰ εἰδοῦμεν τὸ πρόσωπόν σας μὲ πολλὴν ἐπιθυμίαν.

18 Διὰ τοῦτο ἐθελήσαμεν νὰ ἔλθουμεν εἰς ἐσᾶς, (ἐγὼ ὁ Παῦλος) καὶ μίαν φορὰν, καὶ δύο, ἀμὴ ὁ Σατανᾶς μᾶς ἐμπόδισεν.

19 Τίς γὰρ ἡμῶν ἐλπὶς, ἢ χαρὰ, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ αὐτοῦ παρουσίᾳ;

20 Ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά.

19 Διατὶ ποῖα εἶναι ἡ ἐλπίδα μας, ἢ χαρά μας, ἢ ὁ στέφανος τῆς καυχήσεως; ἢ δὲν εἶσθε τοῦτο ἐσεῖς, ὀμπροστὰ εἰς τὸν Κύριόν μας Ἰησοῦν Χριστὸν εἰς τὴν παρουσίαν του;

20 Διατὶ ἐσεῖς εἶσθε ἡ δόξα ἡ ἐδική μας καὶ ἡ χαρά.

Κεφ. γʹ. 3.

ΔΙΟ᾽ μηκέτι στέγοντες, εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι,

2 Καὶ ἐπέμψαμεν Τιμόθεον τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον τοῦ Θεοῦ καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑμᾶς περὶ τῆς πίστεως ὑμῶν·

3 Τῷ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις· αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα.

4 Καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν ὅτι μέλλομεν θλίβεσθαι, καθὼς καὶ ἐγένετο, καὶ οἴδατε.

5 Διὰ τοῦτο κἀγὼ μηκέτι στέγων, ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν· μήπως ἐπείρασεν ὑμᾶς ὁ πειράζων, καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν.

6 Ἄρτι δὲ ἐλθόντος Τιμοθέου

ΔΙΑ᾽ τοῦτο μὴ δυνάμενοι πλέον νὰ ὑπομένωμεν, ἠθελήσαμεν νὰ ἀπομείνωμεν μοναχοὶ εἰς ταῖς Ἀθήναις,

2 Καὶ ἐπέμψαμεν τὸν Τιμόθεον τὸν ἀδελφόν μας, καὶ διάκονον τοῦ Θεοῦ, καὶ συνεργόν μας εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, εἰς τὸ νὰ σᾶς στηρίξῃ καὶ νὰ σᾶς νουθετήσῃ διὰ τὴν πίστιν σας·

3 Νὰ μὴν ταράττεται κανένας διὰ ταύταις ταῖς θλίψαις· διατὶ καὶ αὐτοὶ ἐσεῖς ἠξεύρετε, ὅτι ἐμεῖς εἴμεσθε διατεταγμένοι εἰς ταῖς θλίψαις.

4 Διατὶ καὶ ὅταν ἤμασθαι αὐτοῦ εἰς ἐσᾶς, τὸ ἐπρολέγαμεν, ὅτι μέλλομεν νὰ θλιβώμεσθε, καθὼς καὶ ἔγινε, καὶ τὸ ἠξεύρετε.

5 Διὰ τοῦτο καὶ ἐγὼ μὴ ἠμπορῶντας πλέον νὰ βαστῶ τοῦ λόγου μου, ἔπεμψα νὰ γνωρίσω τὴν πίστιν σας· μήπως καὶ σᾶς ἐπείραξεν ἐκεῖνος ὁποῦ πειράζει, καὶ ὁ κόπος μας γενῇ εὔκαιρος.

6 Καὶ πρὸ ὀλίγου ἔστωντας νὰ

πρὸς ἡμᾶς ἀφ᾽ ὑμῶν, καὶ εὐ-
αγγελισαμένου ἡμῖν τὴν πίστιν
καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι
ἔχετε μνείαν ἡμῶν ἀγαθὴν
πάντοτε, ἐπιποθοῦντες ἡμᾶς
ἰδεῖν, καθάπερ καὶ ἡμεῖς
ὑμᾶς·

7 Διὰ τοῦτο παρεκλή-
θημεν, ἀδελφοί, ἐφ᾽ ὑμῖν,
ἐπὶ πάσῃ τῇ θλίψει καὶ
ἀνάγκῃ ἡμῶν, διὰ τῆς ὑμῶν
πίστεως·
8 Ὅτι νῦν ζῶμεν ἐὰν ὑμεῖς
στήκητε ἐν Κυρίῳ.
9 Τίνα γὰρ εὐχαριστίαν
δυνάμεθα τῷ Θεῷ ἀνταπο-
δοῦναι περὶ ὑμῶν, ἐπὶ πάσῃ
τῇ χαρᾷ ᾗ χαίρομεν δι᾽
ὑμᾶς ἔμπροσθεν τοῦ Θεοῦ
ἡμῶν,
10 Νυκτὸς καὶ ἡμέρας
ὑπὲρ ἐκπερισσοῦ δεόμενοι εἰς
τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον,
καὶ καταρτίσαι τὰ ὑστερή-
ματα τῆς πίστεως ὑμῶν;
11 Αὐτὸς δὲ ὁ Θεὸς καὶ πα-
τὴρ ἡμῶν, καὶ ὁ Κύριος ἡμῶν
Ἰησοῦς Χριστὸς κατευθύναι τὴν
ὁδὸν ἡμῶν πρὸς ὑμᾶς.
12 Ὑμᾶς δὲ ὁ Κύριος
πλεονάσαι καὶ περισσεύσαι
τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ
εἰς πάντας, καθάπερ καὶ
ἡμεῖς εἰς ὑμᾶς·
13 Εἰς τὸ στηρίξαι ὑμῶν
τὰς καρδίας ἀμέμπτους ἐν

ἔλθῃ ἀπ᾽ ἐσᾶς εἰς ἐμᾶς ὁ Τιμό-
θεος, καὶ νὰ μᾶς φέρῃ καλὰ
μηνύματα διὰ τὴν πίστιν καὶ
τὴν ἀγάπην σας, καὶ ὅτι
ἔχετε ἐνθύμησιν ἀγαθὴν διὰ
λόγου μου, ἔχοντες πάντοτε
μεγάλον πόθον νὰ μᾶς εἰδῆτε,
ὡσὰν καὶ ἐμεῖς ἀγαποῦμεν νὰ
εἰδοῦμεν ἐσᾶς·
7 Διὰ τοῦτο ἐπαρηγορηθή-
καμεν, ἀδελφοί, εἰς ἐσᾶς,
ἀνάμεσα εἰς ὅλαις μας ταῖς
θλίψαις καὶ ταῖς ἀνάγκαις,
διὰ τὴν πίστιν σας·
8 Ὅτι τώρα ζοῦμεν, ἐὰν
ἐσεῖς στέκεσθε εἰς τὸν Κύριον.
9 Διατί, ποίαν εὐχα-
ριστίαν δυνάμεσθε νὰ ἀνταπο-
δώσωμεν τοῦ Θεοῦ διὰ λόγου
σας, διὰ ὅλην τὴν χαρὰν ὁποῦ
χαιρόμεσθεν διὰ λόγου σας
ὀμπροστὰ εἰς τὸν Θεόν μας,
10 Νύκτα καὶ ἡμέρα παρα-
καλοῦμεν πολλὰ τὸν Θεὸν, νὰ
εἰδοῦμεν τὸ πρόσωπόν σας, καὶ
νὰ τελειώσωμεν τὰ ἐλλειψί-
ματα τῆς πίστεώς σας;
11 Καὶ αὐτὸς ὁ Θεὸς καὶ
πατήρ μας, καὶ ὁ Κύριός μας
Ἰησοῦς Χριστὸς, νὰ μᾶς κα-
τευοδώσῃ εἰς ἐσᾶς.
12 Καὶ ὁ Κύριος νὰ σᾶς
πληθύνῃ καὶ νὰ σᾶς περισσεύῃ
τὴν ἀγάπην ὁποῦ ἔχετε ἀνάμε-
σά σας καὶ εἰς ὅλους, καθὼς
καὶ ἐμεῖς ἔχομεν εἰς ἐσᾶς·
13 Εἰς τὸ νὰ στηρίξῃ αὐτὸς
ταῖς καρδίαις σας ἀκατηγόρη-

ἁγιωσύνῃ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν, ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.

ταις εἰς τὴν ἁγιωσύνην, ὀμπροστὰ εἰς τὸν Θεὸν καὶ πατέρα μας, ὅταν ἔλθῃ ὁ Κύριός μας ὁ Ἰησοῦς Χριστὸς μὲ ὅλους τοὺς ἁγίους του.

Κεφ. δ'. 4.

ΤΟ λοιπὸν οὖν, ἀδελφοὶ, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ, καθὼς παρελάβετε παρ' ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν καὶ ἀρέσκειν Θεῷ, ἵνα περισσεύητε μᾶλλον.

2 Οἴδατε γὰρ τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου Ἰησοῦ.

3 Τοῦτο γάρ ἐστι θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας·

4 Εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ·

5 Μὴ ἐν πάθει ἐπιθυμίας, καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν·

6 Τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ· διότι ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων, καθὼς καὶ προείπαμεν ὑμῖν, καὶ διεμαρτυράμεθα.

7 Οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ.

ΤΟ λοιπὸν, ἀδελφοὶ, ζητοῦμεν ἀπὸ σᾶς, καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ, καθὼς ἐπαραλάβετε ἀπ' ἐμᾶς, τὸ πῶς κάμει χρεία νὰ περιπατῆτε καὶ νὰ ἀρέσκετε τοῦ Θεοῦ, νὰ περισσεύετε περισσότερον εἰς τοῦτο.

2 Διατὶ ἰξεύρετε ποίαις παραγγελίαις σᾶς ἐδώκαμεν διαμέσου τοῦ Κυρίου Ἰησοῦ.

3 Διατὶ τοῦτο εἶναι τὸ θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμός σας, νὰ φυλάγεσθε ἀπὸ τὴν πορνείαν·

4 Νὰ ἰξεύρῃ καθένας ἀπὸ σᾶς, νὰ φυλάττῃ τὸ ἀγγεῖόν του, μὲ ἁγιασμὸν καὶ τιμήν·

5 Ὄχι εἰς τὰ πάθη τῆς ἐπιθυμίας, ὡσὰν καὶ τὰ ἔθνη ὁποῦ δὲν γνωρίζουσι Θεόν·

6 Διὰ νὰ μὴν ὑπερβαίνῃ καὶ πλεονεκτῇ κανένας εἰς τὸ πρᾶγμα τοῦτο τὸν ἀδελφόν του· διατὶ ὁ Κύριος εἶναι ξεκδικητὴς διὰ ὅλα ἐτοῦτα, καθὼς σᾶς ἐπροείπαμεν καὶ σᾶς τὸ ἐμαρτυρήσαμεν.

7 Διατὶ ὁ Θεὸς δὲν μᾶς ἐκάλεσεν εἰς ἀκαθαρσίαν, ἀλλὰ εἰς ἁγιασμόν.

8 Τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν τὸν καὶ δόντα τὸ Πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ἡμᾶς.

9 Περὶ δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχετε γράφειν ὑμῖν· αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾷν ἀλλήλους.

10 Καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ· παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, περισσεύειν μᾶλλον·

11 Καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν, καὶ πράσσειν τὰ ἴδια, καὶ ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν ὑμῶν, καθὼς ὑμῖν παρηγγείλαμεν·

12 Ἵνα περιπατῆτε εὐσχημόνως πρὸς τοὺς ἔξω, καὶ μηδενὸς χρείαν ἔχητε.

13 Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα.

14 Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, ἄξει σὺν αὐτῷ·

15 Τοῦτο γὰρ ὑμῖν λέγομεν

8 Τὸ λοιπὸν ἐκεῖνος ὁποῦ καταφρονεῖ ἐτοῦτα, δὲν καταφρονεῖ ἄνθρωπον, ἀλλὰ τὸν Θεὸν, ὁ ὁποῖος ἔδωκε τὸ Πνεῦμά του τὸ ἅγιον εἰς ἐμᾶς.

9 Καὶ διὰ τὴν φιλαδελφίαν δὲν ἔχετε χρείαν νὰ σᾶς γράφωμεν· διατὶ αὐτοί σας ἐσεῖς εἶσθε θεοδίδακτοι, εἰς τὸ νὰ ἀγαπᾶτε ἕνας τὸν ἄλλον.

10 Διατὶ καὶ τὸ κάμνετε τοῦτο εἰς ὅλους τοὺς ἀδελφοὺς, ὁποῦ εἶναι εἰς ὅλην τὴν Μακεδονίαν· καὶ σᾶς παρακαλοῦμεν, ἀδελφοὶ, νὰ αὐγατίζετε περισσότερον·

11 Καὶ σπουδάζετε νὰ ἡσυχάζετε, καὶ νὰ κάμνετε τὰ ἴδιά σας, καὶ νὰ κοπιάζετε μὲ τὰ ἐδικά σας χέρια, καθὼς σᾶς ἐπαραγγείλαμεν·

12 Διὰ νὰ περιπατῆτε μὲ τοὺς ἔξω τακτικὰ, καὶ καθὼς πρέπει, καὶ νὰ μὴν χρειάζεσθε τίποτες.

13 Καὶ θέλω νὰ γνωρίζετε, ἀδελφοὶ, διὰ ἐκείνους ὁποῦ ἐκοιμήθηκαν, διὰ νὰ μὴν λυπᾶσθε, καθὼς καὶ οἱ λοιποὶ ὁποῦ δὲν ἔχουν ἐλπίδα.

14 Διατὶ ἐὰν πιστεύωμεν ὅτι ὁ Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, τέτοιας λογῆς καὶ ὁ Θεὸς ἐκείνους ὁποῦ ἐκοιμήθηκαν, διαμέσου τοῦ Ἰησοῦ, θέλει τοὺς φέρει ἀντάμα μετ' αὐτόν·

15 Διατὶ ἐτοῦτο σᾶς λέγο-

ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας·

μεν μὲ τὸν λόγον τοῦ Κυρίου, ὅτι ἐμεῖς οἱ ζῶντες, οἱ ἐπίλοιποι ὁποῦ θέλομεν ἀπομείνει εἰς τὴν παρουσίαν τοῦ Κυρίου, δὲν θέλομεν φθάσει ἐκείνους ὁποῦ ἐκοιμήθηκαν·

16 Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον·

16 Διατὶ αὐτὸς ὁ Κύριος μὲ φωνὴν προστακτικὴν, μὲ φωνὴν ἀρχαγγέλου, καὶ μὲ τὴν σάλπιγγα τοῦ Θεοῦ θέλει κατέβη ἀπὸ τὸν οὐρανὸν, καὶ οἱ νεκροὶ ἐν Χριστῷ θέλουσιν ἀνασταθῆ προτίτερα·

17 Ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα· καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

17 Ἀπέκει ἐμεῖς οἱ ζῶντες ὁποῦ θέλομεν ἀπομείνει, εὐθὺς ὁμοῦ μετ' αὐτοὺς θέλομεν ἁρπαχθῆ εἰς τὰ σύννεφα εἰς προϋπάντησιν τοῦ Κυρίου εἰς τὸν αἶρα· καὶ τοιουτωτρόπως πάντοτε θέλομεν εἶσθαι μὲ τὸν Κύριον.

18 Ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις.

18 Τὸ λοιπὸν παρηγορεῖτε ἕνας τὸν ἄλλον μὲ τὰ λόγια ἐτοῦτα.

Κεφ. ε΄. 5.

ΠΕρὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοὶ, οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι·

ΚΑΙ` διὰ τοὺς χρόνους καὶ τοὺς καιροὺς, ἀδελφοὶ, δὲν ἔχετε χρείαν νὰ σᾶς γράφωμεν·

2 Αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε ὅτι ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται.

2 Διατὶ ἐσεῖς ἐξεύρετε ἀκριβὰ, ὅτι ἡ ἡμέρα Κυρίου ἔτζι θέλει ἔλθη, ὡσὰν ὁ κλέπτης ἔρχεται τὴν νύκτα.

3 Ὅταν γὰρ λέγωσιν· Εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ καὶ οὐ μὴ ἐκφύγωσιν.

3 Διατὶ ὅταν λέγωσιν· Εἰρήνη καὶ ἀφοβία, τότε παρευθὺς ἔρχεται ἀπάνω τους ὁ χαλασμὸς, καθὼς τὸ κοιλοπόνημα εἰς τὴν ἐγγαστρωμένην· καὶ δὲν θέλουν ἠμπορέσει νὰ φύγουν.

4 Ὑμεῖς δὲ, ἀδελφοὶ, οὐκ ἐςὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ.

5 Πάντες ὑμεῖς υἱοὶ φωτός ἐςε καὶ υἱοὶ ἡμέρας· οὐκ ἐσμὲν νυκτὸς, ὀυδὲ σκότους.

6 Ἄρα οὖν μὴ καθεύδωμεν ὡς καὶ οἱ λοιποὶ, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν.

7 Οἱ γὰρ καθεύδοντες, νυκτὸς καθεύδουσι· καὶ οἱ μεθυσκόμενοι, νυκτὸς μεθύουσιν.

8 Ἡμεῖς δὲ ἡμέρας ὄντες, νήφωμεν ἐνδυσάμενοι θώρακα πίςεως, καὶ ἀγάπης, καὶ περικεφαλαίαν, ἐλπίδα σωτηρίας.

9 Ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργὴν, ἀλλ' εἰς περιποίησιν σωτηρίας διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ·

10 Τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν, ἵνα εἴτε γρηγορῶμεν, εἴτε καθεύδωμεν, ἅμα σὺν αὐτῷ ζήσωμεν.

11 Διὸ παρακαλεῖτε ἀλλήλους, καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε.

12 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοὶ, εἰδέναι τοὺς κοπιῶν-

4 Ἀμὴ ἐσεῖς, ἀδελφοὶ, δὲν εἶσθε εἰς τὸ σκότος, νὰ σᾶς φθάσῃ ἐκείνη ἡ ἡμέρα ὡσὰν κλέπτης.

5 Ὅλοι ἐσεῖς εἶσθε υἱοὶ φωτὸς καὶ υἱοὶ ἡμέρας· δὲν εἴμεσθε τῆς νύκτας, οὐδὲ τοῦ σκότους.

6 Ἂς μὴν κοιμούμεσθε λοιπὸν, ὡσὰν καὶ οἱ λοιποὶ, ἀλλὰ ἂς ξαγρυπνοῦμεν καὶ ἂς εἴμεσθε μετρημένοι εἰς τὰ φαγητὰ καὶ ποτά.

7 Διατὶ ἐκεῖνοι ὅπου κοιμοῦνται, τὴν νύκτα κοιμοῦνται· καὶ ἐκεῖνοι ὅπου μεθοῦσι, τὴν νύκτα μεθοῦσι.

8 Ἀμὴ ἐμεῖς ὅπου εἴμεσθε (υἱοὶ) τῆς ἡμέρας, ἂς ἐγκρατευώμεσθεν, ἔςωντας νὰ ἐνδυθοῦμεν τὸ σιδηροῦποκάμισον τῆς πίςεως καὶ ἀγάπης, καὶ τὴν περικεφαλαίαν, τὴν ἐλπίδα τῆς σωτηρίας.

9 Ὅτι ὁ Θεὸς δὲν μᾶς ὥρισεν εἰς ὀργὴν, ἀλλ' εἰς ἀπόκτησιν τῆς σωτηρίας, διαμέσου τοῦ Κυρίου μας Ἰησοῦ Χριςοῦ·

10 Ὅπου ἀπέθανεν διὰ λόγου μας, διὰ νὰ ζῶμεν ἀντάμα μετ' αὐτὸν, κἄντε ἀγρυπνοῦμεν, κἄντε κοιμώμεσθε.

11 Διὰ τοῦτο παρακινᾶτε ἕνας τὸν ἄλλον, καὶ οἰκοδομεῖτε, ἕνας τὸν ἄλλον, καθὼς καὶ κάμνετε.

12 Καὶ παρακαλοῦμεν σᾶς, ἀδελφοὶ, νὰ γνωρίζετε ἐκεί-

τας ἐν ὑμῖν, καὶ προϊςαμένους ὑμῶν ἐν Κυρίῳ, καὶ νουθετοῦντας ὑμᾶς·

13 Καὶ ἡγεῖσθαι αὐτοὺς ὑπὲρ ἐκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν· εἰρηνεύετε ἐν ἑαυτοῖς.

14 Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας.

15 Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινὶ ἀποδῷ· ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας.

16 Πάντοτε χαίρετε.

17 Ἀδιαλείπτως προσεύχεσθε.

18 Ἐν παντὶ εὐχαριςεῖτε· τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριςῷ Ἰησοῦ εἰς ὑμᾶς.

19 Τὸ Πνεῦμα μὴ σβέννυτε.

20 Προφητείας μὴ ἐξουθενεῖτε.

21 Πάντα δοκιμάζετε· τὸ καλὸν κατέχετε.

22 Ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.

23 Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς· καὶ ὁλόκληρον ὑμῶν, τὸ πνεῦμα, καὶ ἡ ψυχὴ,

νους ὁποῦ κοπιάζουν ἀνάμεσά σας, καὶ εἶναι προεςοί σας ἐν Κυρίῳ, καὶ σᾶς νουθετοῦσι·

13 Καὶ νὰ τοὺς ἔχετε κατὰ πολλὰ τιμημένους μὲ ἀγάπην, διὰ τὸ ἔργον τους· εἰρηνεύετε ἀνάμεσά σας.

14 Καὶ σᾶς παρακαλοῦμεν, ἀδελφοὶ, νουθετᾶτε τοὺς ἀτάκτους, παρηγορεῖτε τοὺς ὀλιγοψύχους, βοηθᾶτε τοὺς ἀσθενεῖς, μακροθυμεῖτε εἰς ὅλους.

15 Βλέπετε νὰ μὴν ἀποδίδῃ τινὰς εἰς κανένα κακὸν ἀντὶ κακοῦ· ἀλλὰ πάντοτε ἀκολουθᾶτε τὸ ἀγαθὸν καὶ ἀνάμεσά σας καὶ εἰς ὅλους.

16 Πάντοτε χαίρεσθε.

17 Πάντοτε προσεύχεσθε.

18 Εἰς κάθε πρᾶγμα εὐχαριςεῖτε· διατὶ τοῦτο εἶναι τὸ θέλημα τοῦ Θεοῦ ἐν τῷ Χριςῷ Ἰησοῦ εἰς ἐσᾶς.

19 Τὸ Πνεῦμα μὴν τὸ σβέννυτε.

20 Ταῖς προφητείαις μὴν ταῖς καταφρονεῖτε.

21 Ὅλα δοκιμάζετε· καὶ κρατεῖτε τὸ καλόν.

22 Ἀπὸ κάθε λογῆς εἶδος πονηρίας φυλάγεσθε.

23 Καὶ αὐτὸς ὁ Θεὸς τῆς εἰρήνης, νὰ σᾶς ἁγιάσῃ σωςούς· καὶ τὸ πνεῦμά σας σωςὸν, καὶ ἡ ψυχὴ, καὶ τὸ σῶμα,

καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρυσίᾳ τοῦ Κυρίυ ἡμῶν Ἰησῦ Χριςοῦ τηρηθείη.	ἄμποτες νὰ φυλαχθοῦν χωρὶς μέμψιν εἰς τὴν παρυσίαν τοῦ Κυρίυ μας Ἰησοῦ Χριςοῦ.
24 Πιςὸς ὁ καλῶν ὑμᾶς, ὃς καὶ ποιήσει.	24 Ἐκεῖν⊗ ὁποῦ σᾶς καλεῖ εἶναι πιςὸς, ὁ ὁποῖ⊗ καὶ θέλει τὸ κάμει.
25 Ἀδελφοὶ, προσεύχεσθε περὶ ἡμῶν.	25 Ἀδελφοὶ, προσεύχεσθε διὰ λόγυ μας.
26 Ἀσπάσασθε τὺς ἀδελφὺς πάντας ἐν φιλήματι ἁγίῳ.	26 Χαιρετήσετε ὅλυς τὺς ἀδελφὺς μὲ φίλημα ἅγιον.
27 Ὁρκίζω ὑμᾶς τὸν Κύριον, ἀναγνωσθῆναι τὴν ἐπιςολὴν πᾶσι τοῖς ἁγίοις ἀδελφοῖς.	27 Σᾶς ὁρκίζω εἰς τὸν Κύριον, νὰ ἀναγνωσθῇ ἡ ἐπιςολὴ εἰς ὅλυς τὺς ἁγίυς ἀδελφύς.
28 Ἡ χάρις τοῦ Κυρίυ ἡμῶν Ἰησοῦ Χριςοῦ μεθ' ὑμῶν. Ἀμήν.	28 Ἡ χάρις τοῦ Κυρίυ μας Ἰησοῦ Χριςοῦ ἂς εἶναι μὲ λόγυ σας. Ἀμήν.
† Πρὸς Θεσσαλονικεῖς πρώτη ἐγράφη ἀπὸ Ἀθηνῶν.	† Ἡ εἰς Θεσσαλονικεῖς πρώτη ἐγράφη ἀπὸ ταῖς Ἀθήναις.

ΠΑΥ͂ΛΟΥ ΤΟΥ͂ ἈΠΟΣΤΟ΄ΛΟΥ

Ἡ ΠΡΟ`Σ ΘΕΣΣΑΛΟΝΙΚΕΙ͂Σ

ἘΠΙΣΤΟΛΗ΄ ΔΕΥΤΕ΄ΡΑ.

Κεφ. α΄. 1.

ΠΑΥ͂ΛΟΣ καὶ Σιλουανὸς
καὶ Τιμόθεος τῇ ἐκκλη-
σίᾳ Θεσσαλονικέων, ἐν Θεῷ
πατρὶ ἡμῶν καὶ Κυρίῳ Ἰησοῦ
Χριστῷ.
2 Χάρις ὑμῖν καὶ εἰρήνη
ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ
Κυρίου Ἰησοῦ Χριστοῦ.
3 Εὐχαριστεῖν ὀφείλομεν
τῷ Θεῷ πάντοτε περὶ ὑμῶν,
ἀδελφοὶ, καθὼς ἄξιόν ἐστιν,
ὅτι ὑπεραυξάνει ἡ πίστις
ὑμῶν, καὶ πλεονάζει ἡ ἀγάπη
ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς
ἀλλήλους·
4 Ὥστε ἡμᾶς αὐτοὺς ἐν
ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκ-
κλησίαις τοῦ Θεοῦ, ὑπὲρ τῆς
ὑπομονῆς ὑμῶν, καὶ πίστεως
ἐν πᾶσι τοῖς διωγμοῖς ὑμῶν,
καὶ ταῖς θλίψεσιν αἷς
ἀνέχεσθε.
5 Ἔνδειγμα τῆς δικαίας
κρίσεως τοῦ Θεοῦ, εἰς τὸ κα-
ταξιωθῆναι ὑμᾶς τῆς βα-
σιλείας τοῦ Θεοῦ, ὑπὲρ ἧς
καὶ πάσχετε·

ΠΑΥ͂ΛΟΣ καὶ Σιλουανὸς
καὶ Τιμόθεος εἰς τὴν ἐκ-
κλησίαν τῶν Θεσσαλονικέων,
εἰς τὸν Θεὸν τὸν πατέρα μας
καὶ τὸν Κύριον Ἰησοῦν Χριστόν.
2 Ἂς εἶναι χάρις εἰς ἐσᾶς
καὶ εἰρήνη ἀπὸ τὸν Θεὸν τὸν
πατέρα μας καὶ τὸν Κύριον
Ἰησοῦν Χριστόν.
3 Ἀδελφοὶ, χρεωστοῦμεν νὰ
εὐχαριστοῦμεν τοῦ Θεοῦ πάντοτε
διὰ λόγου σας, καθὼς εἶναι
ἄξιον, ὅτι ἡ πίστις σας αὐξάνει
περισσότερον, καὶ περισσεύει ἡ
ἀγάπη τοῦ καθ' ἑνὸς ὅλωνῶν
σας, ἑνὸς εἰς τὸν ἄλλον·
4 Ὥστε ὁποῦ ἡμεῖς οἱ ἴδιοι
νὰ καυχώμεσθεν εἰς ἐσᾶς εἰς
ταῖς ἐκκλησίαις τοῦ Θεοῦ, διὰ
τὴν ὑπομονήν σας καὶ πίστιν
εἰς ὅλους τοὺς διωγμούς σας,
καὶ ταῖς θλίψαις ὁποῦ ὑπο-
μένετε.
5 (Τὸ ὁποῖον εἶναι) δεί-
ξιμον τῆς δικαίας κρίσεως τοῦ
Θεοῦ, εἰς τὸ νὰ καταξιωθῆτε
ἐσεῖς τῆς βασιλείας τοῦ Θεοῦ,
διὰ τὴν ὁποῖαν καὶ πάσχετε·

6 Εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβȣσιν ὑμᾶς θλίψιν·

7 Καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ᾽ ἡμῶν, ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίȣ Ἰησȣ̃ ἀπ᾽ ȣ̉ρανȣ̃ μετ᾽ ἀγγέλων δυνάμεως αὐτȣ̃,

8 Ἐν πυρὶ φλογὸς, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι Θεὸν, καὶ τοῖς μὴ ὑπακȣ́ȣσι τῷ εὐαγγελίῳ τοῦ Κυρίȣ ἡμῶν Ἰησοῦ Χριστοῦ·

9 Οἵτινες δίκην τίσουσιν, ὄλεθρον αἰώνιον, ἀπὸ προσώπȣ τȣ̃ Κυρίȣ, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ·

10 Ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτȣ̃, καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύȣσιν. (ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ᾽ ὑμᾶς,) ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

11 Εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ Θεὸς ἡμῶν, καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης, καὶ ἔργον πίστεως ἐν δυνάμει·

12 Ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τȣ̃ Κυρίȣ ἡμῶν Ἰησȣ̃ Χριστȣ̃ ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ, κατὰ τὴν χάριν τȣ̃

6 Ἐπειδὴ εἶναι δίκαιον σιμὰ εἰς τὸν Θεὸν, νὰ ἀνταποδώσῃ θλίψιν εἰς ἐκείνȣς ὁπȣ̃ σᾶς θλίβȣσι·

7 Καὶ ἐσεῖς ὁπȣ̃ θλίβεσθε (νὰ σᾶς δώσῃ) ἄνεσιν ἀντάμα μετ᾽ ἐμᾶς, εἰς τὴν ἀποκάλυψιν τοῦ Κυρίȣ μας Ἰησȣ̃ ἀπὸ τὸν ȣ̉ρανὸν μὲ τȣ̀ς ἀγγέλȣς τῆς δυνάμεώς τȣ,

8 Μὲ φωτίαν φλογερὴν νὰ κάμῃ ἐκδίκησιν εἰς ἐκείνȣς ὁπȣ̃ δὲν γνωρίζουν Θεὸν, καὶ εἰς ἐκείνȣς ὁπȣ̃ δὲν ὑπακȣ́ȣσι τὸ εὐαγγέλιον τοῦ Κυρίȣ μας Ἰησȣ̃ Χριστȣ̃·

9 Οἱ ὁποῖοι θέλȣσι καταδικασθῇ φθορὰν παντοτεινὴν ἀπὸ τὸ πρόσωπον τοῦ Κυρίȣ, καὶ ἀπὸ τὴν δόξαν τῆς δυνάμεώς τȣ·

10 Ὅταν ἔλθῃ νὰ δοξασθῇ εἰς τȣ̀ς ἁγίȣς τȣ, καὶ νὰ θαυμασθῇ εἰς ὅλȣς ἐκείνους ὁποῦ πιστεύȣσιν, (ὅτι ἐπιστεύθη ἡ μαρτυρία μας εἰς ἐσᾶς,) εἰς τὴν ἡμέραν ἐκείνην.

11 Διὰ τὸ ὁποῖον καὶ προσευχόμεσθεν πάντοτε διὰ λόγȣ σας, διὰ νὰ σᾶς κάμῃ ἀξίȣς τοῦ καλεσμȣ̃ ὁ Θεός μας, καὶ νὰ τελειώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης, καὶ ἔργον πίστεως μὲ δύναμιν·

12 Διὰ νὰ δοξασθῇ τὸ ὄνομα τȣ̃ Κυρίȣ μας Ἰησοῦ Χριστȣ̃ εἰς ἐσᾶς, καὶ ἐσεῖς νὰ δοξασθῆτε εἰς αὐτὸν, κατὰ

Θεοῦ ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

τὴν χάριν τοῦ Θεοῦ μας καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Κεφ. β΄. 2.

Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτόν,

2 Εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοός, μήτε θροεῖσθαι, μήτε διὰ πνεύματος, μήτε διὰ λόγου, μήτε δι' ἐπιστολῆς ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Χριστοῦ.

3 Μήτις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον· ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον, καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας,

4 Ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ ὡς Θεὸν καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶ Θεός.

5 Οὐ μνημονεύετε ὅτι ἔτι ὢν πρὸς ὑμᾶς, ταῦτα ἔλεγον ὑμῖν;

6 Καὶ νῦν τὸ κατέχον οἰ-

Καὶ σᾶς παρακαλοῦμεν, ἀδελφοί, διὰ τὴν παρουσίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, καὶ τὴν ἀκριβοσυνάθροισίν μας εἰς αὐτόν,

2 Νὰ μὴν σαλευθῆτε γλίγωρα ἐσεῖς ἀπὸ τὴν γνώμην σας, μηδὲ νὰ συγχύζεσθε, μηδὲ μὲ πνεῦμα, μηδὲ μὲ λόγον, μηδὲ διαμέσου ἐπιστολῆς τινός, ὡσὰν τάχα γεγραμμένης διαμέσου μας, ὡσὰν ὅτι νὰ ἐσήμωσεν ἡ ἡμέρα τοῦ Χριστοῦ.

3 Κανένας ἂς μὴν σᾶς ἐξαπατήσει εἰς κανένα τρόπον· ὅτι ἐὰν δὲν ἔλθῃ πρῶτον ἡ ἀποστασία, καὶ νὰ φανερωθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας,

4 Ὁ ἐναντίος καὶ ὁποῦ ὑπερυψώνεται εἰς κάθε λεγόμενον Θεὸν ἢ σέβασμα, εἰς τόσον ὁποῦ νὰ καθίσῃ αὐτὸς ὡσὰν Θεὸς εἰς τὸν ναὸν τοῦ Θεοῦ, ἀποδεικνύωντας τοῦ λόγου του ὅτι εἶναι Θεός.

5 Δὲν ἐνθυμᾶσθε ὅτι ἀκόμι ὄντας εἰς ἐσᾶς, σᾶς ἔλεγα ἐτοῦτα;

6 Καὶ τώρα ἐκεῖνο ὁποῦ τὸν

ναι, εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ·

7 Τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας, μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται·

8 Καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ Κύριος ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ·

9 Οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ ἐν πάσῃ δυνάμει, καὶ σημείοις, καὶ τέρασι ψεύδους,

10 Καὶ ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς ἀπολλυμένοις· ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς.

11 Καὶ διὰ τοῦτο πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει·

12 Ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ.

13 Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ πάντοτε

ἐμποδίζει τὸ ἰξεύρετε, εἰς τὸ νὰ φανερωθῇ αὐτὸς εἰς τὸν καιρόν του·

7 Διατὶ ὡραμάν ἐνεργεῖται τὸ μυστήριον τῆς ἀνομίας, μοναχὰ ἐκεῖνος ὁποῦ ἐμποδίζει τῶρα, θέλει ἐμποδίσει ἕως ὁποῦ νὰ εὔγῃ ἀπὸ τὴν μέσην·

8 Καὶ τότε θέλει φανερωθῇ ὁ ἄνομος, τὸν ὁποῖον ὁ Κύριος θέλει τὸν χαλάσει μὲ τὸ πνεῦμα τοῦ στόματός του, καὶ θέλει τὸν ἀφανίσει μὲ τὴν ἐπιφάνειαν τῆς παρουσίας του·

9 Τοῦ ὁποίου ἀνόμου ἡ παρουσία εἶναι κατὰ τὴν ἐνέργειαν τοῦ Σατανᾶ, μὲ κάθε δύναμιν καὶ σημεῖα καὶ τέρατα ψεύτικα,

10 Καὶ μὲ κάθε λογῆς ἀπάτην τῆς ἀδικίας, εἰς τοὺς ἀπολλυμένους· διατὶ τὴν ἀγάπην τῆς ἀληθείας δὲν τὴν ἐδέχθηκαν εἰς τὸ νὰ σωθοῦσιν.

11 Καὶ διὰ τοῦτο θέλει τοὺς πέμψει ὁ Θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ νὰ πιστεύσουν εἰς τὸ ψεῦδος·

12 Διὰ νὰ κατακριθοῦσιν ὅλοι ἐκεῖνοι ὁποῦ δὲν ἐπίστευσαν εἰς τὴν ἀλήθειαν, ἀλλὰ ἀρέσθηκαν εἰς τὴν ἀδικίαν.

13 Ἀμὴ ἐμεῖς χρεωστοῦμεν νὰ εὐχαριστοῦμεν τὸν Θεὸν πάν-

περὶ ὑμῶν, ἀδελφοὶ, ἠγαπημένοι ὑπὸ Κυρίου, ὅτι εἵλετο ὑμᾶς ὁ Θεὸς ἀπ᾽ ἀρχῆς εἰς σωτηρίαν ἐν ἁγιασμῷ Πνεύματος, καὶ πίστει ἀληθείας·

14 Εἰς ὃ ἐκάλεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν, εἰς περιποίησιν δόξης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

15 Ἄρα οὖν, ἀδελφοὶ, στήκετε, καὶ κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου, εἴτε δι᾽ ἐπιστολῆς ἡμῶν.

16 Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν ὁ ἀγαπήσας ἡμᾶς, καὶ δοὺς παράκλησιν αἰωνίαν καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι,

17 Παρακαλέσαι ὑμῶν τὰς καρδίας, καὶ στηρίξαι ὑμᾶς ἐν παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ.

τοτε διὰ λόγου σας, ἀδελφοὶ ἀγαπημένοι ἀπὸ τὸν Κύριον, ὅτι σᾶς ἐδιάλεξεν ὁ Θεὸς ἀπὸ τὴν ἀρχὴν εἰς σωτηρίαν μὲ τὸν ἁγιασμὸν τοῦ Πνεύματος, καὶ μὲ τὴν πίστιν τῆς ἀληθείας·

14 Εἰς τὸ ὁποῖον σᾶς ἐκάλεσεν διαμέσου τοῦ εὐαγγελίου μας, εἰς ἀπόκτησιν δόξης τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ.

15 Στέκεσθε λοιπὸν, ἀδελφοὶ, καὶ κρατεῖτε ταῖς παράδοσαις ὁποῦ ἐδιδαχθήκετε, κᾂν τε μὲ λόγον, κᾂν τε μὲ τὴν ἐπιστολήν μας.

16 Καὶ αὐτὸς ὁ Κύριός μας Ἰησοῦς Χριστὸς καὶ ὁ Θεὸς καὶ πατέρας μας, ὁποῦ μᾶς ἀγάπησε, καὶ ὁποῦ μᾶς ἔδωσε παρηγορίαν παντοτεινὴν καὶ ἐλπίδα ἀγαθὴν εἰς χάριν,

17 Νὰ παρηγορήσῃ ταῖς καρδίαις σας, καὶ νὰ σᾶς στηρίξῃ εἰς κάθε λόγον καὶ ἔργον καλόν.

Κεφ. γ΄. 3.

ΤΟ λοιπὸν προσεύχεσθε, ἀδελφοὶ, περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ Κυρίου τρέχῃ, καὶ δοξάζηται καθὼς καὶ πρὸς ὑμᾶς·

2 Καὶ ἵνα ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων· οὐ γὰρ πάντων ἡ πίστις.

ΤΟ λοιπὸν παρακαλεῖτε, ἀδελφοὶ, διὰ λόγου μας, διὰ νὰ τρέχῃ ὁ λόγος τοῦ Κυρίου καὶ νὰ δοξάζεται, καθὼς τρέχει καὶ δοξάζεται καὶ εἰς ἐσᾶς·

2 Καὶ διὰ νὰ ἐλευθερωθοῦμεν ἀπὸ τοὺς διεστραμμένους καὶ πονηροὺς ἀνθρώπους· διατὶ ἡ πίστις δὲν εἶναι ὁλονῶν.

3 Πιστὸς δέ ἐστιν ὁ Κύριος, ὃς στηρίξει ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ.

4 Πεποίθαμεν δὲ ἐν Κυρίῳ ἐφ᾽ ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν ὑμῖν, καὶ ποιεῖτε καὶ ποιήσετε.

5 Ὁ δὲ Κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ εἰς ὑπομονὴν τοῦ Χριστοῦ.

6 Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοὶ, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρέλαβε παρ᾽ ἡμῶν.

7 Αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς· ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν·

8 Οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος· ἀλλ᾽ ἐν κόπῳ καὶ μόχθῳ, νύκτα καὶ ἡμέραν ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν.

9 Οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ᾽ ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς.

10 Καὶ γὰρ ὅτε ἦμεν

3 Καὶ πιστὸς εἶναι ὁ Κύριος, ὁ ὁποῖος θέλει σᾶς στηρίξει καὶ θέλει σᾶς φυλάξει ἀπὸ τὸν πονηρόν.

4 Καὶ πιστεύομεν εἰς τὸν Κύριον διὰ λόγου σας, ὅτι ἐκεῖνα ὁποῦ σᾶς παραγγέλλομεν, καὶ τὰ κάμνετε, καὶ θέλετε τὰ κάμνει.

5 Καὶ ὁ Κύριος νὰ ἐξισάσῃ ταῖς καρδίαις σας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ.

6 Καὶ σᾶς παραγγέλλομεν, ἀδελφοὶ, εἰς τὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, νὰ χωρίζεσθε ἐσεῖς ἀπὸ κάθε ἀδελφὸν, ὁποῦ περιπατεῖ ἄτακτα, καὶ ὄχι κατὰ τὴν παράδοσιν, ὁποῦ ἐπαράλαβεν ἀπὸ λόγου μας.

7 Διατὶ ἐσεῖς ἐξεύρετε πῶς κάμνει χρεία νὰ μᾶς μιμᾶσθε· ὅτι δὲν ἀτακτήσαμεν εἰς ἐσᾶς·

8 Οὐδὲ ἐφάγαμεν ἀπὸ κανένα ψωμὶ δωριανὰ· ἀλλὰ μὲ κόπον καὶ μὲ μόχθον, νύκτα καὶ ἡμέραν ἐργαζόμενοι, διὰ νὰ μὴν παραβαρίσωμεν κανένα ἀπὸ ἐσᾶς.

9 Ὄχι ὅτι δὲν ἔχομεν ἐξουσίαν, ἀλλὰ διὰ νὰ σᾶς δώσωμεν τοῦ λόγου μας παράδειγμα, νὰ μᾶς μιμᾶσθε.

10 Διατὶ ὅταν ἤμασθαν

πρὸς ὑμᾶς, τῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις ὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω.

11 Ἀκὐομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζομένυς, ἀλλὰ περιεργαζομένυς.

12 Τοῖς δὲ τοιύτοις παραγγέλλομεν, καὶ παρακαλοῦμεν διὰ τῦ Κυρίυ ἡμῶν Ἰησῦ Χριςῦ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι, τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν.

13 Ὑμεῖς δὲ, ἀδελφοὶ, μὴ ἐκκακήσητε καλοποιοῦντες.

14 Εἰ δέ τις ὐχ ὑπακύει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιςολῆς, τῦτον σημειῦσθε· καὶ μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ.

15 Καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νυθετεῖτε ὡς ἀδελφόν.

16 Αὐτὸς δὲ ὁ Κύριος τῆς εἰρήνης δῴη ὑμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ· ὁ Κύριος μετὰ πάντων ὑμῶν.

17 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλυ, ὅ ἐςι σημεῖον ἐν πάσῃ ἐπιστολῇ· ὕτω γράφω.

18 Ἡ χάρις τῦ Κυρίυ

εἰς ἐσᾶς τῦτο σᾶς ἐπαραγγέλναμεν, ὅτι ἐὰν κανένας δὲν θέλει νὰ ἐργάζεται, μηδὲ νὰ τρώγῃ.

11 Διατὶ ἀκύομεν μερικὺς ὁπῦ περιπατῦσιν εἰς ἐσᾶς ἄτακτα, καὶ τίποτες δὲν ἐργάζονται, μόνον περιεργάζονται.

12 Καὶ τὺς τοιύτυς παραγγέλλομεν, καὶ παρακαλῦμεν διαμέσυ τῦ Κυρίυ μας Ἰησῦ Χριςῦ, διὰ νὰ τρώγυσι τὸ ψωμί τυς, ἐργαζόμενοι μὲ ἡσυχίαν.

13 Καὶ ἐσεῖς, ἀδελφοὶ, κάμνοντες τὸ καλὸν μὴν ἀποκάμετε.

14 Καὶ ἂν κανένας δὲν ὑπακύει τὸν λόγον μας, ὁποῦ λέγεται διαμέσου τῆς ἐπιςολῆς, σημαδεύετέ τον· καὶ μὴν τὸν σμίγεσθε, διὰ νὰ ἐντραπῇ.

15 Καὶ μὴν τὸν λογιάζετε ὡσὰν ἐχθρὸν, ἀλλὰ νυθετᾶτέ τὸν ὡσὰν ἀδελφόν.

16 Καὶ αὐτὸς ὁ Κύριος τῆς εἰρήνης, ἄμποτε νὰ σᾶς δώσῃ τὴν εἰρήνην πάντοτε μὲ κάθε τρόπον· ὁ Κύριος ἂς εἶναι μὲ ὅλυς σας.

17 Ἐτῦτος ὁ χαιρετισμὸς ἐγράφη μὲ τὸ ἰδικόν μυ χέρι τοῦ Παύλυ, τὸ ὁποῖον εἶναι σημάδι εἰς κάθε ἐπιςολήν· ἔτζι γράφω.

18 Ἡ χάρις τῦ Κυρίυ

ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

† Πρὸς Θεσσαλονικεῖς δευτέρα ἐγράφη ἀπὸ Ἀθηνῶν.

μας Ἰησοῦ Χριστοῦ μὲ ὅλους σας. Ἀμήν.

† Ἡ εἰς Θεσσαλονικεῖς δευτέρα ἐγράφη ἀπὸ ταῖς Ἀθήναις.

ΠΑΥ͂ΛΟΥ ΤΟΥ͂ ἈΠΟΣΤΌΛΟΥ

Ἡ ΠΡῸΣ ΤΙΜΌΘΕΟΝ

ἘΠΙΣΤΟΛῊ ΠΡΏΤΗ.

Κιφ. α΄. 1.

ΠΑΥ͂ΛΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ κατ᾽ ἐπιταγὴν Θεοῦ σωτῆρος ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν,

2 Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει, χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

3 Καθὼς παρεκάλεσά σε, προσμεῖναι ἐν Ἐφέσῳ, πορευόμενος εἰς Μακεδονίαν, ἵνα παραγγείλῃς τισὶ μὴ ἑτεροδιδασκαλεῖν·

4 Μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις, αἵτινες ζητήσεις παρέχουσι

ΠΑΥ͂ΛΟΣ ἀπόστολος τοῦ Ἰησοῦ Χριστοῦ κατὰ πρόσταξιν τοῦ Θεοῦ τοῦ σωτῆρός μας, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος μας,

2 Εἰς τὸν Τιμόθεον τὸ γνήσιον τέκνον εἰς τὴν πίστιν, ἂς εἶναι χάρις, ἔλεος, εἰρήνη ἀπὸ τὸν Θεὸν τὸν πατέρα μας, καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου μας.

3 Καθὼς ἐγὼ πηγαίνωντας εἰς τὴν Μακεδονίαν, σὲ ἐπαρακάλεσα, νὰ προσμείνῃς εἰς τὴν Ἔφεσον, (ἔτζι παρακαλῶ,) νὰ παραγγείλῃς κάποιους νὰ μὴν διδάσκουσιν διάφοραις διδαχαῖς·

4 Μηδὲ νὰ ἔχουν τὸν νοῦν τους εἰς μύθους καὶ γενεαλογίαις αἱ ὁποίαις δὲν ἔχουν τέλος,

μᾶλλον ἢ οἰκοδομίαν Θεοῦ τὴν ἐν πίστει.

5 Τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας, καὶ συνειδήσεως ἀγαθῆς, καὶ πίστεως ἀνυποκρίτου·

6 Ὧν τινες ἀστοχήσαντες, ἐξετράπησαν εἰς ματαιολογίαν·

7 Θέλοντες εἶναι νομοδιδάσκαλοι, μὴ νοοῦντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται.

8 Οἴδαμεν δὲ ὅτι καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως χρῆται·

9 Εἰδὼς τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς, ἀνοσίοις καὶ βεβήλοις, πατραλῴαις καὶ μητραλῴαις, ἀνδροφόνοις,

10 Πόρνοις, ἀρσενοκοίταις, ἀνδραποδισταῖς, ψεύσταις, ἐπιόρκοις, καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται·

11 Κατὰ τὸ εὐαγγέλιον

αἱ ὁποίαις δίδουσι περισσότερον φιλονεικίαις, παρὰ οἰκοδομὴν Θεοῦ ὁποῦ εἶναι εἰς τὴν πίστιν.

5 Καὶ τὸ τέλος τῆς παραγγελίας εἶναι ἀγάπη ἀπὸ καθαρὰν καρδίαν, καὶ ἀπὸ συνείδησιν ἀγαθήν, καὶ ἀπὸ πίστιν ὁποῦ δὲν εἶναι πλασμένη·

6 Ἀπὸ τὰ ὁποῖα μερικοὶ ἔστωντας νὰ ξεπέσουν, ἐγύρισαν εἰς ματαιολογίαν·

7 Θέλοντες νὰ εἶναι νομοδιδάσκαλοι, καὶ μὴ γνωρίζοντες μηδὲ ἐκεῖνα ὁποῦ λέγουσι, μηδὲ ἐκεῖνα τὰ ὁποῖα βεβαιώνουσι.

8 Καὶ ἰξεύρομεν ὅτι ὁ νόμος εἶναι καλός, ἂν καινένας τὸν μεταχειρίζεται νομίμως·

9 Ἰξεύροντας ἐτοῦτο, ὅτι εἰς τὸν δίκαιον νόμος δὲν ἐβάλθη, ἀμὴ διὰ τοὺς ἀνόμους καὶ ἀνυποτάκτους, καὶ ἀσεβεῖς καὶ ἁμαρτωλούς, καὶ ἀνοσίους καὶ μεμιασμένους, καὶ πατροδάρτας καὶ μητροδάρτας, καὶ διὰ τοὺς ἀνθρωποφονιάδες,

10 Πόρνους, ἀρσενοκοίτας, ἀνθρωποκλέπτας, ψεύστας, ἐκείνους ὁποῦ ὀμώνουσι ψεύματα, καὶ ἐὰν τίποτις ἄλλον εἶναι ἐναντίον εἰς τὴν ὑγιαίνουσαν διδασκαλίαν·

11 Κατὰ τὸ εὐαγγέλιον

τῆς δόξης τοῦ μακαρίου Θεοῦ, ὃ ἐπιστεύθην ἐγώ.

12 Καὶ χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν·

13 Τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ·

14 Ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ Κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ.

15 Πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ.

16 Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον.

17 Τῷ δὲ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

τῆς δόξης τοῦ μακαρίου Θεοῦ τὸ ὁποῖον τὸ ἐνεμπιστεύθηκα ἐγώ.

12 Καὶ εὐχαριστῶ τὸν Κύριόν μας Ἰησοῦν Χριστὸν ὁποῦ μὲ ἐδυνάμωσεν, ὅτι μὲ ἐλογίασε πιστόν, βάζοντάς με εἰς ὑπηρεσίαν·

13 Ἐμένα ὁποῦ ἤμουν προτίτερα βλάσφημος καὶ διώκτης καὶ ὑβριστής· ἀλλὰ ἐσυμπαθήσθηκα, ὅτι μὴ γνωρίζοντας τὸ ἔκαμα, ὄντας εἰς τὴν ἀπιστίαν·

14 Καὶ ἡ χάρις τοῦ Κυρίου μας μὲ πίστιν καὶ ἀγάπην ὁποῦ εἶναι εἰς Χριστὸν Ἰησοῦν ὑπερεπερίσσευσε.

15 Ὁ λόγος εἶναι πιστός, καὶ ἄξιος κάθε λογῆς ἀποδοχῆς, ὅτι ὁ Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον νὰ σώσῃ τοὺς ἁμαρτωλούς, ἀπὸ τοὺς ὁποίους εἶμαι ἐγὼ ὁ πρῶτος.

16 Ἀλλὰ διὰ τοῦτο ἐσυμπαθήσθηκα, διὰ νὰ δείξῃ εἰς ἐμένα πρῶτα ὁ Ἰησοῦς Χριστὸς ὅλην του τὴν μακροθυμίαν, διὰ παράδειγμα ἐκείνων ὁποῦ ἔμελλασι νὰ πιστεύσουν εἰς αὐτὸν εἰς τὴν ζωὴν τὴν αἰώνιον.

17 Καὶ ἂς εἶναι τιμὴ καὶ δόξα εἰς τὸν βασιλέα τῶν αἰώνων τὸν ἄφθαρτον, τὸν ἀόρατον, τὸν μόνον σοφὸν Θεόν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

18 Ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας, ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν,

19 Ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἥν τινες ἀπωσάμενοι, περὶ τὴν πίστιν ἐναυάγησαν·

20 Ὧν ἐστιν Ὑμέναιος καὶ Ἀλέξανδρος· οὓς παρέδωκα τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν.

18 Ἐτούτην τὴν παραγγελίαν ὡς παρακαταθήκην σοῦ ἀφίνω, ὦ τέκνον Τιμόθεε, κατὰ ταῖς προφήτειαις ὁποῦ ἐστάθηκαν προτίτερα διὰ ἐσένα, διὰ νὰ στρατεύεσαι ἐσὺ εἰς αὐταῖς τὴν καλὴν στρατείαν,

19 Ἔχοντας καὶ πίστιν καὶ ἀγαθὴν συνείδησιν, τὴν ὁποίαν ἔσωντας νὰ τὴν ἀποδιώξουν μερικοὶ, ἐκαταποντίσθηκαν καὶ ἔχασαν τὴν πίστιν·

20 Ἀπὸ τοὺς ὁποίους εἶναι ὁ Ὑμέναιος καὶ ὁ Ἀλέξανδρος· τοὺς ὁποίους τοὺς ἐπαράδωκα εἰς τὸν Σατανᾶ, διὰ νὰ παιδευθοῦν νὰ μὴν βλασφημοῦν.

Κεφ. β'. 2.

ΠΑρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχὰς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων·

2 Ὑπὲρ βασιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων· ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

3 Τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ·

4 Ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

5 Εἷς γὰρ Θεὸς, εἷς καὶ

ΠΑρακαλῶ λοιπὸν προτίτερα ἀπὸ ὅλα, νὰ κάμνετε δέησαις, προσευχαῖς, παρακάλεσαις, εὐχαριστίαις, διὰ ὅλους τοὺς ἀνθρώπους·

2 Διὰ τοὺς βασιλεῖς, καὶ διὰ ὅλους ὁποῦ εἶναι εἰς ταῖς ἀξίαις· διὰ νὰ περάσωμεν ζωὴν ἀτάραχον καὶ ἥσυχον, μὲ κάθε εὐσέβειαν καὶ σεμνότητα.

3 Διατὶ τοῦτο εἶναι καλὸν καὶ εὐάρεστον ὀμπροστὰ εἰς τὸν σωτῆρά μας Θεόν·

4 Ὁ ὁποῖος θέλει ὅλους τοὺς ἀνθρώπους νὰ σωθοῦσι, καὶ νὰ ἔλθουν εἰς τὴν ἀκριβογνώρισιν τῆς ἀληθείας.

5 Διατὶ ἕνας εἶναι ὁ Θεὸς,

μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς·

6 Ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις.

7 Εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος, (ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι,) διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ.

8 Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ.

9 Ὡσαύτως καὶ τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ, μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ·

10 Ἀλλ' (ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν) δι' ἔργων ἀγαθῶν.

11 Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ.

12 Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός, ἀλλ' εἶναι ἐν ἡσυχίᾳ.

13 Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα.

ἕνας εἶναι καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς Χριστός·

6 Ὁ ὁποῖος ἔδωκε τοῦ λόγου του ἐξαγόρασμα διὰ ὅλους, ὅπου εἶναι ἡ μαρτυρία εἰς καιροὺς διωρισμένους.

7 Τῆς ὁποίας μαρτυρίας ἐβάλθηκα ἐγὼ κήρυξ καὶ ἀπόστολος, (ἀλήθειαν λέγω εἰς τὸν Χριστόν, καὶ δὲν ψεύδομαι,) διδάσκαλος, λέγω, τῶν ἐθνῶν εἰς τὴν πίστιν καὶ εἰς τὴν ἀλήθειαν.

8 Θέλω λοιπὸν νὰ προσεύχωνται οἱ ἄνδρες εἰς κάθε τόπον, σηκώνοντες χέρια καθαρά, χωρὶς ὀργὴν καὶ ἀμφιβολίαν.

9 Τὸν ὅμοιον τρόπον καὶ αἱ γυναῖκαις, νὰ στολίζουσι τοῦ λόγου τους μὲ στολὴν ὅπου πρέπει, μὲ ἐντροπὴν καὶ σωφροσύνην, ὄχι μὲ πλεξίματα, ἢ χρυσάφια, ἢ μαργαριτάρια, ἢ μὲ φορέματα πολυτίμητα·

10 Ἀλλὰ διαμέσου ἔργων καλῶν, ὁ ὁποῖος στολισμὸς πρέπει εἰς ταῖς γυναῖκαις ὅπου τάζουσι, νὰ εἶναι θεοσεβεῖς.

11 Ἡ γυναῖκα μὲ σιωπὴν ἂς μαθαίνει, μὲ κάθε ὑποταγήν.

12 Καὶ δὲν συγχωρῶ τὴν γυναῖκα νὰ διδάσκῃ, οὐδὲ νὰ αὐθεντεύῃ τὸν ἄνδρα, ἀλλὰ (ὁρίζω) νὰ ἡσυχάζῃ.

13 Διατὶ ὁ Ἀδὰμ ἐπλάσθη πρῶτα, ἀπέκει ἡ Εὔα.

14 Καὶ Ἀδὰμ οὐκ ἠπατήθη· ἡ δὲ γυνὴ ἀπατηθεῖσα, ἐν παραβάσει γέγονε.

15 Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης.

14 Καὶ ὁ Ἀδὰμ δὲν ἀπατήθη· ἀμὴ ἡ γυναῖκα ἔσωντας νὰ ἀπατηθῇ, ἔγινεν ἀφορμὴ τῆς παραβάσεως.

15 Ὅμως θέλει σωθῇ διαμέσου τῆς τεκνογονίας, ἐὰν μείνουσιν εἰς τὴν πίστιν καὶ ἀγάπην καὶ ἁγιασμὸν μὲ σωφροσύνην.

Κεφ. γ'. 3.

Πιστὸς ὁ λόγος· Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ.

2 Δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλεον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν·

3 Μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ· ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον·

4 Τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος·

5 (Εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς ἐκκλησίας Θεοῦ ἐπιμελήσεται;)

6 Μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς, εἰς κρῖμα ἐμπέσῃ τοῦ διαβόλου.

7 Δεῖ δὲ αὐτὸν καὶ μαρ-

Ἀληθινὸς εἶναι ἐτοῦτος ὁ λόγος· Ἂν κανένας ὀρέγεται ἐπισκοπὴν, καλὸν ἔργον ἐπιθυμεῖ.

2 Ἀναγκαῖον εἶναι λοιπὸν ὁ ἐπίσκοπος νὰ εἶναι ἀκατηγόρητος, μιᾶς γυναίκας ἄνδρας, ἄγρυπνος, σώφρων, τακτικὸς, φιλόξενος, ἐπιτήδειος νὰ διδάσκῃ·

3 Νὰ μὴν εἶναι μεθυστὴς, νὰ μὴν εἶναι τεταραγμένος, νὰ μὴν ἀγαπᾷ κακὰ κέρδη· ἀλλὰ νὰ εἶναι μέτριος, ἄμαχος, νὰ μὴν εἶναι φιλάργυρος·

4 Νὰ κυβερνᾷ καλὰ τὸ ἴδιόν του σπῆτι, νὰ ἔχῃ εἰς ὑποταγὴν τὰ παιδιά του μὲ κάθε λογῆς σεμνότητα·

5 (Ἀμὴ ἂν κανένας δὲν ἠξεύρει νὰ κυβερνήσῃ τὸ ἴδιόν του σπῆτι, πῶς θέλει ἐπιμεληθῇ τὴν ἐκκλησίαν τοῦ Θεοῦ;)

6 Καὶ νὰ μὴν εἶναι νεοκατήχητος, μήπως, κενοδοξῶντας πέσῃ εἰς τὸ κρῖμα τοῦ διαβόλου.

7 Καὶ κάμνει χρεία νὰ

τυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν· ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου.

8 Διακόνους ὡσαύτως σεμνοὺς, μὴ διλόγους, μὴ οἴνῳ, πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς·

9 Ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει·

10 Καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον, εἶτα διακονείτωσαν, ἀνέγκλητοι ὄντες.

11 Γυναῖκας ὡσαύτως σεμνὰς, μὴ διαβόλους, νηφαλίους, πιστὰς ἐν πᾶσι.

12 Διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων καλῶς προϊστάμενοι καὶ τῶν ἰδίων οἴκων·

13 Οἱ γὰρ καλῶς διακονήσαντες, βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται, καὶ πολλὴν παῤῥησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ.

14 Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρός σε τάχιον·

15 Ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία Θεοῦ ζῶντος, στύλος

ἔχῃ καὶ καλὴν μαρτυρίαν ἀπὸ τοὺς ἔξω· διὰ νὰ μὴν πέσῃ εἰς ὀνειδισμὸν καὶ παγίδα τοῦ διαβόλου.

8 Τὸν ὅμοιον τρόπον κάμνει χρεία νὰ εἶναι καὶ οἱ διάκονοι τιμῆς ἄξιοι, νὰ μὴν εἶναι διπρόσωποι εἰς τοὺς λόγους, νὰ μὴν ἔχουν τὸν νοῦν τους εἰς πολὺ κρασὶ, νὰ μὴν ἀγαποῦσι κακὰ κέρδη·

9 Νὰ ἔχουσι τὸ μυστήριον τῆς πίστεως μὲ καθαρὰν συνείδησιν·

10 Καὶ ἐτοῦτοι ἂς δοκιμάζωνται πρῶτον, ἀπέκει ἂς διακονοῦσιν, ἐὰν εἶναι ἀκατηγόρητοι.

11 Τὸν ὅμοιον τρόπον πρέπει καὶ ταῖς γυναῖκαίς τους νὰ εἶναι τιμημέναις, καὶ ὄχι νὰ διαβάλλουσι, νὰ εἶναι ἐγκρατευτικαῖς, ἐμπιστευμέναις εἰς ὅλα.

12 Οἱ διάκονοι ἂς εἶναι μιᾶς γυναίκας ἄνδρες, νὰ κυβερνοῦσι καλὰ τὰ παιδία τους καὶ τὰ σπήτιά τους·

13 Διατὶ ἐκεῖνοι ὁποῦ διακονήσουν καλὰ, ἀποκτίζουσι καλὸν βαθμὸν εἰς τοῦ λόγου τους, καὶ πολλὴν παῤῥησίαν εἰς τὴν πίστιν ὁποῦ εἶναι εἰς τὸν Χριστὸν Ἰησοῦν.

14 Ἐτοῦτα σοῦ γράφω, ἐλπίζωντας νὰ ἔλθω εἰς ἐσένα τὸ γλιγωρώτερον·

15 Καὶ ἂν ἀργήσω, διὰ νὰ εἰδῇς πῶς κάμνει χρεία νὰ συναναστρέφεσαι εἰς τὸ σπῆτι τοῦ Θεοῦ, τὸ ὁποῖον εἶναι ἡ ἐκκλη-

καὶ ἑδραίωμα τῆς ἀληθείας.

σία τοῦ Θεοῦ τοῦ ζῶντος, στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας.

16 Καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον· Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ.

16 Καὶ κατὰ ἀλήθειαν χωρὶς καμίαν ἀντιλογίαν, μέγα εἶναι τὸ μυστήριον τῆς εὐσεβείας· ὁ Θεὸς ἐφανερώθη εἰς τὴν σάρκα, ἐδικαιώθη ἐν πνεύματι, ἐφάνη εἰς τοὺς ἀγγέλους, ἐκηρύχθη εἰς τὰ ἔθνη, ἐπιστεύθη εἰς τὸν κόσμον, ἀνελήφθη εἰς δόξαν.

Κεφ. δ'. 4.

ΤΟ δὲ Πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις, καὶ διδασκαλίαις δαιμονίων,

ΚΑΙ τὸ Πνεῦμα λέγει φανερὰ, ὅτι εἰς τοὺς ὑστέρους χρόνους θέλουσιν ἀποστατήσει τινὲς ἀπὸ τὴν πίστιν, νὰ προσέχουσιν εἰς πνεύματα πλάνης, καὶ εἰς ταῖς διδασκαλίαις τῶν δαιμονίων,

2 Ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν,

2 (Διδασκαλίαν ἀνθρώπων) ψευδομένων μὲ ὑπόκρισιν, ὅπου ἔχουσι τὴν συνείδησιν τους κεκαυτηριασμένην,

3 Κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν·

3 Ὅπου ἐμποδίζουσι νὰ ὑπανδρεύωνται, καὶ (ὁρίζουσι) νὰ φυλάγωνται, ἀπὸ τὰ φαγητὰ, τὰ ὁποῖα ὁ Θεὸς τὰ ἔκαμεν νὰ τὰ μεταλαμβάνουν μὲ εὐχαριστίαν οἱ πιστοὶ, καὶ ἐκεῖνοι ὅπου γνωρίζουσι τὴν ἀλήθειαν·

4 Ὅτι πᾶν κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον, μετὰ εὐχαριστίας λαμβανόμενον·

4 Ὅτι κάθε κτίσμα Θεοῦ εἶναι καλὸν, καὶ οὐδὲ εἶναι κανένα ἐξουδενωμένον, ὅταν λαμβάνεται μὲ εὐχαριστίαν·

5 Ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.

5 Διατὶ ἁγιάζεται διαμέσου τοῦ λόγου τοῦ Θεοῦ καὶ τῆς προσευχῆς.

6 Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς, καλὸς ἔσῃ διάκονος Ἰησοῦ Χριστοῦ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως, καὶ τῆς καλῆς διδασκαλίας, ᾗ παρηκολούθηκας.

7 Τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ· γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν.

8 Ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης.

9 Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος.

10 Εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν.

11 Παράγγελλε ταῦτα καὶ δίδασκε.

12 Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ.

13 Ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ.

6 Ἐτοῦτα συμβουλεύωντας τοὺς ἀδελφοὺς, θέλεις εἶσθαι καλὸς διάκονος τοῦ Ἰησοῦ Χριστοῦ, τρεφόμενος μέσα εἰς τοὺς λόγους τῆς πίστεως, καὶ τῆς καλῆς διδασκαλίας, ὁποῦ ἀκολούθησες.

7 Ἀμὴ τοὺς μύθους τοὺς μεμιασμένους καὶ γραώδεις ἄφησέ τους· καὶ ἄσκησε τοῦ λόγου σου εἰς τὴν εὐσέβειαν.

8 Διατὶ ἡ σωματικὴ ἄσκησις εἰς ὀλίγον εἶναι ὠφέλιμη· ἀμὴ ἡ εὐσέβεια εἰς ὅλα εἶναι ὠφέλιμη, ἔστωντας νὰ ἔχῃ τὰ ταξίματα τῆς ζωῆς ἐτούτης, καὶ τῆς μελλούσης.

9 Ἀληθινὸς εἶναι ἐτοῦτος ὁ λόγος, καὶ κάθε λογῆς ἀποδοχῆς εἶναι ἄξιος.

10 Διατὶ διὰ τοῦτο καὶ κοπιάζομεν καὶ ὀνειδιζόμεσθεν, ὅτι ἐλπίσαμεν εἰς τὸν Θεὸν τὸν ζῶντα, ὁ ὁποῖος εἶναι σωτὴρ ὅλων τῶν ἀνθρώπων, καὶ μάλιστα τῶν πιστῶν.

11 Παράγγελε ταῦτα καὶ δίδασκε.

12 Κανένας ἂς μὴν καταφρονᾷ τὴν νεότητά σου, ἀλλὰ γίνου παράδειγμα τῶν πιστῶν, εἰς λόγον, εἰς τὴν συναναστροφὴν, εἰς τὴν ἀγάπην, εἰς τὸ πνεῦμα, εἰς τὴν πίστιν, εἰς τὴν καθαρότητα.

13 Ἕως νὰ ἔλθω καταγίνου εἰς τὴν ἀνάγνωσιν, εἰς τὴν παράκλησιν, εἰς τὴν διδασκαλίαν.

14 Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοὶ διὰ προφητείας, μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίȣ.

15 Ταῦτα μελέτα, ἐν τȣ́τοις ἴσθι· ἵνα σȣ̃ ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν.

16 Ἔπεχε σεαυτῷ, καὶ τῇ διδασκαλίᾳ· ἐπίμενε αὐτοῖς· τȣ̃το γὰρ ποιῶν, καὶ σεαυτὸν σώσεις καὶ τȣ̀ς ἀκȣ́οντάς σȣ.

14 Μὴν ἀμελεῖς τὸ χάρισμα ὁπȣ̃ εἶναι εἰς ἐσένα, ὁπȣ̃ σȣ̃ ἐδόθη διαμέσȣ προφητείας, μὲ τὴν ἐπίθεσιν τῶν χειρῶν τοῦ πρεσβυτερίȣ.

15 Ἐτȣ̃τα μελέτα, εἰς τȣ̃τα ἂς εἶσαι· διὰ νὰ εἶναι ἡ προκοπή σȣ φανερὴ εἰς ὅλȣς.

16 Πρόσεχε εἰς τȣ̃ λόγȣ σȣ καὶ εἰς τὴν διδασκαλίαν· καὶ καρτέρει εἰς αὐτά· διατὶ κάμνωντας τȣ̃το, καὶ τȣ̀ λόγȣ σȣ θέλεις σώσει, καὶ ἐκείνȣς ὁπȣ̃ σȣ̃ ἀκȣ́ȣν.

Κεφ. ε'. 5.

ΠΡεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει ὡς πατέρα· νεωτέρȣς, ὡς ἀδελφȣ́ς·

2 Πρεσβυτέρας, ὡς μητέρας· νεωτέρας, ὡς ἀδελφὰς, ἐν πάσῃ ἁγνείᾳ.

3 Χήρας τίμα τὰς ὄντως χήρας.

4 Εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν, καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις· τȣ̃το γάρ ἐςι καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ Θεȣ̃.

5 Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ

ΜΗ'Ν ὀνειδίσῃς τὸν γεροντότερον, ἀλλὰ νȣθέτα τον ὡσὰν πατέρα· καὶ τȣ̀ς νεωτέρȣς ὡσὰν ἀδελφȣ́ς·

2 Ταῖς γερόντισσαις ὡσὰν μητέραις· ταῖς νεωτέραις ὡσὰν ἀδελφαῖς, μὲ κάθε λογῆς καθαρότητα.

3 Τίμα ταῖς χήραις, ἐκείναις ὁπȣ̃ εἶναι ἀληθῶς χήραις.

4 Ἀμὴ ἂν καμία χήρα ἔχῃ τέκνα ἢ ἐκγόνια, ἂς μαθαίνȣσι πρῶτα (αὐτὰ) νὰ ἀσκȣ̃σιν εὐσέβειαν εἰς τὸ ἴδιόν τȣς σπῆτι, καὶ νὰ δίδȣσιν ἀνταμοιβὰς εἰς τȣ̀ς προγόνȣς· διατὶ τȣ̃το εἶναι καλὸν, καὶ εὐάρεστον ὀμπροςὰ εἰς τὸν Θεόν.

5 Καὶ ἡ ἀληθῶς χήρα καὶ μεμονωμένη, ἐλπίζει εἰς τὸν Θεὸν, καὶ προσμένει εἰς ταῖς

ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας.

6 Ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκε.

7 Καὶ ταῦτα παράγγελλε, ἵνα ἀνεπίληπτοι ὦσιν.

8 Εἰ δέ τις τῶν ἰδίων καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων.

9 Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα, γεγονυῖα ἑνὸς ἀνδρὸς γυνή·

10 Ἐν ἔργοις καλοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε.

11 Νεωτέρας δὲ χήρας παραιτοῦ· ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν·

12 Ἔχουσαι κρῖμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν.

13 Ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσι περιερχόμεναι τὰς οἰκίας· οὐ μόνον δὲ ἀργαί, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα.

δέησαις καὶ εἰς ταῖς προσευχαῖς, νύκτα καὶ ἡμέρα.

6 Ἀμὴ ἡ χήρα ὁποῦ μεθοκοπᾷ, ζωντανὴ ἀπέθανε.

7 Καὶ παράγγελνε ἐτοῦτα, διὰ νὰ εἶναι ἀκατηγόρηταις.

8 Καὶ ἐὰν κανένας δὲν φροντίζει τοὺς ἰδίους, καὶ μάλιστα τοὺς οἰκιακούς του, ἀρνήθη τὴν πίστιν, καὶ εἶναι χειρότερος ἀπὸ τὸν ἄπιστον.

9 Ἐκείνη ἡ χήρα ἂς συναριθμηθῇ εἰς τὴν τάξιν τῶν χηρῶν, ἡ ὁποία δὲν εἶναι ὀλιγώτερον ἀπὸ ἑξῆντα χρονῶν, καὶ ἡ ὁποῖα ἔγινεν, ἑνὸς μόνου γυναῖκα·

10 Εἰς ἔργα καλὰ μαρτυρημένη, ἐὰν ἔθρεψε παιδία, ἐὰν ἐδέχθη ξένους, ἐὰν ἔνιψε ποδάρια ἁγίων, ἐὰν ἐβοήθησε θλιμμένους, ἐὰν ἀκολούθησεν εἰς κάθε ἔργον καλόν.

11 Ἀμὴ ταῖς χήραις ταῖς νεωτέραις παραιτοῦ ταις· διατὶ ὅταν κατατρυφήσωσιν ἐναντία τοῦ Χριστοῦ, θέλουν νὰ ὑπανδρευθοῦσιν·

12 Αἱ ὁποίαις ἔχουσι κατάκρισιν, ὅτι ἐκαταφρόνησαν τὴν πρώτην πίστιν.

13 Καὶ ἀκόμι μαθαίνουσι νὰ εἶναι ἀκαμάτραις, νὰ τρυγυρίζουσι τὰ σπήτια· καὶ ὄχι μόνον ἀκαμάτραις, ἀλλὰ καὶ πολύλογαις καὶ περίεργαις, λέγοντες ἐκεῖνα ὁποῦ δὲν πρέπουν.

14 Βούλομαι οὖν νεωτέρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας χάριν.

15 Ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ.

16 Εἴ τις πιστὸς ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ.

17 Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν· μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ.

18 Λέγει γὰρ ἡ γραφή· Βοῦν ἀλοῶντα οὐ φιμώσεις. Καί· Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ.

19 Κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων.

20 Τοὺς ἁμαρτάνοντας, ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι.

21 Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίμα-

14 Θέλω λοιπὸν ταῖς πλέον νεώτεραις νὰ ὑπανδρεύωνται, νὰ κάμνουν παιδία, νὰ οἰκοκυρεύουν, νὰ μὴν δίδουσι εἰς τὸν ἀντικείμενον καμίαν ἀφορμὴν λοιδορίας.

15 Διατὶ σχεδὸν μερικοὶ ἐγύρισαν ὀπίσω τοῦ Σατανᾶ.

16 Ἐὰν κανένας πιστὸς, ἢ πιστὴ, ἔχῃ χήραις, ἂς ταῖς βοηθᾷ εἰς τὰ ἀναγκαῖα ἀρκετὰ, καὶ ἂς μὴν βαρύνεται ἡ ἐκκλησία, διὰ νὰ βοηθᾷ ἀρκετὰ ταῖς ἀληθιναῖς χήραις.

17 Οἱ πρεσβύτεροι ὁποῦ εἶναι καλοὶ προεστοὶ, ἂς ἔχουσι διπλὴν τιμήν· μάλιστα ἐκεῖνοι ὁποῦ κοπιάζουν εἰς τὸν λόγον καὶ εἰς τὴν διδασκαλίαν.

18 Διατὶ λέγει ἡ γραφή· Τὸ βοΐδιον ὁποῦ ἀλωνίζει, νὰ μὴν τὸ ἀποστομώσῃς. Καί· Ἄξιος εἶναι ὁ ἐργάτης τῆς πληρωμῆς του.

19 Καὶ μὴν παραδέχεσαι κατηγορίαν ἐναντία τοῦ πρεσβυτέρου, ἔξω ἂν δὲν εἶναι δύο ἢ τρεῖς μάρτυρες.

20 Ἐκείνους ὁποῦ ἁμαρτάνουσιν, ὀμπροστὰ εἰς ὅλους ἔλεγχέ τους, διὰ νὰ ἔχουν φόβον καὶ οἱ ἄλλοι.

21 Ὁρκίζω σε ὀμπροστὰ εἰς τὸν Θεὸν, καὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, νὰ τὰ φυλάξῃς ἐτοῦτα χωρὶς καμίαν προτίμησιν, νὰ

τῳ, μηδὲν ποιῶν κατὰ πρόσκλισιν.

μὴν κάμης κανένα πρᾶγμα, παρακλίνωντας εἰς κανένα μέρῳ.

22 Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις· σεαυτὸν ἁγνὸν τήρει.

22 Τὰ χέρια εἰς κανένα μὴν βάνης γλίγωρα, μηδὲ μέτεχε εἰς ξέναις ἁμαρτίαις· φύλαγε τοῦ λόγου σου καθαρόν.

23 Μηκέτι ὑδροπότει, ἀλλ' οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας.

23 Πλέον μὴν πίνης νερὸν, ἀλλὰ μεταχειρίζου ὀλίγον κρασὶ διὰ τὸ στομάχι σου, καὶ ταῖς πυκναῖς σου ἀσθένειαις.

24 Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, προάγουσαι εἰς κρίσιν· τισὶ δὲ καὶ ἐπακολουθοῦσιν·

24 Αἱ ἁμαρτίαις μερικῶν ἀνθρώπων εἶναι φανεραῖς, καὶ προφθάνουσιν εἰς τὴν κρίσιν προτίτερα· ἀμὴ εἰς κάποιους αἱ ἁμαρτίαις ἀκολουθοῦσιν ὕστερα·

25 Ὡσαύτως καὶ τὰ καλὰ ἔργα πρόδηλά ἐστι· καὶ τὰ ἄλλως ἔχοντα, κρυβῆναι οὐ δύνασαι.

25 Τὸν ὅμοιον τρόπον καὶ τὰ καλὰ ἔργα εἶναι φανερὰ· καὶ ἐκεῖνα ὁποῦ εἶναι ἄλλης λογῆς, δὲν ἠμποροῦν νὰ κρυφθοῦν.

Κεφ. ς'. 6.

Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν· ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται.

Ὅσοι δοῦλοι εἶναι ἀποκάτω εἰς τὸν ζυγὸν τῆς δουλείας, ἂς λογιάζουν πῶς εἶναι ἄξιοι οἱ αὐθεντάδες τους κάθε λογῆς τιμῆς· διὰ νὰ μὴν βλασφημῆται τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία.

2 Οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας, μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν· ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ, οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. Ταῦτα δίδασκε, καὶ παρακάλει.

2 Καὶ ἐκεῖνοι ὁποῦ ἔχουν πιστοὺς αὐθεντάδες, μὴν τοὺς καταφρονοῦσιν, διατὶ εἶναι ἀδελφοί· ἀλλὰ περισσότερον ἂς δουλεύουσιν, ὅτι εἶναι πιστοὶ καὶ ἀγαπημένοι, οἱ ὁποῖοι ἀπολαμβάνουσι τὴν εὐεργεσίαν. Ἐτοῦτα δίδασκε καὶ νουθέτα.

3 Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ,

4 Τετύφωται, μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας· ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραί,

5 Παραδιατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν, καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν· ἀφίστασο ἀπὸ τῶν τοιούτων.

6 Ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας.

7 Οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον· δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα.

8 Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα.

9 Οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα, καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν·

3 Ἐὰν κανένας διδάσκῃ ἄλλα, καὶ δὲν ἔρχεται εἰς τὰ λόγια τὰ ὑγιῆ, ὁποῦ εἶναι ἀπὸ τὸν Κύριόν μας Ἰησοῦν Χριστόν, καὶ εἰς τὴν διδασκαλίαν τὴν εὐσεβῆ,

4 Ἐκεῖνος κενοδοξᾷ μηδὲν γνωρίζοντας, ἀλλὰ ἀσθενῶντας εἰς τὸν νοῦν του, εἰς ζητήματα καὶ λογομαχίαις· ἀπὸ τὰ ὁποῖα γίνεται φθόνος, φιλονεικία, βλασφημίαις, ὑπόληψαις κακαῖς,

5 Γυμνάσματα κακὰ ἀνθρώπων ὁποῦ ἔχουσι τὸν νοῦν τους διεφθαρμένον, καὶ ὁποῦ εἶναι ἐστερημένοι τῆς ἀληθείας, ὁποῦ λογιάζουσι νὰ εἶναι ἡ εὐσέβεια πρόσοδος, ἀναχώρει ἀπὸ τοὺς τοιούτους.

6 Καὶ βέβαια μεγάλη πρόσοδος εἶναι ἡ εὐσέβεια, μὲ καρδίαν εὐχαριστημένην εἰς τὰ ἀρκετά.

7 Διατὶ κανένα πρᾶγμα δὲν ἐφέραμεν εἰς τὸν κόσμον· καὶ φανερὸν εἶναι ὅτι οὐδὲ δυνάμεσθε νὰ εὐγάλωμεν τίποτις.

8 Καὶ ὅταν ἔχωμεν φαγητὰ καὶ σκεπάσματα, ἂς εἴμεσθεν ἀρκετοὶ εἰς ἐτοῦτα.

9 Ἀμὴ ἐκεῖνοι ὁποῦ θέλουν νὰ πλουτοῦν, πέφτουσι μέσα εἰς πειρασμὸν καὶ παγίδα, καὶ ἐπιθυμίαις πολλαῖς, ἄγνωσταις καὶ βλαβεραῖς, ἡ ὁποῖαις βυθίζουσι τοὺς ἀνθρώπους εἰς χαλασμὸν καὶ ἀπώλειαν.

10 Ῥίζα γὰρ πάντων τῶν κακῶν ἐϛὶν ἡ φιλαργυρία· ἧς τινες ὀρεγόμενοι ἀπεπλανήθησαν ἀπὸ τῆς πίϛεως, καὶ ἑαυτȣ̀ς περιέπειραν ὀδύναις πολλαῖς.

11 Σὺ δὲ ὦ ἄνθρωπε τοῦ Θεȣ̃, ταῦτα φεῦγε· δίωκε δὲ δικαιοσύνην, εὐσέβειαν, πίϛιν, ἀγάπην, ὑπομονὴν, πραότητα.

12 Ἀγωνίζȣ τὸν καλὸν ἀγῶνα τῆς πίϛεως, ἐπιλαβȣ̃ τῆς αἰωνίȣ ζωῆς, εἰς ἣν καὶ ἐκλήθης, καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων.

13 Παραγγέλλω σοι ἐνώπιον τοῦ Θεȣ̃ τοῦ ζωοποιȣ̃ντος τὰ πάντα, καὶ Χριϛȣ̃ Ἰησȣ̃ τȣ̃ μαρτυρήσαντος ἐπὶ Ποντίȣ Πιλάτȣ τὴν καλὴν ὁμολογίαν·

14 Τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον, μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίȣ ἡμῶν Ἰησȣ̃ Χριϛȣ̃·

15 Ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάϛης, ὁ Βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων,

16 Ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον,

10 Διατὶ ῥίζα ὅλων τὸ κακῶν εἶναι ἡ φιλαργυρία· τὴν ὁποίαν κάποιοι ἔϛωντας νὰ τὴν ὀρεχθȣ̃σιν, ἐπλανήθηκαν ἀπὸ τὴν πίϛιν, καὶ ἐκάρφωσαν τοῦ λόγȣ τȣς εἰς πολλȣ̀ς πόνȣς.

11 Ἀμὴ ἐσὺ, ὦ ἄνθρωπε τοῦ Θεȣ̃, φεῦγε ἐτȣ̃τα· καὶ σπȣ́δαζε δικαιοσύνην, εὐσέβειαν, πίϛιν, ἀγάπην, ὑπομονὴν, πραότητα.

12 Ἀγωνίζȣ τὸν καλὸν ἀγῶνα τῆς πίϛεως, σφικτοκράτησε τὴν αἰώνιον ζωὴν, εἰς τὴν ὁποίαν ἐκαλέσθης, καὶ ὡμολόγησες τὴν καλὴν ὁμολογίαν ὀμπροϛὰ εἰς πολλȣ̀ς μάρτυρας.

13 Παραγγέλλω σȣ ὀμπροϛὰ εἰς τὸν Θεὸν, ὁπȣ̃ ζωοποιεῖ τὰ πάντα, καὶ εἰς Χριϛὸν Ἰησȣ̃ν, ὁπȣ̃ ἐμαρτύρησεν ὀμπροϛὰ εἰς τὸν Πόντιον Πιλάτον τὴν καλὴν ὁμολογίαν·

14 Νὰ φυλάξῃς ἐτȣ́την τὴν ἐντολὴν ὦντας ἀμόλυντος, ἀκατηγόρητος, ἕως τὴν ἐπιφάνειαν τοῦ Κυρίȣ μας Ἰησȣ̃ Χριϛȣ̃·

15 Τὴν ὁποίαν εἰς τȣ̀ς διωρισμένȣς καιρȣ̀ς θέλει τὴν δείξει ὁ μακάριος καὶ μόνος δυνάϛης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων,

16 Ἐκεῖνος ὁπȣ̃ ἔχει μόνος ἀθανασίαν, καὶ κατοικᾶ

ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ κράτος αἰώνιον· ἀμήν.

17 Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι, παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐν τῷ Θεῷ τῷ ζῶντι, τῷ παρέχοντι ἡμῖν πλουσίως πάντα εἰς ἀπόλαυσιν·

18 Ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς·

19 Ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς.

20 Ὦ Τιμόθεε, τὴν παρακαταθήκην φύλαξον, ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας, καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως·

21 Ἥν τινες ἐπαγγελλόμενοι, περὶ τὴν πίστιν ἠστόχησαν. Ἡ χάρις μετὰ σοῦ. Ἀμήν.

† Πρὸς Τιμόθεον πρώτη ἐγράφη ἀπὸ Λαοδικείας, ἥτις ἐστὶ μητρόπολις Φρυγίας τῆς Πακατιανῆς.

φῶς ἀπλησίαστον, τὸν ὁποῖον κανένας ἀπὸ τοὺς ἀνθρώπους δὲν τὸν εἶδεν, οὐδὲ δύνεται νὰ τὸν εἰδῇ· εἰς τὸν ὁποῖον εἶναι τιμὴ καὶ κράτος παντοτεινόν· ἀμήν.

17 Παράγγελλε τοὺς πλουσίους εἰς τοῦτον τὸν αἰῶνα νὰ μὴν ὑψηλοφρονοῦσι, μηδὲ νὰ ἐλπίζουσι εἰς τὴν ἀβεβαιότητα τοῦ πλούτου, ἀλλὰ εἰς τὸν Θεὸν τὸν ζῶντα, ὁποῦ μᾶς δίδει πλουσίως ὅλα εἰς ἀπόλαυσιν·

18 Νὰ κάμνουσιν ἀγαθὰ ἔργα, νὰ πλουτοῦσιν εἰς ἔργα καλὰ, νὰ εἶναι μεταδοτικοὶ, κοινωνητικοί·

19 Νὰ θησαυρίζουσιν εἰς τοῦ λόγου τους θεμέλιον καλὸν εἰς τὸ μέλλον, διὰ νὰ πιάσουν τὴν αἰώνιον ζωήν.

20 Ὦ Τιμόθεε, τὴν παρακαταθήκην ἐτοῦτην φύλαξε, ἀποδιώχνωντας ταῖς συχαμέναις ματαιολογίαις, καὶ ταῖς φιλονεικίαις τῆς ψεύτικης γνώσεως·

21 Τὴν ὁποίαν (γνῶσιν) τινὲς λέγοντες νὰ τὴν ἔχουν, ἀπότυχαν ἀπὸ τὴν πίστιν. Ἡ χάρις μετὰ σοῦ. Ἀμήν.

† Ἡ εἰς Τιμόθεον πρώτη ἐγράφη ἀπὸ τὴν Λαοδικείαν, ἡ ὁποῖα εἶναι ἡ μητρόπολις Φρυγίας τῆς Πακατιανῆς.

ΠΑΥ͂ΛΟΥ ΤΟΥ͂ ἈΠΟΣΤΟ´ΛΟΥ

Ἡ ΠΡΟ`Σ ΤΙΜΟ´ΘΕΟΝ ἘΠΙΣΤΟΛΗ´ ΔΕΥΤΕ´ΡΑ.

Κεφ. α'. 1.

ΠΑΥ͂ΛΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, κατ' ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ,

2 Τιμοθέῳ ἀγαπητῷ τέκνῳ, χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς, καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

3 Χάριν ἔχω τῷ Θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσί μου νυκτὸς καὶ ἡμέρας·

4 Ἐπιποθῶν σε ἰδεῖν, μεμνημένος σοῦ τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ·

5 Ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι καὶ τῇ μητρί σου Εὐνίκῃ· πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί.

6 Δι' ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ, ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου.

ΠΑΥ͂ΛΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ, μὲ τὸ θέλημα τοῦ Θεοῦ, κατὰ τὸ τάξιμον τῆς ζωῆς ὁποῦ εἶναι εἰς τὸν Χριστὸν Ἰησοῦν,

2 Εἰς τὸν Τιμόθεον τὸ ἀγαπητὸν τέκνον, ἂς εἶναι χάρις, ἔλεος, εἰρήνη ἀπὸ τὸν Θεὸν τὸν πατέρα, καὶ τὸν Χριστὸν Ἰησοῦν τὸν Κύριόν μας.

3 Εὐχαριστῶ τὸν Θεὸν, τὸν ὁποῖον λατρεύω ἀπὸ τοὺς προγόνους μου μὲ καθαρὰν συνείδησιν, ὅτι σὲ ἐνθυμοῦμαι πάντοτε εἰς ταῖς προσευχαῖς μου νύκτα καὶ ἡμέρα·

4 Ἔχωντας μεγάλον πόθον νὰ σὲ εἰδῶ, ἐνθυμούμενος τὰ δάκρυμά σου, διὰ νὰ γεμισθῶ χαράν·

5 Ἀναθυμούμενος τὴν πίστιν σου τὴν ἄπλαστον, ἡ ὁποῖα ἐκατοίκησε πρῶτον εἰς τὴν μάμμην σου τὴν Λωΐδα, καὶ εἰς τὴν μητέρα σου τὴν Εὐνίκην· καὶ πιστεύω, ὅτι νὰ εἶναι καὶ εἰς ἐσένα.

6 Διὰ τὴν ὁποίαν ἀφορμὴν σὲ ἀναθυμίζω, νὰ ἀνάπτης τὸ χάρισμα τοῦ Θεοῦ, ὁποῦ εἶναι εἰς ἐσένα διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου.

7 Οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ Θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμȣ̃.

8 Μὴ ȣ̃ν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίȣ ἡμῶν, μηδὲ ἐμὲ τὸν δέσμιον αὐτȣ̃· ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ κατὰ δύναμιν Θεȣ̃·

9 Τȣ̃ σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλήσει ἁγίᾳ· ȣ̓ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν, καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριςῷ Ἰησȣ̃ πρὸ χρόνων αἰωνίων·

10 Φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τȣ̃ σωτῆρος ἡμῶν Ἰησȣ̃ Χριςȣ̃, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίȣ·

11 Εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόςολος καὶ διδάσκαλος ἐθνῶν.

12 Δι' ἣν αἰτίαν καὶ ταῦτα πάσχω· ἀλλ' οὐκ ἐπαισχύνομαι· οἶδα γὰρ ᾧ πεπίςευκα, καὶ πέπεισμαι ὅτι δυνατός ἐςι τὴν παραθήκην μȣ φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν.

13 Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων, ὧν παρ' ἐμȣ̃ ἤκȣσας ἐν πίςει καὶ ἀγάπῃ τῇ ἐν Χριςῷ Ἰησȣ̃.

7 Διατὶ ὁ Θεὸς δὲν μᾶς ἔδωκε πνεῦμα δειλίας, ἀλλὰ (πνεῦμα) δυνάμεως, καὶ ἀγάπης, καὶ σωφρονισμȣ̃.

8 Μὴν ἐντραπῇς λοιπὸν τὴν μαρτυρίαν τοῦ Κυρίȣ μας, μηδὲ ἐμένα τὸν δέσμιόν τȣ· ἀλλὰ συγκακοπάθησε μετ' ἐμένα εἰς τὸ εὐαγγέλιον κατὰ τὴν δύναμιν τοῦ Θεȣ̃·

9 Ὁπȣ̃ μᾶς ἔσωσε, καὶ μᾶς ἐκάλεσε μὲ κάλεσμα ἅγιον· ὄχι κατὰ τὰ ἔργα μας, ἀλλὰ κατὰ τὴν ἰδίαν τȣ πρόθεσιν καὶ τὴν χάριν, ὁπȣ̃ μᾶς ἐδόθη εἰς τὸν Χριςὸν Ἰησȣ̃ν προτίτερα ἀπὸ χρόνȣς αἰωνίȣς·

10 Καὶ τώρα ἐφανερώθη διαμέσȣ τῆς ἐπιφανείας τȣ̃ σωτῆρός μας Ἰησȣ̃ Χριςȣ̃, ὁπȣ̃ ἐχάλασε τὸν θάνατον, καὶ ἐφανέρωσε τὴν ζωὴν καὶ τὴν ἀφθαρσίαν διὰ μέσȣ τȣ̃ εὐαγγελίȣ·

11 Εἰς τὸ ὁποῖον ἐβάλθηκα ἐγὼ κήρυξ καὶ ἀπόςολος, καὶ διδάσκαλος τῶν ἐθνῶν.

12 Διὰ τὴν ὁποίαν ἀφορμὴν παθαίνω καὶ τȣ̃τα· ἀλλὰ δὲν ἐντρέπομαι· διατὶ ἠξεύρω εἰς τίναν ἐπίςευσα, καὶ πιςεύω ὅτι εἶναι δυνατὸς νὰ φυλάξῃ τὴν παρακαταθήκην μȣ εἰς ἐκείνην τὴν ἡμέραν.

13 Κράτει τὸ παράδειγμα τῶν ὑγιῶν λόγων, τῶν ὁποίων ἄκȣσες ἀπὸ λόγȣ μȣ, μὲ πίςιν καὶ ἀγάπην ὁπȣ̃ εἶναι εἰς τὸν Χριςὸν Ἰησȣ̃ν.

14 Τὴν καλὴν παρακαταθήκην φύλαξον διὰ Πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν.

15 Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ, ὧν ἐστι Φύγελλος καὶ Ἑρμογένης.

16 Δώη ἔλεος ὁ Κύριος τῷ Ὀνησιφόρου οἴκῳ· ὅτι πολλάκις με ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη·

17 Ἀλλὰ γενόμενος ἐν Ῥώμῃ, σπουδαιότερον ἐζήτησέ με, καὶ εὗρε.

18 Δώη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις.

14 Τὴν καλὴν παρακαταθήκην φύλαξον διαμέσου τοῦ Πνεύματος τοῦ ἁγίου, ὁποῦ κατοικᾷ εἰς ἐμᾶς.

15 Ἰξεύρεις ἐτοῦτο, ὅτι ὅλοι ὁποῦ εἶναι εἰς τὴν Ἀσίαν μὲ ἀποστράφηκαν, ἀπὸ τοὺς ὁποίους εἶναι Φύγελλος καὶ Ἑρμογένης.

16 Ὁ Κύριος νὰ δώσῃ ἔλεος εἰς τὸ σπῆτι τοῦ Ὀνησιφόρου· ὅτι πολλαῖς φοραῖς μὲ ἐθεράπευσε, καὶ τὴν ἅλυσίν μου δὲν ἐντράπη·

17 Ἀλλὰ ὥντας εἰς τὴν Ῥώμην, μὲ πολλὴν σπουδὴν μὲ ἐζήτησε καὶ μὲ ηὗρεν.

18 Ὁ Κύριος νὰ τοῦ δώσῃ νὰ εὕρῃ ἔλεος ἀπὸ τὸν Κύριον εἰς τὴν ἡμέραν ἐκείνην· καὶ ὅσα μὲ ὑπηρέτησεν εἰς τὴν Ἔφεσον, ἐσὺ τὰ ἰξεύρεις καλίτερα.

Κεφ. β΄. 2.

ΣΥ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ·

2 Καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι.

3 Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ.

4 Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγμα-

ΕΣΥ λοιπὸν, τέκνον μου, δυναμώνου μὲ τὴν χάριν ὁποῦ εἶναι εἰς τὸν Χριστὸν Ἰησοῦν·

2 Καὶ ἐκεῖνα ὁποῦ ἄκουσες ἀπὸ λόγου μου διαμέσου πολλῶν μαρτύρων, παράδωσέ τα ὡσὰν παρακαταθήκην εἰς πιστοὺς ἀνθρώπους, ὁποῦ νὰ εἶναι ἱκανοὶ νὰ διδάξουν καὶ ἄλλους.

3 Ἐσὺ λοιπὸν κακοπάθησε, ὡσὰν καλὸς στρατιώτης τοῦ Ἰησοῦ Χριστοῦ.

4 Οὐδὲ ἕνας ὁποῦ στρατεύεται ἐμπλέκεται εἰς ταῖς πραγ-

τείαις, ἵνα τῷ στρατολογή-
σαντι ἀρέσῃ·
5 Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ
στεφανοῦται ἐὰν μὴ νομίμως
ἀθλήσῃ.
6 Τὸν κοπιῶντα γεωργὸν
δεῖ πρῶτον τῶν καρπῶν με-
ταλαμβάνειν.
7 Νόει ἃ λέγω· δώῃ γάρ
σοι ὁ Κύριος σύνεσιν ἐν
πᾶσι.
8 Μνημόνευε Ἰησοῦν Χρι-
στὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ
σπέρματος Δαβὶδ, κατὰ τὸ
εὐαγγέλιόν μου·
9 Ἐν ᾧ κακοπαθῶ μέ-
χρι δεσμῶν, ὡς κακοῦργος·
ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέ-
δεται.
10 Διὰ τοῦτο πάντα ὑπο-
μένω διὰ τοὺς ἐκλεκτοὺς, ἵνα
καὶ αὐτοὶ σωτηρίας τύχωσι
τῆς ἐν Χριστῷ Ἰησοῦ, μετὰ
δόξης αἰωνίου.
11 Πιστὸς ὁ λόγος· εἰ γὰρ
συναπεθάνομεν, καὶ συζή-
σομεν·
12 Εἰ ὑπομένομεν, καὶ
συμβασιλεύσομεν· εἰ ἀρνού-
μεθα, κἀκεῖνος ἀρνήσεται
ἡμᾶς.
13 Εἰ ἀπιστοῦμεν, ἐκεῖνος
πιστὸς μένει· ἀρνήσασθαι ἑαυ-
τὸν οὐ δύναται.
14 Ταῦτα ὑπομίμνησκε,

ματείαις τῆς ζωῆς ἐτούτης,
διὰ νὰ ἀρέσῃ ἐκεῖνον ὁποῦ τὸν
ἐδιάλεξε διὰ στρατιώτην·
5 Καὶ ἐὰν κανένας ἀγω-
νίζεται, δὲν στεφανώνεται ἐὰν
δὲν ἀγωνισθῇ νομίμως.
6 Ὁ γεωργὸς ὁποῦ κοπιάζει
κάμνει χρεία νὰ μεταλαμβάνῃ
πρῶτον ἀπὸ τοὺς καρπούς.
7 Γροίκα ἐκεῖνα ὁποῦ λέγω·
ἄμποτες ὁ Κύριος νὰ σὲ δώσῃ
γνῶσιν εἰς ὅλα.
8 Ἐνθυμοῦ τὸν Ἰησοῦν Χριστὸν
ὁποῦ ἀνέστη ἐκ νεκρῶν, ὁ ὁποῖος
(ἐγεννήθη) ἀπὸ τὸ σπέρμα τοῦ
Δαβὶδ κατὰ τὸ εὐαγγέλιόν μου·
9 Εἰς τὸ ὁποῖον κακοπαθῶ
ἕως εἰς δεσμὰ, ὡσὰν κακο-
ποιός· ἀλλὰ ὁ λόγος τοῦ
Θεοῦ δὲν δένεται.
10 Διὰ τοῦτο ἐγὼ τὰ ὑπο-
μένω ὅλα διὰ τοὺς ἐκλεκτοὺς,
διὰ νὰ τύχουσι καὶ αὐτοὶ σω-
τηρίαν, ὁποῦ εἶναι εἰς τὸν Χρι-
στὸν Ἰησοῦν μὲ δόξαν αἰώνιον.
11 Ὁ λόγος ἐτοῦτος εἶναι
ἀληθινός· διατὶ ἐὰν ἀποθάνω-
μεν ἀντάμα μὲ τὸν Χριστὸν,
θέλομεν ζήσει καὶ ἀντάμα
μετ' αὐτόν·
12 Ἐὰν ὑπομένομεν, καὶ
θέλομεν συμβασιλεύσει· ἐὰν
ἀρνούμεσθεν ἐκεῖνον, καὶ ἐκεῖ-
νος θέλει μᾶς ἀρνηθῇ·
13 Ἐὰν ἐμεῖς ἀπιστοῦμεν,
ἐκεῖνος πιστὸς μένει· νὰ ἀρνη-
θῇ τοῦ λόγου του δὲν δύναται.
14 Ἐτοῦτα ἀναθύμιζε,

διαμαρτυρόμενος ἐνώπιον τοῦ Κυρίου μὴ λογομαχεῖν, εἰς οὐδὲν χρήσιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων.

μαρτυρῶντας τοὺς ἀνθρώπους ὀμπροστὰ εἰς τὸν Κύριον, νὰ μὴν λογομαχοῦσι, τὸ ὁποῖον δὲν εἶναι ὠφέλιμον εἰς κανένα, ἀλλὰ χαλασμὸς ἐκεινῶν ὁποῦ ἀκούουν.

15 Σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ Θεῷ, ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας.

15 Σπούδαζε νὰ παραστήσῃς τοῦ λόγου σου δόκιμον εἰς τὸν Θεὸν, ἐργάτην ἀνεντρόπιαστον, ὀρθοκόπτωντας τὸν λόγον τῆς ἀληθείας.

16 Τὰς δὲ βεβήλους κενοφωνίας περιΐστασο· ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας·

16 Ἀμὴ ταῖς βδελυκταῖς ματαιοφωνίαις φεῦγε· διατὶ θέλουσι προκόψει εἰς μεγαλιτέραν ἀσέβειαν·

17 Καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει· ὧν ἐστιν Ὑμέναιος καὶ Φιλητός·

17 Καὶ ὁ λόγος τῶν τοιούτων βόσκωντας ἐμπροσθὰ, θέλει καταφάγει ὡσὰν φάγουσα· ἀπὸ τοὺς ὁποίους εἶναι ὁ Ὑμέναιος καὶ Φιλητός·

18 Οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι· καὶ ἀνατρέπουσι τὴν τινων πίστιν.

18 Οἱ ὁποῖοι ἀπότυχαν ἀπὸ τὴν ἀλήθειαν, λέγοντες νὰ ἔγινεν ἡ ἀνάστασις τώρα· καὶ ἀνατρέπουσι τὴν πίστιν μερικῶν.

19 Ὁ μέντοι στερεὸς θεμέλιος τοῦ Θεοῦ ἕστηκεν, ἔχων τὴν σφραγῖδα ταύτην· Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ· καί· Ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Χριστοῦ.

19 Ὅμως ὁ στερεὸς θεμέλιος τοῦ Θεοῦ στέκεται, ἔχωντας τὴν βοῦλαν ἐτούτην· Ἐγνώρισεν ὁ Κύριος ἐκείνους ὁποῦ εἶναι ἰδικοί του· καί· Ἂς εἶναι μακρὰν ἀπὸ τὴν ἀδικίαν κάθε ἕνας, ὁποῦ ὀνομάζει τὸ ὄνομα τοῦ Χριστοῦ.

20 Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα· καὶ ἃ μὲν εἰς τιμήν, ἃ δὲ εἰς ἀτιμίαν.

20 Καὶ εἰς μεγάλον σπῆτι δὲν εἶναι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ εἶναι καὶ ξύλινα καὶ πήλινα· καὶ μερικὰ εἶναι εἰς τιμὴν, καὶ μερικὰ εἶναι εἰς ἀτιμίαν.

21 Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος

21 Ἂν λοιπὸν κανένας καθαρίσῃ τοῦ λόγου του ἀπὸ τοῦτα,

εἰς τιμὴν, ἡγιασμένον καὶ εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.

22 Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε· δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην μετὰ τῶν ἐπικαλουμένων τὸν Κύριον ἐκ καθαρᾶς καρδίας.

23 Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς ὅτι γεννῶσι μάχας·

24 Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικὸν, ἀνεξίκακον·

25 Ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους· μήποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας,

26 Καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.

θέλει εἶσθαι ἀγγεῖον εἰς τιμὴν, ἁγιασμένον καὶ εὔχρηστον εἰς τὸν δεσπότην, εἰς κάθε ἔργον καλὸν ἑτοιμασμένον.

22 Φεῦγε ταῖς ἐπιθυμίαις ταῖς νεωτερικαῖς· καὶ ἀκολούθα τὴν δικαιοσύνην, τὴν πίστιν, τὴν ἀγάπην, τὴν εἰρήνην ὁμοῦ μὲ ἐκείνους ὁποῦ ἐπικαλοῦνται τὸν Κύριον μὲ καθαρὰν καρδίαν.

23 Καὶ τὰ μωρὰ καὶ ἀπαίδευτα ζητήματα ἄφινέ τα, ἰξεύρωντας ὅτι γεννοῦν μάχαις·

24 Καὶ ὁ δοῦλος τοῦ Κυρίου δὲν πρέπει νὰ μάχεται, ἀλλὰ νὰ εἶναι πρᾶος εἰς ὅλους, διδακτικὸς, ὑπομονητικὸς εἰς τοὺς κακούς·

25 Μὲ πραότητα νὰ παιδεύῃ ἐκείνους ὁποῦ ἐναντιοῦνται· μήπως καὶ καμίαν φορὰν ὁ Θεὸς τοὺς δώσῃ μετάνοιαν, νὰ ἔλθουσιν εἰς τὴν γνῶσιν τῆς ἀληθείας,

26 Καὶ ξεννηστικωθοῦν ἀπὸ τὴν παγίδα τοῦ διαβόλου, ἀπὸ τὸν ὁποῖον εἶναι ζωντανοὶ πιασμένοι εἰς (τὸ νὰ κάμνουν) τὸ θέλημά του.

Κεφ. γ'. 3.

ΤΟῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί·

2 Ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφη-

ΚΑῚ γνώριζε τοῦτο, ὅτι εἰς ταῖς ὑστερναῖς ἡμέραις θέλουσι φθάσει καιροὶ δύσκολοι·

2 Διατὶ οἱ ἄνθρωποι θέλουσιν ἀγαπήσει τοῦ λόγου τους, καὶ θέλουσιν εἶσθαι φιλάργυροι,

μοι, γονεῦσιν ἀπειθεῖς, ἀχά-
ριστοι, ἀνόσιοι,

3 Ἄστοργοι, ἄσπονδοι, διά-
βολοι, ἀκρατεῖς, ἀνήμεροι,
ἀφιλάγαθοι,

4 Προδόται, προπετεῖς, τε-
τυφωμένοι, φιλήδονοι μᾶλλον
ἢ φιλόθεοι·

5 Ἔχοντες μόρφωσιν εὐσε-
βείας, τὴν δὲ δύναμιν αὐτῆς
ἠρνημένοι· καὶ τούτους ἀπο-
τρέπου.

6 Ἐκ τούτων γάρ εἰσιν οἱ
ἐνδύνοντες εἰς τὰς οἰκίας, καὶ
αἰχμαλωτεύοντες τὰ γυναι-
κάρια σεσωρευμένα ἁμαρτίαις,
ἀγόμενα ἐπιθυμίαις ποικί-
λαις.

7 Πάντοτε μανθάνοντα,
καὶ μηδέποτε εἰς ἐπίγνωσιν
ἀληθείας ἐλθεῖν δυνάμενα.

8 Ὃν τρόπον δὲ Ἰαννῆς καὶ
Ἰαμβρῆς ἀντέστησαν Μωϋσεῖ,
οὕτως καὶ οὗτοι ἀνθίστανται τῇ
ἀληθείᾳ, ἄνθρωποι κατεφ-
θαρμένοι τὸν νοῦν, ἀδόκιμοι
περὶ τὴν πίστιν.

9 Ἀλλ' οὐ προκόψουσιν ἐπὶ
πλεῖον· ἡ γὰρ ἄνοια αὐτῶν
ἔκδηλος ἔσται πᾶσιν, ὡς καὶ
ἡ ἐκείνων ἐγένετο.

10 Σὺ δὲ παρηκολούθηκάς
μου τῇ διδασκαλίᾳ τῇ ἀγω-

κενόδοξοι, ὑπερήφανοι, βλάσ-
φημοι, ἀπειθεῖς εἰς τοὺς γο-
νεῖς τους, ἀχάριστοι, κατα-
φρονοῦντες τὰ θεῖα,

3 Νὰ μὴν ἔχουν ἀγάπην,
ἀφιλίωτοι, διαβαλτάδες, ἀκρα-
τεῖς, ἀνήμεροι, ἀφιλάγαθοι,

4 Προδόται, προπετεῖς,
ἐπηρμένοι, φιλήδονοι μᾶλλον
παρὰ φιλόθεοι·

5 Ἔχοντες μόρφωσιν εὐ-
σεβείας, ἀμὴ τὴν δύναμίν της
τὴν ἀρνοῦνται· καὶ τούτους ἀπο-
στρέφου.

6 Διατὶ ἀπὸ τούτους εἶναι
ἐκεῖνοι ὅπου ἐμβαίνουσιν εἰς τὰ
σπήτια, καὶ σκλαβώνουν τὰ γυ-
ναικάρια, ὅπου εἶναι φορτωμένα
ἁμαρτίαις, ὅπου σύρνονται εἰς
ἐπιθυμίαις πολυλογήτικαις.

7 Ὅπου μαθαίνουσι πάν-
τοτε, καὶ μηδὲ ποτὲ δύνουνται
νὰ ἔλθουσιν εἰς τὴν γνῶρισιν
τῆς ἀληθείας.

8 Καὶ καθὼς Ἰαννῆς καὶ
Ἰαμβρῆς ἐναντιώθηκαν τὸν
Μωϋσῆν, τέτοιας λογῆς καὶ
ἐτοῦτοι ἐναντιοῦνται τὴν ἀλή-
θειαν, ἄνθρωποι διεφθαρμένοι
εἰς τὸν νοῦν, ἀδόκιμοι εἰς τὴν
πίστιν.

9 Ἀλλὰ δὲν θέλουσι προ-
κόψει περισσότερον· διατὶ ἡ
ἀγνωσία τους θέλει γένει φανε-
ρὴ εἰς ὅλους, καθὼς καὶ ἡ (ἀγνω-
σία) ἐκείνων ἔγινε φανερή.

10 Ἀμὴ ἐσὺ ἐκατάλαβες
καλὰ τὴν διδασκαλίαν μου, τὴν

γῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ·

11 Τοῖς διωγμοῖς, τοῖς παθήμασιν, οἷά μοι ἐγένετο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις· οἵους διωγμοὺς ὑπήνεγκα, καὶ ἐκ πάντων με ἐῤῥύσατο ὁ Κύριος.

12 Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται.

13 Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι.

14 Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες·

15 Καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν, διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ.

16 Πᾶσα γραφὴ, θεόπνευστος, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ·

17 Ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.

ἀναστροφήν μου, τὴν προθυμίαν, τὴν πίστιν, τὴν μακροθυμίαν, τὴν ἀγάπην, τὴν ὑπομονήν·

11 Τοὺς διωγμοὺς, τὰ παθήματα, τὰ ὁποῖα μοῦ ἐγίνηκαν εἰς τὴν Ἀντιόχειαν, εἰς τὸ Ἰκόνιον, εἰς τοὺς Λύστρους· τί λογῆς διωγμοὺς ὑπέμεινα, καὶ ἀπὸ ὅλους μὲ ἐλευθέρωσεν ὁ Κύριος.

12 Ἀλλὰ καὶ ὅλοι ὅσοι θέλουσι νὰ ζοῦσιν εὐσεβῶς εἰς τὸν Χριστὸν Ἰησοῦν, θέλουσι διωχθῆ.

13 Ἀμὴ ἄνθρωποι πονηροὶ καὶ πλάνοι θέλουσι προκόψει εἰς τὸ χειρότερον, πλανῶντες τοὺς ἄλλους καὶ πλανώμενοι.

14 Ἀλλὰ ἐσὺ μένε εἰς ἐκεῖνα ὁποῦ ἔμαθες καὶ ἐπιστώθης, ἠξεύροντας ἀπὸ τίνα τὰ ἔμαθες·

15 Καὶ ὅτι ἀπὸ βρέφος ἠξεύρεις τὰ ἱερὰ γράμματα, ὁποῦ δύνουνται νὰ σὲ σοφίσουν εἰς σωτηρίαν, διαμέσου τῆς πίστεως ὁποῦ εἶναι εἰς τὸν Χριστὸν Ἰησοῦν.

16 Ὅλη ἡ γραφὴ εἶναι θεόπνευστη, καὶ ὠφέλιμη εἰς διδασκαλίαν, εἰς ἔλεγχον, εἰς διόρθωσιν, εἰς παίδευσιν ὁποῦ εἶναι εἰς τὴν δικαιοσύνην·

17 Διὰ νὰ εἶναι σωστὸς ὁ ἄνθρωπος τοῦ Θεοῦ, τελείως ἑτοιμασμένος εἰς κάθε ἔργον ἀγαθόν.

Κεφ. δ'. 4.

Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ Θεοῦ, καὶ τοῦ Κυρίου

Διαμαρτύρομαι λοιπὸν ἐγὼ ὀμπροστὰ εἰς τὸν Θεὸν, καὶ

Ἰησοῦ Χριστοῦ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκροὺς κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ·

2 Κήρυξον τὸν λόγον, ἐπίστηθι εὐκαίρως, ἀκαίρως· ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ.

3 Ἔσται γὰρ καιρὸς ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται· ἀλλὰ κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους, κνηθόμενοι τὴν ἀκοήν·

4 Καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται.

5 Σὺ δὲ νῆφε ἐν πᾶσι, κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον.

6 Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε.

7 Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα.

8 Λοιπὸν, ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής· οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ

τὸν Κύριόν μας Ἰησοῦν Χριστὸν, ὁποῦ μέλλει νὰ κρίνῃ ζωντανοὺς καὶ νεκροὺς εἰς τὸν καιρὸν τῆς ἐπιφανείας του, καὶ τῆς βασιλείας του·

2 Κήρυξε τὸν λόγον, παραστάσου καὶ καλόκαιρα, καὶ παράκαιρα· ἔλεγχε, ἐπιτίμησον, παρακάλει μὲ κάθε μακροθυμίαν καὶ διδαχήν.

3 Διατὶ μέλλει νὰ ἔλθῃ καιρὸς, ὁποῦ νὰ μὴν ὑπομένουσι τὴν ὑγιαίνουσαν διδασκαλίαν· ἀλλὰ κατὰ ταῖς ἐδικαῖς τους ἐπιθυμίαις θέλουσι θημωνιάσει εἰς τοῦ λόγου τους διδασκάλους, ὁποῦ νὰ γαργαλίζουσι τὴν ἀκοήν τους·

4 Καὶ ἀπὸ τὴν ἀλήθειαν θέλουσιν ἀποστρέψει τὴν ἀκοήν τους, καὶ εἰς τοὺς μύθους θέλουσι γυρίσει.

5 Ἀλλὰ ἐσὺ ἀγρύπνα εἰς ὅλα, κακοπάθησε, κάμε ἔργον εὐαγγελιστοῦ, πληροφόρησε τὴν διακονίαν σου.

6 Διατὶ ἐγὼ ὡραμάϊ γίνομαι ῥαντισμὸς τῆς θυσίας, καὶ ὁ καιρὸς τοῦ χωρισμοῦ μου ἔφθασε.

7 Τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσθηκα, τὸν δρόμον ἐτελείωσα, τὴν πίστιν ἐφύλαξα.

8 Τὸ λοιπὸν, μοῦ φυλάττεται ὁ στέφανος τῆς δικαιοσύνης, τὸν ὁποῖον θέλει μοῦ τὸν ἀποδώσει ὁ Κύριος εἰς ἐκείνην τὴν ἡμέραν, ὁ δίκαιος κριτής· καὶ ὄχι μόνον

καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.

9 Σπούδασον ἐλθεῖν πρός με ταχέως·

10 Δημᾶς γάρ με ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην· Κρήσκης εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν·

11 Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ· Μάρκον ἀναλαβὼν, ἄγε μετὰ σεαυτοῦ· ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν.

12 Τυχικὸν δὲ ἀπέστειλα εἰς Ἔφεσον.

13 Τὸν φελόνην ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας.

14 Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο· ἀποδῴη αὐτῷ ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ·

15 Ὃν καὶ σὺ φυλάσσου· λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις.

16 Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον· (μὴ αὐτοῖς λογισθείη·)

17 Ὁ δὲ Κύριός μοι παρέστη, καὶ ἐνεδυνάμωσέ με, ἵνα δι' ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ,

εἰς ἐμένα, ἀλλὰ καὶ εἰς ὅλους ὁποῦ ἀγαποῦσι τὴν ἐπιφάνειάν του.

9 Σπούδασε νὰ ἔλθῃς εἰς ἐμένα τὸ γλιγωρώτερον.

10 Διατὶ ὁ Δημᾶς μὲ ἄφησεν, ἀγαπῶντας τὸν παρόντα τὸν αἰῶνα, καὶ ἐπῆγεν εἰς τὴν Θεσσαλονίκην· ὁ Κρήσκης ἐπῆγεν εἰς τὴν Γαλατίαν, ὁ Τίτος εἰς τὴν Δαλματίαν·

11 Λουκᾶς μόνος εἶναι μετ' ἐμένα· καὶ ἔπαρε καὶ τὸν Μάρκον, καὶ φέρε τον μὲ τοῦ λόγου σου· διατὶ μοῦ εἶναι πολλὰ χρήσιμος εἰς τὴν ὑπηρεσίαν.

12 Καὶ τὸν Τυχικὸν τὸν ἀπέστειλα εἰς τὴν Ἔφεσον.

13 Τὸν φελόνην τὸν ὁποῖον ἄφησα εἰς τὴν Τρωάδα σιμὰ εἰς τὸν Κάρπον, ἐρχόμενος φέρε τον, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράϊνα.

14 Ἀλέξανδρος ὁ χαλκεὺς πολλὰ κακὰ μοῦ ἔκαμεν· ἄμποτε ὁ Κύριος νὰ τοῦ ἀποδώσῃ κατὰ τὰ ἔργα του·

15 Τὸν ὁποῖον καὶ ἐσὺ φυλάγου τον· διατὶ πολλὰ ἐναντιώθηκε τὰ λόγιά μας.

16 Εἰς τὴν πρώτην μου ἀπολογίαν κανένας δὲν μὲ ἐπαραστάθη, ἀλλὰ ὅλοι μὲ ἄφησαν· (ἄμποτες νὰ μὴν τοὺς λογαριασθῇ·)

17 Ἀμὴ ὁ Κύριος μὲ ἐπαραστάθη, καὶ μὲ ἐδυνάμωσι, διὰ νὰ πληροφορηθῇ τὸ κή-

καὶ ἀκούσῃ πάντα τὰ ἔθνη· καὶ ἐῤῥύσθην ἐκ στόματος λέοντος.

18 Καὶ ῥύσεταί με ὁ Κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ, καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

19 Ἄσπασαι Πρίσκαν καὶ Ἀκύλαν, καὶ τὸν Ὀνησιφόρου οἶκον.

20 Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ· Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα.

21 Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν. Ἀσπάζεταί σε Εὔβουλος, καὶ Πούδης, καὶ Λῖνος, καὶ Κλαυδία, καὶ οἱ ἀδελφοὶ πάντες.

22 Ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματός σου· ἡ χάρις μεθ᾽ ὑμῶν· ἀμήν.

† Πρὸς Τιμόθεον δευτέρα τῆς Ἐφεσίων ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα, ἐγράφη ἀπὸ Ῥώμης, ὅτι ἐκ δευτέρου παρέστη Παῦλος τῷ Καίσαρι Νέρωνι.

ρυγμα διαμέσου μου, καὶ νὰ ἀκούσουν ὅλα τὰ ἔθνη· καὶ ἐλευθερώθηκα ἀπὸ στόμα τοῦ λέοντος.

18 Καὶ ὁ Κύριος θέλει μὲ ἐλευθερώσει ἀπὸ κάθε ἔργον κακὸν, καὶ θέλει μὲ σώσει εἰς τὴν βασιλείαν του τὴν ἐπουράνιον· εἰς τὸν ὁποῖον ἂς εἶναι ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

19 Χαιρέτισε τὴν Πρίσκιλλαν καὶ τὸν Ἀκύλαν, καὶ τὸ σπῆτι τοῦ Ὀνησιφόρου.

20 Ὁ Ἔραστος ἀπόμεινεν εἰς τὴν Κόρινθον· καὶ τὸν Τρόφιμον τὸν ἄφησα εἰς τὴν Μίλητον ἀσθενημένον.

21 Σπούδαξε νὰ ἔλθῃς προτίτερα ἀπὸ τὸν χειμῶνα. Χαιρετᾷ σε ὁ Εὔβουλος, καὶ Πούδης, καὶ Λῖνος, καὶ ἡ Κλαυδία, καὶ οἱ ἀδελφοὶ ὅλοι.

22 Ὁ Κύριος Ἰησοῦς Χριστὸς ἂς εἶναι μὲ τὸ πνεῦμά σου· ἡ χάρις μὲ λόγου σας· ἀμήν.

† Ἡ εἰς Τιμόθεον δευτέρα, τῆς Ἐφεσίων ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα, ἐγράφη ἀπὸ τὴν Ῥώμην, ὅτε ἐκ δευτέρου παρέστη ὁ Παῦλος εἰς τὸν Καίσαρα Νέρωνα.

ΠΑΥ͂ΛΟΥ ΤΟΥ͂ ἈΠΟΣΤΌΛΟΥ

Ἡ ΠΡῸΣ ΤΊΤΟΝ ἘΠΙΣΤΟΛΉ.

Κεφ. α΄. 1.

ΠΑΥ͂ΛΟΣ δοῦλος Θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ, καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ᾽ εὐσέβειαν·

2 Ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων,

3 Ἐφανέρωσε δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ, ἐν κηρύγματι ὃ ἐπιστεύθην ἐγὼ κατ᾽ ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν Θεοῦ·

4 Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν, χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν.

5 Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην·

6 Εἴ τις ἐστὶν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνὴρ, τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα.

ΠΑΥ͂ΛΟΣ δοῦλος Θεοῦ, καὶ ἀπόστολος τοῦ Ἰησοῦ Χριστοῦ, κατὰ τὴν πίστιν τῶν ἐκλεκτῶν τοῦ Θεοῦ, καὶ τὴν ἐπίγνωσιν τῆς ἀληθείας, ὁποῦ εἶναι κατὰ τὴν εὐσέβειαν·

2 Εἰς τὴν ἐλπίδα τῆς αἰωνίου ζωῆς, τὴν ὁποίαν ἔταξεν ὁ ἀψευδὴς Θεὸς πρωτίτερα ἀπὸ καιροὺς αἰωνίους,

3 Καὶ τὴν ἐφανέρωσεν εἰς καιροὺς διωρισμένους, ἤγουν τὸν λόγον του εἰς τὸ κήρυγμα τὸ ὁποῖον τὸ ἐνεμπιστεύθηκα ἐγὼ, μὲ πρόσταξιν τοῦ σωτῆρός μας Θεοῦ·

4 Εἰς τὸν Τίτον τὸ γνήσιον τέκνον κατὰ τὴν κοινὴν πίστιν, ἂς εἶναι χάρις, ἔλεος, εἰρήνη ἀπὸ τὸν Θεὸν τὸν πατέρα, καὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν τὸν σωτῆρά μας.

5 Διὰ τούτην τὴν ἀφορμὴν σὲ ἄφησα εἰς τὴν Κρήτην, διὰ νὰ διορθώσῃς ἐκεῖνα ὁποῦ λείπουσι, καὶ νὰ καταστήσῃς εἰς κάθε πόλιν πρεσβυτέρους, καθὼς ἐγὼ σὲ ἐδιάταξα·

6 Ἐὰν εἶναι κανένας ἀκατηγόρητος, μιᾶς γυναίκας ἄνδρας, καὶ ἔχει τέκνα πιστὰ, ὄχι κατηγορημένα ἀσωτίας, ἢ ἀνυπότακτα.

7 Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ·

7 Διατὶ ἀναγκαῖον εἶναι ὁ ἐπίσκοπος νὰ εἶναι ἀκατηγόρητος, ὡσὰν οἰκονόμος τοῦ Θεοῦ, νὰ μὴν εἶναι αὐθάδης, νὰ μὴν εἶναι ὀξύθυμος, νὰ μὴν εἶναι ὑβριστὴς, νὰ μὴν εἶναι δάρτης, νὰ μὴν ἀγαπᾷ κακὰ κέρδη·

8 Ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ·

8 Ἀλλὰ νὰ ἀγαπᾷ τοὺς ξένους, νὰ ἀγαπᾷ τὸ καλὸν, νὰ εἶναι σώφρων, δίκαιος, ὅσιος, ἐγκρατής·

9 Ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.

9 Νὰ κρατῇ τὸν πιστὸν λόγον τῆς διδαχῆς, διὰ νὰ δύνεται καὶ νὰ νουθετᾷ τοὺς ἄλλους μὲ τὴν διδασκαλίαν τὴν ὑγιῆ, καὶ νὰ ἐλέγχῃ ἐκείνους ὁποῦ ἐναντιοῦνται.

10 Εἰσὶ γὰρ πολλοὶ καὶ ἀνυπότακτοι, ματαιολόγοι καὶ φρεναπάται, μάλιστα οἱ ἐκ περιτομῆς·

10 Διατὶ εἶναι πολλοὶ ἀνυπότακτοι, ματαιολόγοι καὶ ὁποῦ ἀπατοῦσι τοὺς λογισμοὺς, μάλιστα ἐκεῖνοι ὁποῦ εἶναι ἀπὸ τὴν περιτομήν·

11 Οὓς δεῖ ἐπιστομίζειν· οἵτινες ὅλους οἴκους ἀνατρέπουσι, διδάσκοντες ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους χάριν.

11 Τοὺς ὁποίους πρέπει νὰ τοὺς ἀποστομώνωμεν· οἱ ὁποῖοι ὁλάκαιρα σπήτια γυρίζουσιν ἄνω κάτω, ἔστωντας νὰ διδάσκουσιν ἐκεῖνα ὁποῦ δὲν πρέπει, διὰ ἄσχημον κέρδος.

12 Εἶπέ τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης· Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.

12 Κάποιος ἀπ' αὐτοὺς ἐδικός τους προφήτης εἶπεν· Οἱ Κρητικοὶ πάντα εἶναι ψεύσταις, κακὰ θηρία, κοιλίαις ἀκαμάτραις.

13 Ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής· δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει·

13 Ἡ μαρτυρία ἐτούτη εἶναι ἀληθινή· διὰ τοῦτο ἔλεγχέ τους σκληρὰ, διὰ νὰ ὑγιαίνωσιν εἰς τὴν πίστιν·

14 Μὴ προσέχοντες Ἰεδαϊκοῖς μύθοις, καὶ ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν.

15 Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς· τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις ἐδὲν καθαρὸν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νῆς καὶ ἡ συνείδησις.

16 Θεὸν ὁμολογῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

14 Νὰ μὴν ἔχεν τὸν νεν τες εἰς μύθες Ἰεδαϊκὲς, καὶ παραγγελίαις ἀνθρώπων, ὅπε ἀποστρέφονται τὴν ἀλήθειαν.

15 Ὅλα εἶναι καθαρὰ εἰς τὲς καθαρές· ἀμὴ εἰς τὲς μεμιασμένες καὶ ἀπίστες δὲν εἶναι κανένα (πρᾶγμα) καθαρὸν, ἀλλὰ εἶναι μεμιασμένος καὶ ὁ νῦς τες καὶ ἡ συνείδησίς τες.

16 Ὁμολογῦν νὰ γνωρίζεν τὸν Θεὸν, ἀμὴ μὲ τὰ ἔργα τὸν ἀρνῦνται, ἔσωντας νὰ εἶναι συχαντοὶ, καὶ ἀπειθεῖς καὶ εἰς κάθε ἔργον ἀγαθὸν ἀνεπιτήδειοι.

Κεφ. β'. 2.

ΣΥ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινέσῃ διδασκαλίᾳ.

2 Πρεσβύτας νηφαλίες εἶναι, σεμνὲς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ.

3 Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλες, μὴ οἴνῳ πολλῷ δεδελωμένας, καλοδιδασκάλες,

4 Ἵνα σωφρονίζωσι τὰς νέας, φιλάνδρες εἶναι, φιλοτέκνες,

5 Σώφρονας, ἁγνὰς, οἰκερὲς, ἀγαθὰς, ὑποτασσο-

ΑΜὴ ἐσὺ λάλει ἐκεῖνα ὅπε πρέπεσιν εἰς τὴν ὑγιῆ διδασκαλίαν.

2 Οἱ γέροντες νὰ εἶναι ἀμέθυσοι, νὰ εἶναι τιμημένοι, σώφρονες, ὑγιεῖς εἰς τὴν πίστιν, εἰς τὴν ἀγάπην, εἰς τὴν ὑπομονήν.

3 Ὁμοίως καὶ ἡ γερόντισσαις νὰ εἶναι μὲ ἐνδύματα, ὅπε νὰ πρέπῃ εἰς τὴν ἁγιωσύνην, νὰ μὴν εἶναι καταλαλήτραις, νὰ μὴν δελώνενται εἰς πολὺ κρασὶ, νὰ εἶναι διδάσκαλοι τῆς καλωσύνης,

4 Διὰ νὰ σωφρονίζεν ταῖς νέαις, νὰ ἀγαπῦσι τὲς ἄνδρας τες καὶ τὰ παιδία τες,

5 Νὰ εἶναι σωφρονισμέναις, καθαραῖς, νὰ φυλάγεν τὸ

μένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται.

6 Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν,

7 Περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων, ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν, σεμνότητα,

8 Λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν ἔχων περὶ ὑμῶν λέγειν φαῦλον.

9 Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας·

10 Μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν· ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆρος ἡμῶν Θεοῦ κοσμῶσιν ἐν πᾶσιν.

11 Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις·

12 Παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι·

13 Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ·

σπῆτι, νὰ εἶναι ἀγαθαῖς, νὰ ὑποτάσσωνται εἰς τοὺς ἰδίους τους ἄνδρας, διὰ νὰ μὴν βλασφημῆται ὁ λόγος τοῦ Θεοῦ.

6 Τὸν αὐτὸν τρόπον νουθέτα καὶ τοὺς νεωτέρους νὰ σωφρονοῦσιν,

7 Εἰς ὅλα δίδε τοῦ λόγου σου παράδειγμα τῶν καλῶν ἔργων, (ὤντας) εἰς τὴν διδασκαλίαν ἀδιάφθορος καὶ σεμνὸς,

8 Καὶ ἔχωντας λόγον ὑγιῆ καὶ ἀκατάγνωστον, διὰ νὰ ἐντραπῇ ὁ ἐναντίος, νὰ μὴν ἔχῃ νὰ λέγῃ τίποτες κακὸν διὰ λόγου σας.

9 Οἱ δοῦλοι νὰ ὑποτάσσωνται εἰς τοὺς ἰδίους τους αὐθεντάδες, εἰς ὅλα νὰ εἶναι εὐάρεστοι, νὰ μὴν ἀντιλέγουσι·

10 Νὰ μὴν ἰδιοποιοῦσι τὰ ξένα, ἀλλὰ νὰ δείχνουσι κάθε λογῆς πίστιν καλὴν· διὰ νὰ στολίζουσιν εἰς ὅλα τὴν διδασκαλίαν τοῦ σωτῆρός μας Θεοῦ.

11 Διατὶ ἐφανερώθη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις·

12 Ὁποῦ μᾶς διδάσκει, διὰ νὰ ἀρνηθοῦμεν τὴν ἀσέβειαν καὶ ταῖς κοσμικαῖς ἐπιθυμίαις, καὶ νὰ ζήσωμεν σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς, εἰς τοῦτον τὸν αἰῶνα·

13 Ἀπαντεχαίνοντες τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρός μας Ἰησοῦ Χριστοῦ·

14 Ὅς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων.

14 Ὁ ὁποῖος ἔδωκε τὸν ἑαυτόν του διὰ λόγου μας, διὰ νὰ μᾶς ἐξαγοράσῃ ἀπὸ κάθε λογῆς ἀνομίαν, καὶ νὰ καθαρίσῃ εἰς τοῦ λόγου του λαὸν ἐδικόν του, ἐπιμελητὴν τῶν καλῶν ἔργων.

15 Ταῦτα λάλει, καὶ παρακάλει, καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς· μηδείς σου περιφρονείτω.

15 Ἐτοῦτα λάλει καὶ νουθέτα καὶ ἔλεγχε μὲ κάθε λογῆς ἐξουσίαν· καὶ κανένας ἃς μὴν σὲ καταφρονᾷ.

Κεφ. γ'. 3.

Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι·

Ἀναθύμιζέ τους νὰ ὑποτάσσωνται εἰς ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις, νὰ ὑπακούουσι, νὰ εἶναι ἕτοιμοι εἰς κάθε ἔργον καλόν·

2 Μηδένα βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πρᾳότητα πρὸς πάντας ἀνθρώπους.

2 Κανένα νὰ μὴν βλασφημοῦσι, νὰ εἶναι ἄμαχοι, ἱλαροί, δείχνοντες κάθε πρᾳότητα εἰς ὅλους τοὺς ἀνθρώπους.

3 Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους.

3 Διατὶ καὶ ἐμεῖς ἕνα καιρὸν ἤμεσθαν ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, καὶ ἐδουλεύαμεν ταῖς ἐπιθυμίαις καὶ ἡδοναῖς πολλῶν λογιῶν, περνῶντες εἰς κακίαν καὶ φθόνον, μισημένοι, καὶ μισοῦντες ἕνας τὸν ἄλλον.

4 Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπιφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ,

4 Ἀμὴ ὅταν ἐφανερώθη ἡ καλωσύνη καὶ ἡ φιλανθρωπία τοῦ σωτῆρός μας Θεοῦ,

5 Οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου·

5 Ὄχι ἀπὸ ἔργα δίκαια ὁποῦ ἐκάμαμεν ἐμεῖς, ἀλλὰ κατὰ τὸ ἔλεός του μᾶς ἔσωσε, διαμέσου τοῦ λουσίματος τῆς ξαναγεννήσεως καὶ ἀνακαινώσεως τοῦ ἁγίου Πνεύματος·

6 Οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν·

7 Ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενώμεθα κατ' ἐλπίδα ζωῆς αἰωνίου.

8 Πιστὸς ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ· ταῦτά ἐστι τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις.

9 Μωρὰς δὲ ζητήσεις, καὶ γενεαλογίας, καὶ ἔρεις, καὶ μάχας νομικὰς περιΐστασο· εἰσὶ γὰρ ἀνωφελεῖς, καὶ μάταιοι.

10 Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ·

11 Εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος.

12 Ὅταν πέμψω Ἀρτεμᾶν πρός σε ἢ Τυχικὸν, σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν· ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι.

13 Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλῶ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ.

14 Μανθανέτωσαν δὲ καὶ οἱ

6 Τὸ ὁποῖον ἔχυσεν εἰς ἐμᾶς πλουσίως, διαμέσου τοῦ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρός μας·

7 Διὰ νὰ γενοῦμεν κληρονόμοι, κατὰ τὴν ἐλπίδα τῆς αἰωνίου ζωῆς, μὲ τὸ νὰ ἐδικαιώθημεν μὲ τὴν χάριν του.

8 Ὁ λόγος ἐτοῦτος εἶναι πιστός· καὶ ἐτοῦτα θέλω νὰ τὰ βεβαιώνῃς, διὰ νὰ φροντίζουσι νὰ ὑπερέχουσιν εἰς τὰ καλὰ ἔργα ἐκεῖνοι ὁποῦ ἐπίστευσαν εἰς τὸν Θεόν· ἐτοῦτα εἶναι τὰ καλὰ καὶ ὠφέλιμα εἰς τοὺς ἀνθρώπους.

9 Ἀμὴ τὰ λωλὰ ζητήματα, καὶ ταῖς γενεαλογίαις, καὶ ταῖς φιλονεικίαις, καὶ ταῖς μάχαις ταῖς νομικαῖς, ἀποστρέφου ταις· διατὶ εἶναι ἀνωφελεῖς καὶ μάταιαις.

10 Τὸν ἄνθρωπον τὸν αἱρετικὸν, ὕστερα ἀπὸ μίαν καὶ δευτέρην νουθεσίαν, ἀποστρέφου τον·

11 Ἰξεύρωντας ὅτι ὁ τοιοῦτος εἶναι διεστραμμένος, καὶ ἁμαρτάνει, ὤντας αὐτοκατάκριτος.

12 Ὅταν πέμψω εἰς ἐσένα τὸν Ἀρτεμᾶν ἢ τὸν Τυχικὸν, σπούδασε νὰ ἔλθῃς εἰς ἐμένα εἰς τὴν Νικόπολιν· διατὶ ἐκεῖ ἀποφάσισα νὰ ξεχειμάσω.

13 Τὸν Ζηνᾶν τὸν νομικὸν, καὶ τὸν Ἀπολλῶ, ταχέως στεῖλε τους, φροντίζωντας, νὰ μὴν τοὺς λείψῃ τίποτες.

14 Καὶ ἂς μαθαίνουσι καὶ οἱ

ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι.

15 Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες· ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει· ἡ χάρις μετὰ πάντων ὑμῶν· ἀμήν.

† Πρὸς Τίτον τῆς Κρητῶν ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα, ἐγράφη ἀπὸ Νικοπόλεως τῆς Μακεδονίας.

ἐδικοί μας νὰ ὑπερέχουν εἰς τὰ καλὰ ἔργα, διὰ ταῖς ἀναγκαίαις χρείαις, διὰ νὰ μὴν εἶναι ἄκαρποι.

15 Ὅλοι ἐκεῖνοι ὁποῦ εἶναι μὲ τοῦ λόγου μου σὲ χαιρετοῦν· χαιρέτισε ἐκείνους ὁποῦ μᾶς ἀγαποῦσι μὲ πίστιν· ἡ χάρις ἂς εἶναι μὲ ὅλους σας· ἀμήν.

† Ἡ εἰς Τίτον, τῆς τῶν Κρητῶν ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα, ἐγράφη ἀπὸ Νικόπολιν τῆς Μακεδονίας.

ΠΑΥ͂ΛΟΥ ΤΟΥ͂ ἈΠΟΣΤΌΛΟΥ

Ἡ ΠΡῸΣ ΦΙΛΉΜΟΝΑ

ἘΠΙΣΤΟΛΗ'.

ΠΑΥ͂ΛΟΣ δέσμιος Χριστοῦ Ἰησοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς, Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν,

2 Καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ, καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν, καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ·

3 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

ΠΑΥ͂ΛΟΣ ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ, καὶ Τιμόθεος ἀδελφὸς, εἰς τὸν Φιλήμονα τὸν ἀγαπητὸν καὶ συνεργόν μας,

2 Καὶ εἰς τὴν Ἀπφίαν τὴν ἀγαπητὴν, καὶ Ἄρχιππον τὸν συστρατιώτην μας, καὶ εἰς τὴν ἐκκλησίαν ὁποῦ εἶναι εἰς τὸ σπῆτί σου·

3 Ἂς εἶναι χάρις εἰς ἐσᾶς καὶ εἰρήνη ἀπὸ τὸν Θεὸν τὸν πατέρα μας, καὶ τὸν Κύριον Ἰησοῦν Χριστόν.

4 Εὐχαριστῶ τῷ Θεῷ μου, πάντοτε μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου,

5 Ἀκούων σου τὴν ἀγάπην, καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν Κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους·

6 Ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν εἰς Χριστὸν Ἰησοῦν.

7 Χαρὰν γὰρ ἔχομεν πολλὴν καὶ παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ.

8 Διὸ πολλὴν ἐν Χριστῷ παῤῥησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον·

9 Διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ, τοιοῦτος ὤν, ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος Ἰησοῦ Χριστοῦ.

10 Παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου, Ὀνήσιμον·

11 Τόν ποτέ σοι ἄχρηστον, νυνὶ δέ σοι καὶ ἐμοὶ εὔχρηστον, ὃν ἀνέπεμψα·

4 Εὐχαριστῶ τὸν Θεόν μου, πάντοτε ἐνθυμούμενός σε εἰς ταῖς προσευχαῖς μου,

5 Ἀκούοντας τὴν ἀγάπην σου καὶ τὴν πίστιν, ὅπου ἔχεις εἰς τὸν Κύριον Ἰησοῦν καὶ εἰς ὅλους τοὺς ἁγίους·

6 Διὰ νὰ γένῃ ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργητική, εἰς ἐπίγνωσιν κάθε λογῆς ἀγαθοῦ, ὅπου εἶναι εἰς ἐσᾶς ἀπὸ τὸν Χριστὸν Ἰησοῦν.

7 Πολλὴν χάριν ἔχομεν καὶ παρηγορίαν εἰς τὴν ἀγάπην σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων εἶναι ἀναπαυμένα διὰ μέσου σου, ἀδελφέ.

8 Διὰ τοῦτο πολλὴν παῤῥησίαν ἔχω ἐν Χριστῷ νὰ σὲ προστάζω τὸ ἁρμόδιον·

9 Ὅμως διὰ τὴν ἀγάπην περισσότερον παρακαλῶ, τέτοιας λογῆς ὄντας, ὡσὰν Παῦλος γέροντας, καὶ τώρα ἀκόμι καὶ δέσμιος τοῦ Ἰησοῦ Χριστοῦ.

10 Παρακαλῶ σε διὰ τὸ ἐδικόν μου τέκνον, τὸ ὁποῖον τὸ ἐγέννησα μέσα εἰς τὰ δεσμά μου, τὸν Ὀνήσιμον·

11 Ὁ ὁποῖος ἕνα καιρὸν ἦτον εἰς ἐσένα ἄχρηστος, ἀμὴ τώρα καὶ εἰς ἐσένα καὶ εἰς ἐμένα εἶναι χρήσιμος, τὸν ὁποῖον πάλιν σοῦ ἐμετάπεμψα·

12 Σὺ δὲ αὐτὸν, τουτέστι, τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ·

13 Ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου·

14 Χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι· ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον.

15 Τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς·

16 Οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητὸν, μάλιστα ἐμοὶ, πόσῳ δὲ μᾶλλόν σοι καὶ ἐν σαρκὶ καὶ ἐν Κυρίῳ;

17 Εἰ οὖν ἐμὲ ἔχεις κοινωνὸν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ.

18 Εἰ δέ τι ἠδίκησέ σε, ἢ ὀφείλει, τοῦτο ἐμοὶ ἐλλόγει.

19 Ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρὶ, ἐγὼ ἀποτίσω· ἵνα μὴ λέγω σοι ὅτι καὶ σεαυτόν μοι προσοφείλεις.

20 Ναὶ, ἀδελφὲ, ἐγώ σου

12 Καὶ ἐσὺ προσδέξου τον, ὡσὰν ἰδικά μου σπλάγχνα·

13 Τὸν ὁποῖον ἐγὼ ἤθελα νὰ τὸν κρατῶ μὲ τοῦ λόγου μου, διὰ νὰ μὲ ὑπηρετᾷ ἀντὶς διὰ σὲ εἰς τὰ δεσμὰ τοῦ εὐαγγελίου·

14 Ἀμὴ ἔξω ἀπὸ τὴν ἰδικήν σου γνώμην δὲν ἠθέλησα νὰ κάμω τίποτες· διὰ νὰ μὴν εἶναι τὸ καλόν σου ὡσὰν ἀναγκαστικὸν, ἀλλὰ θεληματικόν.

15 Διατὶ ἴσως διὰ τοῦτο ἐχωρίσθη εἰς ὥραν, (ἀπ' ἐσένα,) διὰ νὰ τὸν ἀπολάβῃς πάλιν καὶ νὰ τὸν ἔχῃς παντοτεινόν·

16 Ὄχι πλέον ὡσὰν δοῦλον, ἀλλὰ περισσότερον ἀπὸ δοῦλον, ὡσὰν ἀδελφὸν ἀγαπητὸν, εἰς ἐμένα μάλιστα, καὶ πόσῳ μᾶλλον εἰς ἐσένα, καὶ ἐν σαρκὶ καὶ ἐν Κυρίῳ;

17 Ἐὰν λοιπὸν ἔχῃς ἐμένα σύντροφον, ἔπαρέ τον μὲ τοῦ λόγου σου ὡσὰν ἐμένα.

18 Καὶ ἂν σε ἀδίκησε τίποτες, ἢ σοῦ χρεωστᾷ, ἐτοῦτο εἰς ἐμένα λογαρίασέ το.

19 Ἐγὼ ὁ Παῦλος ἔγραψα μὲ τὸ ἰδικόν μου χέρι, ἐγὼ θέλω τὸ πληρώσει· διὰ νὰ μὴν σοῦ εἰπῶ ὅτι μοῦ ἀπαιωχρεωστᾷς καὶ τοῦ λόγου σου.

20 Ναὶ, ἀδελφὲ, ἐγὼ

ὀναίμην ἐν Κυρίῳ· ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν Κυρίῳ.

21 Πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω ποιήσεις.

22 Ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν· ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν.

23 Ἀσπάζονταί σε Ἐπαφρᾶς, (ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ,) Μάρκος,

24 Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.

25 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν· ἀμήν.

† Πρὸς Φιλήμονα ἐγράφη ἀπὸ Ῥώμης διὰ Ὀνησίμου οἰκέτου.

ἄμποτε νὰ ἤθελα σὲ ὠφεληθῇ ἐν Κυρίῳ· ἀνάπαυσε τὰ σπλάγχνα μου ἐν Κυρίῳ.

21 Θαῤῥῶντας εἰς τὴν ὑπακοήν σου σοῦ ἔγραψα, ἰξεύροντας ὅτι καὶ περισσότερον ἀπ' ἐκεῖνο ὁποῦ λέγω θέλεις κάμει.

22 Καὶ ὁμοῦ ἑτοίμαζέ μου καὶ ξενοδοχεῖον· διατὶ θαῤῥῶ, ὅτι διαμέσου τῶν προσευχῶν σας θέλω χαρισθῆ εἰς ἐσᾶς.

23 Σᾶς χαιρετοῦν ὁ Ἐπαφρᾶς, (ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ,) Μάρκος,

24 Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.

25 Ἡ χάρις τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ ἂς εἶναι μὲ τὸ πνεῦμά σας· ἀμήν.

† Ἡ εἰς Φιλήμονα ἐγράφη ἀπὸ τὴν Ῥώμην διαμέσου Ὀνησίμου οἰκέτου.

Ἡ ΠΡΟ῍Σ ἙΒΡΑΙ΄ΟΥΣ

᾿ΕΠΙΣΤΟΛΗ΄.

Κεφ. α΄. 1.

ΠΟΛΥΜΕΡΩ͂Σ καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ,

2 Ὃν ἔθηκε κληρονόμον πάντων, δι᾿ οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν·

3 Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι᾿ ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς·

4 Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ᾿ αὐτοὺς κεκληρονόμηκεν ὄνομα.

Ἔστωντας ὁ Θεὸς νὰ ἐλάλησεν εἰς τοὺς πατέρας, τὸν παλαιὸν καιρὸν, εἰς πολλὰ μέρη καὶ μὲ πολλοὺς τρόπους, διαμέσου τῶν προφητῶν, εἰς ταῖς ὕστεραις τούταις ἡμέραις μᾶς ἐλάλησεν διαμέσου τοῦ υἱοῦ,

2 Τὸν ὁποῖον ἔκαμε κληρονόμον ὅλωνῶν τῶν πραγμάτων, διαμέσου τοῦ ὁποίου ἔκαμε καὶ τοὺς αἰῶνας·

3 Ὁ ὁποῖος ὤντας ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεώς του, καὶ βαστῶντας τὰ πάντα μὲ τὸν λόγον τῆς δυνάμεώς του, κάμνωντας διαμέσου τοῦ λόγου του καθαρισμὸν τῶν ἁμαρτιῶν μας, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης εἰς τοὺς ὑψηλοὺς τόπους·

4 Καὶ ἔγινε τόσον μεγαλίτερος ἀπὸ τοὺς ἀγγέλους, ὅσῳ καὶ ἐξοχώτερον παρ᾿ αὐτοὺς ἐκληρονόμησεν ὄνομα.

5 Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε; Καὶ πάλιν· Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔςαι μοι εἰς υἱόν;

6 Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.

7 Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

8 Πρὸς δὲ τὸν υἱόν· Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.

9 Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

10 Καί· Σὺ κατ' ἀρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί·

11 Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται·

12 Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγή-

5 Διατὶ εἰς ποῖον ἀπὸ τοὺς ἀγγέλους εἶπε καμίαν φοράν· Υἱός μου εἶσαι ἐσύ, ἐγὼ σήμερον σὲ ἐγέννησα; Καὶ πάλιν· Ἐγὼ θέλω τοῦ εἶσθαι πατέρας, καὶ αὐτὸς θέλει μου εἶσθαι υἱός;

6 Καὶ πάλιν, ὅταν ἐμβάσῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· Ἂς τὸν προσκυνήσουν ὅλοι οἱ ἄγγελοι τοῦ Θεοῦ.

7 Καὶ διὰ τοὺς ἀγγέλους λέγει· Ὁποῦ κάμνει τοὺς ἀγγέλους του πνεύματα, καὶ τοὺς λειτουργούς του φλόγα φωτίας.

8 Ἀμὴ διὰ τὸν υἱὸν λέγει· Ὁ θρόνος σου, ὁ Θεός, εἶναι αἰώνιος· ῥαβδὶ τῆς ἰσότητος εἶναι τὸ ῥαβδὶ τῆς βασιλείας σου.

9 Ἠγάπησες δικαιοσύνην, καὶ ἐμίσησες ἀνομίαν· διὰ τοῦτο σὲ ἔχρισεν ὁ Θεός, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παραπάνω ἀπὸ τοὺς συντρόφους σου.

10 Καί· Ἐσὺ ἀπὸ τὴν ἀρχήν, Κύριε, ἐθεμελίωσας τὴν γῆν, καὶ οἱ οὐρανοὶ εἶναι ἔργα τῶν χειρῶν σου·

11 Αὐτοὶ θέλουσι χαλασθῆ, ἀμὴ ἐσὺ μένεις βέβαιος· καὶ ἐκεῖνοι ὅλοι ὡσὰν φόρεμα θέλουσι παλαιώσει·

12 Καὶ ὡσὰν ἐπανωφόρεμα θέλεις τοὺς τυλίξει, καὶ θέλουσι

σονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι.

13 Πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου;

14 Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;

μεταβαλθῇ· ἀμὴ ἐσὺ εἶσαι ὁ αὐτὸς, καὶ οἱ χρόνοι σου δὲν θέλουν λείψει.

13 Καὶ εἰς ποῖον ἀπὸ τοὺς ἀγγέλους εἶπε καμίαν φοράν· Κάθου ἐκ δεξιῶν μου, ἕως ὁποῦ νὰ βάλλω τοὺς ἐχθρούς σου ὑποπόδιον εἰς τὰ ποδάριά σου;

14 Δὲν εἶναι ἐκεῖνοι ὅλοι λειτουργικὰ πνεύματα, ὁποῦ στέλλουνται εἰς ὑπηρεσίαν, διὰ ἐκείνους ὁποῦ μέλλουσι νὰ κληρονομήσουσι σωτηρίαν;

Κεφ. β'. 2.

ΔΙΑ` τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μή ποτε παραῤῥυῶμεν.

2 Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν·

3 Πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη·

4 Συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι,

ΔΙΑ` τοῦτο πρέπει νὰ ἔχωμεν τὸν νοῦν μας περισσότερον εἰς ἐκεῖνα ὁποῦ ἀκούσαμεν, μήπως καὶ παραγλιστρήσωμεν.

2 Διατὶ ἐὰν ὁ λόγος ὁποῦ ἐλαλήθη διαμέσου τῶν ἀγγέλων ἔγινε βέβαιος, καὶ κάθε παράβασις καὶ παρακοὴ ἔλαβε δικαίαν πληρωμήν·

3 Πῶς θέλομεν γλιτώσει ἐμεῖς, ἐὰν ἀμελήσωμεν τέτοιας λογῆς μεγάλην σωτηρίαν; ἡ ὁποία ἄρχισε νὰ λαλῆται διαμέσου τοῦ Κυρίου, καὶ ἀπ' ἐκείνους ὁποῦ τὴν ἄκουσαν, ἐβεβαιώθη εἰς ἐμᾶς·

4 Ἔστωντας νὰ συμμαρτυρᾷ ὁ Θεὸς μὲ σημεῖα καὶ μὲ τέρατα, καὶ μὲ πολλῶν

καὶ Πνεύματος ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν.

5 Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν.

6 Διεμαρτύρατο δέ πού τις, λέγων· Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ· ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;

7 Ἠλάττωσας αὐτὸν βραχύ τι παρ᾽ ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου.

8 Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον· Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα.

9 Τὸν δὲ βραχύ τι παρ᾽ ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον· ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου.

10 Ἔπρεπε γὰρ αὐτῷ δι᾽ ὃν

λογιῶν δύναμαις, καὶ μὲ τὰ μερίσματα (τῶν χαρισμάτων) τοῦ ἁγίου Πνεύματος, κατὰ τὴν θέλησίν του.

5 Διατὶ δὲν ὑπέταξεν εἰς τοὺς ἀγγέλους τὴν μέλλουσαν οἰκουμένην, διὰ τὴν ὁποῖαν ἐμεῖς λαλοῦμεν.

6 Καὶ κάποιος ἐμαρτύρησεν εἰς κάποιον τόπον, λέγωντας· Τί εἶναι ὁ ἄνθρωπος, διὰ νὰ τὸν ἐνθυμᾶσαι· ἢ ὁ υἱὸς τοῦ ἀνθρώπου, διὰ νὰ τὸν ἐπιμελῆσαι;

7 Τὸν ἐσμίκρυνες εἰς ὀλίγον ἀπὸ τοὺς ἀγγέλους· καὶ ἐστεφάνωσές τον μὲ δόξαν καὶ μὲ τιμὴν, καὶ τὸν ἐκατάστησες ἀπάνω εἰς τὰ ἔργα τῶν χειρῶν σου.

8 Ὅλα τὰ ὑπέταξες ἀποκάτω εἰς τὰ ποδάριά του· Διατὶ ἐκεῖ ὁποῦ ὑπόταξεν εἰς αὐτὸν τὰ πάντα, δὲν ἀφῆκεν κανένα πρᾶγμα ὁποῦ δὲν τὸν ὑποτάσσεται· Καὶ τῶρα ἀκόμι δὲν βλέπομεν νὰ εἶναι εἰς αὐτὸν τὰ ὅλα ὑποτεταγμένα.

9 Ἀμὴ βλέπομεν ἐστεφανωμένον μὲ δόξαν καὶ τιμὴν, διὰ τὸ πάθος τοῦ θανάτου, τὸν Ἰησοῦν, ὁποῦ ἐσμικρύνθη ὀλίγον τίποτες ἀπὸ τοὺς ἀγγέλους· διὰ νὰ γευθῇ θάνατον, μὲ τὴν χάριν τοῦ Θεοῦ, διὰ καθένα.

10 Διατὶ ἔπρεπεν εἰς αὐ-

τὰ πάντα καὶ δι᾽ οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι·

τὸν, διὰ τὸν ὁποῖον εἶναι τὰ πάντα, καὶ διαμέσου τοῦ ὁποίου ἔγιναν τὰ πάντα, νὰ τελειώσῃ διαμέσου τῶν παθημάτων ἐκεῖνον, ὁποῦ ἔμελλε νὰ φέρῃ πολλοὺς υἱοὺς εἰς δόξαν, ὤντας ἀρχηγὸς τῆς σωτηρίας τους·

11 Ὅ, τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες. Δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν,

11 Διατὶ καὶ ὁ ἁγιάζων, καὶ οἱ ἁγιαζόμενοι, ἀπὸ ἕνα εἶναι ὅλοι. Διὰ τὴν ὁποίαν αἰτίαν δὲν ἐντρέπεται νὰ τοὺς ὀνομάζῃ ἀδελφοὺς,

12 Λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.

12 Λέγωντας· Θέλω ἀναφέρει τὸ ὄνομά σου εἰς τοὺς ἀδελφούς μου, εἰς τὴν μέσην τῆς ἐκκλησίας θέλω σὲ ὑμνήσει.

13 Καὶ πάλιν· Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ᾽ αὐτῷ. Καὶ πάλιν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός.

13 Καὶ πάλιν· Ἐγὼ θέλω πιστεύει εἰς αὐτόν. Καὶ πάλιν· Νὰ ἐγὼ καὶ τὰ παιδία ὁποῦ μου ἔδωκεν ὁ Θεός.

14 Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον·

14 Ἐπειδὴ λοιπὸν τὰ παιδία ἐμετείχασι σάρκας καὶ αἵματος, καὶ αὐτὸς ὁμοίως ἔλαβε μετοχὴν τῶν αὐτῶν, διὰ νὰ χαλάσῃ διαμέσου τοῦ θανάτου ἐκεῖνον, ὁποῦ ἔχει τὸ κράτος τοῦ θανάτου, ἤγουν τὸν διάβολον·

15 Καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας.

15 Καὶ διὰ νὰ ἐλευθερώσῃ ἐτούτους, ὅσοι ἦσαν ἀποκάτω εἰς τὴν δουλείαν εἰς ὅλην τὴν ζωὴν, διὰ τὸν φόβον τοῦ θανάτου.

16 Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται.

16 Διατὶ δὲν πέρνει εἰς τοῦ λόγου του τοὺς ἀγγέλους, ἀλλὰ πέρνει εἰς τοῦ λόγου του τὸ σπέρμα τοῦ Ἀβραάμ.

17 Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ·

17 Διὰ τοῦτο ἐχρεώστει νὰ ὁμοιωθῇ εἰς ὅλα τοὺς ἀδελφοὺς, διὰ νὰ γένῃ ἐλεήμων καὶ πιστὸς ἀρχιερεὺς, εἰς τὰ πράγματα ὅπου πρέπει νὰ γίνουνται σιμὰ εἰς τὸν Θεὸν, εἰς τὸ νὰ καθαρίζῃ ταῖς ἁμαρτίαις τοῦ λαοῦ·

18 Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

18 Διατὶ εἰς ἐκεῖνο ὅπου αὐτὸς ἔπαθε ὅταν ἐπειράχθη, δύνεται νὰ βοηθήσῃ ἐκείνους ὅπου πειράζονται.

Κεφ. γ΄. 3.

Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Χριστὸν Ἰησοῦν·

ΔΙΑ' τοῦτο, ἀδελφοὶ ἅγιοι, ὅπου ἐκαλεσθήκετε εἰς τὴν κοινωνίαν τοῦ καλεσμοῦ τοῦ ἐπουρανίου, στοχάζεσθε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας μας, τὸν Χριστὸν Ἰησοῦν·

2 Πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ Μωσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ·

2 Ὁ ὁποῖος εἶναι πιστὸς εἰς ἐκεῖνον ὅπου τὸν ἔκαμε, (ἀπόστολον καὶ ἀρχιερέα,) καθὼς καὶ ὁ Μωϋσῆς (ἔγινε πιστὸς) εἰς ὅλον του τὸ σπῆτι·

3 Πλείονος γὰρ δόξης οὗτος παρὰ Μωσῆν ἠξίωται, καθ᾽ ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν·

3 Διατὶ οὗτος τόσον ἠξιώθη περισσοτέρας τιμῆς παρὰ τὸν Μωϋσῆν, ὅσον ἔχει περισσοτέραν τιμὴν ἀπὸ τὸ σπῆτι ἐκεῖνος ὅπου τὸ ἐκατασκεύασε·

4 Πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος· ὁ δὲ τὰ πάντα κατασκευάσας, Θεός.

4 Διατὶ κάθε σπῆτι γίνεται ἀπὸ τινάν· καὶ ἐκεῖνος ὅπου ἔκαμε τὰ πάντα, εἶναι ὁ Θεός.

5 Καὶ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων,

5 Καὶ ὁ Μωϋσῆς ἔγινε πιστὸς εἰς ὅλον του τὸ σπῆτι,

εἰς μαρτύριον τῶν λαληθησομένων·

6 Χριστὸς δὲ, ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐάνπερ τὴν παῤῥησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν.

7 Διὸ, καθὼς λέγει τὸ Πνεῦμα τὸ ἅγιον· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε,

8 Μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ·

9 Οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη.

10 Διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον· Ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου·

11 Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου· Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

12 Βλέπετε, ἀδελφοὶ, μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος·

ὡσὰν δουλευτὴς, εἰς μαρτυρίαν ἐκείνων ὁποῦ ἔμελλαν νὰ λαληθοῦσιν·

6 Ἀμὴ ὁ Χριστὸς εἶναι ὡσὰν υἱὸς ἀπάνω εἰς τὸ ἰδικόν του σπῆτι· τοῦ ὁποίου τὸ σπῆτι εἴμεσθεν ἐμεῖς, ἐὰν κρατῶμεν τὴν παῤῥησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος βέβαιον ἕως εἰς τὸ τέλος.

7 Διὰ τοῦτο, καθὼς λέγει τὸ Πνεῦμα τὸ ἅγιον· Σήμερον ἐὰν τῆς φωνῆς του ἀκούσητε,

8 Μὴν σκληρύνετε ταῖς καρδίαις σας, καθὼς εἰς τὸν παραπικρασμὸν, εἰς τὴν ἡμέραν τοῦ πειρασμοῦ εἰς τὴν ἔρημον·

9 Ἐκεῖ ὁποῦ μὲ ἐπείρασαν οἱ πατέρες σας, μὲ ἐδοκίμασαν, καὶ εἶδαν τὰ ἔργα μου σαράντα χρόνους.

10 Διὰ τοῦτο ἐσυχάθηκα τὴν γενεὰν ἐκείνην, καὶ εἶπα· Αὐτοὶ πάντα πλανῶνται εἰς τὴν καρδίαν· καὶ αὐτοὶ δὲν ἐγνώρισαν ταῖς στράταις μου·

11 Εἰς τόσον ὁποῦ ὤμωσα εἰς τὴν ὀργήν μου· Ὅτι οὐδέποτε θέλουσιν ἔμβει εἰς τὴν κατάπαυσίν μου.

12 Βλέπετε, ἀδελφοὶ, μήπως καὶ καμίαν φορὰν εἰς κανένα ἀπ' ἐσᾶς μὴν εἶναι καρδία πονηρὰ ἄπιστος, εἰς τὸ νὰ ἀποστατήσῃ ἀπὸ τὸν Θεὸν τὸν ζωντανόν·

13 Ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται· ἵνα μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας·	13 Ἀλλὰ νουθετᾶτε ἕνας τὸν ἄλλον πᾶσαν ἡμέραν, ἕως οὗ καλεῖται τὸ σήμερον· διὰ νὰ μὴν σκληρυνθῇ κανένας ἀπ' ἐσᾶς μὲ τὴν ἀπάτην τῆς ἁμαρτίας·
14 Μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ, ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν·	14 Διατὶ ἐγενήκαμεν κοινωνοὶ τοῦ Χριστοῦ, ἐὰν κρατοῦμεν τὴν ἀρχὴν τῆς ὑποστάσεως βεβαίαν ἕως τὸ τέλος·
15 Ἐν τῷ λέγεσθαι· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ.	15 Ἕως ὁποῦ λέγεται· Σήμερον ἐὰν ἀκούσητε τὴν φωνήν του, μὴν σκληρύνετε ταῖς καρδίαις σας, ὡς ἐν τῷ παραπικρασμῷ.
16 Τινὲς γὰρ ἀκούσαντες παρεπίκραναν, ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωσέως.	16 Διατὶ τινὲς ὁποῦ τὴν ἄκουσαν, ἐπαρακίνησαν τὸν Θεὸν εἰς ὀργὴν ἀλλὰ ὄχι ὅλοι ἐκεῖνοι ὁποῦ εὐγῆκαν ἀπὸ τὴν Αἴγυπτον διαμέσου τοῦ Μωϋσέως.
17 Τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; Οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ;	17 Καὶ εἰς ποίους ἐβαρυκάρδησεν σαράντα χρόνους; Ὄχι τάχα εἰς ἐκείνους ὁποῦ ἁμάρτησαν, τῶν ὁποίων τὰ μέλη ἔπεσαν εἰς τὴν ἔρημον;
18 Τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι;	18 Καὶ ποίους ὤμοσεν ὅτι δὲν μέλλουν νὰ ἔμβουσιν εἰς τὴν κατάπαυσίν του, παρὰ μοναχὰ ἐκείνους ὁποῦ ἔγιναν ἀπειθεῖς;
19 Καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν.	19 Καὶ βλέπομεν ὅτι δὲν ἐδυνήθηκαν νὰ ἐμβοῦσι διὰ τὴν ἀπιστίαν.

Κεφ. δʹ. 4.

ΦΟβηθῶμεν οὖν μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι.

2 Καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι· ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνȣς, μὴ συγκεκραμένος τῇ πίστει τοῖς ἀκȣ́σασιν.

3 Εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες, καθὼς εἴρηκεν· Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μȣ, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μȣ· καί τοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμȣ γενηθέντων.

4 Εἴρηκε γάρ πȣ περὶ τῆς ἑβδόμης ὅτω· Καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ.

5 Καὶ ἐν τȣ́τῳ πάλιν· Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μȣ.

6 Ἐπεὶ οὖν ἀπολείπεταί τινας εἰσελθεῖν εἰς αὐτὴν, καὶ

ΑΣ φοβηθοῦμεν λοιπὸν μήπως καὶ κανένας ἀπ' ἐσᾶς ἀφίνωντας τὸ τάξιμον τῆς εἰσόδȣ εἰς τὴν κατάπαυσίν τȣ, φανῇ νὰ στερηθῇ αὐτὴν διὰ τὴν ἄργηταν.

2 Διατὶ ἡ ἐπαγγελία εὐαγγελίσθη καὶ εἰς ἐμᾶς, ὡσὰν καὶ εἰς ἐκείνȣς· ἀλλὰ ὁ λόγος ὁπȣ̃ ἄκȣσαν δὲν τȣ̀ς ὠφέλησεν ἐκείνȣς, μὲ τὸ νὰ μὴν εἶναι συγκερασμένος μὲ τὴν πίστιν, εἰς ἐκείνους ὁποῦ τὸν ἤκȣαν.

3 Διατὶ ἐμβαίνομεν εἰς τὴν κατάπαυσιν ὅσοι ἐπιστεύσαμεν, καθὼς εἶπεν· Διὰ τοῦτο ὤμοσα εἰς τὴν ὀργήν μου, ὅτι νὰ μὴν ἔμβȣσιν εἰς τὴν κατάπαυσίν μȣ· ἀγκαλὰ καὶ τὰ ἔργα τῆς κτίσεως νὰ ἐγένηκαν ἀπὸ τὴν ἀρχὴν τοῦ κόσμȣ.

4 Διατὶ ὁ Θεὸς εἶπε κάπȣ, διὰ τὴν ἑβδόμην ἡμέραν, τοιȣτωτρόπως· Καὶ κατέπαυσεν ὁ Θεὸς εἰς τὴν ἡμέραν τὴν ἑβδόμην ἀπὸ ὅλα τȣ τὰ ἔργα.

5 Καὶ εἰς τȣ̃τον τὸν τόπον πάλιν εἶπεν· Ἐὰν ἔμβȣσιν εἰς τὴν κατάπαυσίν μȣ.

6 Ἐπειδὴ λοιπὸν ἀπομένει νὰ ἔμβȣσι τινὲς εἰς αὐτὴν, καὶ

οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι' ἀπείθειαν·

7 Πάλιν τινὰ ὁρίζει ἡμέραν, σήμερον, ἐν Δαβὶδ λέγων, μετὰ τοσοῦτον χρόνον· (καθὼς εἴρηται) Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.

8 Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας.

9 Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ.

10 Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.

11 Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν· ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας.

12 Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας.

ἐκεῖνοι ὁποῦ εὐαγγελίσθηκαν προτίτερα, δὲν ἐμβήκασιν διὰ τὴν ἀπείθειαν·

7 Πάλιν ὁρίζει κάποιαν ἡμέραν, σήμερον, εἰς τὸν Δαβὶδ λέγωντας, ὕστερον ἀπὸ τόσους χρόνους; (καθὼς ἐλαλήθη) Σήμερον ἐὰν τὴν φωνήν του ἀκούσετε, μὴν σκληρύνετε ταῖς καρδίαις σας.

8 Διατὶ ἐὰν ὁ Ἰησοῦς (τοῦ Ναυὴ) ἤθελε τοὺς ἀναπαύσῃ, δὲν ἤθελεν λαλῇ διὰ ἄλλην ἡμέραν ὕστερον.

9 Λοιπὸν ἀπομένει ἀκόμι ἀνάπαυσις εἰς τὸν λαὸν τοῦ Θεοῦ·

10 Διατι ἐκεῖνος ὁποῦ ἐμβῆκεν εἰς τὴν κατάπαυσίν του, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τὰ ἔργα του, καθὼς ὁ Θεὸς (κατέπαυσεν) ἀπὸ τὰ ἴδιά του ἔργα.

11 Ἂς σπουδάσομεν λοιπὸν νὰ ἐμβοῦμεν εἰς ἐκείνην τὴν κατάπαυσιν· μήπως καὶ πέσῃ κανένας εἰς τὸ αὐτὸ παράδειγμα τῆς ἀπειθείας.

12 Διατὶ ὁ λόγος τοῦ Θεοῦ εἶναι ζωντανὸς, καὶ ἐνεργὴς, καὶ κοπτικώτερος περισσότερον ἀπὸ κάθε λογῆς μαχαίρι δίστομον, καὶ περνᾷ ἕως τοῦ μερισμοῦ τῆς ψυχῆς καὶ τοῦ πνεύματος, καὶ τῶν ἁρμῶν καὶ τῶν μυελῶν, καὶ ἐξεταστὴς τῶν ἐνθυμήσεων καὶ τῶν ἐννοιῶν τῆς καρδίας.

13 Καὶ οὐκ ἔςι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ πρὸς ὃν ἡμῖν ὁ λόγ☉.

13 Καὶ δὲν εἶναι καμία κτίσις ἀφανέρωτη ὀμπροστὰ τȣ· ἀλλὰ ὅλα εἶναι γυμνὰ καὶ ἀνοικτὰ εἰς τὰ μάτια ἐκείνȣ, εἰς τὸν ὁποῖον ἔχομεν νὰ δώσωμεν λογαριασμόν.

14 Ἔχοντες οὖν ἀρχιερέα μέγαν, διεληλυθότα τȣ̀ς ȣ̓ρανȣ̀ς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεȣ͂, κρατῶμεν τῆς ὁμολογίας.

14 Ἔχοντες λοιπὸν ἀρχιερέα μέγαν, ὁποῦ ἐπέρασεν τȣ̀ς ȣ̓ρανȣ̀ς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεȣ͂, κρατȣ͂μεν τὴν ὁμολογίαν.

15 Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας.

15 Διατὶ δὲν ἔχομεν ἀρχιερέα ὁπȣ͂ νὰ μὴν δύνεται νὰ συμπαθήσῃ ταῖς ἀσθενείαις μας, ἀλλὰ (ἔχομεν) ἐκεῖνον ὁπȣ͂ ἐπειράχθη εἰς ὅλα ὁμοίως, χωρὶς ἁμαρτίαν.

16 Προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτ☉, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

16 Σημώνωσεν λοιπὸν μὲ θάῤῥ☉ εἰς τὸν θρόνον τῆς χάριτ☉, διὰ νὰ πάρωμεν ἔλεον καὶ νὰ εὕρωμεν χάριν καὶ βοήθειαν εἰς καιρὸν ἐπιτήδειον.

Κεφ. ε'. 5.

ΠΑς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμεν☉, ὑπὲρ ἀνθρώπων καθίςαται τὰ πρὸς τὸν Θεὸν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν·

ΔΙατὶ κάθε ἀρχιερεὺς ὁπȣ͂ πέρνεται ἀπὸ τȣ̀ς ἀνθρώπȣς, καταςήνεται (ἀρχιερεὺς) διὰ τȣ̀ς ἀνθρώπȣς, εἰς τὰ πράγματα ὁπȣ͂ κάμνει χρεία νὰ γίνωνται σιμὰ εἰς τὸν Θεὸν, διὰ νὰ προσφέρῃ δῶρά τε καὶ θυσίαις διὰ ταῖς ἁμαρτίαις·

2 Μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις· ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν·

3 Καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν.

4 Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, ἀλλὰ ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ ὁ Ἀαρών.

5 Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε.

6 Καθὼς καὶ ἐν ἑτέρῳ λέγει· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

7 Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας,

8 Καίπερ ὢν υἱὸς, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν·

2 Δυνάμενος νὰ συμπάσχῃ δικαίως μὲ τοὺς ἀγνοοῦντας καὶ πλανομένους· ἐπειδὴ καὶ αὐτὸς εἶναι ἐνδεδυμένος ἀσθένειαν·

3 Καὶ διὰ ἐτούτην χρεωστεῖ, καθὼς διὰ τὸν λαὸν, τέτοιας λογῆς καὶ διὰ λόγου τοῦ νὰ προσφέρνῃ θυσίαν διὰ ταῖς ἁμαρτίαις.

4 Καὶ κανένας δὲν πέρνει τὴν τιμὴν εἰς τοῦ λόγου του, ἀλλὰ ἐκεῖνος ὁποῦ καλεῖται ἀπὸ τὸν Θεὸν, τὴν πέρνει, ὡσὰν καὶ ὁ Ἀαρών·

5 Τοιουτωτρόπως καὶ ὁ Χριστὸς δὲν ἐδόξασε τοῦ λόγου του νὰ γένῃ ἀρχιερεὺς, ἀλλὰ ἐκεῖνος (τὸν ἐδόξασεν) ὁποῦ τοῦ εἶπεν· Υἱός μου εἶσαι ἐσὺ, ἐγὼ σήμερον σὲ ἐγέννησα.

6 Καθὼς καὶ εἰς ἄλλον (Ψαλμὸν) λέγει· Ἐσὺ εἶσαι ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

7 Ὁ ὁποῖος (Χριστὸς) εἰς ταῖς ἡμέραις τῆς σάρκας του, ἔστωντας νὰ προσφέρῃ δέησαις καὶ παρακάλεσαις μὲ κραυγὴν δυνατὴν καὶ δάκρυα εἰς ἐκεῖνον ὁποῦ ἐδύνετον νὰ τὸν γλυτώσῃ ἀπὸ τὸν θάνατον, καὶ ἔστωντας νὰ ἀκουσθῇ ἀπὸ τὴν εὐλάβειαν,

8 Ἀγκαλὰ καὶ νὰ ἦτον υἱὸς, ὅμως ἀπ' ἐκεῖνα ὁποῦ ἔπαθεν, ἔμαθε τὴν ὑπακοήν·

9 Καὶ τελειωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου·

10 Προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ·

11 Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος λέγειν· ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς.

12 Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ· καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος καὶ οὐ στερεᾶς τροφῆς.

13 Πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύνης· (νήπιος γάρ ἐστι.)

14 Τελείων δέ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

9 Καὶ ὡσὰν ἐτελειώθη, ἔγινεν εἰς ὅλους του τοὺς ὑπηκόους αἴτιος σωτηρίας αἰωνίου·

10 Ἔστωντας νὰ ὀνομασθῇ ἀπὸ τὸν Θεὸν ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ·

11 Διὰ τὸν ὁποῖον ἔχομεν νὰ εἰποῦμεν πολλὰ λόγια, τὰ ὁποῖα εἶναι δυσκολοδιήγητα· ἐπειδὴ ἐγινήκετε ὀκνοὶ εἰς ταῖς ἀκοαῖς.

12 Διατὶ ἐκεῖ ὁποῦ ἔπρεπε νὰ εἶσθε διδάσκαλοι διὰ τὸν καιρὸν, χρειάζεσθε πάλιν νὰ σᾶς διδάσκῃ τινὰς, ποῖα εἶναι τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λόγων τοῦ Θεοῦ· καὶ εἶσθε τέτοιοι ὅτι χρειάζεσθε γάλα, καὶ ὄχι στερεὰν τροφήν.

13 Διατὶ καθένας ὅστις μετέχῃ τὸ γάλα, εἶναι ἄπειρος ἀπὸ τὸν λόγον τῆς δικαιοσύνης· (διατὶ εἶναι νήπιος.)

14 Καὶ ἡ στερεὰ τροφὴ εἶναι τῶν τελείων, ὁποῦ ἔχουσι τὰ αἰσθητήρια ἀσκημένα διὰ τὴν ἕξιν, εἰς τὸ νὰ διακρίνουν τὸ καλὸν καὶ τὸ κακόν.

Κεφ. ϛ΄. 6.

ΔΙΟ' ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα· μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ Θεὸν,

ΔΙΑ' τοῦτο ἀφίνοντες τὸν λόγον τῆς ἀρχῆς τοῦ Χριστοῦ, ἂς φερόμεσθεν εἰς τὴν τελειότητα· μὴν βάλλομεν πάλιν θεμέλιον μετανοίας ἀπὸ τὰ νεκρὰ ἔργα, καὶ τῆς πίστεως εἰς τὸν Θεὸν,

2 Βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματ⊕ αἰωνίȣ.

2 Καὶ τῆς διδαχῆς τῶν βαπτισμῶν, καὶ τῆς ἐπιθέσεως τῶν χειρῶν, καὶ τῆς ἀναστάσεως τῶν νεκρῶν, καὶ τῆς κρίσεως τῆς αἰωνίȣ.

3 Καὶ τȣ̃το ποιήσομεν, ἐάνπερ ἐπιτρέπῃ ὁ Θεός.

3 Καὶ τȣ̃το θέλομεν τὸ κάμει, ἂν μᾶς τὸ συγχωρέσῃ ὁ Θεός.

4 Ἀδύνατον γὰρ τȣ̀ς ἅπαξ φωτισθέντας, γευσαμένȣς τε τῆς δωρεᾶς τῆς ἐπȣρανίȣ, καὶ μετόχȣς γενηθέντας Πνεύματος ἁγίȣ,

4 Διατὶ ἀδύνατον εἶναι ἐκεῖνοι ὁπȣ̃ ἐφωτίσθηκαν μίαν φορὰν, καὶ ἐγεύθηκαν τῆς ἐπȣρανίȣ δωρεᾶς, καὶ ἔγιναν μέτοχοι τοῦ ἁγίȣ Πνεύματ⊕,

5 Καὶ καλὸν γευσαμένȣς Θεȣ̃ ῥῆμα, δυνάμεις τε μέλλοντ⊕ αἰῶν⊕,

5 Καὶ ἐγεύθηκαν τὸν καλὸν λόγον τοῦ Θεȣ̃, καὶ ταῖς δύναμαις τοῦ μέλλοντ⊕ αἰῶνος,

6 Καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυρȣ̃ντας ἑαυτοῖς τὸν υἱὸν τοῦ Θεȣ̃ καὶ παραδειγματίζοντας.

6 Ἐὰν παραπέσȣσι, νὰ ξανακαινȣργώνȣν τοῦ λόγȣ τȣς πάλιν εἰς μετάνοιαν, ξανασταυρώνοντες εἰς τȣ̃ λόγȣ τȣς τὸν υἱὸν τȣ̃ Θεȣ̃, καὶ πομπεύοντές τον.

7 Γῆ γὰρ ἡ πιȣ̃σα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετὸν, καὶ τίκτȣσα βοτάνην εὔθετον ἐκείνοις δι' ȣ̃ς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεȣ̃·

7 Διατὶ ἡ γῆ ὁπȣ̃ πίνει τὴν βροχὴν ὁπȣ̃ ἔρχεται πολλάκις εἰς αὐτὴν, καὶ γεννᾷ χορτάρια ἐπιτήδεια διὰ ἐκείνȣς ἀπὸ τȣ̀ς ὁποίȣς καὶ γεωργεῖται, πέρνει εὐλογίαν ἀπὸ τὸν Θεόν·

8 Ἐκφέρȣσα δὲ ἀκάνθας καὶ τριβόλȣς, ἀδόκιμ⊕ καὶ κατάρας ἐγγὺς, ἧς τὸ τέλ⊕ εἰς καῦσιν.

8 Ἀμὴ ἐκείνη ἡ γῆ ὁπȣ̃ φυτρώνει ἀγκάθια καὶ τριβόλια, εἶναι ἀδόκιμος καὶ κοντὰ εἰς τὴν κατάραν, καὶ τὸ τέλος της εἶναι τὸ νὰ κατακαυθῇ.

9 Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ κρείττονα

9 Ἀλλὰ διὰ λόγȣ σας, ἀγαπητοὶ, ἐλπίζομεν καὶ πι-

καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ ὕτω λαλῦμεν.

10 Οὐ γὰρ ἄδικΘ ὁ Θεὸς, ἐπιλαθέσθαι τοῦ ἔργυ ὑμῶν, καὶ τοῦ κόπυ τῆς ἀγάπης ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονῦντες.

11 Ἐπιθυμῦμεν δὲ ἕκαςον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπυδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδΘ ἄχρι τέλυς·

12 Ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίςεως καὶ μακροθυμίας κληρονομύντων τὰς ἐπαγγελίας.

13 Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενΘ ὁ Θεὸς, ἐπεὶ κατ' ὐδενὸς εἶχε μείζονΘ ὀμόσαι, ὤμοσε καθ' ἑαυτῦ,

14 Λέγων· Ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε.

15 Καὶ ὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας.

16 Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονΘ ὀμνύυσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκΘ.

17 Ἐν ᾧ περισσότερον

ςεύομεν τὰ καλλίτερα, καὶ ἐκεῖνα ὁπῦ ἐγγίζυσιν εἰς τὴν σωτηρίαν, ἀγκαλὰ καὶ ἔτζι λαλῦμεν.

10 Διατὶ δὲν εἶναι ὁ Θεὸς ἄδικΘ νὰ ἀλησμονήση τὸ ἔργον σας καὶ τὸν κόπον τῆς ἀγάπης, τὴν ὁποίαν ἐδείξετε εἰς τὸ ὄνομά τυ, ἔςωντας νὰ ὑπηρετήσετε καὶ νὰ ὑπηρετᾶτε τὺς ἁγίυς.

11 Καὶ ἐπιθυμῦμεν καθένας ἀπ' ἐσᾶς νὰ δείχνετε τὴν αὐτὴν σπυδὴν ἕως τὸ τέλΘ εἰς τὴν πληροφορίαν τῆς ἐλπίδος·

12 Διὰ νὰ μὴν γενῆτε ὀκνηροὶ, ἀλλὰ μιμηταὶ ἐκείνων ὁπῦ κληρονομῦσι τὰ ταξίματα διαμέσυ τῆς πίςεως καὶ μακροθυμίας.

13 Διατὶ ὁ Θεὸς τάζωντας εἰς τὸν Ἀβραὰμ, ἐπειδὴ δὲν εἶχε νὰ ὀμώσῃ εἰς κανένα μεγαλίτερον ὤμοσεν εἰς τῦ λόγυ τυ,

14 Λέγωντας· Ναὶ ἀληθινὰ, ἐγὼ εὐλογῶν θέλω σὲ εὐλογήσει, καὶ πληθύνων θέλω σὲ πληθύνει.

15 Καὶ ὕτως ἐκεῖνος ἔςωντας νὰ μακροθυμήσῃ ἔτυχε τοῦ ταξίματος.

16 Διατὶ οἱ ἄνθρωποι ὀμώνυσιν εἰς τὸν μεγαλίτερον, καὶ ὁ ὅρκος εἶναι εἰς αὐτὺς τέλος κάθε λογῆς ἀντιλογίας εἰς βεβαίωσιν.

17 Εἰς τὸ ὁποῖον πρᾶγμα

βουλόμενος ὁ Θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ·

ὁ Θεὸς θέλωντας νὰ δείξῃ περισσότερον εἰς τοὺς κληρονόμους τῆς ἐπαγγελίας τὸ ἀμετασάλευτον τῆς βουλῆς του, ἐμεσίτευσε μὲ ὅρκον·

18 Ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεὸν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος·

18 Ἵνα διαμέσου δύο πραγμάτων ἀμεταθέτων, εἰς τὰ ὁποῖα εἶναι ἀδύνατον νὰ ψευσθῇ ὁ Θεὸς, νὰ ἔχωμεν βεβαίαν παρηγορίαν ἐμεῖς ὅπου ἐκαταφύγαμεν εἰς αὐτὸν, νὰ κρατοῦμεν τὴν ἐλπίδα ὅπου πρόκειται·

19 Ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος·

19 Τὴν ὁποίαν ἐλπίδα ἔχομεν ὡσὰν ἄγκυραν ἀσάλευτην καὶ βεβαίαν τῆς ψυχῆς, καὶ ὅπου ἐμβαίνει εἰς τὴν παραμέσα μεραίαν τοῦ βημοθύρου·

20 Ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γινόμενος εἰς τὸν αἰῶνα.

20 Ἐκεῖ ὅπου ὁ Ἰησοῦς ἐμβῆκε πρόδρομος διὰ λόγου μας, ἔςωντας νὰ ἔγινεν ἀρχιερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν τοῦ Μελχισεδέκ.

Κεφ. ζ'. 7.

ΟΥ͂τος γὰρ ὁ Μελχισεδὲκ, βασιλεὺς Σαλὴμ, ἱερεὺς τοῦ Θεοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτόν·

ΔΙατὶ ἐτοῦτος ὁ Μελχισεδὲκ ἦτον βασιλεὺς τῆς Σαλὴμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, ὅπου ἐσυναπάντησε τὸν Ἀβραὰμ, ὅταν ἐγύρισεν ἀπὸ τὴν κοπὴν τῶν βασιλέων, καὶ τὸν εὐλόγησε·

2 Ὧι καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβαάμ· πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς

2 Εἰς τὸν ὁποῖον Μελχισεδὲκ ὁ Ἀβραὰμ ἐμοίρασε δεκατίαν ἀπὸ ὅλα· καὶ πρῶτον ἑρμηνεύεται βασιλεὺς δικαιοσύνης, καὶ ἀπέκει καὶ βασιλεὺς

Σαλήμ· ὅ ἐστι βασιλεὺς εἰρήνης·

3 Ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος· μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων· ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές.

4 Θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης.

5 Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευῒ τὴν ἱερατείαν λαμβάνοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον, τουτέστι, τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ.

6 Ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν Ἀβραάμ, καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγηκε.

7 Χωρὶς δὲ πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.

8 Καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν· ἐκεῖ δὲ, μαρτυρούμενος ὅτι ζῇ.

9 Καὶ (ὡς ἔπος εἰπεῖν) διὰ Ἀβραὰμ καὶ Λευῒ ὁ δεκάτης λαμβάνων δεδεκάτωται·

Σαλήμ· τὸ ὁποῖον θέλει νὰ εἰπῇ βασιλεὺς τῆς εἰρήνης·

3 Χωρὶς πατέρα, χωρὶς μητέρα, χωρὶς γενεαλογίαν· μηδὲ ἀρχὴν ἡμερῶν, μηδὲ τέλος ζωῆς ἔχοντας· ἀλλὰ φαινόμενος παρόμοιος μὲ τὸν υἱὸν τοῦ Θεοῦ, μένει ἱερεὺς παντοτεινά.

4 Καὶ στοχάζεσθε πόσος μεγάλος ἦτον ἐτοῦτος, εἰς τὸν ὁποῖον καὶ ὁ Ἀβραὰμ ὁ πατριάρχης ἔδωκε δεκατίαν ἀπὸ τὰ κουρσεύματα.

5 Καὶ ἐκεῖνοι ἀπὸ τοὺς υἱοὺς τοῦ Λευῒ, ὁποῦ πέρνουσι τὴν ἱερωσύνην, ἔχουσι παραγγελίαν νὰ ἀποδεκατίζουν τὸν λαὸν κατὰ τὸν νόμον, ἤγουν τοὺς ἀδελφούς τους, οἱ ὁποῖοι καὶ αὐτοὶ ἀγκαλὰ νὰ εὐγῆκαν ἀπὸ τὴν μέσην τοῦ Ἀβραάμ.

6 Ἀμὴ ἐκεῖνος ὁποῦ δὲν ἐγενεαλογεῖτον ἀπ' αὐτοὺς, ἐδικάτισε τὸν Ἀβραὰμ, καὶ εὐλόγησεν ἐκεῖνον ὁποῦ εἶχε τὰ ταξίματα.

7 Καὶ ἔξω ἀπὸ κάθε λογῆς ἀντιλογίαν, τὸ μικρότερον εὐλογᾶται ἀπὸ τὸ μεγαλίτερον.

8 Καὶ ἐδῶ οἱ ἄνθρωποι ἀποθνήσκοντες πέρνουσι δεκατίαις· ἀλλὰ ἐκεῖ (λαμβάνει) ἐκεῖνος, ὁποῦ μαρτυρεῖται ὅτι ζῇ.

9 Καὶ (διὰ νὰ εἰποῦμεν ἔτζι) καὶ ὁ Λευῒ ὁποῦ πέρνει ταῖς δεκατίαις, αὐτὸς ἐδεκατίσθη εἰς τὸ πρόσωπον τοῦ Ἀβραάμ·

10 Ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ.

11 Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν· (ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτητο·) τίς ἔτι χρεία, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίςασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι;

12 Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται.

13 Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαςηρίῳ.

14 Πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν· εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωσῆς ἐλάλησε.

15 Καὶ περισσότερον ἔτι κατάδηλόν ἐςιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίςαται ἱερεὺς ἕτερος,

16 Ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου.

17 Μαρτυρεῖ γάρ· Ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

10 Διατὶ ἀκόμι εἰς τὴν μέσην τοῦ πατρὸς ἦτον, ὅταν τὸν συναπάντησεν ὁ Μελχισεδέκ.

11 Ἐὰν λοιπὸν ἡ τελείωσις ἦτον διὰ τῆς ἱερωσύνης τῆς Λευιτικῆς· (διατὶ ὁ λαὸς ἐνομοθετήθη εἰς αὐτήν·) τί χρεία ἔκαμε πλέον, νὰ σηκωθῇ ἄλλος ἱερεὺς κατὰ τὴν τάξιν τοῦ Μελχισεδὲκ, καὶ ὄχι νὰ λέγεται κατὰ τὴν τάξιν τοῦ Ἀαρών;

12 Διατὶ ὅταν μετατίθεται ἡ ἱερωσύνη, ἐξανάγκης γίνεται καὶ μετάθεσις τοῦ νόμου.

13 Διατὶ ἐκεῖνος διὰ τὸν ὁποῖον ἐλαλήθηκαν ἐτοῦτα, κατάγεται ἀπὸ ἄλλην φυλήν, ἀπὸ τὴν ὁποῖαν οὐδὲ κανένας ἐσήμωσεν εἰς τὸ θυσιαςήριον.

14 Διατὶ φανερὸν εἶναι ὅτι ἀπὸ τὸ γένος τοῦ Ἰούδα ἀνατέταλκεν ὁ Κύριός μας· εἰς τὴν ὁποῖαν φυλὴν ὁ Μωϋσῆς δὲν εἶπε τίποτες περὶ ἱερωσύνης.

15 Καὶ τοῦτο ἀκόμι περισσότερον εἶναι φανερόν, ἐπειδὴ σηκώνεται ἄλλος ἱερεύς, κατὰ τὴν ὁμοιότητα τοῦ Μελχισεδέκ,

16 Ὁ ὁποῖος δὲν ἔγινεν κατὰ τὸν νόμον τῆς ἐντολῆς τῆς σαρκικῆς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀδιαφθάρτου.

17 Διατὶ ὁ Θεὸς μαρτυρεῖ λέγωντας· Ἐσὺ εἶσαι ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν τοῦ Μελχισεδέκ.

18 Ἀθέτησις μὲν γὰρ γίνεται προαγούσης ἐντολῆς, διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές·

19 Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος, ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ.

20 Καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας·

21 (Οἱ μὲν γὰρ, χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες· ὁ δὲ, μετὰ ὁρκωμοσίας, διὰ τοῦ λέγοντος πρὸς αὐτόν· Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ·)

22 Κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς.

23 Καὶ οἱ μὲν, πλείονες εἰσὶ γεγονότες ἱερεῖς, διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν·

24 Ὁ δὲ, διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην·

25 Ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν.

26 Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισ-

18 Διατὶ ἡ προτίτερη ἐντολὴ παύεται διὰ τὴν ἀσθένειάν της καὶ τὴν ἀνωφέλειαν·

19 Διατὶ ὁ νόμος δὲν ἐτελείωσε τίποτες, ἀλλὰ ἡ ἀπανωέμβασις τῆς καλλιοτέρας ἐλπίδος, διαμέσου τῆς ὁποίας σημώνομεν εἰς τὸν Θεόν.

20 Καὶ εἰς ὅσον δὲν εἶναι χωρὶς ὁρκωμοσίας·

21 (Διατὶ ἐκεῖνοι ἔγιναν ἱερεῖς χωρὶς ὁρκωμοσίας· ἀμὴ ἐτοῦτος εἶναι μὲ ὁρκωμοσίαν, διαμέσου ἐκείνου ὁποῦ τὸν λέγει· Ὤμωσε Κύριος, καὶ δὲν θέλει μετανοήσει· Ἐσὺ εἶσαι ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ·)

22 Τόσον καλλιοτέρας διαθήκης ἔγινεν ἐγγυητὴς ὁ Ἰησοῦς.

23 Καὶ ἐκεῖνοι μὲν ἔγιναν πολλοὶ ἱερεῖς, ὅτι ἀπὸ τὸν θάνατον ἐμποδίζουνται νὰ μένουν·

24 Ἀμὴ ἐκεῖνος, ὅτι μένει εἰς τὸν αἰῶνα, ἔχει τὴν ἱερωσύνην ἀδιάδοχον·

25 Διὰ τοῦτο καὶ δύναται νὰ σώζῃ εἰς τὸ παντελὲς ἐκείνους ὁποῦ πλησιάζουσι διαμέσου αὐτουνοῦ εἰς τὸν Θεὸν, ἔςωντας νὰ ζῇ πάντοτε εἰς τὸ νὰ μεσιτεύῃ διὰ λόγου τους.

26 Διατὶ τοιοῦτος ἀρχιερεὺς μᾶς ἔπρεπε, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος

μένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος·

ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος ἀπὸ τοὺς οὐρανοὺς γενόμενος·

27 Ὃς οὐκ ἔχει καθ᾽ ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν ἀνενέγκας.

27 Ὁ ὁποῖος δὲν ἔχει ἀνάγκην, καθὼς εἶχαν ἐκεῖνοι οἱ ἀρχιερεῖς, νὰ ἀναφέρνῃ καθημέραν θυσίαις, προτίτερα διὰ ταῖς ἐδικαῖς του ἁμαρτίαις, ἔπειτα καὶ διὰ ταῖς (ἁμαρτίαις) τοῦ λαοῦ· διατὶ ἐτοῦτο τὸ ἔκαμε μίαν φορὰν, ὅταν ἐπρόσφερε τοῦ λόγου του.

28 Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς, ἔχοντας ἀσθένειαν· ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.

28 Διατὶ ὁ νόμος καταστήνει ἀρχιερεῖς ἀνθρώπους, ὁποῦ ἔχουν ἀσθένειαν· ἀμὴ ὁ λόγος τῆς ὁρκωμοσίας ὁποῦ ἔγινεν ὕστερα ἀπὸ τὸν νόμον, καταστήνει ἀρχιερέα υἱὸν τετελειωμένον εἰς τὸν αἰῶνα.

Κεφ. η΄. 8.

Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς,

ΚΑΙ διὰ νὰ εἰποῦμεν σύντομα ἐτοῦτα ὁποῦ εἴπαμεν, ἐμεῖς ἔχομεν ἀρχιερέα τέτοιας λογῆς, ὁ ὁποῖος ἐκάθισεν εἰς τὴν δεξιὰν τοῦ θρόνου τῆς μεγαλωσύνης εἰς τοὺς οὐρανοὺς,

2 Τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

2 Λειτουργὸς τῶν ἁγίων καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, τὴν ὁποῖαν ἐκατασκεύασεν ὁ Κύριος, καὶ ὄχι ἄνθρωπος.

3 Πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται· ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ.

3 Διατὶ κάθε ἀρχιερεὺς καταστήνεται εἰς τὸ νὰ προσφέρῃ δῶρα καὶ θυσίαις· διὰ τοῦτο ἀναγκαῖον εἶναι νὰ ἔχῃ τίποτες καὶ ἐτοῦτος ὁποῦ νὰ προσφέρῃ.

4 Εἰ μὲν γὰρ ἦν ἐπὶ

4 Διατὶ ἐὰν ἦτον ἀπάνω

γῆς, οὐδ' ἂν ἦν ἱερεὺς, ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα·

5 Οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται Μωσῆς, μέλλων ἐπιτελεῖν τὴν σκηνήν· Ὅρα γὰρ, φησὶ, ποιήσῃς πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει.

6 Νυνὶ δὲ διαφορωτέρας τέτευχε λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται.

7 Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος·

8 Μεμφόμενος γὰρ αὐτοῖς λέγει· Ἰδοὺ, ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν·

9 Οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος.

10 Ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ

εἰς τὴν γῆν, οὐδὲ ἤθελεν εἶσθαι ἱερεὺς, ἔσωντας νὰ εἶναι οἱ ἱερεῖς ὁποῦ προσφέρουσι τὰ δῶρα κατὰ τὸν νόμον·

5 Οἱ ὁποῖοι ὑπηρετοῦσι τὸ ὑπόδειγμα καὶ τὴν σκιὰν τῶν ἐπουρανίων πραγμάτων, καθὼς ὁ Θεὸς εἶπεν εἰς τὸν Μωϋσῆν, ὅταν ἔμελλε νὰ κάμῃ τὴν σκηνήν· διατὶ λέγει· Βλέπε νὰ κάμῃς ὅλα κατὰ τὸ παράδειγμα ὁποῦ σοῦ ἐδείχθη εἰς τὸ ὄρος.

6 Ἀμὴ τώρα ὁ Χριστὸς ἔτυχε καλλιοτέραν λειτουργίαν, εἰς ὅσον εἶναι καὶ μεσίτης καλλιοτέρας διαθήκης, ἡ ὁποία ἐνομοθετήθη μὲ ἐξαιρετώτερα ταξίματα.

7 Διατὶ ἐὰν ἡ πρώτη ἐκείνη ἦτον ἀνελλειπὴς δὲν ἐζητεῖτον τόπος τῆς δευτέρας·

8 Διατὶ κατηγορῶντάς τους ὁ Θεὸς λέγει· Νὰ, ἔρχονται αἱ ἡμέραις, λέγει Κύριος, καὶ θέλω τελειώσει εἰς τὸν οἶκον τοῦ Ἰσραὴλ καὶ εἰς τὸν οἶκον τοῦ Ἰούδα διαθήκην καινούργιαν·

9 Ὄχι κατὰ τὴν διαθήκην ὁποῦ ἔκαμα μὲ τοὺς πατέρας τους, τὴν ἡμέραν ὁποῦ τοὺς ἐκράτουσα ἀπὸ τὸ χέρι, νὰ τοὺς εὐγάλω ἀπὸ τὴν γῆν τῆς Αἰγύπτου· διατὶ αὐτοὶ δὲν ἐστάθηκαν εἰς τὴν διαθήκην μου, καὶ ἐγὼ τοὺς ἀμέλησα, λέγει Κύριος.

10 Ὅτι ἐτοῦτη εἶναι ἡ διαθήκη, τὴν ὁποίαν θέλω κάμει

Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς· καὶ ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν.

11 Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων· Γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με, ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν·

12 Ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.

13 Ἐν τῷ λέγειν καινὴν, πεπαλαίωκε τὴν πρώτην· τὸ δὲ παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ.

εἰς τὸ σπῆτι τοῦ Ἰσραὴλ, ὕστερα ἀπὸ ταῖς ἡμέραις ἐκείναις, λέγει Κύριος, νὰ δώσω τοὺς νόμους μου εἰς τὴν διάνοιάν τους, καὶ ἀπάνω εἰς ταῖς καρδίαις τους νὰ τοὺς γράψω· καὶ ἐγὼ θέλω εἶσθαι εἰς αὐτοὺς Θεὸς, καὶ αὐτοὶ θέλουσι μου εἶσθαι λαός.

11 Καὶ δὲν θέλουσι διδάξει πᾶς ἕνας τὸν γείτονά του, καὶ πᾶς ἕνας τὸν ἀδελφόν του, λέγοντας· Γνώριζε τὸν Κύριον· διατὶ ὅλοι θέλουσι μὲ γνωρίσει, ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν·

12 Ὅτι θέλω εἶσθαι συγχωρητικὸς εἰς ταῖς ἀδικίαις τῶν, καὶ ταῖς ἁμαρτίαις των καὶ ταῖς ἀνομίαις των δὲν θέλω ταῖς ἐνθυμηθῆ πλέον.

13 Μὲ τὸ νὰ λέγῃ καινούριαν, ἐπαλαίωσε τὴν πρώτην· καὶ ἐκεῖνο ὁποῦ παλαιώνει καὶ γηρᾷ, εἶναι σιμὰ εἰς τὸν χαλασμόν.

Κεφ. θ'. 9.

Εἶχε μὲν οὖν καὶ ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό, τε ἅγιον κοσμικόν.

2 Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥτε λυχνία καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται ἅγια.

3 Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη ἅγια ἁγίων·

4 Χρυσοῦν ἔχουσα θυμιατή-

Ἡ Πρώτη λοιπὸν (διαθήκη) εἶχε τότε καὶ αὐτὴ δικαιώματα λατρείας, καὶ τὸ ἅγιον τὸ κοσμικόν.

2 Διατὶ ἡ πρώτη σκηνὴ ἐκατασκευάσθη, εἰς τὴν ὁποίαν ἦτον ἡ λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἡ ὁποῖα λέγεται ἅγια.

3 Καὶ ὕστερον ἀπὸ τὸ δεύτερον βημόθυρον ἦτον ἡ σκηνὴ ὁποῦ λέγεται ἅγια ἁγίων·

4 Ἡ ὁποῖα εἶχε χρυσοῦν

ριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης.

5 Ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος.

6 Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες·

7 Εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων·

8 Τοῦτο δηλοῦντος τοῦ Πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν.

9 Ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα, καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα,

θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης, σκεπασμένην ἀπὸ κάθε μέρος μὲ χρυσάφι, εἰς τὴν ὁποίαν ἦτον ἡ στάμνος ἡ χρυσῆ ὁποῦ εἶχε τὸ μάννα, καὶ ἡ ῥάβδος τοῦ Ἀαρὼν ὁποῦ ἐβλάστησε, καὶ αἱ πλάκαις τῆς διαθήκης.

5 Καὶ παραπάνω ἀπ' αὐτὴν τὴν κιβωτὸν ἦταν τὰ Χερουβὶμ τῆς δόξης, καὶ ἐσκιάζασι τὸ ἱλαστήριον· διὰ τὰ ὁποῖα τώρα δὲν εἶναι καιρὸς νὰ λέγωμεν κατὰ μέρος.

6 Καὶ ἔστωντας νὰ εἶναι ἐτοῦτα τέτοιας λογῆς κατεσκευασμένα, εἰς τὴν πρώτην σκηνὴν πάντοτε ἐμβαίνασιν οἱ ἱερεῖς, κάμνοντες ταῖς λατρείαις·

7 Ἀμὴ εἰς τὴν δευτέραν μίαν φορὰν τὸν χρόνον ἔμβαινε μόνος ὁ ἀρχιερεὺς, ὄχι χωρὶς αἷμα, τὸ ὁποῖον τὸ ἐπρόσφερεν διὰ λόγου του, καὶ διὰ ταῖς ἁμαρτίαις τοῦ λαοῦ, ὁποῦ ἐγίνουνταν κατὰ ἄγνοιαν·

8 Ἐτοῦτο δείχνοντας τὸ Πνεῦμα τὸ ἅγιον, ὅτι ἀκόμι δὲν ἐφανερώθη ὁ δρόμος εἰς τὰ ἅγια, ἀκόμι στεκομένης τῆς πρώτης σκηνῆς.

9 Ἡ ὁποῖα ἦτον τύπος εἰς τὸν καιρὸν τὸν παρόντα, κατὰ τὸν ὁποῖον δῶρα καὶ θυσίαις προσφέρονται, ὁποῦ δὲν δύνονται νὰ τελειώσουσιν κατὰ τὴν συνείδησιν ἐκεῖνον ὁποῦ λατρεύει,

10 Μόνον ἐπὶ βρώμασι καὶ πόμασι, καὶ διαφόροις βαπτισμοῖς, καὶ δικαιώμασι σαρκὸς, μέχρι καιρῦ διορθώσεως ἐπικείμενα·

11 Χριςὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, ὐ χειροποιήτυ, τετέςιν, ὐ ταύτης τῆς κτίσεως,

12 Οὐδὲ δι᾽ αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίυ αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος.

13 Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζυσα τὺς κεκοινωμένυς, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα,

14 Πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριςῦ, ὃς διὰ Πνεύματος αἰωνίυ ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν Θεῷ ζῶντι;

15 Καὶ διὰ τῦτο διαθήκης καινῆς μεσίτης ἐςὶν, ὅπως θανάτυ γενομένυ, εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων,

10 Ἐπειδὴ ἐτῦτα εἶναι μόνον εἰς φαγητὰ καὶ πιοτὰ, καὶ διάφορα βαπτίσματα, καὶ δικαιώματα τῆς σάρκας, θεσμένα ἕως εἰς τὸν καιρὸν τῆς διορθώσεως·

11 Ἀμὴ ὁ Χριςὸς ἔςωντας νὰ ἔλθῃ ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διαμέσυ τῆς μεγαλιοτέρας καὶ τελειοτέρας σκηνῆς, ὁπῦ δὲν εἶναι χειροποίητος, ἤγυν, δὲν εἶναι ἐτύτης τῆς κατασκευῆς,

12 Οὐδὲ διαμέσυ τῦ αἵματος τῶν τράγων καὶ τῶν μόσχων, ἀλλὰ διαμέσυ τοῦ ἐδικῦ τυ αἵματος, ἐμβῆκε μίαν φορὰν εἰς τὰ ἅγια, ἔςωντας νὰ εὕρῃ αἰωνίαν λύτρωσιν.

13 Διατὶ ἐὰν τὸ αἷμα τῶν ταύρων καὶ τῶν τράγων, καὶ ἡ ςάκτη τῆς δαμάλεως ῥαντιζομένη, ἁγιάζει τὺς μολυσμένυς εἰς τὴν καθαρότητα τῆς σάρκας,

14 Πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριςῦ, ὁ ὁποῖος διαμέσυ τοῦ Πνεύματος τῦ αἰωνίυ ἐπρόσφερε τοῦ λόγυ τυ ἀκατηγόρητον εἰς τὸν Θεὸν, θέλει καθαρίσει τὴν συνείδησίν σας ἀπὸ τὰ νεκρὰ ἔργα, εἰς τὸ νὰ λατρεύετε Θεὸν ζῶντα;

15 Καὶ διὰ τῦτο εἶναι μεσίτης διαθήκης καινῆς, διὰ νὰ πάρυσιν οἱ καλεσμένοι τὸ τάξιμον τῆς αἰωνίυ κληρονομίας, ἔςωντας νὰ ἔγινε ὁ

τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας.

16 Ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου.

17 Διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία· ἐπεὶ μή ποτε ἰσχύει ὅτε ζῇ ὁ διαθέμενος.

18 Ὅθεν οὐδ᾽ ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται·

19 Λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ νόμον ὑπὸ Μωϋσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τράγων μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐῤῥάντισε,

20 Λέγων· Τοῦτο τὸ αἷμα τῆς διαθήκης, ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός.

21 Καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας τῷ αἵματι ὁμοίως ἐῤῥάντισε.

22 Καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις.

23 Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς, τούτοις καθαρίζεσθαι·

θάνατος διὰ τὴν ἐξαγόρασιν τῶν παραβάσεων ὁποῦ ἔγιναι εἰς τὴν πρώτην διαθήκην.

16 Διατὶ ὅπου εἶναι διαθήκη, ἀνάγκη εἶναι νὰ ἔρχεται καὶ θάνατος ἐκείνου ὁποῦ τὴν ἐδιάθεσεν.

17 Διατὶ ἡ διαθήκη εἰς τοὺς νεκροὺς εἶναι βεβαία· ἐπειδὴ ἕως ὁποῦ ζῇ ἐκεῖνος ὁποῦ τὴν ἐδιάταξεν, ἀκόμι δὲν ἔχει δύναμιν.

18 Διὰ τοῦτο οὐδὲ ἡ πρώτη εἶναι ἐγκαινισμένη χωρὶς αἵματος·

19 Διατὶ ἔςωντας νὰ ἐλάλησεν ὁ Μωϋσῆς ὅλαις ταῖς ἐντολαῖς (κατὰ τὸν νόμον) εἰς ὅλον τὸν λαὸν, πέρνωντας τὸ αἷμα τῶν μόσχων καὶ τῶν τράγων μὲ νερὸν καὶ μὲ μαλὶ κόκκινον καὶ ὕσσωπον, ἐῤῥάντισε καὶ αὐτὸ τὸ βιβλίον καὶ ὅλον τὸν λαὸν,

20 Λέγωντας· Τοῦτο εἶναι τὸ αἷμα τῆς διαθήκης, ὁποῦ σᾶς ἐπαρήγγειλεν ὁ Θεός.

21 Καὶ τὴν σκηνὴν καὶ ὅλα τὰ ἀγγεῖα τῆς λειτουργίας, τὰ ἐῤῥάντισεν ὁμοίως μὲ τὸ αἷμα.

22 Καὶ κοντολογῆς, μὲ τὸ αἷμα καθαρίζονται ὅλα κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματοχυσίας δὲν γίνεται ἄφεσις τῶν ἁμαρτιῶν.

23 Ἀνάγκη λοιπὸν οἱ τύποι τῶν πραγμάτων ὁποῦ εἶναι εἰς τοὺς οὐρανοὺς, μὲ τοῦτα νὰ καθα-

αὐτὰ δὲ τὰ ἐπερανία κρείττοσι θυσίαις παρὰ ταύτας.

24 Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν ἐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεῦ ὑπὲρ ἡμῶν·

25 Οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ·

26 (Ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμε,) νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας, διὰ τῆς θυσίας αὐτῦ πεφανέρωται.

27 Καὶ καθ' ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τῦτο κρίσις·

28 Οὕτως ὁ Χριστὸς ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρυ χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.

ρίζωνται· ἀμὴ αὐτὰ τὰ ἐπερράνια καθαρίζονται μὲ καλλιτεραις θυσίαις παρὰ τῦταις.

24 Διατὶ ὁ Χριστὸς δὲν ἐμβῆκεν εἰς χειροποίητα ἅγια, ὁπῦ ἦσαν ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' ἐμβῆκεν εἰς αὐτὸν τὸν ἐρανὸν, νὰ φανῇ τῶρα εἰς τὸ πρόσωπον τοῦ Θεῦ διὰ λόγυ μας·

25 Ὄχι διὰ νὰ προσφέρῃ πολλαῖς φοραῖς τοῦ λόγυ τυ, καθὼς ὁ ἀρχιερεὺς ἐμβαίνει εἰς τὰ ἅγια κάθε χρόνον μὲ ξένον αἷμα·

26 (Διατὶ ἀλλέως, ἔκαμνε χρεία νὰ πάθῃ αὐτὸς πολλαῖς φοραῖς ἀπὸ τὴν ἀρχὴν τοῦ κόσμε,) ἀμὴ τῶρα μίαν φορὰν εἰς τὸ τέλος τῶν αἰώνων, ἐφανερώθη εἰς ἀφαίρεσιν τῆς ἁμαρτίας, διαμέσυ τῆς ἐδικῆς τυ θυσίας.

27 Καὶ καθὼς εἶναι ἀποφασισμένον εἰς τὺς ἀνθρώπυς νὰ ἀποθάνυσι μίαν φορὰν, καὶ ὕστερα ἀπὸ τὸν θάνατον εἶναι κρίσις·

28 Ὁμοίως καὶ ὁ Χριστὸς ἔσωντας νὰ προσφερθῇ μίαν φορὰν, εἰς τὸ νὰ σηκώσῃ ταῖς ἁμαρτίαις τῶν πολλῶν, τὸ δεύτερον θέλει φανῇ χωρὶς ἁμαρτίαν, εἰς ἐκείνυς ὁπῦ τὸν ἀποδέχυνται εἰς σωτηρίαν.

Κεφ. ί. 10.

Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ

Διατὶ ὁ νόμος ἔσωντας νὰ ἔχῃ σκιὰν τῶν μελλόντων

αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς, οὐδέποτε δύναται τοὺς προσερχομένους τελειῶσαι.

2 Ἐπεὶ ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ κεκαθαρμένους·

3 Ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ' ἐνιαυτόν.

4 Ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας.

5 Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον, λέγει· Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι.

6 Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας.

7 Τότε εἶπον· Ἰδοὺ ἥκω (ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ) τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου.

8 Ἀνώτερον λέγων· Ὅτι θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας· (αἵτινες κατὰ τὸν νόμον προσφέρονται·)

9 Τότε εἴρηκεν· Ἰδοὺ ἥκω

ἀγαθῶν, καὶ ὄχι αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, οὐδέποτε δύνεται νὰ τελειώσῃ διαμέσου τῶν θυσιῶν, ὁποῦ προσφέρονται κάθε χρόνον πάντοτε, ἐκείνους ὁποῦ σημώνουσιν (εἰς τὸ ἱερόν.)

2 Ἀλλέως, ἤθελασι παύσῃ αἱ θυσίαις νὰ μὴν προσφέρωνται, διατὶ οἱ λατρεύοντες ἔςωντας νὰ ἐκαθαρίσθηκαν μίαν φορὰν δὲν ἤθελαν ἔχῃ πλέον καμίαν συνείδησιν ἁμαρτιῶν·

3 Ἀλλὰ μετ' αὐταῖς κάθε χρόνον γίνεται ἀναθύμησις τῶν ἁμαρτιῶν.

4 Διατὶ εἶναι ἀδύνατον τὸ αἷμα τῶν ταύρων καὶ τῶν τράγων νὰ ἀφαιρέσῃ ἁμαρτίαις.

5 Διὰ τοῦτο ἐρχόμενος μέσα εἰς τὸν κόσμον, λέγει· Θυσίαν καὶ προσφορὰν δὲν ἠθέλησας, ἀλλὰ σῶμα μοῦ ἐκατασκεύασες.

6 Δὲν σοῦ ἄρεσαν ὁλοκαυτώματα, οὐδὲ θυσίαις διὰ ταῖς ἁμαρτίαις.

7 Τότε εἶπον· Νὰ ὁποῦ ἦλθα, Θεὲ (εἰς τὴν ἀρχὴν τοῦ βιβλίου ἐγράφη διὰ λόγου μου) νὰ κάμω τὸ θέλημά σου.

8 Λέγωντας παραπάνω· Θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα, καὶ θυσίαν περὶ ἁμαρτίας δὲν ἠθέλησες, οὐδὲ ἔςερξες· (τὰ ὁποῖα προσφέρονται κατὰ τὸν νόμον·)

9 Τότε εἶπεν· Νὰ ὁποῦ

τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου· Ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ.

10 Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν διὰ τῆς προσφορᾶς τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ ἐφάπαξ.

11 Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵτινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας.

12 Αὐτὸς δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ.

13 Τὸ λοιπὸν ἐκδεχόμενος ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ·

14 Μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους.

15 Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ Πνεῦμα τὸ ἅγιον· μετὰ γὰρ τὸ προειρηκέναι·

16 Αὕτη ἡ διαθήκη ἣν διαθήσομαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν ἐπιγράψω αὐτούς·

17 Καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.

ἦλθα, Θεὲ, νὰ κάμω τὸ θέλημά σου· Εὐγάνει τὸ πρῶτον, διὰ νὰ στήσῃ τὸ δεύτερον.

10 Εἰς τὸ ὁποῖον θέλημα εἴμεσθεν ἁγιασμένοι, διαμέσου τῆς προσφορᾶς τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ ὁποῦ ἔγινε μίαν φοράν.

11 Καὶ κάθε ἱερεὺς ἔστεκε λειτουργῶντας καθ' ἡμέραν, καὶ προσφέρνωντας πολλάκις ταῖς αὐταῖς θυσίαις, αἱ ὁποίαις θυσίαις οὐδέποτε δύνονται νὰ ἀφαιρέσουν ἁμαρτίαις.

12 Ἀμὴ αὐτὸς (ὁ Ἰησοῦς) ἔστωντας νὰ ἐπρόσφερε μίαν θυσίαν διὰ ταῖς ἁμαρτίαις, ἐκάθισε παντοτεινὰ εἰς τὴν δεξιὰν τοῦ Θεοῦ.

13 Τὸ λοιπὸν καρτερεῖ ἕως ὁποῦ νὰ βαλθοῦσιν οἱ ἐχθροὶ του ὑποπόδιον τῶν ποδῶν του·

14 Διατὶ μὲ μίαν προσφορὰν ἐτελείωσε παντοτεινὰ ἐκείνους ὁποῦ ἁγιάζονται.

15 Καὶ μαρτυρεῖ μας τὸ καὶ τὸ Πνεῦμα τὸ ἅγιον· διατὶ ἀφ' οὗ ἐπροεῖπε·

16 Ἐτοῦτη εἶναι ἡ διαθήκη, τὴν ὁποίαν θέλω διαθέσει εἰς αὐτοὺς ὕστερα ἀπὸ ταῖς ἡμέραις ἐκείναις, λέγει Κύριος, θέλω δώσει τοὺς νόμους μου εἰς ταῖς καρδίαις τους, καὶ θέλω τοὺς γράψει εἰς ταῖς διανοίαις τους·

17 Καὶ ταῖς ἁμαρτίαις τους καὶ ταῖς ἀνομίαις τους δὲν θέλω ταῖς ἐνθυμηθῆ πλέον.

18 Ὅπȣ δὲ ἄφεσις τȣ́των, οὐκ ἔτι προσφορὰ περὶ ἁμαρτίας.

19 Ἔχοντες ȣ̓͂ν, ἀδελφοὶ, παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησȣ͂,

20 Ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ καταπετάσματος, τȣτέστι, τῆς σαρκὸς αὐτȣ͂·

21 Καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεȣ͂·

22 Προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς·

23 Καὶ λελȣμένοι τὸ σῶμα ὕδατι καθαρῷ, κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ· (πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος·)

24 Καὶ κατανοῶμεν ἀλλήλȣς εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων·

25 Μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισὶν, ἀλλὰ παρακαλȣ͂ντες· καὶ τοσȣ́τῳ μᾶλλον ὅσῳ βλέπετε ἐγγίζȣσαν τὴν ἡμέραν.

26 Ἑκȣσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς

18 Ἐκεῖ δὲ ὁπȣ͂ εἶναι ἡ συγχώρησις τȣ́των, δὲν εἶναι πλέον προσφορὰ περὶ ἁμαρτίας.

19 Ἔστωντας λοιπὸν νὰ ἔχωμεν, ἀδελφοὶ, παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων, εἰς τὸ αἷμα τοῦ Ἰησȣ͂,

20 Στράταν λέγω, τὴν ὁποίαν μᾶς ἐκαινȣ́ργωσε καινȣ́ριαν καὶ ζωντανὴν, διαμέσȣ τοῦ βημοθύρȣ, ἤγȣν, τῆς σάρκας τȣ·

21 Καὶ ἔστωντας νὰ ἔχωμεν ἕνα μέγαν ἱερέα, ἀπάνω εἰς τὸ σπῆτι τοῦ Θεȣ͂·

22 Ἂς σημώνωμεν μὲ ἀληθινὴν καρδίαν, μὲ πληροφορίαν πίστεως, πλυμμένοι ταῖς καρδίαις ἀπὸ συνειδήσεως πονηρᾶς·

23 Καὶ λȣσμένοι τὸ κορμὶ μὲ νερὸν καθαρὸν, ἂς κρατȣ͂μεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀσάλευτον· (διατὶ ἐκεῖνος ὁπȣ͂ μᾶς ἔταξεν εἶναι πιστός·)

24 Καὶ φροντίζοντες ἂς στοχαζώμεσθεν ἕνας τὸν ἄλλον, εἰς παρακινημὸν τῆς ἀγάπης καὶ τῶν καλῶν ἔργων·

25 Μὴν ἀφίνοντες τὴν συχνοσύναξίν μας, καθὼς εἶναι συνήθεια εἰς μερικȣ̀ς, ἀλλὰ νὰ παρακινȣ͂μεν ἕνας τὸν ἄλλον· καὶ τόσῳ περισσότερον, ὅσῳ βλέπετε ὁπȣ͂ σημώνει ἡ ἡμέρα.

26 Διατὶ ἐὰν ἁμαρτάνωμεν ἐμεῖς μὲ τὸ θέλημά μας, ὕστερον ἀφ᾽ ȣ̓͂ ἐπήραμεν τὴν

ἀληθείας, οὐκ ἔτι περὶ
ἁμαρτιῶν ἀπολείπεται θυ-
σία·
27 Φοβερὰ δέ τις ἐκδοχὴ
κρίσεως, καὶ πυρὸς ζῆλος,
ἐσθίειν μέλλοντος τοὺς ὑπεναν-
τίους.
28 Ἀθετήσας τὶς νόμον
Μωσέως, χωρὶς οἰκτιρμῶν
ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν
ἀποθνήσκει·
29 Πόσῳ (δοκεῖτε) χείρο-
νος ἀξιωθήσεται τιμωρίας ὁ
τὸν υἱὸν τοῦ Θεοῦ καταπατή-
σας, καὶ τὸ αἷμα τῆς δια-
θήκης κοινὸν ἡγησάμενος ἐν ᾧ
ἡγιάσθη, καὶ τὸ Πνεῦμα τῆς
χάριτος ἐνυβρίσας;
30 Οἴδαμεν γὰρ τὸν
εἰπόντα· Ἐμοὶ ἐκδίκησις, ἐγὼ
ἀνταποδώσω, λέγει Κύριος.
Καὶ πάλιν· Κύριος κρινεῖ τὸν
λαὸν αὐτοῦ.
31 Φοβερὸν τὸ ἐμπεσεῖν
εἰς χεῖρας Θεοῦ ζῶντος.
32 Ἀναμιμνήσκεσθε δὲ
τὰς πρότερον ἡμέρας, ἐν αἷς
φωτισθέντες, πολλὴν ἄθλησιν
ὑπεμείνατε παθημάτων·
33 Τοῦτο μὲν, ὀνειδισμοῖς
τε καὶ θλίψεσι θεατριζό-
μενοι· τοῦτο δὲ, κοινωνοὶ τῶν
οὕτως ἀναστρεφομένων γενηθέν-
τες·
34 Καὶ γὰρ τοῖς δεσμοῖς

γνώρισιν τῆς ἀληθείας, δὲν
ἀπομένει πλέον θυσία περὶ
ἁμαρτίας·
27 Ἀμὴ ἀπομένει ἐκείνη ἡ
φοβερὰ ἀπαντοχὴ τῆς κρίσεως,
καὶ καῦμα τοῦ πυρὸς ὁποῦ μέλλει
νὰ φάγῃ τοὺς ὑπεναντίους.
28 Κανένας ὁποῦ νὰ κατα-
φρονήσῃ τὸν νόμον τοῦ Μωϋ-
σέως, μὲ δύο ἢ τρεῖς μάρτυρες
χωρὶς λύπην ἀποθνήσκει·
29 Πόσῳ (λογιάζετε) θέλει
ἀξιωθῆ χειρότερης τιμωρίας
ἐκεῖνος ὁποῦ ἐκατεπάτησε τὸν
υἱὸν τοῦ Θεοῦ, καὶ ἐλογίασε κοινὸν
τὸ αἷμα τῆς διαθήκης, εἰς τὸ
ὁποῖον ἡγιάσθη, καὶ ὁποῦ ὕβρι-
σε τὸ Πνεῦμα τῆς χάριτος;
30 Διατὶ ἠξεύρομεν ἐκεῖνον
ὁποῦ εἶπε· Ἡ ἐκδίκησις εἶναι
ἰδική μου, ἐγὼ θέλω ἀνταποδώ-
σει, λέγει Κύριος. Καὶ πάλιν·
Κύριος θέλει κρίνει τὸν λαόν
του.
31 Φοβερὸν εἶναι τὸ ἐμπε-
σεῖν εἰς τὰ χέρια τοῦ Θεοῦ τοῦ
ζῶντος.
32 Καὶ ἀναθυμᾶσθε ταῖς
προτίτεραις ἡμέραις, εἰς ταῖς
ὁποίαις ἔσωντας νὰ ἐφω-
τίσθητε, ὑπεμείνατε πολὺν
ἀγῶνα τῶν παθημάτων·
33 Τὸ ὅτι ἐπομπευθήκετε,
μὲ ὀνειδισμοὺς καὶ μὲ θλίψαις·
καὶ τὸ ὅτι ἐγενήκετε κοινωνοὶ
ἐκείνων ὁποῦ τοιουτοτρόπως
ἐδιώχνονταν·
34 Διατὶ ἐσυνεπάθετε καὶ

μου συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς, καὶ μένουσαν.

35 Μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην.

36 Ὑπομονῆς γὰρ ἔχετε χρείαν· ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν·

37 Ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ.

38 Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται· καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ.

39 Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.

εἰς τὰ δεσμά μου, καὶ ἐδεχθήκετε μετὰ χαρᾶς νὰ ἁρπαχθοῦσι τὰ ὑπάρχοντά σας, γνωρίζοντες πῶς ἔχετε εἰς τοῦ λόγου σας καλλίτερον περιουσίαν εἰς τοὺς οὐρανούς, ἡ ὁποῖα καὶ μένει.

35 Μὴν ἀποῤῥίξετε λοιπὸν τὴν παῤῥησίαν σας, ἡ ὁποῖα ἔχει μεγάλην πληρωμήν.

36 Διατὶ ἐσεῖς χρειάζεσθε ὑπομονήν· διὰ νὰ πάρετε τὸ τάξιμον, κάμνοντες τὸ θέλημα τοῦ Θεοῦ·

37 Διατὶ ἀκόμι ὀλίγον ὀλίγον χρόνον, καὶ ἐκεῖνος ὁποῦ μέλλει νὰ ἔλθη, θέλει ἔλθει, καὶ δὲν θέλει ἀργήσει.

38 Καὶ ὁ δίκαιος θέλει ζήσει ἀπὸ τὴν πίστιν· καὶ ἐὰν κανένας σύρει τοῦ λόγου του ὀπίσω, δὲν ἀναπαύεται εἰς αὐτὸν ἡ ψυχή μου.

39 Ἀλλὰ ἐμεῖς δὲν εἴμεσθεν νὰ συρθοῦμεν ὀπίσω, τὸ ὁποῖον εἶναι εἰς ἀπώλειαν, ἀλλὰ νὰ πιστεύωμεν εἰς σωτηρίαν ψυχῆς.

Κεφ. ιά. 11.

Ἔστι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων.

2 Ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι.

3 Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι

ΚΑῚ ἡ πίστις εἶναι ὑπόστασις τῶν πραγμάτων ὁποῦ ἐλπίζονται, καὶ φανέρωσις ἐκεινῶν ὁποῦ δὲν βλέπονται.

2 Διατὶ εἰς αὐτὴν τὴν πίστιν ἐμαρτυρήθηκαν οἱ παλαιοί.

3 Μὲ τὴν πίστιν γροικοῦμεν τοὺς αἰῶνας νὰ ἐκατασκευάσ-

Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι.

4 Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ· καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται.

5 Πίστει Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον· καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός· πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐηρεστηκέναι τῷ Θεῷ.

6 Χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι· πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἐστὶ, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται.

7 Πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ· δι' ἧς κατέκρινε τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος.

8 Πίστει, καλούμενος

θηκαν μὲ τὸν λόγον τοῦ Θεοῦ, εἰς τόσον ὁποῦ ἐτοῦτα ὁποῦ βλέπονται, νὰ μὴν ἔγιναν ἀπὸ φαινόμενα.

4 Μὲ τὴν πίστιν ὁ Ἄβελ ἐπρόσφερεν εἰς τὸν Θεὸν καλλιοτέραν θυσίαν, παρὰ τὸν Κάϊν, διαμέσου τῆς ὁποίας πίστεως ἐμαρτυρήθη νὰ εἶναι δίκαιος, ἔστωντας νὰ τὸν μαρτυρήσῃ ὁ Θεὸς εἰς τὰ δῶρα ὁποῦ ἔφερε· καὶ διαμέσου αὐτῆς καὶ ἀποθαμμένος ἀκόμι λαλεῖται.

5 Μὲ τὴν πίστιν ὁ Ἐνὼχ ἐμετατοπίσθη διὰ νὰ μὴν εἴδῃ θάνατον· καὶ δὲν εὑρίσκετον, διότι ὁ Θεὸς τὸν ἐμετάθεσεν· διατὶ προτίτερα ἀπὸ τὴν μετάθεσίν του ἐμαρτυρήθη νὰ ἄρεσεν εἰς τὸν Θεόν.

6 Καὶ χωρὶς πίστεως εἶναι ἀδύνατον νὰ ἀρέσκῃ τινὰς εἰς τὸν Θεόν· διατὶ κάμνει χρεία ἐκεῖνος ὁποῦ σημώνει εἰς τὸν Θεὸν νὰ πιστεύσῃ, ὅτι εἶναι Θεὸς, καὶ ὅτι εἰς ἐκείνους ὁποῦ τὸν ἐκζητοῦσι γίνεται μισθαποδότης.

7 Μὲ τὴν πίστιν ἐμηνύθη ὁ Νῶε ἀπὸ τὸν Θεὸν ἐκεῖνα ὁποῦ ἀκόμι δὲν ἐφαίνουνταν, καὶ ἔστωντας νὰ φοβηθῇ ἐκατεσκεύασε τὴν κιβωτὸν, διὰ τὴν σωτηρίαν τοῦ σπητίου του· διαμέσου τῆς ὁποίας κιβωτοῦ κατέκρινε τὸν κόσμον, καὶ ἔγινε κληρονόμος τῆς δικαιοσύνης ὁποῦ εἶναι κατὰ τὴν πίστιν.

8 Ὁ Ἀβραὰμ καλούμενος

Ἀβραὰμ ὑπήκουσεν ἐξελθεῖν εἰς τὸν τόπον ὃν ἤμελλε λαμβάνειν εἰς κληρονομίαν, καὶ ἐξῆλθε, μὴ ἐπιστάμενος ποῦ ἔρχεται.

9 Πίστει παρῴκησεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς·

10 Ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός.

11 Πίστει καὶ αὐτὴ Σάῤῥα δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβε, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκεν, ἐπεὶ πιστὸν ἡγήσατο τὸν ἐπαγγειλάμενον.

12 Διὸ καὶ ἀφ' ἑνὸς ἐγεννήθησαν, καὶ ταῦτα νενεκρωμένου, καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡσεὶ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος.

13 Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόῤῥωθεν αὐτὰς ἰδόντες, καὶ πεισθέντες, καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς.

μὲ πίστιν ὑπήκουσεν νὰ εὔγῃ εἰς τὸν τόπον τὸν ὁποῖον ἔμελλε νὰ λάβῃ διὰ κληρονομίαν, καὶ εὔγηκε, μὴ ἐξεύροντας ποῦ ὑπάγει.

9 Μὲ τὴν πίστιν ἐπαροίκησεν εἰς τὴν γῆν ὁποῦ τοῦ ἔταξεν ὁ Θεὸς, ὡσὰν εἰς ξένην, ἔστωντας νὰ κατοικήσῃ εἰς ταῖς καλύβαις μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ, οἱ ὁποῖοι ἦταν συγκληρονόμοι τοῦ ταξίματος αὐτουνοῦ·

10 Διατὶ ἐκεῖνος ἀνάμενε τὴν πόλιν ὁποῦ ἔχει τὰ θεμέλια, τῆς ὁποίας πόλεως τεχνίτης καὶ δημιουργὸς εἶναι ὁ Θεός.

11 Μὲ τὴν πίστιν καὶ αὐτὴ ἡ Σάῤῥα ἔλαβε δύναμιν εἰς σύλληψιν τοῦ σπέρματος, καὶ ἔξω ἀπὸ τὸν καιρὸν τῆς ἡλικίας της ἐγέννησεν, ἐπειδὴ ἐλογίασε πιστὸν ἐκεῖνον ὁποῦ τῆς ἔταξε.

12 Διὰ τοῦτο καὶ ἀπὸ ἕναν, καὶ τοῦτον ὡραμαῖ νενεκρωμένον, ἐγεννήθηκαν (ἔκγονοι) καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ, τῷ πλήθει, καὶ ὡσεὶ ἄμμος ἡ ἀμέτρητος ὁποῦ εἶναι εἰς τὸ χεῖλος τῆς θαλάσσης.

13 Ἐτοῦτοι ὅλοι μὲ πίστιν ἀπέθανον, καὶ δὲν ἐπῆραν τὰ ταξίματα, ἀλλὰ ἀπὸ μακρὰ τὰ εἴδασι, καὶ ἐπίστευσαν, καὶ καταπειθόμενοι, τὰ ἀγάπησαν, καὶ ὡμολόγησαν ὅτι ἦταν ξένοι καὶ παρεπίδημοι ἀπάνω εἰς τὴν γῆν.

14 Οἱ γὰρ τοιαῦτα λέγοντες, ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι.

15 Καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι·

16 Νυνὶ δὲ κρείττονος ὀρέγονται, τουτέστιν ἐπουρανίου· διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεός, Θεὸς ἐπικαλεῖσθαι αὐτῶν· ἡτοίμασε γὰρ αὐτοῖς πόλιν.

17 Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος·

18 Πρὸς ὃν ἐλαλήθη· Ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα·

19 Λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός· ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο.

20 Πίστει περὶ μελλόντων εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ.

21 Πίστει, Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησε· καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.

22 Πίστει, Ἰωσὴφ τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε, καὶ

14 Διατὶ ἐκεῖνοι ὅπου λέγουσι τὰ τοιαῦτα, δείχνουν ὅτι πατρίδα ζητοῦσι.

15 Καὶ ἐὰν ἐθυμοῦνταν ἐκείνην τὴν πατρίδα ἀπὸ τὴν ὁποίαν εὐγῆκαν, εἶχαν καιρὸν νὰ γυρίσουν εἰς αὐτήν·

16 Ἀλλὰ ὀρέγονται καλλιωτέραν πατρίδα τουτέστι τὴν ἐπουράνιον· διὰ τοῦτο ὁ Θεὸς δὲν ἐντρέπεται νὰ κράζεται Θεὸς αὐτωνῶν· διατὶ τοὺς ἑτοίμασε πόλιν.

17 Ὁ Ἀβραὰμ δοκιμαζόμενος ἀπὸ τὸν Θεόν, μὲ πίστιν ἐπρόσφερε τὸν Ἰσαάκ, τὸν μονογενῆ τὸν ἐπρόσφερεν ἐκεῖνος ὅπου ἐδέχθη τὰ ταξίματα·

18 Εἰς τὸν ὁποῖον ἐλαλήθη· Ὅτι εἰς τὸν Ἰσαὰκ θέλει ὀνομασθῆ τὸ σπέρμα σου·

19 Ἐστωντας νὰ συλλογισθῇ ὁ Ἀβραάμ, ὅτι ὁ Θεὸς εἶναι δυνατὸς νὰ ἀναστήσῃ τὸν Ἰσαὰκ ἀπὸ τοὺς νεκρούς· καὶ διὰ τοῦτο ὡσὰν εἰς κάποιον εἰκονιζόμενον πάλιν τὸν ἐπανάλαβε.

20 Μὲ τὴν πίστιν ὁ Ἰσαὰκ εὐλόγησε τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ διὰ τὰ μέλλοντα.

21 Μὲ πίστιν ἀποθνήσκωντας ὁ Ἰακὼβ εὐλόγησε καθέναν ἀπὸ τοὺς υἱοὺς τοῦ Ἰωσήφ· καὶ ἐπροσκύνησεν ἀκουμπίζωντας εἰς τὸ ἄκρον τῆς ῥάβδου του.

22 Μὲ τὴν πίστιν ὁ Ἰωσὴφ ἀποθνήσκων ἐμνημόνευε τὴν ἔξοδον τῶν υἱῶν τοῦ Ἰσραήλ,

περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο.

καὶ ἐπαράγγειλε διὰ τὰ κόκκαλά του.

23 Πίστει, Μωσῆς γεννηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ, διότι εἶδον ἀστεῖον τὸ παιδίον· καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως.

23 Μὲ πίστιν ὁ Μωϋσῆς ὡσὰν ἐγεννήθη, ἐκρύφθη τρεῖς μῆνες ἀπὸ τοὺς πατέρας του, διατὶ εἴδασι τὸ παιδίον πολλὰ χαριτόμορφον· καὶ δὲν ἐφοβήθηκαν τὸν ὁρισμὸν τοῦ βασιλέως.

24 Πίστει, Μωσῆς μέγας γενόμενος ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ·

24 Μὲ πίστιν ὁ Μωϋσῆς ὡσὰν ἐμεγάλωσεν, ἀρνήθη νὰ λέγεται υἱὸς τῆς θυγατέρας τοῦ Φαραῶ·

25 Μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν·

25 Προκρίνωντας περισσότερον νὰ κακοπαθαίνῃ μὲ τὸν λαὸν τοῦ Θεοῦ, παρὰ νὰ ἔχῃ πρόσκαιρον ἀπόλαυσιν τῆς ἁμαρτίας·

26 Μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν.

26 Ἔστωντας νὰ λογιάσῃ μεγαλίτερον πλοῦτον τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ, ἀπὸ τοὺς θησαυροὺς τῆς Αἰγύπτου· διατὶ ἀπέβλεπεν εἰς τὴν ἀνταπόδοσιν τῆς πληρωμῆς.

27 Πίστει κατέλιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως· τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησε.

27 Μὲ πίστιν ἄφησε τὴν Αἴγυπτον, καὶ δὲν ἐφοβήθη τὸν θυμὸν τοῦ βασιλέως· διατὶ ἐκαρτέρησε ὡσὰν ὁποῦ ἔβλεπεν ἐκεῖνον ὁποῦ δὲν βλέπεται.

28 Πίστει πεποίηκε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα, θίγῃ αὐτῶν.

28 Μὲ πίστιν ἔκαμε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, διὰ νὰ μὴν τοὺς ἀγγίξῃ ὁ ἄγγελος ὁποῦ ἐσκότωνε τὰ πρωτότοκα τῶν Αἰγυπτίων.

29 Πίστει διέβησαν τὴν ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς· ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν.

29 Μὲ πίστιν ἐπέρασαν τὴν ἐρυθρὰν θάλασσαν, ὡσὰν διαμέσου ξηρᾶς· τὴν ὁποίαν οἱ Αἰγύπτιοι ἔστωντας νὰ τὴν δοκιμάσουν, ἐκατεποντίσθηκαν.

30 Πίστει τὰ τείχη Ἱεριχὼ ἔπεσε, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας.

30 Μὲ πίστιν τὰ τείχη τῆς Ἱεριχὼ ἔπεσαν, ἔστωντας νὰ τὰ περικυκλώσουν οἱ Ἰσραηλῖται ἑπτὰ ἡμέραις.

31 Πίστει Ῥαὰβ, ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης.

31 Μὲ πίστιν ἡ Ῥαὰβ ἡ πόρνη δὲν συνεφθάρθη ἀντάμα μὲ ἐκείνους ὅπου ἀπείθησαν, ἔστωντας νὰ δεχθῇ μὲ εἰρήνην τοὺς καταπατητάδες.

32 Καὶ τί ἔτι λέγω; Ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεὼν, Βαράκ τε καὶ Σαμψὼν, καὶ Ἰεφθάε, Δαβίδ τε καὶ Σαμουὴλ, καὶ τῶν προφητῶν·

32 Καὶ τί πλέον λέγω; Διατὶ ὁ χρόνος δὲν θέλει μοῦ ἀρκέσει, νὰ διηγοῦμαι περὶ τοῦ Γεδεὼν, καὶ Βαρὰκ, καὶ Σαμψὼν, καὶ Ἰεφθάε, καὶ τοῦ Δαβὶδ, καὶ τοῦ Σαμουὴλ, καὶ τῶν προφητῶν·

33 Οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων·

33 Οἱ ὁποῖοι διαμέσου τῆς πίστεως ἐνίκησαν ταῖς βασιλείαις, ἐκατώρθωσαν δικαιοσύνην, ἐπέτυχον τὰ ταξίματα, ἔφραξαν τὰ στόματα τῶν λεόντων·

34 Ἔσβεσαν δύναμιν πυρὸς, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων·

34 Ἔσβεσαν τὴν δύναμιν τῆς φωτιᾶς, ἔφυγον τὰ στόματα τῶν σπαθιῶν, ἐδυναμώθησαν ἀπὸ ἀσθενείαις, ἔγιναν δυνατοὶ εἰς τὸν πόλεμον, ἐφευγάτισαν ταῖς παράταξαις τῶν ξένων·

35 Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν·

35 Αἱ γυναῖκαις ἐπῆραν ἀπὸ ἀνάστασιν τοὺς νεκροὺς τους· καὶ ἄλλοι ἐτυμπανίσθηκαν, καὶ δὲν ἀποδέχθηκαν τὴν ἐλευθερίαν, (τοῦ θανάτου,) διὰ νὰ τύχουν καλλιοτέρας ἀναστάσεως·

36 Ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς·

36 Καὶ ἄλλοι ἐδοκίμασαν ἐμπαιγμοὺς καὶ μάστιγαις, καὶ ἀκόμι δεσμὰ καὶ φυλακαῖς.

37 Ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν ἐν φόνῳ μαχαίρας ἀπέθανον· περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν· ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι·

38 (Ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος) ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.

39 Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν·

40 Τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.

37 Ἐπετροβολήθηκαν, ἐπριονίσθηκαν, ἐπειράχθηκαν, ἀπέθανον μὲ φόνον σπαθίου· ἐτριγύριζαν μὲ προβατογούναις, μὲ αἰγόγουναις· ὑστερημένοι, θλιμμένοι, κακοπαθημένοι·

38 (Διὰ τοὺς ὁποίους δὲν ἦτον ἄξιος ὁ κόσμος) περιπλανώμενοι εἰς ταῖς ἐρημίαις, καὶ εἰς τὰ ὄρη, καὶ εἰς τὰ σπήλαια, καὶ εἰς ταῖς τρύπαις τῆς γῆς.

39 Καὶ ἐτοῦτοι ὅλοι ἔστωντας νὰ μαρτυρηθοῦσι διαμέσου τῆς πίστεως, δὲν ἐπῆραν τὸ τάξιμον·

40 Ἔστωντας νὰ προειδῇ ὁ Θεὸς κάτι καλλιότερον διὰ λόγου μας, διὰ νὰ μὴν τελειωθοῦν ἐκεῖνοι χωρὶς ἐμᾶς.

Κεφ. ιβ΄. 12.

ΤΟιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα·

2 Ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ ἐκάθισεν.

3 Ἀναλογίσασθε γὰρ τὸν

ΚΑΙ ἐμεῖς τὸ λοιπὸν ἔστωντας νὰ ἔχωμεν τόσον μεγάλον σύννεφον τῶν μαρτύρων, ὁποῦ εἶναι τριγύρω μας ῥίχνοντες κάθε λογῆς βάρος, καὶ τὴν ἁμαρτίαν ὁποῦ μᾶς περιπλέκει, τρέχωμεν μὲ ὑπομονὴν τὸν ἀγῶνα ὁποῦ μᾶς ἐπροβάλθη·

2 Ἀποβλέποντες εἰς τὸν Ἰησοῦν τὸν ἀρχηγὸν καὶ τελειωτὴν τῆς πίστεως, ὁ ὁποῖος ἀντὶ τὴν προκειμένην εἰς τοῦ λόγου του χαρὰν, ὑπέμεινε σταυρὸν, καταφρονῶντας τὴν ἐντροπὴν, καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τοῦ Θεοῦ.

3 Ἀναθυμηθῆτε λοιπὸν καὶ

τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι.

4 Οὔπω μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι·

5 Καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος·

6 Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.

7 Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ;

8 Εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί.

9 Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς, καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν;

10 Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας, κατὰ τὸ δοκοῦν αὐτοῖς,

λογαριάσατε ἐκεῖνον ὁπου ὑπόμεινεν ἀπὸ τοὺς ἁμαρτωλοὺς εἰς τοῦ λόγου του τέτοιας λογῆς μεγάλην ἀντιλογίαν, διὰ νὰ μὴν ἀποκάμετε, λειποψυχοῦντες.

4 Ἐσεῖς ἀκόμι δὲν ἐναντιώθητε ἕως εἰς αἷμα, ἀνταγωνιζόμενοι ἐναντίον τῆς ἁμαρτίας·

5 Καὶ ἀλησμονήσετε τὴν νουθεσίαν ἐκείνην, ἡ ὁποῖα σᾶς μιλεῖ ὡσὰν τέκνα της, λέγουσα· Υἱέ μου, μὴν καταφρονᾷς τὴν παίδευσιν τοῦ Θεοῦ, μηδὲ ἀπόβαλλε τὴν προθυμίαν ἐλεγχόμενος ὑπ' αὐτοῦ·

6 Διατὶ ὁ Κύριος παιδεύει ἐκεῖνον ὁπου ἀγαπᾷ· καὶ δέρνει κάθε υἱὸν, ὁπου δέχεται (ὡσὰν παιδί του.)

7 Ἐὰν ὑπομένετε παίδευσιν, ὁ Θεὸς προσφέρεται πρὸς ἐσᾶς ὡσὰν εἰς υἱούς του· διατὶ ποῖος εἶναι ἐκεῖνος ὁ υἱὸς, τὸν ὁποῖον δὲν τὸν παιδεύει ὁ πατέρας του;

8 Ἐὰν εἶσθε χωρὶς παίδευσιν, ἀπὸ τὴν ὁποῖαν ὅλοι εἶναι μέτοχοι, λοιπὸν εἶσθε νόθα παιδία, καὶ ὄχι υἱοὶ γνήσιοι.

9 Ἀπέκει τοὺς πατέρας τοὺς σαρκικούς μας εἴχαμεν παιδευτὰς, καὶ τοὺς ἐντρεπόμεσθε· δὲν θέλομεν ὑποταχθῇ πολλὰ περισσότερον εἰς τὸν πατέρα τῶν πνευμάτων, καὶ θέλομεν ζήσει;

10 Διατὶ ἐκεῖνοι οἱ πατέρες εἰς ὀλίγαις ἡμέραις ἐπαίδευον,

ἐπαίδευον· ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ.

11 Πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης.

12 Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε·

13 Καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.

14 Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον·

15 Ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ· μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, καὶ διὰ ταύτης μιανθῶσι πολλοί.

16 Μή τις πόρνος, ἢ βέβηλος, ὡς Ἡσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ.

17 Ἴστε γὰρ ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν, ἀπεδοκι-

κατὰ τὸ ἀρεσκούμενόν τους· ἀλλὰ ὁ Θεὸς (παιδεύει) διὰ τὸ συμφέρον, διὰ νὰ μεταλάβωμεν τῆς ἁγιότητός του.

11 Καὶ κάθε παίδευσις ὅσον διὰ τὸ παρὸν δὲν φαίνεται νὰ εἶναι χαρᾶς (ἀφορμὴ) ἀλλὰ λύπης· ἀλλὰ ὕστερον ἀποδίδει καρπὸν εἰρηνικὸν τῆς δικαιοσύνης, εἰς ἐκείνους ὁποῦ ἐπρογυμνάσθηκαν ἀπ' αὐτήν.

12 Διὰ τοῦτο τὰ ἀπεσταμένα χέρια καὶ τὰ παραλυμένα γόνατα ὀρθοστατήσετέ τα·

13 Καὶ κάμετε τῶν ποδαρίων σας ἴσους δρόμους· διὰ νὰ μὴν παραστρατήσῃ ἐκεῖνο ὁποῦ εἶναι κωλὸν, ἀλλὰ περισσότερον νὰ ἰατρευθῇ.

14 Ζητᾶτε εἰρήνην ὁμοῦ μὲ ὅλους, καὶ τὸν ἁγιασμὸν, χωρὶς τὸν ὁποῖον κανένας δὲν θέλει εἰδῆ τὸν Κύριον·

15 Στοχαζόμενοι μήπως καὶ κανένας εἶναι ἐλλειπὴς ἀπὸ τὴν χάριν τοῦ Θεοῦ· μήπως καὶ καμία ῥίζα πικρὰ αὐξάνουσα ἀπάνω σᾶς ἐμποδίζει, καὶ διὰ μέσου της μιανθῶσι πολλοί.

16 Μήπως καὶ εἶναι κανένας πόρνος, ἢ ἀκάθαρτος ὡσὰν ὁ Ἡσαῦ, ὁ ὁποῖος διὰ ἕνα φαγητὸν ἐπούλησε τὰ πρωτοτόκιά του.

17 Διατὶ ἐξεύρετε ὅτι καὶ ὕστερον θέλωντας νὰ κληρονομήσῃ τὴν εὐλογίαν, ἀπεδοκι-

μάσθη· μετανοίας γὰρ τόπον οὐχ εὗρε, καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν.

18 Οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει, καὶ κεκαυμένῳ πυρὶ, καὶ γνόφῳ, καὶ σκότῳ, καὶ θυέλλῃ,

19 Καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον.

20 (Οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον· Κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται, ἢ βολίδι κατατοξευθήσεται.

21 Καὶ, οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον, Μωσῆς εἶπεν· Ἔκφοβός εἰμι καὶ ἔντρομος.)

22 Ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων,

23 Πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων,

μάσθη· διατὶ δὲν εὗρηκε τόπον μετανοίας, ἀγκαλὰ καὶ νὰ τὴν ἐζήτησε μὲ δάκρυα.

18 Διατὶ δὲν ἐσημώσετε εἰς ὄρος ὁποῦ ψηλαφᾶται μὲ χέρι, καὶ ὁποῦ καίεται μὲ πυρκαϊὰν, καὶ εἰς ἀντάραν, καὶ εἰς σκότος, καὶ εἰς ἀνεμοσυστροφὴν,

19 Καὶ εἰς ἦχον τῆς σάλπιγγος, καὶ εἰς τὴν φωνὴν τῶν λόγων, τὴν ὁποίαν ἐκεῖνοι ὁποῦ τὴν ἄκουσαν, ἐζήτησαν νὰ μὴν ἀπανωλαληθῇ εἰς αὐτοὺς λόγος.

20 (Διατὶ δὲν ἐδύνονταν νὰ ὑποφέρουν τὸν ἐμποδιστικὸν ὁρισμὸν τοῦτον, ὁποῦ ἐπρόσταζε λέγων· Ἐὰν καὶ θηρίον σημώσῃ εἰς τὸ ὄρος, θέλει λιθοβοληθῇ, ἢ θέλει κατατοξευθῇ μὲ κονταριάν.

21 Καὶ ἦτον τόσον φοβερὸν τὸ φαινόμενον, ὁποῦ ὁ Μωϋσῆς εἶπε· Πολλὰ φοβερισμένος εἶμαι καὶ τρομασμένος.)

22 Ἀλλὰ ἐσεῖς ἐσημώσετε εἰς τὸ ὄρος τῆς Σιὼν, καὶ εἰς τὴν πόλιν τοῦ Θεοῦ τοῦ ζῶντος, εἰς τὴν ἐπουράνιον Ἱερουσαλὴμ, καὶ εἰς ταῖς μυριάδες τῶν ἀγγέλων,

23 Εἰς πανήγυριν καὶ ἐκκλησίαν τῶν πρωτοτόκων, ὁποῦ εἶναι ἀπογεγραμμένοι εἰς τοὺς οὐρανοὺς, καὶ εἰς κριτὴν τὸν Θεὸν τῶν πάντων, καὶ εἰς τὰ πνεύματα τῶν δικαίων ὁποῦ ἐτελειώθηκαν,

24 Καὶ διαθήκης νέας μεσίτῃ Ἰησῦ, καὶ αἵματι ῥαντισμῦ, κρείττονα λαλῦντι παρὰ τὸν Ἄβελ.

25 Βλέπετε μὴ παραιτήσησθε τὸν λαλῦντα· εἰ γὰρ ἐκεῖνοι οὐκ ἔφυγον, τὸν ἐπὶ τῆς γῆς παραιτησάμενοι χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ᾽ ὐρανῶν ἀποςρεφόμενοι;

26 Οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε· νῦν δὲ ἐπήγγελται, λέγων· Ἔτι ἅπαξ ἐγὼ σείω ὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν ὐρανόν.

27 Τὸ δὲ, ἔτι ἅπαξ, δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν, ὡς πεποιημένων, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα.

28 Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχωμεν χάριν δι᾽ ἧς λατρεύωμεν εὐαρέςως τῷ Θεῷ, μετὰ αἰδῦς καὶ εὐλαβείας.

29 Καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον.

24 Καὶ εἰς τὸν Ἰησῦν τὸν μεσίτην τῆς νέας διαθήκης, καὶ εἰς τὸ αἷμα τοῦ ῥαντισμῦ, ὀπῦ λαλεῖ τὰ καλίτερα παρὰ τὸ αἷμα τῦ Ἄβελ.

25 Ἔχετε τὸν νῦν σας μὴν παραιτήσετε ἐκεῖνον ὀπῦ σᾶς λαλεῖ· διατὶ ἐὰν ἐκεῖνοι δὲν ἐγλίτωσαν, οἱ ὁποῖοι ἐπαραίτησαν ἐκεῖνον ὀπῦ θεόφωτα τὲς ἐσυντύχαινεν ἀπάνω εἰς τὴν γῆν, πολλὰ περισσότερον δὲν θέλομεν γλιτώσει ἐμεῖς, ἐὰν ἀποςρεφόμεσθεν ἐκεῖνον ὀπῦ μᾶς θεοδιδάσκει ἀπὸ τὸν ὐρανόν;

26 Τῦ ὁποίου ἡ φωνὴ ἐσάλευε τότε τὴν γῆν· ἀλλὰ τῶρα ἐμήνυσε, λέγωντας· Ἀκόμι μίαν φορὰν ἐγὼ σείω, ὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν ὐρανόν.

27 Καὶ τὸ, ἀκόμι μίαν φορὰν, φανερώνει τὴν μετάθεσιν ἐκεινῶν τῶν πραγμάτων ὀπῦ σαλεύονται, ὡσὰν καμωμένα, διὰ νὰ ἀπομείνῃ ἐκεῖνα ὀπῦ δὲν σαλεύονται.

28 Διὰ τῦτο ἔςωντας νὰ παραλαμβάνωμεν βασιλείαν ἀσάλευτον, ἂς κρατῦμεν τὴν χάριν, μὲ τὴν ὁποίαν λατρεύωμεν εὐαρέςως τῷ Θεῷ, μετὰ αἰδῦς καὶ εὐλαβείας.

29 Διατὶ ὁ Θεός μας εἶναι φωτία ὀπῦ κατατρώγει.

Κεφ. ιγ΄. 13.

Ἡ φιλαδελφία μενέτω.

2 Τῆς φιλοξενίας μὴ

Ἡ φιλαδελφία ἂς μένῃ.

2 Μὴν ἀλησμονᾶτε

ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους.

3 Μιμνήσκεσθε τῶν δεσμίων, ὡς συνδεδεμένοι· τῶν κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι.

4 Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός.

5 Ἀφιλάργυρος ὁ τρόπος· ἀρκούμενοι τοῖς παροῦσιν· αὐτὸς γὰρ εἴρηκεν· Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω.

6 Ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν· Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.

7 Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν.

8 Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας.

9 Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ περιφέρεσθε· καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν

τὴν φιλοξενίαν· διατὶ μὲ τούτην κάποιοι μὴ ἐξεύροντες ἐδέχθηκαν ἀγγέλους εἰς τὸ σπῆτι τους.

3 Ἐνθυμᾶσθε τοὺς δεμένους, ὡσὰν ὁποῦ εἶσθε καὶ ἐσεῖς ἀντάμα δεμένοι· καὶ ἐνθυμᾶσθε ἐκείνους ὁποῦ κακοπαθαίνουν, ὡσὰν νὰ εἶσθε καὶ ἐσεῖς (κακοπαθαίνοντες ἀντάμα τους) μὲ τὸ κορμί.

4 Ὁ γάμος εἰς ὅλους ἂς εἶναι τίμιος, καὶ ἡ κοίτη ἀμίαντος· διότι τοὺς πόρνους καὶ τοὺς μοιχοὺς θέλει κρίνει ὁ Θεός.

5 Ὁ τρόπος ἂς εἶναι ἀφιλάργυρος· νὰ εἶσθε εὐχαριστημένοι εἰς ἐκεῖνα ὁποῦ ἔχετε· διατὶ αὐτὸς εἶπε· Δὲν θέλω σὲ ἀφήσει, οὐδὲ θέλω σὲ ἐγκαταλείψει.

6 Εἰς τόσον ὁποῦ νὰ λέγωμεν ἡμεῖς μὲ θάῤῥος· Ὁ Κύριος εἶναι βοηθός μου, καὶ δὲν θέλω φοβηθῆ, ὅ, τι καὶ ἂν μοῦ κάμει ἄνθρωπος.

7 Ἐνθυμᾶσθε τοὺς προεστούς σας, οἱ ὁποῖοι σᾶς ἐλάλησαν τὸν λόγον τοῦ Θεοῦ· τῶν ὁποίων ἀποβλέποντες τὸ τέλος τῆς συναναστροφῆς, μιμᾶσθε τὴν πίστιν τους.

8 Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς εἶναι, καὶ εἰς τοὺς αἰῶνας.

9 Μὴν σύρνεσθε ἐδῶ καὶ ἐκεῖ μὲ διδαχαῖς πολλῶν λογιῶν καὶ παράξεναις· διατὶ

καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες.

10 Ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες.

11 Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς.

12 Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθε.

13 Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες.

14 Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν.

15 Δι᾽ αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διαπαντὸς τῷ Θεῷ, τουτέστι καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ.

16 Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

17 Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε·

καλὸν εἶναι νὰ βεβαιώνεται ἡ καρδία μὲ τὴν χάριν, καὶ ὄχι μὲ τὰ φαγητὰ, εἰς τὰ ὁποῖα δὲν ὠφελήθηκαν ἐκεῖνοι, ὁποῦ ἐπεριπάτησαν εἰς αὐτά.

10 Ἔχομεν θυσιαστήριον, ἀπὸ τὸ ὁποῖον ἐκεῖνοι ὁποῦ ὑπηρετοῦσι τὴν σκηνὴν, δὲν ἔχουν ἐξουσίαν νὰ φᾶσι.

11 Διατὶ ἐκείνων τῶν ζώων, τῶν ὁποίων τὸ αἷμα φέρεται διὰ ταῖς ἁμαρτίαις μέσα εἰς τὰ ἅγια διαμέσου τοῦ ἀρχιερέως, τὰ σώματα ἐκείνων τῶν ζώων κατακαίουνται ἔξω ἀπὸ τὴν παρεμβολήν.

12 Διὰ τοῦτο καὶ ὁ Ἰησοῦς, διὰ νὰ ἁγιάσῃ τὸν λαὸν μὲ τὸ ἐδικόν του αἷμα, ἔξω ἀπὸ τὴν πύλην ἔπαθεν.

13 Τὸ λοιπὸν ἂς ἐξερχόμεσθεν εἰς αὐτὸν, ἔξω ἀπὸ τὴν παρεμβολὴν, φέροντες τὸν ὀνειδισμόν του.

14 Διατὶ ἐμεῖς ἐδῶ δὲν ἔχομεν πόλιν μένουσαν, ἀλλὰ ζητοῦμεν τὴν μέλλουσαν.

15 Διαμέσου αὐτοῦ λοιπὸν ἂς προσφέρωμεν θυσίαν αἰνέσεως τῷ Θεῷ πάντοτε, ἤγουν καρπὸν χειλέων ὁποῦ ὁμολογοῦσι τὸ ὄνομά του.

16 Καὶ μὴν ἀλησμονᾶτε τὴν εὐεργεσίαν καὶ τὴν μετάδοσιν· διατὶ μὲ τέτοιας λογῆς θυσίαις ἀρέσκεται ὁ Θεός.

17 Πείθεσθε τοὺς προεστούς σας, καὶ ὑπακούετέ τους· διατὶ

αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο.

18 Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι·

19 Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν.

20 Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν,

21 Καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ· ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ, διὰ Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

22 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως· καὶ γὰρ διὰ βραχέων ἐπέστειλα ὑμῖν.

23 Γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ'

αὐτοὶ ἀγρυπνοῦσιν διὰ ταῖς ψυχαῖς σας, ὡσὰν ὁποῦ μέλλουν νὰ ἀποδώσουν λογαριασμόν· διὰ νὰ κάμνουν τοῦτο μετὰ χαρᾶς, καὶ ὄχι ἀναστενάζοντες· διατὶ ἀνωφελὲς ἤθελεν εἶσθαι τοῦτο εἰς ἐσᾶς.

18 Παρακαλεῖτε διὰ λόγου μας· διατὶ θαῤῥοῦμεν ὅτι ἔχομεν καλὴν συνείδησιν, θέλοντες εἰς ὅλα νὰ συναναστρεφώμεσθε καλῶς·

19 Καὶ περισσότερον παρακαλῶ νὰ κάμνετε ἐτοῦτο, διὰ νὰ ἀποκατασταθῶ εἰς ἐσᾶς τὸ γληγορώτερον.

20 Καὶ ὁ Θεὸς τῆς εἰρήνης, ὁποῦ ἀνεβίβασεν ἐκ νεκρῶν τὸν μέγαν ποιμένα τῶν προβάτων, μὲ τὸ αἷμα τῆς διαθήκης τῆς αἰωνίου, τὸν Κύριόν μας Ἰησοῦν,

21 Νὰ σᾶς κάμῃ τελείους εἰς κάθε ἔργον ἀγαθὸν, εἰς τὸ νὰ κάμνετε τὸ θέλημά του· κάμνωντας ὁ Θεὸς εἰς ἐσᾶς ἐκεῖνο ὁποῦ εἶναι εὐάρεστον ὀμπροστά του, διαμέσου τοῦ Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

22 Καὶ παρακαλῶ σας, ἀδελφοὶ, ὑπομένετε τὸν λόγον ἐτούτης τῆς νουθεσίας· διατὶ μὲ ὀλίγα λόγια σᾶς ἔγραψα.

23 Γνωρίζετε ὅτι ὁ ἀδελφὸς Τιμόθεος ἐλευθερώθη,

ὃ (ἐὰν τάχιον ἔρχηται) ὄψομαι ὑμᾶς.

24 Ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν καὶ πάντας τοὺς ἁγίους. Ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας.

25 Ἡ χάρις μετὰ πάντων ὑμῶν· ἀμήν.

† Πρὸς Ἑβραίους ἐγράφη ἀπὸ τῆς Ἰταλίας διὰ Τιμοθέου.

ἀντάμα μὲ τὸν ὁποῖον, (ἐὰν ἔλθῃ γλίγωρα) θέλω σᾶς εἰδῆ.

24 Χαιρετήσετε ὅλους τοὺς προεστοὺς σας, καὶ ὅλους τοὺς ἁγίους. Χαιρετοῦν σας ὅλοι ἐκεῖνοι ὁπου εἶναι ἀπὸ τὴν Ἰταλίαν.

25 Ἡ χάρις ἂς εἶναι μὲ ὅλους σας· ἀμήν.

† Ἡ εἰς Ἑβραίους ἐγράφη ἀπὸ τὴν Ἰταλίαν διαμέσου Τιμοθέου.

ἸΑΚΩ'ΒΟΥ ΤΟΥ̃ ἈΠΟΣΤΟ'ΛΟΥ

ἘΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ'.

Κεφ. α'. 1.

ἸΑ'ΚΩΒΟΣ Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος, ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ, χαίρειν.

2 Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις·

3 Γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν.

ἸΑ'ΚΩΒΟΣ δοῦλος τοῦ Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, εἰς ταῖς δώδεκα φυλαῖς ὁπου εἶναι εἰς τὴν διασποράν, χαίρειν.

2 Κάθε χαρὰν λογιάσετε, ἀδελφοί μου, ὅταν πέσετε εἰς πολλῶν λογιῶν πειρασμούς·

3 Γνωρίζοντες ὅτι ἡ δοκιμασία τῆς πίστεώς σας κατεργάζεται ὑπομονήν.

4 Ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι.

5 Εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος Θεοῦ πᾶσιν ἁπλῶς, καὶ μὴ ὀνειδίζοντος, καὶ δοθήσεται αὐτῷ.

6 Αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος· ὁ γὰρ διακρινόμενος ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ.

7 Μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος ὅτι λήψεταί τι παρὰ τοῦ Κυρίου.

8 Ἀνὴρ δίψυχος, ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.

9 Καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ·

10 Ὁ δὲ πλούσιος, ἐν τῇ ταπεινώσει αὐτοῦ, ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται·

11 Ἀνέτειλε γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι, καὶ ἐξήρανε τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε, καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο· οὕτω καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται.

4 Καὶ ἡ ὑπομονὴ ἂς ἔχει ἔργον τέλειον, διὰ νὰ εἶσθε τέλειοι καὶ ὁλόκληροι, νὰ μὴν εἶσθε ἐλλειπεῖς εἰς κανένα πρᾶγμα.

5 Καὶ ἐὰν κανένας ἀπὸ σᾶς εἶναι λειψὸς ἀπὸ σοφίαν, ἂς ζητᾷ ἀπὸ τὸν Θεὸν ὅπου δίδει εἰς ὅλους πλουσίως, καὶ δὲν ὀνειδίζει, καὶ θέλει τοῦ δοθῇ.

6 Ἀμὴ ἂς ζητᾷ μὲ πίστιν, χωρὶς ἀμφιβολίαν· διατὶ ἐκεῖνος ὅπου ἀμφιβάλλει, ὁμοιάζει τὸ κῦμα τῆς θαλάσσης ὅπου λικνίζεται μὲ τὸν ἄνεμον καὶ ῥιπίζεται.

7 Καὶ ἂς μὴν λογιάσῃ ὁ ἄνθρωπος ἐκεῖνος ὅτι θέλει πάρει τίποτες ἀπὸ τὸν Κύριον.

8 Ὁ δίγνωμος ἄνθρωπος εἶναι ἀκατάστατος εἰς ὅλαις του ταῖς στράταις.

9 Καὶ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἂς καυχᾶται εἰς τὸ ὕψος του·

10 Καὶ ὁ πλούσιος εἰς τὴν ταπείνωσίν του, διατὶ θέλει περάσει ὡσὰν τὸ ἄνθος τοῦ χορταρίου·

11 Διατὶ ἀνέτειλεν ὁ ἥλιος μὲ τὸν καύσωνα, καὶ ἐξήρανε τὸ χορτάρι, καὶ τὸ ἄνθος του ἐξέπεσε, καὶ ἡ εὐμορφία τοῦ προσώπου του ἐχάθη· τοιουτωτρόπως καὶ ὁ πλούσιος εἰς τοὺς δρόμους του θέλει μαρανθῇ.

12 Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν· ὅτι δόκιμος γενόμενος λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν.	12 Καλότυχος εἶναι ὁ ἄνθρωπος ἐκεῖνος ὁποῦ ὑπομένει πειρασμόν· ὅτι ἔστωντας νὰ γένῃ δόκιμος, θέλει πάρει τὸν στέφανον τῆς ζωῆς, τὸν ὁποῖον ἔταξεν ὁ Κύριος εἰς ἐκείνους ὁποῦ τὸν ἀγαποῦσι.
13 Μηδεὶς πειραζόμενος λεγέτω· Ὅτι ἀπὸ τοῦ Θεοῦ πειράζομαι· ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα.	13 Κανένας ὁποῦ πειράζεται ἂς μὴν λέγει· Ὅτι ἀπὸ τὸν Θεὸν πειράζομαι· διατὶ ὁ Θεὸς εἶναι ἀπείραστος τῶν κακῶν, καὶ αὐτὸς κανένα δὲν πειράζει.
14 Ἕκαστος δὲ πειράζεται, ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος.	14 Ἀμὴ καθένας πειράζεται, συρνόμενος καὶ ἀπατώμενος ἀπὸ τὴν ἰδίαν του ἐπιθυμίαν.
15 Εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν· ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον.	15 Ἀπέκει ἔστωντας νὰ ἐγγαστρωθῇ ἡ ἐπιθυμία, γεννᾷ ἁμαρτίαν· καὶ ἡ ἁμαρτία ἔστωντας νὰ τελειωθῇ, γεννᾷ θάνατον.
16 Μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί.	16 Μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί.
17 Πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων, παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα.	17 Κάθε δόσις ἀγαθὴ, καὶ κάθε δῶρον τέλειον, ἀποπάνω εἶναι, καὶ κατεβαίνει ἀπὸ τὸν πατέρα τῶν φώτων, σιμὰ εἰς τὸν ὁποῖον δὲν εἶναι μετάλλαγμα, ἢ μεταβολῆς σκιασμάδα.
18 Βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων.	18 Αὐτὸς ἀπὸ μόνον του τὸ θέλημα μᾶς ἐγέννησε μὲ τὸν λόγον τῆς ἀληθείας, εἰς τὸ νὰ εἴμεσθεν ἐμεῖς κάπωσ πρωτόληβον ἀπὸ ὅλα του τὰ κτίσματα.
19 Ὥστε, ἀδελφοί μου	19 Λοιπὸν, ἀδελφοί μου

ἀγαπητοὶ, ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν·

20 Ὀργὴ γὰρ ἀνδρὸς, δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται.

21 Διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ περισσείαν κακίας, ἐν πραΰτητι δέξασθε τὸν ἔμφυτον λόγον, τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν.

22 Γίνεσθε δὲ ποιηταὶ λόγου, καὶ μὴ μόνον ἀκροαταὶ, παραλογιζόμενοι ἑαυτούς.

23 Ὅτι εἴ τις ἀκροατὴς λόγου ἐστὶ καὶ οὐ ποιητὴς, οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ·

24 Κατενόησε γὰρ ἑαυτὸν, καὶ ἀπελήλυθε, καὶ εὐθέως ἐπελάθετο ὁποῖος ἦν.

25 Ὁ δὲ παρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερίας, καὶ παραμείνας, οὗτος οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμενος, ἀλλὰ ποιητὴς ἔργου, οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται.

26 Εἴ τις δοκεῖ θρῆσκος

ἀγαπητοὶ, ἂς εἶναι κάθε ἄνθρωπος γλίγωρος εἰς τὸ νὰ ἀκούσῃ καὶ ἀργὸς εἰς τὸ νὰ λαλήσῃ, ἀργὸς εἰς ὀργήν·

20 Διατὶ ἡ ὀργὴ τοῦ ἀνδρὸς, δὲν κάμνει τὴν δικαιοσύνην τοῦ Θεοῦ.

21 Διὰ τοῦτο ἀποῤῥίχνοντες κάθε λογῆς μολυσμὸν καὶ περίσσευμα τῆς κακίας, δεχθῆτε μὲ πραότητα τὸν λόγον ὁποῦ ἐφυτεύθη εἰς ἐσᾶς, ὁ ὁποῖος δύναται νὰ σώσῃ ταῖς ψυχαῖς σας.

22 Καὶ γίνεσθε ποιηταὶ τοῦ λόγου, καὶ ὄχι μόνον ἀκροαταὶ, ἀπατῶντες τοῦ λόγου σας.

23 Ὅτι ἐὰν κανένας ἀκούῃ τὸν λόγον, καὶ δὲν τὸν κάμνει, ἐτοῦτος ὁμοιάζει ἄνθρωπον ὁποῦ βλέπει τὸ γνησίον τοῦ πρόσωπον εἰς τὸν καθρέφτην·

24 Διατὶ ἐσοχάσθη τοῦ λόγου του καὶ ἐπέρασε, καὶ παρευθὺς ἀλησμόνησε τὶ λογῆς ἦτον.

25 Ἀμὴ ἐκεῖνος ὁποῦ σκύψει μέσα καὶ εἰδῇ καταλεπτῶς εἰς τὸν νόμον τὸν τέλειον τῆς ἐλευθερίας, καὶ ἀπομείνει, ἐτοῦτος ἔστωντας νὰ μὴν γένῃ ἀκροατὴς ἀλησμονητικὸς, ἀλλὰ ποιητὴς τοῦ ἔργου, θέλει εἶσθαι καλότυχος εἰς τὴν ποίησιν του.

26 Ἐὰν κανένας φαίνεται

εἶναι ἐν ὑμῖν, μὴ χαλιναγωγῶν γλῶσσαν αὑτοῦ, ἀλλ' ἀπατῶν καρδίαν αὑτοῦ, τούτου μάταιος ἡ θρησκεία.

ἀνάμεσά σας νὰ εἶναι θεοσεβὴς, καὶ δὲν χαλιναγωγεῖ τὴν γλῶσσάν του, ἀλλ' ἀπατᾷ τὴν καρδίαν του, ἡ θρησκεία του εἶναι εὔκαιρη.

27 Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ Θεῷ καὶ πατρὶ, αὕτη ἐστὶν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.

27 Ἡ θρησκεία ἡ καθαρὰ καὶ ἀμίαντη σημὰ εἰς τὸν Θεὸν καὶ πατέρα, ἐτούτη εἶναι, νὰ ἐπισκεπτώμεσθεν τοὺς ὀρφανοὺς καὶ ταῖς χήραις εἰς τὴν θλίψιν τους, καὶ νὰ φυλάττῃ κάθε ἕνας τοῦ λόγου του ἀμόλυντον ἀπὸ τὸν κόσμον.

Κεφ. β'. 2.

Ἀδελφοί μου, μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς δόξης.

Ἀδελφοί μου, μὴν ἔχετε μὲ προσωποληψίαις τὴν πίστιν τοῦ ἐνδόξου Κυρίου μας Ἰησοῦ Χριστοῦ.

2 Ἐὰν γὰρ εἰσέλθῃ εἰς τὴν συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι,

2 Διατὶ ἐὰν ἔμβῃ εἰς τὴν συναγωγήν σας ἄνθρωπος ὁποῦ νὰ ἔχῃ χρυσὸν δακτυλίδι μὲ λαμπρὸν φόρεμα, καὶ νὰ ἔμβῃ καὶ ἕνας πτωχὸς μὲ φόρεμα λερωμένον,

3 Καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπρὰν, καὶ εἴπητε αὐτῷ· Σὺ κάθου ὧδε καλῶς· καὶ τῷ πτωχῷ εἴπητε· Σὺ στῆθι ἐκεῖ, ἢ κάθου ὧδε ὑπὸ τὸ ὑποπόδιόν μου·

3 Καὶ ἀποβλέψητε εἰς ἐκεῖνον ὁποῦ φορεῖ τὸ λαμπρὸν φόρεμα, καὶ τοῦ εἰπῆτε· Ἐσὺ κάθου ἐδῶ καλά· καὶ τοῦ πτωχοῦ εἰπῆτε· Ἐσὺ στάσου ἐκεῖ, ἢ κάθου ἐδῶ ἀποκάτω εἰς τὸ ὑποπόδιόν μου·

4 Καὶ οὐ διεκρίθητε ἐν ἑαυτοῖς, καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν;

4 Δὲν ἐκάμετε διάκρισιν εἰς αὐτοὺς, καὶ ἐγινήκετε κριτάδες διαλογισμῶν πονηρῶν;

5 Ἀκούσατε ἀδελφοί μου

5 Ἀκούσετε, ἀδελφοί μου

ἀγαπητοί, οὐχ ὁ Θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τοῦ κόσμου τούτου, πλουσίους ἐν πίστει, καὶ κληρονόμους τῆς βασιλείας ἧς ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν;

6 Ὑμεῖς δὲ ἠτιμάσατε τὸν πτωχόν· οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν, καὶ αὐτοὶ ἕλκουσιν ὑμᾶς εἰς κριτήρια;

7 Οὐκ αὐτοὶ βλασφημοῦσι τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ᾽ ὑμᾶς;

8 Εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν, κατὰ τὴν γραφήν· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν, καλῶς ποιεῖτε.

9 Εἰ δὲ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου ὡς παραβάται.

10 Ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος.

11 Ὁ γὰρ εἰπών· Μὴ μοιχεύσῃς, εἶπε καί· Μὴ φονεύσῃς· εἰ δὲ οὐ μοιχεύσεις, φονεύσεις δὲ, γέγονας παραβάτης νόμου.

12 Οὕτω λαλεῖτε, καὶ οὕτω ποιεῖτε, ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι·

13 Ἡ γὰρ κρίσις ἀνίλεως

ἀγαπητοὶ, δὲν ἐδιάλεξεν ὁ Θεὸς τοὺς πτωχοὺς τοῦ κόσμου ἐτούτου, νὰ εἶναι πλούσιοι εἰς τὴν πίστιν, καὶ κληρονόμοι τῆς βασιλείας, τὴν ὁποίαν ἔταξεν εἰς ἐκείνους ὁποῦ τὸν ἀγαποῦσιν;

6 Ἀμὴ ἐσεῖς ἀτιμάσετε τὸν πτωχόν· δὲν σᾶς κατατυραννεύουσιν οἱ πλούσιοι, καὶ αὐτοὶ σᾶς σύρνουσιν εἰς τὰ κριτήρια;

7 Δὲν βλασφημοῦσιν αὐτοὶ τὸ καλὸν ὄνομα ὁποῦ ἐκλήθη εἰς ἐσᾶς;

8 Ἐὰν ὅμως ἐσεῖς τελειώνετε τὸν νόμον τὸν βασιλικὸν, καθὼς λέγει ἡ γραφή· Νὰ ἀγαπήσῃς τὸν γείτονά σου ὡσὰν τοῦ λόγου σου, καλὰ κάμνετε.

9 Ἀμὴ ἂν κάμνετε προσωποληψίαν, κάμνετε ἁμαρτίαν, καὶ ἐλέγχεσθε ἀπὸ τὸν νόμον ὡσὰν παραβάται.

10 Διατὶ ὅποιος φυλάξει ὅλον τὸν νόμον, καὶ πταίσει εἰς ἕνα, ἔγινεν πταίστης ὅλων.

11 Διατὶ ἐκεῖνος ὁποῦ εἶπε· Μὴ μοιχεύσῃς, εἶπε καί· Μὴν φονεύσῃς· ἐὰν δὲ μὴ μοιχεύσῃς, ἀλλὰ φονεύσῃς, ἔγινες παραβάτης τοῦ νόμου.

12 Τέτοιας λογῆς λαλεῖτε, καὶ τέτοιας λογῆς κάμνετε, ὡσὰν ὁποῦ μέλλετε νὰ κριθῆτε μὲ τὸν νόμον τῆς ἐλευθερίας·

13 Διατὶ ἡ κρίσις θέλει

τῷ μὴ ποιήσαντι ἔλεος· καὶ
κατακαυχᾶται ἔλεος κρί-
σεως.

14 Τί τὸ ὄφελος, ἀδελφοί
μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν,
ἔργα δὲ μὴ ἔχῃ, μὴ δύναται ἡ
πίστις σῶσαι αὐτόν;

15 Ἐὰν δὲ ἀδελφὸς ἢ
ἀδελφὴ γυμνοὶ ὑπάρχωσι, καὶ
λειπόμενοι ὦσι τῆς ἐφημέρου
τροφῆς,
16 Εἴπῃ δέ τις αὐτοῖς
ἐξ ὑμῶν· Ὑπάγετε ἐν εἰρήνῃ,
θερμαίνεσθε καὶ χορτάζεσθε·
μὴ δῶτε δὲ αὐτοῖς τὰ
ἐπιτήδεια τοῦ σώματος, τί
τὸ ὄφελος;
17 Οὕτω καὶ ἡ πίστις, ἐὰν
μὴ ἔργα ἔχῃ, νεκρά ἐστι καθ'
ἑαυτήν.
18 Ἀλλ' ἐρεῖ τις· Σὺ
πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω·
δεῖξόν μοι τὴν πίστιν σου ἐκ
τῶν ἔργων σου, κἀγὼ δείξω
σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν
μου.
19 Σὺ πιστεύεις ὅτι ὁ Θεὸς
εἷς ἐστί· καλῶς ποιεῖς· καὶ τὰ
δαιμόνια πιστεύουσι, καὶ φρίσ-
σουσι.
20 Θέλεις δὲ γνῶναι, ὦ
ἄνθρωπε κενέ, ὅτι ἡ πίστις
χωρὶς τῶν ἔργων νεκρά
ἐστιν;
21 Ἀβραὰμ ὁ πατὴρ
ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαιώθη,

εἶσθαι ἀνελεημόνητη εἰς ἐκεῖνον
ὁποῦ δὲν ἔκαμεν ἔλεος· καὶ
τὸ ἔλεος καυχᾶται ἐναντία
τῆς κρίσεως.
14 Τί τὸ ὄφελος, ἀδελ-
φοί μου, ἐὰν λέγῃ κανένας νὰ
ἔχῃ πίστιν, καὶ ἔργα νὰ μὴν
ἔχῃ, μῆνα δύναται ἐκείνη ἡ
πίστις νὰ τὸν σώσῃ;
15 Καὶ ἐὰν ἀδελφὸς ἢ
ἀδελφὴ εἶναι γυμνοὶ, καὶ εἶναι
ὑστερημένοι τὴν καθημερινὴν
τροφὴν,
16 Καὶ κανένας ἀπὸ σᾶς
νὰ τοὺς εἰπῇ· Σύρτε εἰς τὸ
καλὸν, ζεσταίνεσθε καὶ χορ-
ταίνετε· καὶ νὰ μὴν τοὺς
δώσετε τὰ χρειαζόμενα τοῦ
κορμίου, τί τὸ ὄφελος;
17 Ἔτζι καὶ ἡ πίστις, ἐὰν
δὲν ἔχῃ ἔργα, εἶναι νεκρὴ εἰς
τοῦ λόγου της.
18 Ἀλλὰ θέλει εἰπεῖ κα-
νένας· Ἐσὺ ἔχεις πίστιν, καὶ
ἐγὼ ἔχω ἔργα· δεῖξέ μου ἐσὺ
τὴν πίστιν σου ἀπὸ τὰ ἔργα σου,
καὶ ἐγὼ νὰ σοῦ δείξω ἀπὸ τὰ
ἔργα μου τὴν πίστιν μου.
19 Πιστεύεις ἐσὺ ὅτι εἶναι
ἕνας Θεός· καλὰ κάμνεις· καὶ
τὰ δαιμόνια τὸ πιστεύουσι, καὶ
φρίσσουσι.
20 Καὶ θέλεις νὰ γνωρίσῃς,
ὦ ἄνθρωπε μάταιε, ὅτι ἡ
πίστις χωρὶς τῶν ἔργων εἶναι
νεκρά;
21 Ἀβραὰμ ὁ πατέρας μας
δὲν ἐδικαιώθη ἀπὸ τὰ ἔργα,

ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον;

ἔστωντας νὰ ἀνεβάσῃ τὸν υἱόν του τὸν Ἰσαὰκ εἰς τὸ θυσιαστήριον;

22 Βλέπεις ὅτι ἡ πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ, καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη;

22 Βλέπεις ὅτι ἡ πίστις ἐσύνεργει μὲ τὰ ἔργα του, καὶ ἀπὸ τὰ ἔργα ἡ πίστις ἐτελειώθη;

23 Καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα· Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, καὶ φίλος Θεοῦ ἐκλήθη.

23 Καὶ ἐπληρώθη ἡ γραφὴ ὅπου λέγει· Καὶ ἐπίστευσεν Ἀβραὰμ εἰς τὸν Θεὸν, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, καὶ ὠνομάσθη φίλος Θεοῦ.

24 Ὁρᾶτε τοίνυν ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος, καὶ οὐκ ἐκ πίστεως μόνον;

24 Βλέπετε λοιπὸν ὅτι ὁ ἄνθρωπος δικαιώνεται ἀπὸ τὰ ἔργα, καὶ ὄχι μοναχὰ ἀπὸ τὴν πίστιν;

25 Ὁμοίως δὲ καὶ Ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων ἐδικαιώθη, ὑποδεξαμένη τοὺς ἀγγέλους, καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα;

25 Ὁμοίως καὶ ἡ Ῥαὰβ ἡ πόρνη δὲν ἐδικαιώθη ἀπὸ τὰ ἔργα, μὲ τὸ νὰ δεχθῇ τοὺς ἀποστολάτορας, καὶ νὰ τοὺς εὐγάλῃ ἀπὸ ἄλλην στράταν;

26 Ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι.

26 Διατὶ καθὼς τὸ σῶμα χωρὶς πνεῦμα εἶναι νεκρὸν, τέτοιας λογῆς καὶ ἡ πίστις χωρὶς τὰ ἔργα εἶναι νεκρή.

Κεφ. γ΄. 3.

ΜῊ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες ὅτι μεῖζον κρῖμα ληψόμεθα·

Ἀδελφοί μου, μὴ γίνεσθε πολλοὶ διδάσκαλοι, ἐξεύροντες ὅτι θέλομεν πάρει μεγαλίτερον κρῖμα·

2 Πολλὰ γὰρ πταίομεν ἅπαντες· εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνὴρ,

2 Διατὶ ὅλοι πταίομεν πολλά· ἐὰν κανένας δὲν πταίει εἰς τὸν λόγον, ἐκεῖνος εἶναι

δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα.

3 Ἰδοὺ τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα βάλλομεν πρὸς τὸ πείθεσθαι αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ σῶμα αὐτῶν μετάγομεν.

4 Ἰδοὺ, καὶ τὰ πλοῖα τηλικαῦτα ὄντα, καὶ ὑπὸ σκληρῶν ἀνέμων ἐλαυνόμενα, μετάγεται ὑπὸ ἐλαχίστου πηδαλίου ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐθύνοντος βούληται·

5 Οὕτω καὶ ἡ γλῶσσα μικρὸν μέλος ἐστὶ, καὶ μεγαλαυχεῖ· ἰδοὺ, ὀλίγον πῦρ ἡλίκην ὕλην ἀνάπτει.

6 Καὶ ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας· οὕτως ἡ γλῶσσα καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ σπιλοῦσα ὅλον τὸ σῶμα, καὶ φλογίζουσα τὸν τροχὸν τῆς γενέσεως, καὶ φλογιζομένη ὑπὸ τῆς γεέννης·

7 Πᾶσα γὰρ φύσις θηρίων τε καὶ πετεινῶν, ἑρπετῶν τε καὶ ἐναλίων, δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ·

8 Τὴν δὲ γλῶσσαν οὐδεὶς δύναται ἀνθρώπων δαμάσαι· ἀκατάσχετον κακὸν, μεστὴ ἰοῦ θανατηφόρου.

9 Ἐν αὐτῇ εὐλογοῦμεν τὸν

τέλειος ἀνὴρ, δυνατὸς νὰ χαλιναγωγήσῃ καὶ ὅλον τὸ σῶμα.

3 Νὰ, ὁποῦ βάλλομεν τοὺς χαλινοὺς εἰς τὰ στόματα τῶν ἀλόγων, εἰς τὸ νὰ μᾶς πείθουνται, καὶ γυρίζομεν ὅλον τους τὸ κορμί.

4 Νὰ, καὶ τὰ καράβια ὁποῦ εἶναι τόσα μεγάλα, καὶ κινοῦνται ἀπὸ δυνατοὺς ἀνέμους, γυρίζονται ἀπὸ πολλὰ μικρὸν τιμόνι, ἐκεῖ ὁποῦ θέλει ἡ γνώμη τοῦ κυβερνήτου·

5 Τοιουτοτρόπως καὶ ἡ γλῶσσα εἶναι μικρὸν μέλος, καὶ καυχᾶται μεγάλα· νὰ, ὀλίγη φωτία πόσην μεγάλην ὕλην ἀνάπτει.

6 Καὶ ἡ γλῶσσα εἶναι φωτία, ὁ κόσμος τῆς ἀδικίας· ἔτζι λέγω ἡ γλῶσσα ἐπιστατεῖ εἰς τὰ μέλη μας, ὁποῦ μολύνει ὅλον τὸ κορμὶ, καὶ φλογίζει τὸν τροχὸν τῆς γενέσεώς μας, καὶ φλογίζεται ἀπὸ τὴν γέενναν·

7 Διατὶ κάθε φύσις τῶν θηρίων καὶ τῶν πετεινῶν καὶ τῶν ἑρπετῶν καὶ τῶν θαλασσίων δαμάζεται καὶ ἐδαμάσθη ἀπὸ τὴν φύσιν τὴν ἀνθρωπίνην·

8 Ἀμὴ κανένας δὲν δύναται νὰ δαμάσῃ τὴν γλῶσσαν τὴν ἀνθρωπίνην· ἀκράτητον κακὸν εἶναι, γεμάτη φαρμάκι θανατηφόρον.

9 Μετ' αὐτὴν εὐλογοῦμεν

Θεὸν καὶ πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους τοὺς καθ' ὁμοίωσιν Θεοῦ γεγονότας·

10 Ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα. Οὐ χρὴ, ἀδελφοί μου, ταῦτα οὕτω γίνεσθαι.

11 Μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν;

12 Μὴ δύναται, ἀδελφοί μου, συκῆ ἐλαίας ποιῆσαι, ἢ ἄμπελος σῦκα; Οὕτως οὐδεμία πηγὴ ἁλυκὸν καὶ γλυκὺ ποιῆσαι ὕδωρ.

13 Τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν; δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραΰτητι σοφίας.

14 Εἰ δὲ ζῆλον πικρὸν ἔχετε καὶ ἐρίθειαν ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας.

15 Οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη, ἀλλ' ἐπίγειος, ψυχική, δαιμονιώδης·

16 Ὅπου γὰρ ζῆλος καὶ ἐρίθεια, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα.

17 Ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν,

τὸν Θεὸν καὶ πατέρα, καὶ μετ' αὐτὴν καταρώμεσθε τοὺς ἀνθρώπους ὁποῦ ἔγιναν καθ' ὁμοίωσιν Θεοῦ·

10 Ἀπὸ τὸ αὐτὸν στόμα εὐγαίνει εὐλογία καὶ κατάρα. Δὲν πρέπει, ἀδελφοί μου, ἐτοῦτα νὰ γίνωνται τοιουτοτρόπως.

11 Μῆνα ἡ βρύσις ἀπὸ τὴν αὐτὴν φλέβα ἀναβρύει τὸ γλυκὺ καὶ τὸ πικρόν;

12 Μῆνα δύνεται, ἀδελφοί μου, ἡ συκιὰ νὰ κάμῃ ἐλαιαῖς, ἢ τὸ κλῆμα τῆς ἀμπέλου νὰ κάμῃ σῦκα; Ἔτζι οὐδεμία βρύσι ἠμπορεῖ νὰ κάμῃ νερὸν ἁλμυρὸν καὶ γλυκύ.

13 Τίς εἶναι ἀνάμεσά σας σοφὸς καὶ ἐπιστήμων; ἂς δείξῃ ἀπὸ τὴν καλὴν συναναστροφὴν τὰ ἔργα του μὲ πραότητα σοφίας.

14 Ἀμὴ ἂν ἔχετε πικρὸν ζῆλον καὶ φιλονεικίαν εἰς τὴν καρδίαν σας, μὴν κατακαυχᾶσθε καὶ ψεύδεσθε ἐναντίον τῆς ἀληθείας.

15 Αὐτὴ ἡ σοφία δὲν εἶναι ἐκείνη ὁποῦ κατεβαίνει ἀποπάνω, ἀλλὰ εἶναι ἐπίγειος, ψυχική, δαιμονιώδης·

16 Διατὶ ἐκεῖ ὁποῦ εἶναι φθόνος καὶ φιλονεικία, ἐκεῖ εἶναι ἀκαταστασία καὶ κάθε λογῆς κακὸν πρᾶγμα.

17 Ἀμὴ ἡ σοφία ὁποῦ εἶναι ἀποπάνω, πρῶτον μὲν

ἔπειτα εἰρηνικὴ, ἐπιεικὴς, εὐπειθὴς, μεςὴ ἐλέυς καὶ καρπῶν ἀγαθῶν, ἀδιάκριτ☉ καὶ ἀνυπόκριτ☉.

18 Καρπὸς δὲ τῆς δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιῦσιν εἰρήνην.

εἶναι καθαρὰ, ἔπειτα εἶναι εἰρηνικὴ, πραεία, εὐπειθὴς, γεμάτη ἔλε☉ καὶ καρπὺς ἀγαθὺς, ἀδιάκριτ☉, καὶ ἀνυπόκριτ☉.

18 Καὶ ὁ καρπὸς τῆς δικαιοσύνης σπείρεται μὲ εἰρήνην εἰς ἐκείνυς ὅπῦ κάμνυσιν εἰρήνην.

Κεφ. δ'. 4.

ΠΟ'θεν πόλεμοι καὶ μάχαι ἐν ὑμῖν; Οὐκ ἐντεῦθεν, ἐκ τῶν ἡδονῶν ὑμῶν τῶν ςρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν;

2 Ἐπιθυμεῖτε, καὶ οὐκ ἔχετε· φονεύετε καὶ ζηλῦτε, καὶ ὐ δύνασθε ἐπιτυχεῖν· μάχεσθε καὶ πολεμεῖτε, οὐκ ἔχετε δὲ, διὰ τὸ μὴ αἰτεῖσθαι ὑμᾶς.

3 Αἰτεῖτε, καὶ ὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε.

4 Μοιχοὶ καὶ μοιχαλίδες, οὐκ οἴδατε ὅτι ἡ φιλία τοῦ κόσμυ, ἔχθρα τοῦ Θεῦ ἐςιν; ὃς ἂν οὖν βυληθῇ φίλ☉ εἶναι τοῦ κόσμυ, ἐχθρὸς τοῦ Θεῦ καθίςαται.

5 Ἢ δοκεῖτε ὅτι κενῶς ἡ γραφὴ λέγει· Πρὸς φθόνον ἐπιποθεῖ τὸ πνεῦμα ὃ κατῴκησεν ἐν ἡμῖν;

ἈΠΟ' πῦ εἶναι οἱ πόλεμοι καὶ ἡ μάχαις ἀνάμεσά σας; Δὲν εἶναι ἀπεδῶ, ἀπὸ ταῖς ἡδοναῖς σας ὅπῦ πολεμῦσιν εἰς τὰ μέλη σας;

2 Ἐπιθυμᾶτε, καὶ δὲν ἔχετε· φονεύετε καὶ ζηλοφθονᾶτε, καὶ δὲν δύνεσθε νὰ ἐπιτύχετε· μάχεσθε καὶ πολεμεῖτε, καὶ δὲν ἔχετε, ἐπειδὴ δὲν ζητᾶτε.

3 Ἐσεῖς ζητᾶτε, καὶ δὲν πέρνετε, διατὶ κακῶς ζητᾶτε, διὰ νὰ ἐξοδιάσετε εἰς ταῖς ἡδοναῖς σας.

4 Μοιχοὶ καὶ μοιχαλίδες, δὲν ἐξεύρετε ὅτι ἡ φιλία τοῦ κόσμυ εἶναι ἔχθρα τοῦ Θεοῦ; ὅποι☉ λοιπὸν βυληθῇ νὰ εἶναι φίλ☉ τοῦ κόσμυ, καταςήνεται ἐχθρὸς τοῦ Θεῦ.

5 Ἢ λογιάζετε ὅτι εὔκαιρα λέγει ἡ γραφὴ· Ὅτι τὸ πνεῦμα ὁπῦ ἐκατοίκησεν εἰς ἐμᾶς ἐπιθυμᾷ εἰς φθόνον;

6 Μείζονα δὲ δίδωσι χάριν,
διὸ λέγει· Ὁ Θεὸς ὑπερηφάνοις
ἀντιτάσσεται, ταπεινοῖς δὲ
δίδωσι χάριν.

7 Ὑποτάγητε οὖν τῷ
Θεῷ, ἀντίστητε τῷ διαβόλῳ,
καὶ φεύξεται ἀφ᾽ ὑμῶν.

8 Ἐγγίσατε τῷ Θεῷ,
καὶ ἐγγιεῖ ὑμῖν· καθαρίσατε
χεῖρας, ἁμαρτωλοὶ, καὶ
ἁγνίσατε καρδίας, δίψυ-
χοι.

9 Ταλαιπωρήσατε καὶ
πενθήσατε καὶ κλαύσατε·
ὁ γέλως ὑμῶν εἰς πένθος
μεταστραφήτω, καὶ ἡ χαρὰ
εἰς κατήφειαν.

10 Ταπεινώθητε ἐνώπιον
τοῦ Κυρίου, καὶ ὑψώσει
ὑμᾶς.

11 Μὴ καταλαλεῖτε
ἀλλήλων, ἀδελφοί· ὁ κατα-
λαλῶν ἀδελφοῦ, καὶ κρίνων
τὸν ἀδελφὸν αὐτοῦ, κατα-
λαλεῖ νόμου, καὶ κρίνει νόμον·
εἰ δὲ νόμον κρίνεις, οὐκ
εἶ ποιητὴς νόμου, ἀλλὰ
κριτής.

12 Εἷς ἐστιν ὁ νομοθέτης ὁ
δυνάμενος σῶσαι καὶ ἀπολέ-
σαι· σὺ τίς εἶ ὃς κρίνεις τὸν
ἕτερον;

13 Ἄγε νῦν οἱ λέγοντες·
Σήμερον ἢ αὔριον πορευσόμεθα

6 Ἀλλὰ ὁ Θεὸς δίδει
μεγαλιτέραν χάριν διὰ τοῦτο
λέγει· Ὁ Θεὸς ἐναντιοῦται εἰς
τοὺς ὑπερηφάνους, καὶ δίδει
χάριν εἰς τοὺς ταπεινούς.

7 Ὑποταχθῆτε λοιπὸν εἰς
τὸν Θεὸν, ἐναντιωθῆτε τὸν
διάβολον, καὶ θέλει φύγει
ἀπὸ σᾶς.

8 Σιμώσετε ἐσεῖς εἰς τὸν
Θεὸν, καὶ ἐκεῖνος θέλει σι-
μώσει εἰς ἐσᾶς· καθαρίσατε
τὰ χέρια σας, ἁμαρτωλοὶ,
καὶ ὑπαστρέψετε ταῖς καρδίαις
σας, δίψυχοι.

9 Ταλαιπωρηθῆτε καὶ
λυπηθῆτε καὶ κλαύσετε· τὰ
γέλοιά σας ἂς μεταστραφοῦσιν
εἰς λύπην, καὶ ἡ χαρά σας
εἰς σκυθρωπότητα.

10 Ταπεινώθητε ὀμπροστὰ
εἰς τὸν Κύριον, καὶ θέλει σᾶς
ὑψώσει.

11 Μὴν καταλαλεῖτε ἕνας
τὸν ἄλλον, ἀδελφοί· ἐκεῖνος
ὁποῦ καταλαλεῖ τὸν ἀδελφὸν
του, καὶ κρίνει τὸν ἀδελφόν
του, καταλαλεῖ τὸν νόμον, καὶ
κρίνει τὸν νόμον· καὶ ἐὰν
κρίνῃς νόμον, δὲν εἶσαι
ποιητὴς νόμου, ἀλλὰ κρι-
τής.

12 Ἕνας εἶναι ὁ νομοθέτης
ὁ δυνάμενος σῶσαι καὶ ἀπο-
λέσαι· ποῖος εἶσαι ἐσὺ ὁποῦ
κρίνεις τὸν ἄλλον;

13 Ἐλᾶτε ἐσεῖς τώρα
ὁποῦ λέγετε· Σήμερον καὶ

εἰς τήνδε τὴν πόλιν, καὶ ποιήσομεν ἐκεῖ ἐνιαυτὸν ἕνα, καὶ ἐμπορευσόμεθα, καὶ κερδήσομεν·

αὔριον θέλομεν ὑπάγει εἰς ἐκείνην τὴν πόλιν, καὶ θέλομεν κάμει ἐκεῖ ἕνα χρόνον, καὶ θέλομεν πραγματευθῆ, καὶ θέλομεν κερδήσει·

14 Οἵτινες οὐκ ἐπίστασθε τὸ τῆς αὔριον· ποία γὰρ ἡ ζωὴ ὑμῶν; ἀτμὶς γάρ ἐστιν ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα δὲ ἀφανιζομένη.

14 Οἱ ὁποῖοι δὲν ἠξεύρετε τὸ πρᾶγμα ὁποῦ θέλει γένει εἰς τὴν αὔριον· διατὶ ποία εἶναι ἡ ζωή σας; διατὶ ἡ ζωή σας εἶναι κατνὸς ὁποῦ φαίνεται ὀλίγην ὥραν, καὶ ἀπέκει χάνεται.

15 Ἀντὶ τοῦ λέγειν ὑμᾶς· Ἐὰν ὁ Κύριος θελήσῃ, καὶ ζήσωμεν, καὶ ποιήσομεν τοῦτο ἢ ἐκεῖνο.

15 Ἀντὶς νὰ λέγετε ἐσεῖς· Ἐὰν ὁ Κύριος θελήσῃ καὶ ζήσωμεν, θέλομεν κάμει ἐτοῦτο, ἢ ἐκεῖνο.

16 Νῦν δὲ καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν· πᾶσα καύχησις τοιαύτη, πονηρά ἐστιν.

16 Καὶ τώρα καυχᾶσθε εἰς ταῖς ἀλαζονείαις σας· κάθε καύχησις τέτοιας λογῆς εἶναι κακή.

17 Εἰδότι οὖν καλὸν ποιεῖν, καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστιν.

17 Ἐκεῖνος ὁποῦ ἠξεύρει λοιπὸν νὰ κάμνῃ καλὸν, καὶ δὲν τὸ κάμει, ἁμαρτία εἶναι εἰς αὐτόν.

Κεφ. ε'. 5.

Ἄγε νῦν οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέναις.

Ἐλᾶτε τώρα οἱ πλούσιοι, κλαύσετε, θρηνοῦντες τὸν ἑαυτόν σας διὰ ταῖς ταλαιπωρίαις ὁποῦ σᾶς ἔρχονται.

2 Ὁ πλοῦτος ὑμῶν σέσηπε, καὶ τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονεν.

2 Ὁ πλοῦτός σας ἐσαπίσθη, καὶ τὰ φορέματά σας ἐσκωληκοφαγώθηκαν.

3 Ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος κατίωται, καὶ ὁ ἰὸς

3 Τὸ χρυσάφι σας καὶ τὸ ἀσήμι ἐσκουριάσι, καὶ ἡ

αὐτῶν εἰς μαρτύριον ὑμῖν
ἔσται, καὶ φάγεται τὰς
σάρκας ὑμῶν ὡς πῦρ·
ἐθησαυρίσατε ἐν ἐσχάταις
ἡμέραις.
4 Ἰδοὺ, ὁ μισθὸς τῶν
ἐργατῶν τῶν ἀμησάντων
τὰς χώρας ὑμῶν, ὁ ἀπεστερη-
μένος ἀφ' ὑμῶν, κράζει· καὶ
αἱ βοαὶ τῶν θερισάντων εἰς
τὰ ὦτα Κυρίου σαβαὼθ
εἰσεληλύθασιν.
5 Ἐτρυφήσατε ἐπὶ τῆς
γῆς, καὶ ἐσπαταλήσατε·
ἐθρέψατε τὰς καρδίας ὑμῶν
ὡς ἐν ἡμέρᾳ σφαγῆς·
6 Κατεδικάσατε, ἐφονεύ-
σατε τὸν δίκαιον· οὐκ ἀντι-
τάσσεται ὑμῖν.
7 Μακροθυμήσατε οὖν,
ἀδελφοὶ, ἕως τῆς παρουσίας
τοῦ Κυρίου· ἰδοὺ, ὁ γεωργὸς
ἐκδέχεται τὸν τίμιον καρπὸν
τῆς γῆς, μακροθυμῶν ἐπ'
αὐτῷ, ἕως ἂν λάβῃ ὑετὸν
πρώϊμον καὶ ὄψιμον.
8 Μακροθυμήσατε καὶ
ὑμεῖς, στηρίξατε τὰς καρδίας
ὑμῶν, ὅτι ἡ παρουσία τοῦ
Κυρίου ἤγγικε.
9 Μὴ στενάζετε κατ'
ἀλλήλων, ἀδελφοὶ, ἵνα μὴ
κατακριθῆτε· ἰδοὺ, κριτὴς
πρὸ τῶν θυρῶν ἕστη-
κεν.
10 Ὑπόδειγμα λάβετε

σκωρία τους θέλει εἶσθαι εἰς
μαρτυρίαν ἐναντία σας, καὶ
θέλει φάγει ταῖς σάρκαις σας
ὡσὰν φωτία· ἐθηκιάσετε
θησαυρὸν διὰ ταῖς ὑστεριναῖς
ἡμέραις.
4 Νὰ, ἡ πληρωμὴ τῶν
ἐργατῶν ὅπου ἐθέρισαν τὰ
χωράφιά σας, τὴν ὁποίαν
τοὺς ἀπεστερήσετε, κράζει· καὶ
ἡ βοαῖς ἐκεινῶν ὅπου ἐθέρισαν,
ἐμβήκασιν εἰς τὰ αὐτία τοῦ
Κυρίου σαβαώθ.
5 Εἰς ταῖς ἡδοναῖς ἐζήσετε
ἀπάνω εἰς τὴν γῆν, καὶ ἐξε-
φαντώσετε· ἐθρέψετε ταῖς
καρδίαις σας, ὡσὰν εἰς τὴν
ἡμέραν τῆς σφαγῆς·
6 Ἐκαταδικάσετε, ἐφο-
νεύσετε τὸν δίκαιον· καὶ δὲν
σᾶς ἐναντιεῖται.
7 Μακροθυμήσετε λοιπὸν,
ἀδελφοὶ, ἕως τὴν παρουσίαν
τοῦ Κυρίου· νὰ, ὁ γεωργὸς
ἐκδέχεται τὸν τίμιον καρπὸν
τῆς γῆς, μακροθυμῶντας εἰς
αὐτὸν, ἕως ἂν λάβῃ βροχὴν
πρώϊμον καὶ ὄψιμον.
8 Μακροθυμήσετε καὶ
ἐσεῖς, στηρίξετε ταῖς καρδίας
σας, ὅτι ἡ παρουσία τοῦ
Κυρίου ἐσίμωσε.
9 Μὴν στενάζετε ἐναντίον
ἕνας τοῦ ἄλλου, ἀδελφοὶ, διὰ
νὰ μὴν κατακριθῆτε· νὰ
ὁ κριτὴς στέκεται ὀμπροστὰ εἰς
ταῖς θύραις.
10 Ἀδελφοί μου, πάρετε

τῆς κακοπαθείας, ἀδελφοί μου, καὶ τῆς μακροθυμίας, τοὺς προφήτας οἳ ἐλάλησαν τῷ ὀνόματι Κυρίου.

11 Ἰδού, μακαρίζομεν τοὺς ὑπομένοντας· τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος Κυρίου εἴδετε, ὅτι πολύσπλαγχνός ἐστιν ὁ Κύριος καὶ οἰκτίρμων.

12 Πρὸ πάντων δέ, ἀδελφοί μου, μὴ ὀμνύετε μήτε τὸν οὐρανόν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον· ἤτω δὲ ὑμῶν τὸ ναί, ναί, καὶ τὸ οὔ, οὔ· ἵνα μὴ ὑπὸ κρίσιν πέσητε.

13 Κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω· εὐθυμεῖ τις; ψαλλέτω.

14 Ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτόν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου.

15 Καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ.

16 Ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα, καὶ

παράδειγμα τῆς κακοπαθείας, καὶ τῆς μακροθυμίας, τοὺς προφήτας, οἱ ὁποῖοι ἐλάλησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου.

11 Νά, ὁποῦ μακαρίζομεν ἐκείνους ὁποῦ ἔχουν ὑπομονήν· τὴν ὑπομονὴν τοῦ Ἰὼβ τὴν ἠκούσετε, καὶ τὸ τέλος Κυρίου ἐξεύρετε, ὅτι εἶναι πολυεύσπλαγχνος ὁ Κύριος καὶ οἰκτίρμων.

12 Καὶ προτίτερα ἀπὸ ὅλα, ἀδελφοί μου, μὴν ὀμνύετε μήτε τὸν οὐρανόν, μήτε τὴν γῆν, μηδὲ κανένα ἄλλον ὅρκον· καὶ ἂς εἶναι εἰς ἐσᾶς τὸ ναί, ναί, καὶ τὸ οὔ, οὔ· διὰ νὰ μὴν πέσετε ἀποκάτω εἰς τὴν κρίσιν.

13 Κακοπαθαίνει κανένας ἀνάμεσά σας; ἂς προσεύχεται· χαίρεται κανένας; ἂς ψάλλει.

14 Ἀσθενεῖ κανένας ἀνάμεσά σας; ἂς προσκαλέσει τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ ἂς προσευχηθοῦσιν ἀπάνω εἰς αὐτόν, ἀλείφοντές τον μὲ ἔλαιον εἰς τὸ ὄνομα τοῦ Κυρίου.

15 Καὶ ἡ εὐχὴ τῆς πίστεως θέλει σώσει τὸν ἀσθενημένον, καὶ θέλει τὸν σηκώσει ὁ Κύριος· καὶ ἐὰν ἔκαμεν ἁμαρτίαις, θέλουσι τοῦ συγχωρηθῆ.

16 Ἐξομολογεῖσθε ἕνας εἰς τὸν ἄλλον τὰ σφάλματα,

εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως
ἰαθῆτε· πολὺ ἰσχύει δέησις
δικαίου ἐνεργουμένη.

17 Ἠλίας ἄνθρωπος ἦν
ὁμοιοπαθὴς ἡμῖν, καὶ προσ-
ευχῇ προσηύξατο τοῦ μὴ
βρέξαι· καὶ οὐκ ἔβρεξεν ἐπὶ
τῆς γῆς ἐνιαυτοὺς τρεῖς καὶ
μῆνας ἕξ·
18 Καὶ πάλιν προσηύ-
ξατο, καὶ ὁ οὐρανὸς ὑετὸν
ἔδωκε, καὶ ἡ γῆ ἐβλάστησε
τὸν καρπὸν αὐτῆς.
19 Ἀδελφοὶ, ἐάν τις
ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς
ἀληθείας, καὶ ἐπιστρέψῃ τις
αὐτὸν,

20 Γινωσκέτω ὅτι ὁ
ἐπιστρέψας ἁμαρτωλὸν ἐκ
πλάνης ὁδοῦ αὐτοῦ, σώσει
ψυχὴν ἐκ θανάτου, καὶ
καλύψει πλῆθος ἁμαρ-
τιῶν.

καὶ εὔχεσθε ἕνας διὰ τὸν
ἄλλον, διὰ νὰ ἰατρευθῆτε·
πολὺ δύναται ἡ δέησις τοῦ
δικαίου ἐνεργουμένη.
17 Ὁ Ἠλίας ἦτον ἄνθρω-
πος ὁμοιοπαθὴς ὡσὰν καὶ
ἐμεῖς, καὶ ἐπροσευχήθη νὰ
μὴν βρέξῃ· καὶ δὲν ἔβρεξεν
ἀπάνω εἰς τὴν γῆν χρόνους
τρεῖς καὶ μῆνας ἕξ·
18 Καὶ πάλιν ἐπροσευ-
χήθη, καὶ ὁ οὐρανὸς ἔδωκε
βροχὴν, καὶ ἡ γῆ ἐβλάστησε
τὸν καρπόν της.
19 Ἀδελφοὶ, ἐὰν πλανέ-
θῇ καινένας ἀνάμεσά σας
ἀπὸ τὴν ἀλήθειαν, καὶ νὰ
τὸν μεταγυρίσῃ τινὰς (ἀπὸ
τὴν πλάνην,)
20 Ἂς ἠξεύρει ὅτι ἐκεῖνος
ὁποῦ γυρίζει ἁμαρτωλὸν
ἀπὸ τὴν πλανεμένην του
στράταν, θέλει σώσει ψυχὴν
ἀπὸ τὸν θάνατον, καὶ
θέλει σκεπάσει πλῆθος
ἁμαρτιῶν.

ΠΕ'ΤΡΟΥ ΤΟΥ̃ 'ΑΠΟΣΤΟ'ΛΟΥ

'ΕΠΙΣΤΟΛΗ' ΚΑΘΟΛΙΚΗ'

ΠΡΩ'ΤΗ.

Κεφ. α'. 1.

ΠΕ'ΤΡΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, Ἀσίας, καὶ Βιθυνίας,

2 Κατὰ πρόγνωσιν Θεοῦ πατρὸς ἐν ἁγιασμῷ Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ· χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη.

3 Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν,

4 Εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς εἰς ἡμᾶς·

5 Τοὺς ἐν δυνάμει Θεοῦ φρουρουμένους διὰ πίστεως, εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ.

ΠΕ'ΤΡΟΣ ἀπόστολος τοῦ Ἰησοῦ Χριστοῦ, εἰς τοὺς διαλεγμένους ξενιτευμένους τῆς διασπορᾶς τοῦ Πόντου, τῆς Γαλατίας, τῆς Καππαδοκίας, τῆς Ἀσίας, καὶ Βιθυνίας,

2 Κατὰ πρόγνωσιν Θεοῦ πατρὸς μὲ ἁγιασμὸν Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν τοῦ αἵματος Ἰησοῦ Χριστοῦ· ἂς πληθυνθῇ εἰς ἐσᾶς χάρις καὶ εἰρήνη.

3 Ἂς εἶναι εὐλογημένος ὁ Θεὸς, καὶ πατὴρ τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ὅπου μᾶς ἀναγέννησεν διὰ τὸ πολύ του ἔλεος εἰς ἐλπίδα ζωντανὴν διαμέσου τῆς ἀναστάσεως τοῦ Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν,

4 Εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον ὅπου φυλάττεται εἰς τοὺς οὐρανοὺς διὰ λόγου σας·

5 Ὅπου φυλάττεσθε μὲ τὴν δύναμιν τοῦ Θεοῦ διαμέσου τῆς πίστεως, εἰς σωτηρίαν, ἡ ὁποία εἶναι ἕτοιμη νὰ φανερωθῇ εἰς τὸν ὕστερινὸν καιρόν.

6 Ἐν ᾧ ἀγαλλιᾶσθε,
ὀλίγον ἄρτι (εἰ δέον ἐςὶ)
λυπηθέντες ἐν ποικίλοις πει-
ρασμοῖς·

7 Ἵνα τὸ δοκίμιον ὑμῶν
τῆς πίςεως πολὺ τιμιώτερον
χρυσίου, τοῦ ἀπολλυμένου,
διὰ πυρὸς δὲ δοκιμαζομένου,
εὑρεθῇ εἰς ἔπαινον καὶ τιμὴν
καὶ δόξαν, ἐν ἀποκαλύψει
Ἰησοῦ Χριςοῦ·

8 Ὃν οὐκ εἰδότες ἀγα-
πᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες,
πιςεύοντες δὲ, ἀγαλλιᾶσθε
χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδο-
ξασμένῃ·

9 Κομιζόμενοι τὸ τέλος
τῆς πίςεως ὑμῶν, σωτηρίαν
ψυχῶν·
10 Περὶ ἧς σωτηρίας
ἐξεζήτησαν καὶ ἐξηρεύνησαν
προφῆται οἱ περὶ τῆς εἰς
ὑμᾶς χάριτος προφητεύ-
σαντες·
11 Ἐρευνῶντες εἰς τίνα
ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν
αὐτοῖς Πνεῦμα Χριςοῦ, προ-
μαρτυρόμενον τὰ εἰς Χριςὸν
παθήματα, καὶ τὰς μετὰ
ταῦτα δόξας·

12 Οἷς ἀπεκαλύφθη ὅτι

6 Εἰς τὸ ὁποῖον χαίρεσθε,
ἀγκαλὰ καὶ τῶρα ὀλίγον
λυπεῖσθε (ἀνίσως καὶ κάμνει
χρεία) εἰς πολλῶν λογιῶν
πειρασμοὺς·
7 Διὰ νὰ εὑρεθῇ ἡ δοκιμὴ
τῆς πίςεώς σας, ὁποῦ εἶναι
πολλὰ τιμιωτέρα ἀπὸ τὸ
χρυσάφι ὁποῦ φθείρεται, καὶ
(ὅμως) δοκιμάζεται διαμέσου
τῆς φωτιᾶς, εἰς ἔπαινον καὶ
τιμὴν καὶ δόξαν, εἰς τὴν
ἀποκάλυψιν Ἰησοῦ Χριςοῦ·
8 Τὸν ὁποῖον ἀγκαλὰ καὶ
δὲν τὸν εἴδετε, τὸν ἀγαπᾶτε·
εἰς τὸν ὁποῖον (τῶρα ἀγκαλὰ
καὶ νὰ μὴν τὸν βλέπετε)
ὅμως πιςεύοντες ἀγαλλιᾶσθε,
χαρὰν ἀνεκλάλητον καὶ
δεδοξασμένην·
9 Πέρνοντες τὸ τέλος τῆς
πίςεώς σας, σωτηρίαν ψυ-
χῶν·
10 Διὰ τὴν ὁποίαν σωτη-
ρίαν ἀκριβοζήτησαν καὶ ἐξέ-
ταξαν οἱ προφῆται, ὁποῦ
ἐπροφήτευσαν διὰ τὴν χάριν
ὁποῦ εἶναι εἰς ἐσᾶς·
11 Ἐξετάζοντες εἰς τίνα
ἢ ποῖον καιρὸν τὸ Πνεῦμα
τοῦ Χριςοῦ (ὁποῦ ἦτον εἰς
αὐτοὺς, καὶ ἐμαρτύρα προτί-
τερα) ἐφανέρωνεν ὅτι ἔμελλε
νὰ γενοῦν τὰ παθήματα τοῦ
Χριςοῦ, καὶ αἱ δόξαις ὁποῦ
ἔμελλαν νὰ ἀκολουθοῦν ὕςερα
ἀπ' αὐτὰ τὰ παθήματα·
12 Εἰς τοὺς ὁποίους ἀπεκα-

οὐχ ἑαυτοῖς, ἡμῖν δὲ διηκόνουν αὐτά, ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς ἐν Πνεύματι ἁγίῳ ἀποσταλέντι ἀπ' οὐρανοῦ, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι.

13 Διὸ ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ·

14 Ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις·

15 Ἀλλὰ κατὰ τὸν καλέσαντα ὑμᾶς ἅγιον, καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε.

16 Διότι γέγραπται· Ἅγιοι γένεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι.

17 Καὶ εἰ πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε·

18 Εἰδότες ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ ἐλυτρώθητε ἐκ τῆς ματαίας

λύφθη, ὅτι ὄχι εἰς τοῦ λόγου τους, ἀλλὰ εἰς ἡμᾶς ἐδιηκόνουν αὐτά, τὰ ὁποῖα σᾶς ἐλαλήθηκαν διαμέσου ἐκείνων ὁποῦ σᾶς εὐαγγελίσαν μὲ Πνεῦμα ἅγιον, τὸ ὁποῖον ἐστάλθη ἀπὸ τὸν οὐρανόν, εἰς τὰ ὁποῖα πράγματα ἐπιθυμοῦσιν οἱ ἄγγελοι νὰ σκύψουσι.

13 Διὰ τοῦτο ἀναζώσετε ταῖς μέσαις τῆς διανοίας σας, καὶ ἐξυπνοῦντες, ὅλως δι' ὅλου ἐλπίσατε εἰς τὴν χάριν, ὁποῦ σᾶς ἔρχεται εἰς τὴν ἀποκάλυψιν τοῦ Ἰησοῦ Χριστοῦ·

14 Ὡσὰν τέκνα ὑπήκοα, μὴ συσχηματίζεσθε εἰς ταῖς προτίτεραις ἐπιθυμίαις, ὁποῦ εἴχετε εἰς τὸν καιρὸν τῆς ἀγνωσίας σας·

15 Ἀλλὰ καθὼς εἶναι ἅγιος ἐκεῖνος ὁποῦ σᾶς ἐκάλεσε, γενῆτε καὶ ἐσεῖς ἅγιοι εἰς κάθε λογῆς συναναστροφήν.

16 Διότι εἶναι γεγραμμένον· Γίνεσθε ἅγιοι, ὅτι καὶ ἐγὼ ἅγιος εἶμαι.

17 Καὶ ἐὰν ἐπικαλεῖσθε πατέρα ἐκεῖνον ὁποῦ κρίνει χωρὶς προσωποληψίαν κατὰ τὸ ἔργον κάθε ἑνός, τὸν καιρὸν τῆς ξενιτείας σας συναναστραφῆτε μὲ φόβον·

18 Ἠξεύροντες ὅτι ὄχι μὲ φθαρτὰ (πράγματα) μὲ ἀσήμι ἢ χρυσάφι ἐλυ-

ὑμῶν ἀναστροφῆς πατροπαραδότου·

19 Ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ·

20 Προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ ἐπ' ἐσχάτων τῶν χρόνων δι' ὑμᾶς,

21 Τοὺς δι' αὐτοῦ πιστεύοντας εἰς Θεὸν τὸν ἐγείραντα αὐτὸν ἐκ νεκρῶν, καὶ δόξαν αὐτῷ δόντα, ὥστε τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα εἶναι εἰς Θεόν.

22 Τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας διὰ Πνεύματος, εἰς φιλαδελφίαν ἀνυπόκριτον, ἐκ καθαρᾶς καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς·

23 Ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλὰ ἀφθάρτου, διὰ λόγου ζῶντος Θεοῦ καὶ μένοντος εἰς τὸν αἰῶνα.

24 Διότι πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε·

25 Τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα· τοῦτο δέ ἐστι τὸ ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς.

θερωθήκετε ἀπὸ τὴν ματαίαν σας συναναστροφὴν τὴν πατροπαράδοτον·

19 Ἀλλὰ μὲ τίμιον αἷμα τοῦ Χριστοῦ, ὡσὰν ἀμνοῦ ἀκατηγορήτου καὶ ἀδόλου·

20 Ὁ ὁποῖος ἦτον προγνωρισμένος προτίτερα ἀπὸ τὴν ἀρχὴν τοῦ κόσμου, καὶ ἐφανερώθη εἰς τοὺς ὑστερινοὺς χρόνους διὰ λόγου σας,

21 Ὁποῦ πιστεύετε διαμέσου του εἰς τὸν Θεὸν ὁποῦ τὸν ἀνάστησεν ἐκ νεκρῶν, καὶ τοῦ ἔδωκε δόξαν, εἰς τόσον ὁποῦ ἡ πίστις σας καὶ ἡ ἐλπίδα νὰ εἶναι εἰς τὸν Θεόν.

22 Καθαρίζοντες ταῖς ψυχαῖς σας εἰς τὴν ὑπακοὴν τῆς ἀληθείας, διαμέσου τοῦ Πνεύματος, εἰς φιλαδελφίαν ἄπλαστον, ἀγαπήσετε ἕνας τὸν ἄλλον ὁλοψύχως μὲ καθαρὰν καρδίαν·

23 Ἔστωντας νὰ ἀναγεννηθῆτε, ὄχι ἀπὸ σπορὰν φθαρτήν, ἀλλὰ ἄφθαρτην, διαμέσου τοῦ λόγου τοῦ Θεοῦ τοῦ ζῶντος ὁποῦ μένει εἰς τὸν αἰῶνα.

24 Διότι κάθε σάρκα εἶναι ὡσὰν χορτάρι, καὶ κάθε δόξα ἀνθρώπου ὡσὰν τὸ ἄνθος τοῦ χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος τοῦ ἐξέπεσεν·

25 Ἀμὴ ὁ λόγος τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα· καὶ τοῦτος εἶναι ὁ λόγος ὁποῦ εὐαγγελίσθη εἰς ἐσᾶς.

Κεφ. β΄. 2.

Ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον καὶ ὑποκρίσεις καὶ φθόνους καὶ πάσας καταλαλιάς,

2 Ὡς ἀρτιγέννητα βρέφη, τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε·

3 Εἴπερ ἐγεύσασθε ὅτι χρηστὸς ὁ Κύριος·

4 Πρὸς ὃν προσερχόμενοι, λίθον ζῶντα, ὑπὸ ἀνθρώπων μὲν ἀποδεδοκιμασμένον, παρὰ δὲ Θεῷ ἐκλεκτὸν, ἔντιμον·

5 Καὶ αὐτοὶ ὡς λίθοι ζῶντες οἰκοδομεῖσθε, οἶκος πνευματικὸς ἱεράτευμα ἅγιον, ἀνενέγκαι πνευματικὰς θυσίας, εὐπροσδέκτους τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ.

6 Διὸ καὶ περιέχει ἐν τῇ γραφῇ· Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτὸν, ἔντιμον· καὶ ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ μὴ καταισχυνθῇ.

7 Ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν· ἀπειθοῦσι δὲ, λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας, καὶ

Ἀποδιώχνοντες λοιπὸν κάθε κακίαν, καὶ κάθε δόλον καὶ ὑπόκρισαις, καὶ φθόνους, καὶ ὅλαις ταῖς καταλαλίαις,

2 Ὡσὰν νεογέννητα βρέφη, ἀγαπήσατε τὸ ἄδολον γάλα τοῦ λόγου, διὰ νὰ αὐξηθῆτε μετ' αὐτό·

3 Ἐὰν ἀληθινὰ ἐγευθήκετε ὅτι ὁ Κύριος εἶναι ἀγαθός·

4 Εἰς τὸν ὁποῖον σιμώνετε, εἰς αὐτὸν λέγω ὁποῦ εἶναι πέτρα ζωντανὴ, καταφρονημένη ἀπὸ τοὺς ἀνθρώπους, ἀμὴ σιμὰ εἰς τὸν Θεὸν διαλεγμένη καὶ τιμία·

5 Καὶ αὐτοὶ ἐσεῖς ὡσὰν λίθοι ζωντανοὶ κατασκευάζεσθε σπῆτι πνευματικὸν, ἱεράτευμα ἅγιον, νὰ προσφέρετε θυσίαις πνευματικαῖς, εὐπρόσδεκταις τῷ Θεῷ διαμέσου τοῦ Ἰησοῦ Χριστοῦ.

6 Διὰ τοῦτο καὶ περιέχει εἰς τὴν γραφήν· Νὰ ὁποῦ βάνω εἰς τὴν Σιὼν πέτραν κεφαλὴν γωνίας διαλεγμένην, τιμημένην· καὶ ὅποιος πιστεύει εἰς αὐτὴν δὲν θέλει ἐντραπῇ.

7 Εἰς ἐσᾶς λοιπὸν ὁποῦ πιστεύετε, ἐκείνη ἡ πέτρα εἶναι τιμία· ἀμὴ εἰς ἐκείνους ὁποῦ δὲν πείθονται, εἶναι πέτρα τὴν ὁποίαν ἀπέρριξαν οἱ κτιστάδες,

λίθος προσκόμματος, καὶ
πέτρα σκανδάλου·

8 Οἳ προσκόπτουσι τῷ
λόγῳ, ἀπειθοῦντες, εἰς ὃ καὶ
ἐτέθησαν.

9 Ὑμεῖς δὲ, γένος ἐκ-
λεκτὸν, βασίλειον ἱεράτευμα,
ἔθνος ἅγιον, λαὸς εἰς περι-
ποίησιν· ὅπως τὰς ἀρετὰς
ἐξαγγείλητε τοῦ ἐκ σκότους
ὑμᾶς καλέσαντος εἰς τὸ
θαυμαστὸν αὐτοῦ φῶς·

10 Οἵ ποτε οὐ λαὸς, νῦν
δὲ λαὸς Θεοῦ· οἱ οὐκ ἠλεημένοι,
νῦν δὲ ἐλεηθέντες.

11 Ἀγαπητοὶ, παρακαλῶ
ὡς παροίκους καὶ παρεπιδήμους,
ἀπέχεσθαι τῶν σαρκικῶν ἐπι-
θυμιῶν, αἵτινες στρατεύονται
κατὰ τῆς ψυχῆς·

12 Τὴν ἀναστροφὴν ὑμῶν
ἐν τοῖς ἔθνεσιν ἔχοντες καλήν·
ἵνα ἐν ᾧ καταλαλοῦσιν ὑμῶν
ὡς κακοποιῶν, ἐκ τῶν καλῶν
ἔργων ἐποπτεύσαντες, δοξά-
σωσι τὸν Θεὸν ἐν ἡμέρᾳ
ἐπισκοπῆς.

13 Ὑποτάγητε οὖν πάσῃ
ἀνθρωπίνῃ κτίσει διὰ τὸν

ἐτέθη ἔγινεν κεφαλὴ τῆς
γωνίας, καὶ λίθος σκοντά-
ματος, καὶ σκανδάλου πέ-
τρα·

8 Εἰς ἐκείνους ὁποῦ σκον-
τάπτουσιν εἰς τὸν λόγον, μὲ τὸ
νὰ μὴν τὸν πείθουνται, εἰς
τὸ ὁποῖον καὶ ἐβάλθησαν.

9 Ἀμὴ ἐσεῖς εἶσθε γένος
διαλεγμένον, βασίλειον ἱερά-
τευμα, ἔθνος ἅγιον, λαὸς τὸν
ὁποῖον ἀπόκτησεν ὁ Θεὸς· διὰ
νὰ κηρύξετε ταῖς ἀρεταῖς ἐκεί-
νου ὁποῦ σᾶς ἐκάλεσεν ἀπὸ τὸ
σκότος εἰς τὸ θαυμαστόν του
φῶς·

10 Ἐσεῖς ὁποῦ ἕνα καιρὸν
δὲν εἶσθαν λαὸς, ἀλλὰ τῶρα
εἶσθε λαὸς τοῦ Θεοῦ· οἱ ὁποῖοι
τότε δὲν εἶσθαν ἐλεημένοι, καὶ
τῶρα ἐλεηθήκετε.

11 Ἀγαπητοὶ, παρακαλῶ
σας νὰ φυλάγεσθε ὡσὰν
ξένοι καὶ διαβάταις ἀπὸ
ταῖς σαρκικαῖς ἐπιθυμίαις,
αἱ ὁποίαις πολεμοῦσιν ἐναντία
τῆς ψυχῆς·

12 Νὰ ἔχετε τὴν συνανα-
στροφήν σας καλὴν εἰς τὰ ἔθνη·
εἰς τόσον ὁποῦ ἐκεῖ ὁποῦ σᾶς
καταλαλοῦσιν ὡς κακοποιοὺς,
ἔστωντας νὰ ἀποειδοῦσιν εἰς
τὰ καλά σας ἔργα, νὰ
δοξάσωσι δι' αὐτὰ τὸν Θεὸν
εἰς τὴν ἡμέραν ὁποῦ θέλει σᾶς
ἐπισκέψει.

13 Ὑποταχθῆτε λοιπὸν
εἰς κάθε λογῆς ἀνθρώπινην

Κύριον· εἴ τε βασιλεῖ, ὡς ὑπερέχοντι·

14 Εἴ τε ἡγεμόσιν, ὡς δι' αὐτῶ πεμπομένοις εἰς ἐκδίκησιν μὲν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν·

15 Ὅτι ὕτως ἐςὶ τὸ θέλημα τοῦ Θεῦ, ἀγαθοποιῦντας φιμῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν·

16 Ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν, ἀλλ' ὡς δῦλοι Θεῦ.

17 Πάντας τιμήσατε· τὴν ἀδελφότητα ἀγαπᾶτε· τὸν Θεὸν φοβεῖσθε· τὸν βασιλέα τιμᾶτε.

18 Οἱ οἰκέται, ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς δεσπόταις, ὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς.

19 Τῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν Θεῦ ὑποφέρει τις λύπας, πάσχων ἀδίκως.

20 Ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε; ἀλλ' εἰ ἀγαθοποιῦντες καὶ πάσχοντες ὑπομενεῖτε, τῦτο χάρις παρὰ Θεῷ.

21 Εἰς τῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ Χριςὸς ἔπαθεν ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμπάνων ὑπο-

τάξιν καὶ πολιτείαν διὰ τὸν Κύριον· κἄντε εἰς βασιλέα, ὡσὰν μεγαλίτερον·

14 Κἄντε εἰς αὐθεντάδες, ὡσὰν ὁπῦ πέμπονται διαμέσυ αὐτῦ, εἰς ἐκδίκησιν τῶν κακοποιῶν, καὶ ἔπαινον τῶν καλῶν·

15 Ὅτι ἔτζι εἶναι τὸ θέλημα τοῦ Θεῦ, νὰ σφαλῆτε τὸ ςόμα τῶν ἀφρόνων καὶ ἀγνώςων ἀνθρώπων κάμνοντες ἐσεῖς καλά·

16 Ὡσὰν ἐλεύθεροι, καὶ νὰ μὴν ἔχετε τὴν ἐλευθερίαν ὡσὰν σκέπασμα τῆς κακίας, ἀλλ' ὡς δῦλοι Θεῦ.

17 Τιμήσατε ὅλυς· τὴν ἀδελφότητα ἀγαπᾶτε· τὸν Θεὸν φοβᾶσθε· τὸν βασιλέα τιμᾶτε.

18 Οἱ δῦλευτάδες, νὰ ὑποτάσσεσθε μὲ κάθε φόβον εἰς τὺς αὐθεντάδες σας, ὄχι μόνον εἰς τὺς ἀγαθὺς καὶ μετρίυς, ἀλλὰ καὶ εἰς τὺς διεςραμμένυς.

19 Διατὶ τῦτο εἶναι χάρις, ἐὰν διὰ συνείδησιν Θεῦ ὑποφέρει κανένας λύπαις, πάσχωντας ἀδίκως.

20 Διατὶ ποῖαν δόξαν (θέλετε ἔχει) ἐὰν ἐσεῖς ἁμαρτάνοντες καὶ δερνόμενοι τὸ ὑπομείνετε; ἀλλὰ ἐὰν κάμνοντες καλὰ, καὶ πάσχοντες ὑπομείνετε, τῦτο εἶναι χάρις σιμὰ εἰς τὸν Θεόν.

21 Διατὶ εἰς τῦτο ἐκαλεσθήκετε, ὅτι καὶ ὁ Χριςὸς ἔπαθε διὰ λόγυ μας, ἀφίνωντάς

γραμμὸν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ·

σας παράδειγμα, διὰ νὰ ἀκολουθήσετε τὰ πατήματά του·

22 Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ·

22 Ὁ ὁποῖος δὲν ἔκαμεν ἁμαρτίαν, οὐδὲ εὑρέθη δόλος εἰς τὸ στόμα του·

23 Ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει· παρεδίδου δὲ τῷ κρίνοντι δικαίως·

23 Ὁ ὁποῖος ὑβριζόμενος δὲν ἀνθύβριζε, πάσχοντας δὲν ἐφοβέριζεν· ἀλλὰ παρέδιδε (τοῦ λόγου του) εἰς ἐκεῖνον ὁποῦ κρίνει δικαίως·

24 Ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον· ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι, τῇ δικαιοσύνῃ ζήσωμεν· οὗ τῷ μώλωπι αὐτοῦ ἰάθητε.

24 Ὁ ὁποῖος αὐτὸς ἐσήκωσε ταῖς ἁμαρτίαις μας εἰς τὸ σῶμά του ἀπάνω εἰς τὸ ξύλον· διὰ νὰ ἀποφύγωμεν ταῖς ἁμαρτίαις, καὶ νὰ ζήσωμεν εἰς τὴν δικαιοσύνην· μὲ τὴν πληγὴν τοῦ ὁποίου ἰατρευθήκετε.

25 Ἦτε γὰρ ὡς πρόβατα πλανώμενα, ἀλλ' ἐπεστράφητε νῦν ἐπὶ τὸν ποιμένα καὶ ἐπίσκοπον τῶν ψυχῶν ὑμῶν.

25 Διατὶ ἦσθαν ὡσὰν πρόβατα πλανώμενα, ἀλλὰ τώρα ἐγυρίσετε εἰς τὸν ποιμένα καὶ ἐπίσκοπον τῶν ψυχῶν σας.

Κεφ. γ'. 3.

Ὁμοίως αἱ γυναῖκες, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ἵνα καὶ εἴ τινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδηθήσωνται·

Ὁμοίως αἱ γυναῖκαις, νὰ ὑποτάσσωνται εἰς τοὺς ἰδίους τους ἄνδρες, καὶ ἔτζι ἂν εἶναι τινὲς ὁποῦ δὲν πείθονται εἰς τὸν λόγον, νὰ κερδεθοῦσιν ἐτοῦτοι διὰ τῆς ἀναστροφῆς τῶν γυναικῶν χωρὶς λόγον·

2 Ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν.

2 Βλέποντες τὴν καθαρὰν ἀναστροφήν σας μὲ φόβον.

3 Ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς τριχῶν, καὶ περιθέσεως χρυσίων, ἢ ἐνδύσεως ἱματίων κόσμος·

3 Τῶν ὁποίων (γυναικῶν) ὁ στολισμὸς ἂς εἶναι, ὄχι ἀπὸ ἔξω ἤγουν τοῦ πλεξίματος τῶν τριχῶν, καὶ τῆς περιθέσεως τῶν μαλαγματικῶν, ἢ τοῦ φορέματος τῶν ἐνδυμάτων·

4 Ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος, ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ Θεοῦ πολυτελές.

5 Οὕτω γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες αἱ ἐλπίζουσαι ἐπὶ τὸν Θεόν, ἐκόσμουν ἑαυτάς, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν·

6 Ὡς Σάῤῥα ὑπήκουσε τῷ Ἀβραάμ, κύριον αὐτὸν καλοῦσα, ἧς ἐγενήθητε τέκνα, ἀγαθοποιοῦσαι, καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν.

7 Οἱ ἄνδρες ὁμοίως, συνοικοῦντες κατὰ γνῶσιν, ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ ἀπονέμοντες τιμήν, ὡς καὶ συγκληρονόμοις χάριτος ζωῆς, εἰς τὸ μὴ ἐκκόπτεσθαι τὰς προσευχὰς ὑμῶν.

8 Τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες·

9 Μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας· τοὐναντίον δὲ, εὐλογοῦντες· εἰδότες ὅτι εἰς τοῦτο ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομήσητε.

10 Ὁ γὰρ θέλων ζωὴν

4 Ἀλλ' ὁ κρυφὸς τῆς καρδίας ἄνθρωπος, μὲ τὴν ἀφθαρσίαν τοῦ πραέου καὶ ἡσυχίου πνεύματος, τὸ ὁποῖον εἶναι πολύτιμον ὀμπροστὰ εἰς τὸν Θεόν.

5 Διατὶ τέτοιας λογῆς καὶ τὸν παλαιὸν καιρὸν αἱ ἅγιαις γυναῖκαις ὁποῦ ἤλπιζαν εἰς τὸν Θεὸν, ἐστόλιζαν τοῦ λόγου τους, ἔστωντας νὰ ὑποτάσσουνται εἰς τοὺς ἰδίους τους ἄνδρας·

6 Ὡσὰν ἡ Σάῤῥα ὑπήκουσι τοῦ Ἀβραάμ, καὶ τὸν ἔκραζεν αὐθέντη, τῆς ὁποίας ἐσεῖς ἐγενήκετε τέκνα, κάμνοντες καλὸν, καὶ μὴ φοβούμεναι κανένα φόβον.

7 Ὁμοίως οἱ ἄνδρες, νὰ συγκατοικοῦσι μὲ ταῖς γυναῖκαις μὲ γνῶσιν, δίδοντες τιμὴν εἰς τὸ γυναικεῖον γένος, ὡσὰν ἀγγεῖον ἀδυνατώτερον, ὡσὰν ὁποῦ εἶναι καὶ αὐταῖς συγκληρονόμοι χάριτος ζωῆς, διὰ νὰ μὴν ἐμποδίζουνται αἱ προσευχαῖς σας.

8 Καὶ τὸ τέλος, ὅλοι νὰ εἶσθε ὁμόγνωμοι, συμπαθητικοὶ, φιλάδελφοι, εὔσπλαγχνοι, ἥμεροι·

9 Νὰ μὴν ἀποδίδετε κακὸν ἀντὶ κακοῦ, ἢ ὕβριν ἀντὶ ὑβρισίας· ἀλλὰ τὸ ἐναντίον νὰ εὐλογῆτε· ἠξεύροντες ὅτι εἰς τοῦτο ἐκαλεσθήκετε, διὰ νὰ κληρονομήσετε εὐλογίαν.

10 Διατὶ ὅποιος θέλει νὰ

ἀγαπᾷν, καὶ ἰδεῖν ἡμέρας ἀγαθὰς, παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ, καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον.

11 Ἐκκλινάτω ἀπὸ κακοῦ, καὶ ποιησάτω ἀγαθόν· ζητησάτω εἰρήνην, καὶ διωξάτω αὐτήν.

12 Ὅτι οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν· πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά.

13 Καὶ τίς ὁ κακώσων ὑμᾶς, ἐὰν τοῦ ἀγαθοῦ μιμηταὶ γένησθε;

14 Ἀλλ' εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην, μακάριοι· τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε, μηδὲ ταραχθῆτε.

15 Κύριον δὲ τὸν Θεὸν ἁγιάσατε ἐν ταῖς καρδίαις ὑμῶν· ἕτοιμοι δὲ ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος, μετὰ πραΰτητος καὶ φόβου·

16 Συνείδησιν ἔχοντες ἀγαθήν· ἵνα ἐν ᾧ καταλαλῶσιν ὑμῶν ὡς κακοποιῶν, καταισχυνθῶσιν οἱ ἐπηρεάζοντες ὑμῶν τὴν ἀγαθὴν ἐν Χριστῷ ἀναστροφήν.

17 Κρεῖττον γὰρ ἀγαθο-

ἀγαπᾷ ζωὴν, καὶ νὰ εἰδῇ ἡμέραις ἀγαθαῖς, ἂς παύσῃ τὴν γλῶσσάν του ἀπὸ κακὸν, καὶ τὰ χείλη του νὰ μὴν λαλοῦσι δόλον.

11 Ἂς φύγει ἀπὸ τὸ κακὸν, καὶ ἂς κάμει καλόν· ἂς ζητήσει εἰρήνην, καὶ ἂς τὴν ἀκολουθήσει.

12 Ὅτι τὰ μάτια τοῦ Κυρίου εἶναι εἰς τοὺς δικαίους, καὶ τὰ αὐτία του (ἀνοικτὰ) εἰς τὴν δέησίν τους· ἀμὴ τὸ πρόσωπον τοῦ Κυρίου εἶναι ἐναντίον εἰς ἐκείνους ὁποῦ κάμνουν κακά.

13 Καὶ ποῖος εἶναι ἐκεῖνος ὁποῦ νὰ σᾶς κακοποιήσῃ, ἐὰν ἐσεῖς μιμηθῆτε τὸ καλόν;

14 Ἀλλὰ ἐὰν καὶ πάσχετε διὰ τὴν δικαιοσύνην, καλότυχοι (εἶσθε·) καὶ τὸν φόβον ἐκεινῶν μὴν τὸν φοβηθῆτε, μηδὲ νὰ συγχυσθῆτε.

15 Ἀλλὰ ἁγιάσετε Κύριον τὸν Θεὸν μέσα εἰς ταῖς καρδίαις σας· καὶ νὰ εἶσθε πάντοτε ἕτοιμοι εἰς ἀπολογίαν, νὰ ἀποκρίνεσθε μὲ πραότητα καὶ μὲ φόβον εἰς κάθε ἕνα ὁποῦ σᾶς ζητᾷ λογαριασμὸν διὰ τὴν ἐλπίδα ὁποῦ ἔχετε·

16 Ἔχοντες συνείδησιν καλήν· διὰ νὰ ἐντραποῦσιν ἐκεῖνοι ὁποῦ συκοφαντοῦσι τὴν καλήν σας ἀναστροφὴν, ὁποῦ ἔχετε εἰς τὸν Χριστὸν, ἀντὶς ἐκεῖνο ὁποῦ σᾶς καταλαλοῦσιν ὡσὰν κακοποιούς.

17 Διατὶ καλίτερον εἶναι,

ποιοῦντας, εἰ θέλει τὸ θέλημα τοῦ Θεοῦ, πάσχειν, ἢ κακοποιοῦντας·

18 Ὅτι καὶ Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ἔπαθε, δίκαιος ὑπὲρ ἀδίκων· ἵνα ἡμᾶς προσαγάγῃ τῷ Θεῷ, θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ τῷ Πνεύματι·

19 Ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν,

20 Ἀπειθήσασί ποτε, ὅτε ἅπαξ ἐξεδέχετο ἡ τοῦ Θεοῦ μακροθυμία ἐν ἡμέραις Νῶε, κατασκευαζομένης κιβωτοῦ, εἰς ἣν ὀλίγαι (τουτέστιν ὀκτὼ) ψυχαὶ διεσώθησαν δι' ὕδατος.

21 Ὧι καὶ ἡμᾶς ἀντίτυπον νῦν σώζει βάπτισμα, (οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς Θεὸν) δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ,

22 Ὅς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, πορευθεὶς εἰς οὐρανὸν, ὑποταγέντων αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων.

κάμνοντες καλὸν (ἂν θέλῃ τὸ θέλημα τοῦ Θεοῦ) νὰ πάσχετε, παρὰ κάμνοντες κακόν·

18 Ὅτι καὶ ὁ Χριστὸς μίαν φορὰν ἔπαθε διὰ ταῖς ἁμαρτίαις, ὁ δίκαιος διὰ τοὺς ἀδίκους· διὰ νὰ μᾶς φέρῃ εἰς τὸν Θεὸν, ἔστωντας νὰ ἐθανατώθη εἰς τὸ κορμὶ, καὶ νὰ ἐζωοποιήθη μὲ τὸ Πνεῦμα·

19 Μὲ τὸ ὁποῖον ἔστωντας νὰ ἐπῆγεν, ἐκήρυξε καὶ εἰς τὰ πνεύματα ὁποῦ εἶναι μέσα τὰ τὴν φυλακήν,

20 Εἰς ἐκείνους λέγω ὁποῦ ἀπείθησαν ἕνα καιρὸν, ὅταν μίαν φορὰν ἡ μακροθυμία τοῦ Θεοῦ τοὺς ἀνέμενε (νὰ μετανοήσουν) εἰς ταῖς ἡμέραις τοῦ Νῶε, ὅταν ἐγίνετον ἡ κιβωτός, εἰς τὴν ὁποίαν ὀλίγαις, ἤγουν ὀκτὼ ψυχαῖς, ἐγλίτωσαν διαμέσου τοῦ νεροῦ.

21 Τοῦ ὁποίου τὸ ἀντίτυπον, ἤγουν τὸ βάπτισμα, (ὄχι ἡ κάθαρσις τῆς λέρας τῆς σαρκὸς, ἀλλὰ τὸ ἐρώτημα τῆς καλῆς συνειδήσεως εἰς Θεὸν,) τῶρα καὶ ἐμᾶς σώζει, διαμέσου τῆς ἀναστάσεως τοῦ Ἰησοῦ Χριστοῦ,

22 Ὁ ὁποῖος Χριστὸς εἶναι εἰς τὴν δεξιὰν τοῦ Θεοῦ, ἔστωντας νὰ ἐπῆγεν εἰς τὸν οὐρανὸν, καὶ νὰ τοῦ ὑπετάχθησαν ἄγγελοι καὶ ἐξουσίαις καὶ δύναμαις.

Κεφ. δʹ. 4.

Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε, ὅτι ὁ παθὼν ἐν σαρκὶ, πέπαυται ἁμαρτίας,

2 Εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις, ἀλλὰ θελήματι Θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον.

3 Ἀρκετὸς γὰρ ἡμῖν ὁ παρεληλυθὼς χρόνος τοῦ βίου τὸ θέλημα τῶν ἐθνῶν κατεργάσασθαι, πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις εἰδωλολατρείαις·

4 Ἐν ᾧ ξενίζονται μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν, βλασφημοῦντες·

5 Οἳ ἀποδώσουσι λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς·

6 Εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκὶ, ζῶσι δὲ κατὰ Θεὸν πνεύματι.

7 Πάντων δὲ τὸ τέλος ἤγγικε· σωφρονήσατε οὖν, καὶ νήψατε εἰς τὰς προσευχάς.

Ἔστωντας λοιπὸν νὰ ἔπαθεν ὁ Χριστὸς εἰς τὴν σάρκα διὰ λόγου μας, καὶ ἐσεῖς τὴν αὐτὴν ἔννοιαν ἁρματωθῆτε, ὅτι ἐκεῖνος ὁποῦ ἔπαθεν εἰς τὴν σάρκα, ἔπαυσεν ἀπὸ τὴν ἁμαρτίαν,

2 Εἰς τὸ νὰ μὴν ζῇ πλέον εἰς ταῖς ἐπιθυμίαις τῶν ἀνθρώπων, ἀλλὰ νὰ ζήσῃ εἰς τὸ θέλημα τοῦ Θεοῦ, τὸν ἐπίλοιπον καιρὸν ὁποῦ ζῇ εἰς τὴν σάρκα.

3 Διατὶ φθάνει μας ὁ ἀπερασμένος καιρὸς τῆς ζωῆς, ὁποῦ ἐκάμαμεν τὸ θέλημα τῶν ἐθνῶν, περιπατῶντες εἰς ἀσελγείαις, ἐπιθυμίαις, μέθαις, πολυφαγίαις, πιοτὰ, καὶ ἄνομαις εἰδωλολατρείαις·

4 Εἰς τὸ ὁποῖον παραξενίζονται βλασφημοῦντες, μὲ τὸ νὰ μὴν συντρέχετε ἐσεῖς εἰς τὴν αὐτὴν ἀνάχυσιν τῆς ἀσωτίας·

5 Οἱ ὁποῖοι θέλουσιν ἀποδώσει λογαριασμὸν ἐκείνου ὁποῦ εἶναι ἕτοιμος νὰ κρίνῃ καὶ ζωνταιοὺς καὶ νεκρούς·

6 Διατὶ διὰ τούτην τὴν ἀφορμὴν εὐαγγελίσθη καὶ εἰς ἐκείνους ὁποῦ εἶναι νεκροὶ, διὰ νὰ κριθοῦσιν εἰς τὴν σάρκα, κατὰ ἀνθρώπους, καὶ νὰ ζοῦσιν εἰς τὸ πνεῦμα κατὰ Θεόν.

7 Καὶ τὸ τέλος ὅλων ἐσίμωσε· σωφρονισθεῖτε λοιπὸν, καὶ ἐξυπνίσατε εἰς ταῖς προσευχαῖς.

8 Πρὸ πάντων δὲ τὴν εἰς ἑαυτὲς ἀγάπην ἐκτενῆ ἔχοντες· ὅτι ἡ ἀγάπη καλύψει πλῆθος ἁμαρτιῶν.

9 Φιλόξενοι εἰς ἀλλήλες, ἄνευ γογγυσμῶν.

10 Ἕκαστος καθὼς ἔλαβε χάρισμα, εἰς ἑαυτὲς αὐτὸ διακονῦντες, ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεῦ.

11 Εἴ τις λαλεῖ, ὡς λόγια Θεῦ· εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος ἧς χορηγεῖ ὁ Θεός· ἵνα ἐν πᾶσι δοξάζηται ὁ Θεὸς διὰ Ἰησῦ Χριστῦ, ᾧ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς τὲς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

12 Ἀγαπητοὶ, μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει πρὸς πειρασμὸν ὑμῖν γινομένη, ὡς ξένυ ὑμῖν συμβαίνοντος·

13 Ἀλλὰ καθὼς κοινωνεῖτε τοῖς τοῦ Χριστῦ παθήμασι, χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτῦ χαρῆτε ἀγαλλιώμενοι.

14 Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστῦ, μακάριοι· ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ Θεῦ Πνεῦμα ἐφ᾽ ὑμᾶς ἀναπαύεται· κατὰ μὲν αὐτὲς

8 Καὶ προτίτερα ἀπὸ ὅλα νὰ ἔχετε ἕνας μὲ τὸν ἄλλον ἀγάπην δυνατήν· ὅτι ἡ ἀγάπη θέλει σκεπάσει πλῆθος ἁμαρτιῶν.

9 Νὰ εἶσθε φιλόξενοι ἀνάμεσά σας χωρὶς γογγυσμῶν.

10 Καθὼς καθ᾽ ἕνας ἔλαβε χάρισμα, νὰ τὸ διακονῆτε ἕνας εἰς τὸν ἄλλον, ὡσὰν καλοὶ οἰκονόμοι τῆς πολυλόγυ χάριτος τοῦ Θεῦ.

11 Ἐὰν κανένας λαλῆ, (ἂς λαλῆ) ὡσὰν λόγια Θεῦ· ἐὰν κανένας διακονῆ, (ἂς διακονῆ) ὡσὰν ἀπὸ τὴν δύναμιν τὴν ὁποίαν τοῦ χαρίζει ὁ Θεός· διὰ νὰ δοξάζεται εἰς ὅλα ὁ Θεὸς διαμέσυ τοῦ Ἰησῦ Χριστῦ, εἰς τὸν ὁποῖον εἶναι ἡ δόξα καὶ τὸ κράτος εἰς τὲς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

12 Ἀγαπητοὶ, μὴν παραξενίζεσθε εἰς τὴν δοκιμὴν ὁπῦ γίνεται μὲ φωτίαν εἰς ἐσᾶς εἰς πειρασμὸν, ὡσὰν νὰ σᾶς ἐσυνέβαινε τίποτες παράξενον·

Ὁ Πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ, καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν·

2 Διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν, καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶνα.

3 Ἔσται μεθ' ὑμῶν χάρις, ἔλεος, εἰρήνη παρὰ Θεοῦ πατρός, καὶ παρὰ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ πατρός, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ.

4 Ἐχάρην λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ,

Ὁ Πρεσβύτερος εἰς τὴν κυρίαν ἐκλεκτήν, καὶ εἰς τὰ παιδία της, τὰ ὁποῖα ἐγὼ τὰ ἀγαπῶ ἀληθινά, καὶ ὄχι ἐγὼ μοναχός, ἀλλὰ καὶ ὅλοι ἐκεῖνοι ὁποῦ ἐγνώρισαν τὴν ἀλήθειαν·

2 Διὰ τὴν ἀλήθειαν ὁποῦ μένει εἰς ἐμᾶς, καὶ θέλει εἶσθαι μετ' ἐμᾶς εἰς τὸν αἰῶνα.

3 Ἄς εἶναι μετ' ἐσᾶς χάρις, ἔλεος, εἰρήνη, ἀπὸ Θεὸν τὸν πατέρα καὶ Κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ πατρός, μὲ ἀλήθειαν καὶ μὲ ἀγάπην.

4 Ἐχάρηκα κατὰ πολλά, ὅτι εὕρηκα ἀπὸ τὰ παιδία σου ὁποῦ ἐπεριπατοῦσαν μὲ ἀλή-

καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ πατρός.

5 Καὶ νῦν ἐρωτῶ σε, κυρία, οὐχ ὡς ἐντολὴν γράφων σοι καινὴν, ἀλλὰ ἣν εἴχομεν ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους.

6 Καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν μετὰ τὰς ἐντολὰς αὐτοῦ· αὕτη ἐστὶν ἡ ἐντολὴ, καθὼς ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε.

7 Ὅτι πολλοὶ πλάνοι εἰσῆλθον εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί· οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος.

8 Βλέπετε ἑαυτοὺς, ἵνα μὴ ἀπολέσωμεν ἃ εἰργασάμεθα, ἀλλὰ μισθὸν πλήρη ἀπολάβωμεν.

9 Πᾶς ὁ παραβαίνων, καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, Θεὸν οὐκ ἔχει· ὁ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει.

10 Εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῷ μὴ λέγετε.

11 Ὁ γὰρ λέγων αὐτῷ χαίρειν, κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

θειαν, καθὼς ἐπήραμεν παραγγελίαν ἀπὸ τὸν πατέρα.

5 Καὶ τώρα σὲ παρακαλῶ, κυρία, ὄχι, πῶς σοῦ γράφω καινούριαν ἐντολὴν, ἀλλὰ ἐκείνην ὁποῦ εἴχαμεν ἀπὸ τὴν ἀρχὴν, νὰ ἀγαποῦμεν ἕνας τὸν ἄλλον.

6 Καὶ ἐτούτη εἶναι ἡ ἀγάπη, νὰ περιπατοῦμεν κατὰ ταῖς ἐντολαῖς του· ἐτούτη εἶναι ἡ ἐντολὴ, καθὼς ἀκούσετε ἀπὸ τὴν ἀρχὴν, νὰ περιπατῆτε εἰς αὐτήν.

7 Ὅτι πολλοὶ πλάνοι εἰσέβηκαν εἰς τὸν κόσμον, ὁποῦ δὲν ὁμολογοῦσι· τὸν Ἰησοῦν Χριστὸν, νὰ ἦλθεν εἰς σάρκα· ἐτοῦτος εἶναι ὁ πλάνος καὶ ὁ ἀντίχριστος.

8 Βλέπετε τοῦ λόγου σας, διὰ νὰ μὴν χάσωμεν ἐκεῖνα ὁποῦ ἐκοπιάσαμεν, ἀλλὰ νὰ πάρωμεν σωστὴν πληρωμήν.

9 Κάθε ἕνας ὁποῦ παραβαίνει, καὶ δὲν μένει εἰς τὴν διδαχὴν τοῦ Χριστοῦ, δὲν ἔχει Θεόν· ἐκεῖνος ὁποῦ μένει εἰς τὴν διδαχὴν τοῦ Χριστοῦ, ἐτοῦτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει.

10 Ἐὰν ἔρχεται κανένας εἰς ἐσᾶς, καὶ δὲν φέρνει ἐτούτην τὴν διδαχὴν, μὴν τὸν πέρνετε εἰς τὸ σπῆτί σας, καὶ μὴν τὸν χαιρετᾶτε.

11 Διατὶ ἐκεῖνος ὁποῦ τὸν χαιρετᾷ, κοινωνεῖ εἰς τὰ ἔργα του τὰ πονηρά.

12 Πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἠβουλήθην διὰ χάρτου καὶ μέλανος· ἀλλὰ ἐλπίζω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ στόμα πρὸς στόμα λαλῆσαι, ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη.

13 Ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς. Ἀμήν.

12 Ἔχωντας πολλὰ νὰ σᾶς γράψω, δὲν ἠθέλησα νὰ τὰ γράφω μὲ χαρτὶ καὶ μὲ μελάνι· ἀλλὰ θαῤῥῶ νὰ ἔλθω εἰς ἐσᾶς, καὶ νὰ λαλήσω στόμα μὲ στόμα, διὰ νὰ εἶναι ἡ χαρά μας πεπληρωμένη.

13 Τὰ παιδία τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς σὲ χαιρετοῦν. Ἀμήν.

ἸΩΑ'ΝΝΟΥ ΤΟΥ͂ ἈΠΟΣΤΟ'ΛΟΥ

ἘΠΙΣΤΟΛΗ' ΚΑΘΟΛΙΚΗ'

ΤΡΙ'ΤΗ.

Ὁ Πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ.

2 Ἀγαπητὲ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ ὑγιαίνειν, καθὼς εὐοδοῦταί σου ἡ ψυχή.

3 Ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελφῶν, καὶ μαρτυρούντων σου τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς.

4 Μειζοτέραν τούτων οὐκ ἔχω χαρὰν, ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα.

5 Ἀγαπητὲ, πιστὸν ποιεῖς ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ εἰς τοὺς ξένους,

6 Οἳ ἐμαρτύρησάν σου τῇ

Ὁ Πρεσβύτερος εἰς τὸν Γάϊον τὸν ἀγαπητὸν, τὸν ὁποῖον ἐγὼ ἀγαπῶ ἀληθινά.

2 Ἀγαπητὲ, διὰ ὅλα εὔχομαι νὰ εὐοδώνεσαι καὶ νὰ ὑγιαίνῃς, καθὼς εὐοδώνεται ἡ ψυχή σου.

3 Διατὶ ἐχάρηκα μετὰ πολλὰ ὡσὰν ἦλθαν οἱ ἀδελφοὶ, καὶ ἐμαρτύρησαν τὴν ἀλήθειάν σου, καθὼς ἐσὺ περιπατεῖς μὲ ἀλήθειαν.

4 Μεγαλιτέραν χαρὰν ἀπὸ τούτην δὲν ἔχω, ὡσὰν νὰ ἀκούω τὰ παιδία μου νὰ περιπατοῦν μὲ ἀλήθειαν.

5 Ἀγαπητὲ, ἐσὺ κάμνεις ἔργον πιστοῦ ἀνθρώπου, ἐκεῖνο ὁποῦ κάμνεις εἰς τοὺς ἀδελφοὺς καὶ εἰς τοὺς ξένους,

6 Οἱ ὁποῖοι ἐμαρτύρησαν

ἀγάπη ἐνώπιον ἐκκλησίας·
οὓς καλῶς ποιήσεις προ-
πέμψας ἀξίως τοῦ Θεοῦ.

7 Ὑπὲρ γὰρ τοῦ ὀνόματος
αὐτοῦ ἐξῆλθον, μηδὲν λαμβά-
νοντες ἀπὸ τῶν ἐθνῶν.

8 Ἡμεῖς οὖν ὀφείλομεν
ἀπολαμβάνειν τοὺς τοιούτους,
ἵνα συνεργοὶ γινώμεθα τῇ
ἀληθείᾳ.

9 Ἔγραψα τῇ ἐκκλησίᾳ·
ἀλλ᾽ ὁ φιλοπρωτεύων αὐτῶν
Διοτρεφὴς οὐκ ἐπιδέχεται
ἡμᾶς.

10 Διὰ τοῦτο, ἐὰν ἔλθω,
ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ
ποιεῖ, λόγοις πονηροῖς φλυαρῶν
ἡμᾶς· καὶ μὴ ἀρκούμενος ἐπὶ
τούτοις, οὔτε αὐτὸς ἐπιδέχεται
τοὺς ἀδελφοὺς, καὶ τοὺς βουλο-
μένους κωλύει, καὶ ἐκ τῆς
ἐκκλησίας ἐκβάλλει.

11 Ἀγαπητὲ, μὴ μιμοῦ
τὸ κακὸν, ἀλλὰ τὸ ἀγαθόν·
ὁ ἀγαθοποιῶν, ἐκ τοῦ Θεοῦ
ἐστιν· ὁ δὲ κακοποιῶν, οὐχ
ἑώρακε τὸν Θεόν.

12 Δημητρίῳ μεμαρ-
τύρηται ὑπὸ πάντων, καὶ
ὑπ᾽ αὐτῆς τῆς ἀληθείας·
καὶ ἡμεῖς δὲ μαρτυροῦμεν,

τὴν ἀγάπην σου ὀμπροστὰ εἰς
τὴν ἐκκλησίαν· τοὺς ὁποίους ἐὰν
τοὺς συμπέμψῃς ὡσὰν πρέ-
πει τοῦ Θεοῦ, καλὰ θέλεις
κάμει.

7 Διατὶ διὰ τὸ ὄνομά του
εὐγῆκαν ἀπὸ τὰ ἔθνη, καὶ
δὲν ἐπῆραν τίποτες ἀπὸ τὰ
πράγματά τους.

8 Ἐμεῖς λοιπὸν χρεωστοῦμεν
νὰ τοὺς δεχώμεσθε τοὺς τοιού-
τους, διὰ νὰ γινώμεσθε συνεργοὶ
εἰς τὴν ἀλήθειαν.

9 Ἔγραψα εἰς τὴν ἐκκλη-
σίαν· ἀλλὰ ὁ Διοτρεφὴς ὁποῦ
φιλοπρωτεύει εἰς αὐτοὺς, δὲν
μᾶς δέχεται.

10 Διὰ τοῦτο, ἐὰν ἔλθω,
θέλω (σᾶς) ἀναθυμήσει τὰ
ἔργα του ὁποῦ κάμνει, φλυαρῶν-
τας εἰς ἐμᾶς κακὰ λόγια· καὶ
μὴ ὄντας εὐχαριστημένος εἰς
ἐτοῦτα, ὄχι μοναχὰ αὐτὸς δὲν
δέχεται τοὺς ἀδελφοὺς, ἀλλὰ
καὶ ἐκείνους ὁποῦ θέλουν νὰ
τοὺς δεχθοῦσι τοὺς ἐμποδίζει,
καὶ τοὺς ἐκβάνει ἀπὸ τὴν ἐκ-
κλησίαν.

11 Ἀγαπητὲ, μὴν μιμᾶ-
σαι τὸ κακὸν, ἀλλὰ τὸ
ἀγαθόν· ἐκεῖνος ὁποῦ κάμνει
τὸ καλὸν, εἶναι ἀπὸ τὸν Θεόν·
ἐκεῖνος ὁποῦ κάμνει κακὰ, δὲν
εἶδε τὸν Θεόν.

12 Ὁ Δημήτριος ἔχει μαρ-
τυρίαν ἀπὸ ὅλους, καὶ αὐτὴν
τὴν ἀλήθειαν· καὶ ἐμεῖς
μαρτυροῦμεν, καὶ ἐξεύρετε

καὶ οἴδατε ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστι.

13 Πολλὰ εἶχον γράφειν, ἀλλ' ὀ θέλω διὰ μέλανος καὶ καλάμου σοι γράψαι·

14 Ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε, καὶ στόμα πρὸς στόμα λαλήσομεν.

15 Εἰρήνη σοι· ἀσπάζονταί σε οἱ φίλοι. Ἀσπάζου τοὺς φίλους κατ' ὄνομα.

ὅτι ἡ μαρτυρία μας εἶναι ἀληθινή.

13 Πολλὰ εἶχα νὰ γράψω, ἀμὴ δὲν θέλω νὰ σὲ τὰ γράψω μὲ μελάνι καὶ μὲ κονδύλι·

14 Ἀλλὰ ἐλπίζω γλήγορα νὰ σὲ εἰδῶ, καὶ θέλομεν λαλήσει στόμα μὲ στόμα.

15 Ἄμποτε νὰ εἶναι εἰρήνη εἰς ἐσένα· οἱ φίλοι σὲ χαιρετοῦν. Χαιρέτα τοὺς φίλους κατ' ὄνομα.

ἸΟΥ͂ΔΑ ΤΟΥ͂ ἈΠΟΣΤΟ͂ΛΟΥ

ἘΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ.

ἸΟΥ͂ΔΑΣ Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν Θεῷ πατρὶ ἡγιασμένοις, καὶ Ἰησοῦ Χριστῷ τετηρημένοις κλητοῖς·

2 Ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη.

3 Ἀγαπητοὶ, πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν, παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει.

ἸΟΥ͂ΔΑΣ δοῦλος τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἀδελφὸς τοῦ Ἰακώβου, εἰς τοὺς καλεσμένους ὁποῦ εἶναι ἁγιασμένοι εἰς τὸν Θεὸν τὸν πατέρα, καὶ ἐφυλαγμένοι ἀπὸ τὸν Ἰησοῦν Χριστόν·

2 Ἄμποτε νὰ πληθύνῃ εἰς ἐσᾶς ἔλεος, καὶ εἰρήνη καὶ ἀγάπη.

3 Ἀγαπητοὶ, ἐγὼ κάμνοντας κάθε λογῆς προθυμίαν νὰ σᾶς γράφω διὰ τὴν κοινὴν σωτηρίαν, ἀναγκάσθηκα νὰ σᾶς γράψω, παρακαλῶντάς σας νὰ ἀγωνίζεσθε πάντοτε διὰ τὴν πίστιν ὁποῦ ἐπαραδόθη μίαν φορὰν εἰς τοὺς ἁγίους.

4 Παρεισέδυσαν γάρ τινες ἄνθρωποι οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρῖμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν, καὶ τὸν μόνον δεσπότην Θεὸν καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι.

4 Διατὶ ἐμβῆκαν κρυφὰ κάποιοι ἄνθρωποι οἱ ὁποῖοι ἦταν ἀπὸ ἔκπαλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρῖμα, ἀσεβεῖς, ὁποῦ μεταθέτουσι τὴν χάριν τοῦ Θεοῦ μας εἰς ἀσέλγειαν, καὶ ἀρνοῦνται τὸν μόνον δεσπότην Θεὸν καὶ Κύριόν μας Ἰησοῦν Χριστόν.

5 Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ Κύριος λαὸν ἐκ γῆς Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν.

5 Καὶ θέλω νὰ σᾶς τὸ ἀναθυμίσω, ἐξεύροντες ἐσεῖς ἅπαξ τοῦτο, ὅτι ὁ Κύριος ἔσωντας νὰ ἐλευθερώσῃ τὸν λαὸν ἀπὸ τὴν γῆν τῆς Αἰγύπτου, ὕστερον ἀπώλεσεν ἐκείνους ὁποῦ δὲν ἐπίστευσαν.

6 Ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας, δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν.

6 Καὶ ἐφύλαξεν ἀποκάτω εἰς τὸ σκότος μὲ δεσίματα παντοτεινὰ, εἰς κρίσιν τῆς μεγάλης ἡμέρας, τοὺς ἀγγέλους ὁποῦ δὲν ἐφύλαξαν τὴν ἀρχήν τους, ἀλλ' ἄφησαν τὸ ἴδιόν τους κατοικητήριον.

7 Ὡς Σόδομα καὶ Γόμοῤῥα, καὶ αἱ περὶ αὐτὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι, καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην ὑπέχουσαι.

7 Καθὼς τὰ Σόδομα καὶ Γόμοῤῥα, καὶ αἱ πόλαις ὁποῦ ἦταν ὁλόγυρα εἰς αὐταῖς ἔσωντας νὰ ἐκπορνεύσουν τὸν ὅμοιον τρόπον μὲ ἐτούτους τοὺς ἀνθρώπους, καὶ ἄλλαις νὰ πηγαίνουσιν ὀπίσω σάρκας, κείτουνται ὀμπροστὰ διὰ παράδειγμα, τιμωρούμεναι μὲ τὸ αἰώνιον πῦρ.

8 Ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι, σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ

8 Ὅμως παρόμοια καὶ ἐτοῦτοι ὀνειρευόμενοι, μολύνουσι μὲν τὴν σάρκα, τὴν δὲ κυριό-

ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσιν.

9 Ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν· Ἐπιτιμήσαι σοι Κύριος.

10 Οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασι βλασφημοῦσιν· ὅσα δὲ φυσικῶς, ὡς τὰ ἄλογα ζῶα, ἐπίστανται, ἐν τούτοις φθείρονται.

11 Οὐαὶ αὐτοῖς· ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο.

12 Οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες, συνευωχούμενοι, ἀφόβως ἑαυτοὺς ποιμαίνοντες· νεφέλαι ἄνυδροι, ὑπὸ ἀνέμων περιφερόμενοι, δένδρα φθινοπωρινὰ, ἄκαρπα, δὶς ἀποθανόντα, ἐκριζωθέντα·

13 Κύματα ἄγρια θαλάσσης, ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας· ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς τὸν αἰῶνα τετήρηται.

τητα παραιτοῦνται, καὶ ταῖς δόξαις βλασφημοῦσι.

9 Καὶ ὁ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅταν ἐμάχετο μὲ τὸν διάβολον, φιλονεικοῦντας διὰ τὸ κορμὶ τοῦ Μωϋσέως, δὲν ἀποκότησε νὰ φέρῃ ἀπόφασιν βλάσφημον, ἀλλὰ εἶπεν εἰς αὐτόν· Ἐπιτιμήσαι σοι Κύριος.

10 Ἀμὴ ἐτοῦτοι ὅσα δὲν ἐξεύρουσι τὰ βλασφημοῦσι· καὶ ὅσα ἐξεύρουσι φυσικὰ, ὡσὰν τὰ ἄλογα ζῶα, εἰς ἐτοῦτα φθείρονται.

11 Ἀλλοίμονον εἰς αὐτούς· ὅτι τὴν στράταν τοῦ Κάϊν ἐπορεύθησαν καὶ εἰς τὴν πλάνην τῆς πληρωμῆς τοῦ Βαλαὰμ ἔτρεξαν, καὶ εἰς τὴν ἀντιλογίαν τοῦ Κορὲ ἐχαλάσθηκαν.

12 Ἐτοῦτοι εἶναι λέραις εἰς ταῖς ἀγάπαις σας, τρώγοντες καὶ πίνοντες μετ' ἐσᾶς, βόσκουσι τοὺς λόγου τους χωρὶς φόβον· σύννεφα ἄνυδρα, ὁποῦ κινοῦνται ἀπὸ τοὺς ἀνέμους, δένδρα φθινοπωρινὰ, ἄκαρπα, ὁποῦ ἀπόθαναν δύο φοραῖς, καὶ ἐξεῤῥιζώθηκαν·

13 Ἄγρια κύματα τῆς θαλάσσης, ὁποῦ ἀφρίζουσι ταῖς ἐντροπαῖς τους· ἀστέρες ὁποῦ πλανῶνται, διὰ τοὺς ὁποίους ἡ μαυράδα τοῦ σκότους φυλάττεται εἰς τὸν αἰῶνα.

14 Προεφήτευσε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ Ἐνὼχ, λέγων· Ἰδοὺ, ἦλθε Κύριος ἐν μυριάσιν ἁγίαις αὐτοῦ,

15 Ποιῆσαι κρίσιν κατὰ πάντων, καὶ ἐξελέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν, καὶ περὶ πάντων τῶν σκληρῶν ὧν ἐλάλησαν κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς.

16 Οὗτοί εἰσι γογγυσταὶ, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι· καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα, ὠφελείας χάριν.

17 Ὑμεῖς δὲ ἀγαπητοὶ μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·

18 Ὅτι ἔλεγον ὑμῖν, ὅτι ἐν ἐσχάτῳ χρόνῳ ἔσονται ἐμπαῖκται, κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν.

19 Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες ἑαυτοὺς, ψυχικοὶ, πνεῦμα μὴ ἔχοντες.

20 Ὑμεῖς δὲ, ἀγαπητοὶ, τῇ ἁγιωτάτῃ ὑμῶν πίστει

14 Καὶ ὁ Ἐνὼχ ὁποῦ ἦτον ἕβδομος ἀπὸ Ἀδὰμ, ἐπροφήτευσε διὰ ἐτούτους, λέγοντας· Νὰ, ὁποῦ ἦλθε Κύριος μὲ ταῖς μυριάδες του ταῖς ἁγίαις,

15 Νὰ κάμῃ κρίσιν ἐναντία εἰς ὅλους, καὶ νὰ ἐλέγξῃ ὅλους τοὺς ἀσεβεῖς τους, διὰ ὅλα τὰ ἔργα τῆς ἀσεβείας τους, ὁποῦ ἀσέβησαν, καὶ διὰ ὅλα τὰ σκληρὰ ὁποῦ ἐλάλησαν ἐναντία του ἁμαρτωλοὶ ἀσεβεῖς.

16 Ἐτοῦτοι εἶναι γογγυστάδες, κατηγορητάδες ἀνευχαρίστητοι, ὁποῦ περιπατοῦσι κατὰ ταῖς ἐπιθυμίαις τους· καὶ τὸ στόμα τους λαλεῖ κατὰ πολλὰ κενόδοξα, θαυμάζοντες τὰ πρόσωπα διὰ ὠφέλειαν.

17 Ἀμὴ ἐσεῖς, ἀγαπητοὶ, ἐνθυμηθῆτε τὰ λόγια ὁποῦ ἐλαλήθηκαν προτήτερα ἀπὸ τοὺς ἀποστόλους τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ·

18 Ὅτι σᾶς ἔλεγαν, ὅτι εἰς τοὺς ἐσχάτους χρόνους θέλουσιν εἶσθαι ἐμπαῖκται, περιπατοῦντες κατὰ ταῖς ἀσεβεστάταις τους ἐπιθυμίαις.

19 Ἐτοῦτοι εἶναι ἐκεῖνοι ὁποῦ ἀποχωρίζουσι τοῦ λόγου τους, ψυχικοὶ, ὁποῦ δὲν ἔχουν πνεῦμα.

20 Ἀμὴ ἐσεῖς, ὦ ἀγαπητοὶ, ἔστωντας νὰ οἰκοδομῆτε

ἐποικοδομοῦντες ἑαυτοὺς, ἐν Πνεύματι ἁγίῳ προσευχόμενοι,

21 Ἑαυτοὺς ἐν ἀγάπῃ Θεοῦ τηρήσατε, προσδεχόμενοι τὸ ἔλεος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ζωὴν αἰώνιον.

22 Καὶ οὓς μὲν ἐλεεῖτε διακρινόμενοι·

23 Οὓς δὲ ἐν φόβῳ σώζετε, ἐκ τοῦ πυρὸς ἁρπάζοντες, μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα.

24 Τῷ δὲ δυναμένῳ φυλάξαι ὑμᾶς ἀπταίστους, καὶ στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει,

25 Μόνῳ σοφῷ Θεῷ σωτῆρι ἡμῶν δόξα καὶ μεγαλωσύνη, κράτος καὶ ἐξουσία, καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας. Ἀμήν.

τοῦ λόγου σας εἰς τὴν ἁγιωτάτην σας πίστιν, καὶ νὰ προσεύχεσθε μὲ τὸ Πνεῦμα τὸ ἅγιον,

21 Φυλάξετε τοῦ λόγου σας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, ἔστωντας νὰ ἀναμένετε τὸ ἔλεος τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ εἰς τὴν ζωὴν τὴν αἰώνιον.

22 Καὶ κάποιους νὰ τοὺς λυπᾶσθε κάμνοντες διάκρισιν·

23 Καὶ κάποιους μὲ φόβον νὰ τοὺς γλιτώνετε, ἁρπάζοντές τους ἀπὸ τὴν φωτιὰν, μισοῦντες καὶ τὸ φόρεμα τὸ μολυσμένον ἀπὸ τὴν σάρκα.

24 Καὶ εἰς ἐκεῖνον ὁποῦ δύναται νὰ σᾶς φυλάξῃ ἀπταίστους, καὶ νὰ σᾶς στήσῃ ὀμπροστὰ εἰς τὴν δόξαν του ἀκατηγορήτους μὲ χαρὰν,

25 Εἰς τὸν μόνον σοφὸν Θεὸν καὶ σωτῆρά μας ἂς εἶναι δόξα καὶ μεγαλωσύνη, κράτος καὶ ἐξουσία, καὶ τώρα καὶ εἰς πάντας τοὺς αἰῶνας. Ἀμήν.

ἈΠΟΚΆΛΥΨΙΣ ἸΩΆΝΝΟΥ

ΤΟΥ͂ ΘΕΟΛΟ΄ΓΟΥ.

Κεφ. α΄. 1.

ἈΠΟΚΆΛΥΨΙΣ Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ Θεὸς, δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει· καὶ ἐσήμανεν ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ·

2 Ὃς ἐμαρτύρησε τὸν λόγον τοῦ Θεοῦ, καὶ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ, ὅσα τε εἶδε·

3 Μακάριος ὁ ἀναγινώσκων, καὶ οἱ ἀκούοντες τοὺς λόγους τῆς προφητείας, καὶ τηροῦντες τὰ ἐν αὐτῇ γεγραμμένα· ὁ γὰρ καιρὸς ἐγγύς.

4 Ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ τοῦ ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος· καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων ἃ ἐστιν ἐνώπιον τοῦ θρόνου αὐτοῦ·

5 Καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ, ὁ μάρτυς ὁ πιστὸς, ὁ πρωτότοκος ἐκ τῶν νεκρῶν, καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς·

Ἡ Ἀποκάλυψις τοῦ Ἰησοῦ Χριστοῦ, τὴν ὁποίαν τοῦ ἔδωκεν ὁ Θεὸς, νὰ δείξῃ εἰς τοὺς δούλους του ἐκεῖνα, ὁποῦ κάμνει χρεία νὰ γενοῦσι γλίγωρα· καὶ αὐτὸς στέλλωντάς τα μὲ τὸν ἄγγελόν του τὰ ἐσήμανεν εἰς τὸν δοῦλόν του Ἰωάννην·

2 Ὁ ὁποῖος ἐμαρτύρησε τὸν λόγον τοῦ Θεοῦ, καὶ τὴν μαρτυρίαν τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ὅσα εἶδε·

3 Μακάριος εἶναι ἐκεῖνος ὁποῦ ἀναγνώσει, καὶ ἐκεῖνοι ὁποῦ ἀκούουσι τοὺς λόγους τῆς προφητείας, καὶ φυλάττουσιν ἐκεῖνα ὁποῦ εἶναι μέσα εἰς αὐτὴν γεγραμμένα· διατὶ ὁ καιρὸς εἶναι σιμά.

4 Ὁ Ἰωάννης εἰς ταῖς ἑπτὰ ἐκκλησίαις ὁποῦ εἶναι εἰς τὴν Ἀσίαν· ἂς εἶναι χάρις εἰς ἐσᾶς καὶ εἰρήνη ἀπ' ἐκεῖνον ὁποῦ εἶναι, καὶ ὁποῦ ἦτον, καὶ ὁποῦ ἔρχεται· καὶ ἀπὸ τὰ ἑπτὰ πνεύματα ὁποῦ εἶναι ὀμπροστὰ εἰς τὸν θρόνον του·

5 Καὶ ἀπὸ τὸν Ἰησοῦν Χριστὸν, ὁ ὁποῖος εἶναι ὁ μάρτυρας ὁ πιστὸς, ὁ πρωτότοκος ἀπὸ τοὺς νεκροὺς, καὶ ὁ

τῷ ἀγαπήσαντι ἡμᾶς, καὶ λούσαντι ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν ἐν τῷ αἵματι αὐτοῦ·

6 Καὶ ἐποίησεν ἡμᾶς βασιλεῖς καὶ ἱερεῖς τῷ Θεῷ καὶ πατρὶ αὐτοῦ· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

7 Ἰδοὺ, ἔρχεται μετὰ τῶν νεφελῶν, καὶ ὄψεται αὐτὸν πᾶς ὀφθαλμὸς, καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν· καὶ κόψονται ἐπ' αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς· ναὶ, ἀμήν.

8 Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ἀρχὴ καὶ τέλος, λέγει ὁ Κύριος, ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ.

9 Ἐγὼ Ἰωάννης ὁ καὶ ἀδελφὸς ὑμῶν, καὶ συγκοινωνὸς ἐν τῇ θλίψει καὶ ἐν τῇ βασιλείᾳ καὶ ὑπομονῇ Ἰησοῦ Χριστοῦ, ἐγενόμην ἐν τῇ νήσῳ τῇ καλουμένῃ Πάτμῳ, διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ διὰ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ.

10 Ἐγενόμην ἐν Πνεύματι ἐν τῇ κυριακῇ ἡμέρᾳ· καὶ ἤκουσα ὀπίσω μου φωνὴν μεγάλην ὡς σάλπιγγος,

11 Λεγούσης· Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ὁ πρῶτος καὶ ὁ ἔσχατος· καί· Ὃ βλέπεις γράψον εἰς βιβλίον, καὶ

ἄρχων τῶν βασιλέων τῆς γῆς· εἰς ἐκεῖνον ὁποῦ μᾶς ἀγάπησε, καὶ μᾶς ἔλουσεν ἀπὸ ταῖς ἁμαρτίαις μας μὲ τὸ αἷμά του·

6 Καὶ μᾶς ἔκαμε βασιλεῖς καὶ ἱερεῖς εἰς τὸν Θεὸν καὶ πατέρα του· ἂς εἶναι δόξα εἰς αὐτὸν καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

7 Αὐτοῦ, ὁποῦ ἔρχεται μὲ σύννεφα, καὶ θέλει τὸν ἰδῇ κάθε μάτι, καὶ ἐκεῖνοι ὁποῦ τὸν ἐξεκέντησαν· καὶ θέλουσι κλαύσει εἰς αὐτὸν ὅλαις ἡ φυλαῖς τῆς γῆς· ναὶ, ἀμήν.

8 Ἐγὼ εἶμαι τὸ Α καὶ τὸ Ω, ἡ ἀρχὴ καὶ τὸ τέλος, λέγει ὁ Κύριος, ὁποῦ εἶναι, καὶ ὁποῦ ἦτον, καὶ ὁποῦ ἔρχεται ὁ παντοκράτωρ.

9 Ἐγὼ ὁ Ἰωάννης ὁ καὶ ἀδελφός σας, καὶ συγκοινωνὸς εἰς τὴν θλίψιν καὶ εἰς τὴν βασιλείαν, καὶ εἰς τὴν ὑπομονὴν τοῦ Ἰησοῦ Χριστοῦ, ἤμουν εἰς τὴν νῆσον ὁποῦ λέγεται Πάτμος, διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ διὰ τὴν μαρτυρίαν τοῦ Ἰησοῦ Χριστοῦ.

10 Καὶ ἦλθα εἰς ἔκστασιν μὲ τὸ Πνεῦμα, τὴν κυριακὴν ἡμέραν· καὶ ἄκουσα φωνὴν μεγάλην ὀπίσω μου ὡσὰν σάλπιγγας,

11 Ὁποῦ ἔλεγεν· Ὅτι ἐγὼ εἶμαι τὸ Α, καὶ τὸ Ω, ὁ πρῶτος καὶ ὁ ὕστερος· καί· Ἐκεῖνο ὁποῦ βλέπεις, γράψε το εἰς

πέμψον ταῖς ἐκκλησίαις ταῖς ἐν Ἀσίᾳ, εἰς Ἔφεσον, καὶ εἰς Σμύρναν, καὶ εἰς Πέργαμον, καὶ εἰς Θυάτειρα, καὶ εἰς Σάρδεις, καὶ εἰς Φιλαδέλφειαν, καὶ εἰς Λαοδίκειαν.

12 Καὶ ἐπέστρεψα βλέπειν τὴν φωνὴν ἥτις ἐλάλησε μετ᾽ ἐμοῦ· καὶ ἐπιστρέψας εἶδον ἑπτὰ λυχνίας χρυσᾶς·

13 Καὶ ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν ὅμοιον υἱῷ ἀνθρώπου, ἐνδεδυμένον ποδήρη, καὶ περιεζωσμένον πρὸς τοῖς μαστοῖς ζώνην χρυσῆν.

14 Ἡ δὲ κεφαλὴ αὐτοῦ καὶ αἱ τρίχες λευκαὶ ὡσεὶ ἔριον λευκόν, ὡς χιών· καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ, ὡς φλὸξ πυρός·

15 Καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ, ὡς ἐν καμίνῳ πεπυρωμένοι· καὶ ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ ὑδάτων πολλῶν·

16 Καὶ ἔχων ἐν τῇ δεξιᾷ αὐτοῦ χειρὶ ἀστέρας ἑπτά· καὶ ἐκ τοῦ στόματος αὐτοῦ ῥομφαία δίστομος ὀξεῖα ἐκπορευομένη· καὶ ἡ ὄψις αὐτοῦ ὡς ὁ ἥλιος φαίνει ἐν τῇ δυνάμει αὐτοῦ.

17 Καὶ ὅτε εἶδον αὐτόν, ἔπεσα πρὸς τοὺς πόδας αὐτοῦ ὡς νεκρός· καὶ ἐπέθηκε τὴν

βιβλίον, καὶ πέμψε το εἰς ταῖς ἐκκλησίαις ὁποῦ εἶναι εἰς τὴν Ἀσίαν, εἰς τὴν Ἔφεσον, καὶ εἰς τὴν Σμύρνην, καὶ εἰς τὴν Πέργαμον, καὶ εἰς τὰ Θυάτειρα, καὶ εἰς ταῖς Σάρδεις, καὶ εἰς τὴν Φιλαδέλφειαν, καὶ εἰς τὴν Λαοδίκειαν.

12 Καὶ ἐγύρισα νὰ εἰδῶ τὴν φωνήν, ὁποῦ μοῦ ἐλάλησε· καὶ γυρίζωντας εἶδα ἑπτὰ λυχνίας χρυσᾶς·

13 Καὶ εἰς τὴν μέσην τῶν ἑπτὰ λυχνιῶν εἶδα ἕνα ὅμοιον μὲ υἱὸν ἀνθρώπου, ἐνδυμένον μακρὺ φόρεμα ἕως εἰς τὰ ποδάριά του, καὶ ζωσμένον εἰς τὰ βυζιὰ ζωνάρι χρυσόν.

14 Καὶ ἡ κεφαλή του καὶ αἱ τρίχαις του ἄσπραις ὡσὰν μαλὶ ἄσπρον, ὡσὰν χιόνι· καὶ τὰ μάτιά του ὡσὰν φλόγα φωτιᾶς·

15 Καὶ τὰ ποδάριά του ἦταν ὅμοια χαλκολιβάνῳ, ὡσὰν πυρωμένα μέσα εἰς τὸ καμίνι· καὶ ἡ φωνή του ὡσὰν φωνὴ νερῶν πολλῶν·

16 Καὶ ἐκράτει εἰς τὸ δεξιόν του χέρι ἑπτὰ ἀστέρας· καὶ ἀπὸ τὸ στόμα του εὔγαινε σπαθὶ δίστομον κοπτερόν· καὶ ἡ ὄψις του ἔφεγγεν, ὡσὰν φέγγει ὁ ἥλιος εἰς τὴν δύναμίν του.

17 Καὶ ὅταν τὸν εἶδα, ἔπεσα εἰς τὰ ποδάριά του ὡσὰν νεκρός· καὶ ἔβαλε τὸ δεξιόν του

δεξιὰν αὐτοῦ χεῖρα ἐπ' ἐμὲ, λέγων μοι· Μὴ φοβοῦ· ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος·

18 Καὶ ὁ ζῶν, καὶ ἐγενόμην νεκρὸς, καὶ ἰδοὺ ζῶν εἰμι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν· καὶ ἔχω τὰς κλεῖς τοῦ ᾅδου καὶ τοῦ θανάτου.

19 Γράψον ἃ εἶδες, καὶ ἅ εἰσι, καὶ ἃ μέλλει γίνεσθαι μετὰ ταῦτα·

20 Τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων ὧν εἶδες ἐπὶ τῆς δεξιᾶς μου, καὶ τὰς ἑπτὰ λυχνίας τὰς χρυσᾶς· οἱ ἑπτὰ ἀστέρες, ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν εἰσι· καὶ αἱ ἑπτὰ λυχνίαι ἃς εἶδες, ἑπτὰ ἐκκλησίαι εἰσί.

χέρι ἀπάνω μου, λέγοντάς μου· Μὴν φοβᾶσαι· ἐγὼ εἶμαι ὁ πρῶτος καὶ ὁ ὕστερος·

18 Καὶ ὁ ζῶν, καὶ ἔγινα νεκρὸς, καὶ νὰ, ὁποῦ εἶμαι ζωντανὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν· καὶ κρατῶ τὰ κλειδία τοῦ ᾅδου καὶ τοῦ θανάτου.

19 Γράψε ἐκεῖνα ὁποῦ εἶδες, καὶ ἐκεῖνα ὁποῦ εἶναι, καὶ ἐκεῖνα ὁποῦ μέλλουν νὰ γενοῦν ὕστερα·

20 Τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων ὁποῦ εἶδες εἰς τὸ δεξιόν μου χέρι, καὶ ταῖς ἑπτὰ λυχνίαις ταῖς χρυσαῖς· οἱ ἑπτὰ ἀστέρες, εἶναι ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν· καὶ αἱ ἑπτὰ λυχνίαις ὁποῦ εἶδες, εἶναι ἑπτὰ ἐκκλησίαις.

Κεφ. β΄. 2.

ΤΩ͂ ἀγγέλῳ τῆς Ἐφεσίνης ἐκκλησίας γράψον· Τάδε λέγει ὁ κρατῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ, ὁ περιπατῶν ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν·

2 Οἶδα τὰ ἔργα σου, καὶ τὸν κόπον σου, καὶ τὴν ὑπομονήν σου, καὶ ὅτι οὐ δύνῃ βαστάσαι κακούς· καὶ ἐπειράσω τοὺς φάσκοντας εἶναι ἀποστόλους, καὶ οὐκ εἰσί· καὶ εὗρες αὐτοὺς ψευδεῖς·

3 Καὶ ἐβάστασας, καὶ

ΕΙ'Σ τὸν ἄγγελον τῆς ἐκκλησίας τῶν Ἐφεσίων γράψε· Ἐτοῦτα λέγει ἐκεῖνος, ὁποῦ κρατεῖ τοὺς ἑπτὰ ἀστέρας εἰς τὸ δεξιόν του χέρι, ὁποῦ περιπατεῖ εἰς τὴν μέσην τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν·

2 Ἠξεύρω τὰ ἔργα σου, καὶ τὸν κόπον σου, καὶ τὴν ὑπομονήν σου, καὶ ὅτι δὲν δύνεσαι νὰ βαστᾷς τοὺς κακούς· καὶ ἐδοκίμασες ἐκείνους ὁποῦ λέγουν πῶς εἶναι ἀπόστολοι, καὶ δὲν εἶναι· καὶ τοὺς ηὗρες ψεύσταις·

3 Καὶ ἐβάσταξες καὶ ἔχεις

ὑπομονὴν ἔχεις, καὶ διὰ τὸ ὄνομά μου κεκοπίακας, καὶ οὐ κέκμηκας.

4 Ἀλλ' ἔχω κατὰ σοῦ, ὅτι τὴν ἀγάπην σου τὴν πρώτην ἀφῆκας.

5 Μνημόνευε οὖν πόθεν ἐκπέπτωκας, καὶ μετανόησον, καὶ τὰ πρῶτα ἔργα ποίησον· εἰ δὲ μὴ, ἔρχομαί σοι ταχὺ, καὶ κινήσω τὴν λυχνίαν σου ἐκ τοῦ τόπου αὐτῆς, ἐὰν μὴ μετανοήσῃς.

6 Ἀλλὰ τοῦτο ἔχεις, ὅτι μισεῖς τὰ ἔργα τῶν Νικολαϊτῶν, ἃ κἀγὼ μισῶ.

7 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις· Τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, ὅ ἐςιν ἐν μέσῳ τοῦ παραδείσου τοῦ Θεοῦ.

8 Καὶ τῷ ἀγγέλῳ τῆς ἐκκλησίας Σμυρναίων γράψον· Τάδε λέγει ὁ πρῶτος καὶ ὁ ἔσχατος, ὃς ἐγένετο νεκρὸς, καὶ ἔζησεν·

9 Οἶδά σου τὰ ἔργα καὶ τὴν θλίψιν καὶ τὴν πτωχείαν, (πλούσιος δὲ εἶ,) καὶ τὴν βλασφημίαν τῶν λεγόντων Ἰουδαίους εἶναι ἑαυτοὺς, καὶ οὐκ εἰσὶν, ἀλλὰ συναγωγὴ τοῦ σατανᾶ.

10 Μηδὲν φοβοῦ ἃ μέλλεις πάσχειν· ἰδοὺ, μέλλει

ὑπομονὴν, καὶ διὰ τὸ ὄνομά μου ἐκοπίασες, καὶ δὲν ἀπόκαμες.

4 Ἀλλὰ ἔχω ἐναντία σου, ὅτι ἄφηκες τὴν πρώτην σου ἀγάπην.

5 Ἐνθυμοῦ λοιπὸν ἀπὸ ποῦ ἐξέπεσες, καὶ μετανόησε, καὶ κάμε τὰ πρῶτα ἔργα· εἰ δὲ μὴ, γλίγωρα σοῦ ἔρχομαι, καὶ θέλω κινήσει τὴν λυχνίαν σου ἀπὸ τὸν τόπον της, ἐὰν δὲν μετανοήσῃς.

6 Ἀλλὰ τοῦτο ἔχεις, ὅτι μισᾷς τὰ ἔργα τῶν Νικολαϊτῶν, τὰ ὁποῖα καὶ ἐγὼ τὰ μισῶ.

7 Ἐκεῖνος ὁποῦ ἔχει αὐτία, ἂς ἀκούσει τί λέγει τὸ Πνεῦμα εἰς ταῖς ἐκκλησίαις· Ἐκείνου ὁποῦ νικᾷ θέλω τοῦ δώσει νὰ φάγῃ ἀπὸ τὸ ξύλον τῆς ζωῆς, τὸ ὁποῖον εἶναι εἰς τὴν μέσην τοῦ παραδείσου τοῦ Θεοῦ.

8 Καὶ εἰς τὸν ἄγγελον τῆς ἐκκλησίας τῶν Σμυρναίων γράψε· Ἐτοῦτα λέγει ὁ πρῶτος καὶ ὁ ἔσχατος, ὁ ὁποῖος ἔγινε νεκρὸς, καὶ ἔζησε·

9 Ἰξεύρω τὰ ἔργα σου, καὶ τὴν θλῖψιν, καὶ τὴν πτωχείαν, (ἀλλὰ εἶσαι πλούσιος,) καὶ τὴν βλασφημίαν ἐκεινῶν ὁποῦ λέγουν νὰ εἶναι Ἰουδαῖοι, καὶ δὲν εἶναι, ἀλλὰ εἶναι συναγωγὴ τοῦ σατανᾶ.

10 Μὴν φοβῆσαι κανένα ἀπὸ ἐκεῖνα ὁποῦ μέλλεις νὰ

βαλεῖν ἐξ ὑμῶν ὁ διάβολος εἰς φυλακὴν, ἵνα πειρασθῆτε· καὶ ἕξετε θλίψιν ἡμερῶν δέκα· γίνου πιστὸς ἄχρι θανάτου, καὶ δώσω σοι τὸν στέφανον τῆς ζωῆς.

11 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις· Ὁ νικῶν οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ δευτέρου.

12 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Περγάμῳ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ ἔχων τὴν ῥομφαίαν τὴν δίστομον τὴν ὀξεῖαν·

13 Οἶδα τὰ ἔργα σου, καὶ ποῦ κατοικεῖς, ὅπου ὁ θρόνος τοῦ σατανᾶ· καὶ κρατεῖς τὸ ὄνομά μου, καὶ οὐκ ἠρνήσω τὴν πίστιν μου, καὶ ἐν ταῖς ἡμέραις ἐν αἷς Ἀντίπας ὁ μάρτυς μου ὁ πιστὸς, ὃς ἀπεκτάνθη παρ' ὑμῖν, ὅπου κατοικεῖ ὁ σατανᾶς·

14 Ἀλλ' ἔχω κατὰ σοῦ ὀλίγα, ὅτι ἔχεις ἐκεῖ κρατοῦντας τὴν διδαχὴν Βαλαὰμ, ὃς ἐδίδασκεν τὸν Βαλὰκ βαλεῖν σκάνδαλον ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ, φαγεῖν εἰδωλόθυτα, καὶ πορνεῦσαι.

15 Οὕτως ἔχεις καὶ σὺ κρατοῦντας τὴν διδα-

πάθῃς· νὰ, ὁποῦ μέλλει νὰ βάλλῃ ὁ διάβολος ἀπὸ ἐσᾶς εἰς τὴν φυλακὴν, διὰ νὰ πειραχθῆτε· καὶ θέλετε ἔχει θλίψιν δέκα ἡμερῶν· γίνου ἐμπιστευμένος ἕως θανάτου, καὶ θέλω σοῦ δώσει τὸν στέφανον τῆς ζωῆς.

11 Ἐκεῖνος ὁποῦ ἔχει αὐτία, ἂς ἀκούσει τί λέγει τὸ Πνεῦμα εἰς ταῖς ἐκκλησίαις· Ἐκεῖνος ὁποῦ νικᾷ, δὲν θέλει ζημιωθῇ ἀπὸ τὸν δεύτερον θάνατον.

12 Καὶ εἰς τὸν ἄγγελον τῆς ἐκκλησίας ὁποῦ εἶναι εἰς τὴν Πέργαμον γράψε· Ἔτουτα λέγει ἐκεῖνος ὁποῦ κρατεῖ τὸ σπαθὶ τὸ δίστομον τὸ κοπτερόν·

13 Ἰξεύρω τὰ ἔργα σου, καὶ ποῦ κατοικᾷς, ἤγουν ἐκεῖ ὁποῦ εἶναι ὁ θρόνος τοῦ σατανᾶ· καὶ κρατεῖς τὸ ὄνομά μου, καὶ δὲν ἀρνήθης τὴν πίστιν μου, καὶ εἰς ταῖς ἡμέραις ταῖς ὁποίαις ὁ μάρτυς μου ὁ πιστὸς ὁ Ἀντίπας ἐσκοτώθη σιμὰ εἰς ἐσᾶς, ἐκεῖ ὁποῦ κατοικεῖ ὁ σατανᾶς·

14 Ἀλλ' ἔχω ὀλίγα ἐναντία σου, ὅτι ἔχεις ἐκεῖ τινὰς ὁποῦ κρατοῦσι τὴν διδαχὴν τοῦ Βαλαὰμ, ὁ ὁποῖος ἐδίδασκε τὸν Βαλὰκ νὰ βάλῃ σκάνδαλον ὀμπροστὰ εἰς τοὺς υἱοὺς τοῦ Ἰσραὴλ, νὰ φάγουν εἰδωλόθυτα καὶ νὰ πορνεύσουν.

15 Τέτοιας λογῆς ἔχεις καὶ ἐσὺ τινὰς ὁποῦ κρατοῦν τὴν

χὴν τῶν Νικολαϊτῶν· ὃ
μισῶ.
16 Μετανόησον· εἰ δὲ μὴ,
ἔρχομαί σοι ταχὺ, καὶ πολε-
μήσω μετ' αὐτῶν ἐν τῇ ῥομ-
φαίᾳ τοῦ στόματός μου.
17 Ὁ ἔχων οὖς, ἀκουσάτω
τί τὸ Πνεῦμα λέγει ταῖς
ἐκκλησίαις· Τῷ νικῶντι δώσω
αὐτῷ φαγεῖν ἀπὸ τοῦ μάννα
τοῦ κεκρυμμένου, καὶ δώσω
αὐτῷ ψῆφον λευκὴν, καὶ ἐπὶ
τὴν ψῆφον ὄνομα καινὸν γε-
γραμμένον, ὃ οὐδεὶς ἔγνω εἰ μὴ
ὁ λαμβάνων.

18 Καὶ τῷ ἀγγέλῳ τῆς
ἐν Θυατείροις ἐκκλησίας
γράψον· Τάδε λέγει ὁ υἱὸς
τοῦ Θεοῦ, ὁ ἔχων τοὺς ὀφθαλμοὺς
αὐτοῦ ὡς φλόγα πυρὸς, καὶ
οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολι-
βάνῳ·
19 Οἶδά σου τὰ ἔργα,
καὶ τὴν ἀγάπην, καὶ τὴν
διακονίαν, καὶ τὴν πίστιν, καὶ
τὴν ὑπομονήν σου, καὶ τὰ
ἔργα σου, καὶ τὰ ἔσχατα
πλείονα τῶν πρώτων.
20 Ἀλλ' ἔχω κατὰ
σοῦ ὀλίγα, ὅτι ἐᾷς τὴν γυναῖκα
Ἰεζαβὴλ, τὴν λέγουσαν ἑαυ-
τὴν προφῆτιν, διδάσκειν καὶ
πλανᾶσθαι ἐμοὺς δούλους,
πορνεῦσαι καὶ εἰδωλόθυτα
φαγεῖν.

διδαχὴν τὴν Νικολαϊτῶν· τὸ
ὁποῖον ἐγὼ μισῶ.
16 Μετανόησον· εἰ δὲ μὴ,
γλίγωρα σοῦ ἔρχομαι, καὶ θέλω
πολεμήσει μετ' αὐτοὺς μὲ τὸ
σπαθὶ τοῦ στόματός μου.
17 Ἐκεῖνος ὁποῦ ἔχει αὐ-
τία, ἂς ἀκούσει τί λέγει τὸ Πνεῦ-
μα εἰς ταῖς ἐκκλησίαις· Ἐκείνου
ὁποῦ νικᾷ, θέλω τοῦ δώσει νὰ
φάγῃ ἀπὸ τὸ μάννα τὸ κε-
κρυμμένον, καὶ θέλω τοῦ δώσει
ψῆφον ἄσπρην, καὶ ἀπάνω εἰς
τὴν ψῆφον ὄνομα καινούριον
γεγραμμένον, τὸ ὁποῖον κανέ-
νας δὲν τὸ ἐγνώρισε, παρὰ
ἐκεῖνος ὁποῦ τὸ παίρνει.
18 Καὶ εἰς τὸν ἄγγελον τῆς
ἐκκλησίας ὁποῦ εἶναι εἰς τὰ
Θυάτειρα γράψε· Ἐτοῦτα λέγει
ὁ υἱὸς τοῦ Θεοῦ, ὁποῦ ἔχει τὰ
μάτιά του ὡσὰν φλόγα πυρὸς,
καὶ τὰ ποδάριά του μιᾶς λογῆς
ὡσὰν χαλκολίβανον·
19 Ἰξεύρω τὰ ἔργα σου, καὶ
τὴν ἀγάπην, καὶ τὴν διακο-
νίαν, καὶ τὴν πίστιν, καὶ τὴν
ὑπομονήν σου, καὶ τὰ ἔργα σου,
καὶ τὰ ὑστερινὰ εἶναι περισ-
σότερα ἀπὸ τὰ πρῶτα.
20 Ἀλλὰ ἔχω ὀλίγα ἐναν-
τία σου, διατὶ ἀφίνεις τὴν
γυναῖκα τὴν Ἰεζαβὴλ, ὁποῦ
λέγει τοῦ λόγου της νὰ εἶναι
προφήτισσα, νὰ διδάσκῃ καὶ
νὰ πλανᾷ τοὺς ἰδικούς μου δούλους,
νὰ πορνεύουν καὶ νὰ τρώγουν
τὰ εἰδωλόθυτα.

21 Καὶ ἔδωκα αὐτῇ χρόνον ἵνα μετανοήσῃ ἐκ τῆς πορνείας αὐτῆς, καὶ οὐ μετενόησεν.

22 Ἰδοὺ, ἐγὼ βάλλω αὐτὴν εἰς κλίνην, καὶ τοὺς μοιχεύοντας μετ' αὐτῆς, εἰς θλίψιν μεγάλην, ἐὰν μὴ μετανοήσωσιν ἐκ τῶν ἔργων αὐτῶν.

23 Καὶ τὰ τέκνα αὐτῆς ἀποκτενῶ ἐν θανάτῳ, καὶ γνώσονται πᾶσαι αἱ ἐκκλησίαι ὅτι ἐγώ εἰμι ὁ ἐρευνῶν νεφροὺς καὶ καρδίας· καὶ δώσω ὑμῖν ἑκάστῳ κατὰ τὰ ἔργα ὑμῶν.

24 Ὑμῖν δὲ λέγω, καὶ λοιποῖς τοῖς ἐν Θυατείροις, ὅσοι οὐκ ἔχουσι τὴν διδαχὴν ταύτην, καὶ οἵτινες οὐκ ἔγνωσαν τὰ βάθη τοῦ σατανᾶ, ὡς λέγουσιν· οὐ βαλῶ ἐφ' ὑμᾶς ἄλλο βάρος·

25 Πλὴν ὃ ἔχετε, κρατήσατε ἄχρις οὗ ἂν ἥξω·

26 Καὶ ὁ νικῶν, καὶ ὁ τηρῶν ἄχρι τέλους τὰ ἔργα μου, δώσω αὐτῷ ἐξουσίαν ἐπὶ τῶν ἐθνῶν·

27 Καὶ ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· ὡς τὰ σκεύη τὰ κεραμικὰ συντρίβεται, ὡς κἀγὼ εἴληφα παρὰ τοῦ πατρός μου·

21 Καὶ ἔδωκά της καιρὸν νὰ μετανοήσῃ ἀπὸ τὴν πορνείαν της, καὶ δὲν ἐμετανόησε.

22 Αὐτοῦ, ἐγὼ ἐκεῖ τὴν βάλλω εἰς τὴν κλίνην, καὶ ἐκείνους ὁποῦ μοιχεύουν μετ' αὐτὴν, εἰς μεγάλην θλίψιν, ἐὰν δὲν μετανοήσουν ἀπὸ τὰ ἔργα τους.

23 Καὶ τὰ παιδιά της θέλω τὰ θανατώσει, καὶ θέλουσι γνωρίσει ὅλαις ἡ ἐκκλησίαις, ὅτι ἐγὼ εἶμαι ἐκεῖνος ὁποῦ ἐξετάζει νεφροὺς καὶ καρδίαις· καὶ θέλω σᾶς δώσει καθένα κατὰ τὰ ἔργα σας.

24 Ἀμὴ εἰς ἐσᾶς λέγω, καὶ εἰς τοὺς λοιποὺς ὁποῦ εἶναι εἰς τὰ Θυάτειρα, ὅσοι δὲν ἔχουσι τὴν διδαχὴν ἐτούτην, καὶ ὁποῦ δὲν ἐγνώρισαν τὰ βάθη τοῦ σατανᾶ, καθὼς λέγουσιν· ὅτι δὲν θέλω βάλλει ἀπάνω εἰς ἐσᾶς ἄλλο βάρος·

25 Ὅμως ἐκεῖνο ὁποῦ ἔχετε, κρατήσετέ το, ἕως ὁποῦ νὰ ἔλθω·

26 Καὶ ἐκεῖνος ὁποῦ νικᾷ, καὶ ἐκεῖνος ὁποῦ φυλάγει ἕως τὸ τέλος τὰ ἔργα μου, θέλω τοῦ δώσει ἐξουσίαν ἀπάνω εἰς τὰ ἔθνη·

27 Καὶ θέλει τοὺς ποιμάνει μὲ ῥαβδὶ σιδηρένιον· καὶ θέλουσι συντριφθῆ ὡσὰν τὰ ἀγγεῖα τοῦ κεραμέως, καθὼς καὶ ἐγὼ ἐπῆρα ἀπὸ τὸν πατέρα μου·

28 Καὶ δώσω αὐτῷ τὸν ἀστέρα τὸν πρωϊνόν.

29 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Κεφ. γ΄. 3.

ΚΑῚ τῷ ἀγγέλῳ τῆς ἐν Σάρδισιν ἐκκλησίας γράψον· Τάδε λέγει ὁ ἔχων τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ, καὶ τοὺς ἑπτὰ ἀστέρας· Οἶδά σου τὰ ἔργα, ὅτι τὸ ὄνομα ἔχεις ὅτι ζῇς, καὶ νεκρὸς εἶ.

2 Γίνου γρηγορῶν, καὶ στήριξον τὰ λοιπὰ ἃ μέλλει ἀποθανεῖν· οὐ γὰρ εὕρηκά σου τὰ ἔργα πεπληρωμένα ἐνώπιον τοῦ Θεοῦ.

3 Μνημόνευε οὖν πῶς εἴληφας καὶ ἤκουσας, καὶ τήρει, καὶ μετανόησον. Ἐὰν οὖν μὴ γρηγορήσῃς, ἥξω ἐπὶ σε ὡς κλέπτης, καὶ οὐ μὴ γνῷς ποίαν ὥραν ἥξω ἐπὶ σε.

4 Ἔχεις ὀλίγα ὀνόματα καὶ ἐν Σάρδισιν, ἃ οὐκ ἐμόλυναν τὰ ἱμάτια αὐτῶν, καὶ περιπατήσουσι μετ' ἐμοῦ ἐν λευκοῖς· ὅτι ἄξιοί εἰσιν.

5 Ὁ νικῶν, οὗτος περιβαλεῖται ἐν ἱματίοις λευκοῖς· καὶ οὐ μὴ ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ τῆς βίβλου τῆς ζωῆς, καὶ ἐξομολογήσομαι

28 Καὶ θέλω τοῦ δώσει τὸν ἀστέρα τὸν αὐγερινόν.

29 Ἐκεῖνος ὁποῦ ἔχει αὐτὶ, ἂς ἀκούσει τί λέγει τὸ Πνεῦμα εἰς ταῖς ἐκκλησίαις.

ΚΑῚ εἰς τὸν ἄγγελον τῆς ἐκκλησίας τῶν Σαρδέων γράψε· Ἐτοῦτα λέγει ἐκεῖνος ὁποῦ κρατεῖ τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ, καὶ τοὺς ἑπτὰ ἀστέρας· Ἰξεύρω τὰ ἔργα σου, ὅτι ἔχεις ὄνομα πῶς ζῇς, καὶ εἶσαι νεκρός.

2 Ἂς εἶσαι ἐξυπνητὸς, καὶ στήριξε τὰ λοιπὰ ὁποῦ μέλλουν νὰ ἀποθάνουν· διατὶ δὲν εὕρηκα τὰ ἔργα σου σωστὰ ὀμπροστὰ εἰς τὸν Θεόν.

3 Ἐνθυμοῦ λοιπὸν ποῖα ἐπῆρες καὶ ἄκουσες, καὶ φύλαγέ τα, καὶ μετανόησον. Ἐὰν λοιπὸν δὲν ἀγρυπνᾷς, θέλω ἔλθη εἰς ἐσένα ὡσὰν κλέπτης, καὶ δὲν θέλεις γνωρίσει ποίαν ὥραν θέλω ἔλθη εἰς ἐσένα.

4 Ὀλίγα ὀνόματα ἔχεις εἰς τοὺς Σάρδεις, ὁποῦ δὲν ἐμόλυναν τὰ φορέματά τους, καὶ θέλουσι περιπατήσει ἀντάμα μετ' ἐμένα μὲ ἄσπρα φορέματα· ὅτι εἶναι ἄξιοι.

5 Ἐκεῖνος ὁποῦ νικᾷ, θέλει ἐνδυθῇ φορέματα λευκὰ· καὶ δὲν θέλω λυώσει τὸ ὄνομά του ἀπὸ τὸ κατάστοιχον τῆς ζωῆς, καὶ θέλω ἀναφέρει φανερὰ τὸ

τὸ ὄνομα αὐτοῦ ἐνώπιον τοῦ
πατρός μου, καὶ ἐνώπιον τῶν
ἀγγέλων αὐτοῦ.
6 Ὁ ἔχων οὖς, ἀκουσάτω
τί τὸ Πνεῦμα λέγει ταῖς
ἐκκλησίαις.
7 Καὶ τῷ ἀγγέλῳ τῆς
ἐν Φιλαδελφείᾳ ἐκκλησίας
γράψον· Τάδε λέγει ὁ
ἅγιος, ὁ ἀληθινὸς, ὁ ἔχων
τὴν κλεῖδα τοῦ Δαβὶδ· ὁ
ἀνοίγων, καὶ οὐδεὶς κλείει·
καὶ κλείει, καὶ οὐδεὶς
ἀνοίγει·
8 Οἶδά σου τὰ ἔργα·
ἰδοὺ δέδωκα ἐνώπιόν σου
θύραν ἀνεῳγμένην, καὶ οὐδεὶς
δύναται κλεῖσαι αὐτήν·
ὅτι μικρὰν ἔχεις δύναμιν,
καὶ ἐτήρησάς μου τὸν λόγον,
καὶ οὐκ ἠρνήσω τὸ ὄνομά
μου.
9 Ἰδοὺ, δίδωμι ἐκ τῆς
συναγωγῆς τοῦ σατανᾶ τῶν
λεγόντων ἑαυτοὺς Ἰουδαίους
εἶναι, καὶ οὐκ εἰσὶν,
ἀλλὰ ψεύδονται· ἰδοὺ,
ποιήσω αὐτοὺς ἵνα ἥξωσι
καὶ προσκυνήσωσιν ἐνώπιον
τῶν ποδῶν σου, καὶ γνῶσιν ὅτι ἐγὼ ἠγάπησά
σε.
10 Ὅτι ἐτήρησας τὸν
λόγον τῆς ὑπομονῆς μου,
κἀγώ σε τηρήσω ἐκ τῆς
ὥρας τοῦ πειρασμοῦ τῆς
μελλούσης ἔρχεσθαι ἐπὶ τῆς

ὄνομά του ὀμπροστὰ εἰς τὸν
πατέρα μου, καὶ ὀμπροστὰ
εἰς τοὺς ἀγγέλους του.
6 Ἐκεῖνος ὁποῦ ἔχει αὐτία,
ἂς ἀκούσει τὶ λέγει τὸ Πνεῦμα
εἰς ταῖς ἐκκλησίαις.
7 Καὶ εἰς τὸν ἄγγελον
τῆς ἐκκλησίας ὁποῦ εἶναι
εἰς τὴν Φιλαδέλφειαν γράψε·
Ἐτοῦτα λέγει ὁ ἅγιος, ὁ
ἀληθινὸς, ὁποῦ ἔχει τὸ κλειδὶ
τοῦ Δαβὶδ· ἐκεῖνος ὁποῦ
ἀνοίγει καὶ κανένας δὲν
σφαλεῖ· καὶ σφαλεῖ καὶ
κανένας δὲν ἀνοίγει·
8 Ἰξεύρω τὰ ἔργα σου·
νὰ, ὁποῦ ἔδωκα ὀμπροστά σου
θύραν ἀνοικτὴν, καὶ κανένας δὲν δύναται νὰ τὴν
κλείσῃ· διατὶ ἔχεις ὀλίγην
δύναμιν, καὶ ἐφύλαξες τὸν
λόγον μου, καὶ δὲν ἀρνήθης
τὸ ὄνομά μου.
9 Νὰ, ὁποῦ σοῦ δίδω ἀπὸ
τὴν συναγωγὴν τοῦ σατανᾶ,
ἀπὸ ἐκείνους ὁποῦ λέγουσι τοῦ
λόγου τους νὰ εἶναι Ἰουδαῖοι,
καὶ δὲν εἶναι, ἀλλὰ ψεύδονται· νὰ, ὁποῦ θέλω τοὺς
κάμει νὰ ἔλθουν καὶ νὰ
προσκυνήσουν ὀμπροστὰ εἰς τὰ
ποδάριά σου, καὶ νὰ γνωρίσουν
ὅτι ἐγὼ σὲ ἀγάπησα.
10 Ὅτι ἐφύλαξες τὸν
λόγον τῆς ὑπομονῆς μου,
καὶ ἐγὼ θέλω σε φυλάξει
ἀπὸ τὴν ὥραν τοῦ πειρασμοῦ
ὁποῦ μέλλει νὰ ἔλθῃ εἰς

οἰκουμένης ὅλης, πειράσαι τοὺς
κατοικοῦντας ἐπὶ τῆς γῆς.

11 Ἰδοὺ, ἔρχομαι ταχύ·
κράτει ὃ ἔχεις, ἵνα μηδεὶς
λάβῃ τὸν στέφανόν σου.

12 Ὁ νικῶν, ποιήσω
αὐτὸν στύλον ἐν τῷ ναῷ τοῦ
Θεοῦ μου, καὶ ἔξω οὐ μὴ ἐξέλθῃ
ἔτι· καὶ γράψω ἐπ᾽ αὐτὸν τὸ
ὄνομα τοῦ Θεοῦ μου, καὶ τὸ
ὄνομα τῆς πόλεως τοῦ Θεοῦ
μου τῆς καινῆς Ἱερουσαλὴμ,
ἣ καταβαίνει ἐκ τοῦ οὐρανοῦ
ἀπὸ τοῦ Θεοῦ μου, καὶ τὸ
ὄνομά μου τὸ καινόν.
13 Ὁ ἔχων οὖς, ἀκουσάτω
τί τὸ Πνεῦμα λέγει ταῖς
ἐκκλησίαις.
14 Καὶ τῷ ἀγγέλῳ τῆς
ἐκκλησίας Λαοδικέων γράψον·
Τάδε λέγει ὁ Ἀμὴν, ὁ
μάρτυς ὁ πιστὸς καὶ ἀλη-
θινὸς, ἡ ἀρχὴ τῆς κτίσεως
τοῦ Θεοῦ·
15 Οἶδά σου τὰ ἔργα,
ὅτι οὔτε ψυχρὸς εἶ, οὔτε
ζεστός· ὄφελον ψυχρὸς εἴης
ἢ ζεστός.
16 Οὕτως, ὅτι χλιαρὸς
εἶ, καὶ οὔτε ψυχρὸς οὔτε
ζεστὸς, μέλλω σε ἐμέσαι ἐκ
τοῦ στόματός μου·
17 Ὅτι λέγεις· Ὅτι
πλούσιός εἰμι, καὶ πεπλού-
τηκα, καὶ οὐδενὸς χρείαν ἔχω.
Καὶ οὐκ οἶδας ὅτι σὺ εἶ ὁ

ὅλην τὴν οἰκουμένην, νὰ πει-
ράξῃ ἐκείνους ὁποῦ κατοικοῦσιν
ἀπάνω εἰς τὴν γῆν.
11 Νὰ, ὁποῦ ἔρχομαι γλί-
γωρα· κράτει ἐκεῖνο ὁποῦ ἔχεις
διὰ νὰ μὴν πάρῃ κανεὶς τὸν
στέφανόν σου.
12 Ἐκεῖνος ὁποῦ νικᾷ,
θέλω τὸν κάμει στύλον εἰς τὸν
ναὸν τοῦ Θεοῦ μου, καὶ νὰ
μὴν εὔγῃ ἔξω πλέον· καὶ θέλω
γράψει ἀπάνω εἰς αὐτὸν τὸ
ὄνομα τοῦ Θεοῦ μου, τῆς καινού-
ριας Ἱερουσαλὴμ, ὁποῦ κατα-
βαίνει ἀπὸ τὸν οὐρανὸν ἀπὸ
τὸν Θεόν μου, καὶ τὸ ὄνομά
μου τὸ καινούριον.
13 Ἐκεῖνος ὁποῦ ἔχει αὐτία,
ἂς ἀκούσει τί λέγει τὸ Πνεῦμα
εἰς ταῖς ἐκκλησίαις.
14 Καὶ εἰς τὸν ἄγγελον
τῆς ἐκκλησίας τῶν Λαοδικέων
γράψε· Ἐτοῦτα λέγει ὁ Ἀμὴν,
ὁ μάρτυρας ὁ πιστὸς καὶ ἀλη-
θινὸς, ἡ ἀρχὴ τῆς κτίσεως τοῦ
Θεοῦ·
15 Ἰξεύρω τὰ ἔργα σου,
ὅτι οὔτε ψυχρὸς εἶσαι, οὔτε
ζεστός· ἄμποτε νὰ ἦσουν ἢ
ψυχρὸς, ἢ ζεστός.
16 Ἐπειδὴ λοιπὸν εἶσαι
χλιαρὸς, καὶ οὐδὲ ψυχρὸς, οὐδὲ
ζεστὸς, μέλλω νὰ σὲ ξεράσω
ἀπὸ τὸ στόμα μου·
17 Διατὶ λέγεις· Ὅτι
εἶμαι πλούσιος, καὶ ἐπλούτησα,
καὶ δὲν χρειάζομαι κανένα
(πρᾶγμα.) Καὶ δὲν ἰξεύρεις

ταλαίπωρος, καὶ ἐλεεινὸς, καὶ πτωχὸς, καὶ τυφλὸς, καὶ γυμνός.

18 Συμβουλεύω σοι ἀγοράσαι παρ' ἐμοῦ χρυσίον πεπυρωμένον ἐκ πυρὸς, ἵνα πλουτήσῃς· καὶ ἱμάτια λευκὰ, ἵνα περιβάλῃ, καὶ μὴ φανερωθῇ ἡ αἰσχύνη τῆς γυμνότητός σου· καὶ κολλούριον ἔγχρισον τοὺς ὀφθαλμούς σου, ἵνα βλέπῃς.

19 Ἐγὼ ὅσους ἐὰν φιλῶ, ἐλέγχω καὶ παιδεύω· ζήλωσον οὖν καὶ μετανόησον.

20 Ἰδοὺ, ἕστηκα ἐπὶ τὴν θύραν, καὶ κρούω· ἐάν τις ἀκούσῃ τῆς φωνῆς μου, καὶ ἀνοίξῃ τὴν θύραν, εἰσελεύσομαι πρὸς αὐτὸν, καὶ δειπνήσω μετ' αὐτοῦ, καὶ αὐτὸς μετ' ἐμοῦ.

21 Ὁ νικῶν, δώσω αὐτῷ καθίσαι μετ' ἐμοῦ ἐν τῷ θρόνῳ μου, ὡς κἀγὼ ἐνίκησα, καὶ ἐκάθισα μετὰ τοῦ πατρός μου ἐν τῷ θρόνῳ αὐτοῦ.

22 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

ὅτι εἶσαι ταλαίπωρος, καὶ ἐλεεινὸς, καὶ πτωχὸς, καὶ τυφλὸς, καὶ γυμνός.

18 Συμβουλεύω σε νὰ ἀγοράσῃς ἀπὸ λόγου μου χρυσάφι δοκιμασμένον ἀπὸ τὴν φωτίαν, διὰ νὰ πλουτήσῃς· καὶ φορέματα λευκὰ νὰ ἐνδυθῇς, καὶ νὰ μὴν φανῇ ἡ ἐντροπὴ τῆς γυμνότητός σου· καὶ χρίσαι κολλούριον τὰ μάτιά σου, διὰ νὰ βλέπῃς.

19 Ἐγὼ ὅσους ἀγαπῶ, τοὺς ἐλέγχω καὶ παιδεύω· ζήλευψε λοιπὸν, καὶ μετανόησον.

20 Νὰ, ὁποῦ στέκομαι εἰς τὴν θύραν καὶ κρούω· ἐὰν κανένας ἀκούσῃ τὴν φωνήν μου, καὶ ἀνοίξῃ τὴν θύραν, θέλω ἔμβει εἰς αὐτὸν, καὶ θέλω δειπνήσει μετ' αὐτὸν, καὶ αὐτὸς μετ' ἐμένα.

21 Ἐκεῖνος ὁποῦ νικᾷ, θέλω τοῦ δώσει νὰ καθίσῃ μετ' ἐμένα εἰς τὸν θρόνον μου, καθὼς ἐγὼ ἐνίκησα, καὶ ἐκάθισα μὲ τὸν πατέρα μου εἰς τὸν θρόνον του.

22 Ἐκεῖνος ὁποῦ ἔχει αὐτία, ἂς ἀκούσῃ τί λέγει τὸ Πνεῦμα εἰς ταῖς ἐκκλησίαις.

Κεφ. δ'. 4.

ΜΕτὰ ταῦτα οἶδον, καὶ ἰδοὺ, θύρα ἠνεῳγμένη ἐν τῷ οὐρανῷ, καὶ ἡ φωνὴ

ΥΣτερον ἀπὸ ταῦτα εἶδα, καὶ νὰ, μία θύρα ἀνοικτὴ εἰς τὸν οὐρανὸν, καὶ ἡ

ἡ πρώτη ἣν ἤκουσα ὡς σάλπιγγος λαλούσης μετ' ἐμοῦ, λέγουσα· Ἀνάβα ὧδε, καὶ δείξω σοι ἃ δεῖ γενέσθαι μετὰ ταῦτα·

2 Καὶ εὐθέως ἐγενόμην ἐν πνεύματι· καὶ ἰδοὺ, θρόνος ἔκειτο ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τοῦ θρόνου καθήμενος.

3 Καὶ ὁ καθήμενος ἦν ὅμοιος ὁράσει λίθῳ ἰάσπιδι καὶ σαρδίνῳ· καὶ ἶρις κυκλόθεν τοῦ θρόνου ὁμοία ὁράσει σμαραγδίνῳ.

4 Καὶ κυκλόθεν τοῦ θρόνου θρόνοι εἴκοσι καὶ τέσσαρες· καὶ ἐπὶ τοὺς θρόνους εἶδον τοὺς εἴκοσι καὶ τέσσαρας πρεσβυτέρους καθημένους, περιβεβλημένους ἐν ἱματίοις λευκοῖς· καὶ ἔσχον ἐπὶ τὰς κεφαλὰς αὐτῶν στεφάνους χρυσοῦς.

5 Καὶ ἐκ τοῦ θρόνου ἐκπορεύονται ἀστραπαὶ καὶ βρονταὶ καὶ φωναί· καὶ ἑπτὰ λαμπάδες πυρὸς καιόμεναι ἐνώπιον τοῦ θρόνου, αἵ εἰσι τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ.

6 Καὶ ἐνώπιον τοῦ θρόνου θάλασσα ὑαλίνη, ὁμοία κρυστάλλῳ· καὶ ἐν μέσῳ τοῦ

φωνὴ ἡ πρώτη, τὴν ὁποίαν ἄκουσα ὡσὰν σάλπιγγας ὁποῦ ἐλάλει μετ' ἐμένα, καὶ ἔλεγεν· Ἀνέβα ἐδῶ, καὶ θέλω σοῦ δείξει ἐκεῖνα ὁποῦ μέλλουν νὰ γενοῦν ὕστερα·

2 Καὶ παρευθὺς ἦλθα εἰς ἔκστασιν μὲ πνεῦμα· καὶ νὰ, καὶ ἦτον ἕνας θρόνος εἰς τὸν οὐρανὸν, καὶ ἀπάνω εἰς τὸν θρόνον κάποιος καθεζόμενος.

3 Καὶ ἐκεῖνος ὁποῦ ἐκάθετον ἦτον ὅμοιος εἰς τὴν ὅρασιν ὡσὰν πέτραν ἰάσπιδα καὶ σαρδινον· καὶ τὸ οὐράνιον τόξον τριγύρω τοῦ θρόνου, μιᾶς λογῆς εἰς τὴν θεωρίαν ὡσὰν σμαράγδι.

4 Καὶ τριγύρω τοῦ θρόνου εἰκοσιτέσσαρες θρόνοι· καὶ ἀπάνω εἰς τοὺς θρόνους εἶδα τοὺς εἰκοσιτέσσαρες πρεσβυτέρους ὁποῦ ἐκάθουνταν, ἐνδυμένους μὲ φορέματα ἄσπρα· καὶ ἐφοροῦσαν ἀπάνω εἰς τὰ κεφάλιά τους στεφάνια χρυσᾶ.

5 Καὶ ἀπὸ τὸν θρόνον ἐβγαιναν ἀστραπαὶ καὶ βρονταὶ καὶ φωναί· καὶ ἑπτὰ λαμπάδες ἀπὸ φωτιὰν ὁποῦ ἐκαίουνταν ὀμπροστὰ εἰς τὸν θρόνον, ἡ ὁποίαις εἶναι τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ.

6 Καὶ ὀμπροστὰ εἰς τὸν θρόνον μία θάλασσα γυαλίνη, ὅμοια ὡσὰν κρυστάλλ.· καὶ

θρόνου καὶ κύκλῳ τοῦ θρόνου τέσσαρα ζῶα γέμοντα ὀφθαλμῶν ἔμπροσθεν καὶ ὄπισθεν.

7 Καὶ τὸ ζῶον τὸ πρῶτον ὅμοιον λέοντι, καὶ τὸ δεύτερον ζῶον ὅμοιον μόσχῳ, καὶ τὸ τρίτον ζῶον ἔχον τὸ πρόσωπον ὡς ἄνθρωπος, καὶ τὸ τέταρτον ζῶον ὅμοιον ἀετῷ πετωμένῳ.

8 Καὶ τέσσαρα ζῶα, ἓν καθ' ἑαυτὸ, εἶχον ἀνὰ πτέρυγας ἓξ κυκλόθεν, καὶ ἔσωθεν γέμοντα ὀφθαλμῶν· καὶ ἀνάπαυσιν οὐκ ἔχουσιν ἡμέρας καὶ νυκτὸς, λέγοντα· Ἅγιος, ἅγιος, ἅγιος, Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἦν καὶ ὁ ὢν καὶ ὁ ἐρχόμενος.

9 Καὶ ὅταν δώσουσι τὰ ζῶα δόξαν καὶ τιμὴν καὶ εὐχαριστίαν τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων,

10 Πεσοῦνται οἱ εἴκοσι καὶ τέσσαρες πρεσβύτεροι ἐνώπιον τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ προσκυνήσουσι τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, καὶ βαλοῦσι τοὺς στεφάνους αὐτῶν ἐνώπιον τοῦ θρόνου, λέγοντες·

11 Ἄξιος εἶ Κύριε

εἰς τὴν μέσην τοῦ θρόνου καὶ τρυγύρω τοῦ θρόνου τέσσαρα ζῶα, ὁποῦ ἦταν γεμάτα μάτια ὀμπροστὰ καὶ ὀπίσω.

7 Καὶ τὸ πρῶτον ζῶον ὁμοίαζε τὸν λέοντα, καὶ τὸ δεύτερον ζῶον ὁμοίαζε μοσχάρι, καὶ τὸ τρίτον ζῶον εἶχε τὸ πρόσωπόν του ὡσὰν ἄνθρωπος, καὶ τὸ τέταρτον ζῶον ἦτον ὅμοιον ὡσὰν ἀετὸς, ὁποῦ νὰ πετᾷ.

8 Καὶ τὰ τέσσαρα ζῶα, κάθε ἕνα εἰς τοῦ λόγου του, εἶχαν ἀπὸ ἕξι πτέρυγας τρυγύρω, καὶ ἀπὸ μέσα ἦταν γεμάτα μάτια· καὶ δὲν ἔχουσιν ἀνάπαυσιν ἡμέρα καὶ νύκτα, νὰ λέγουσιν· Ἅγιος, ἅγιος, ἅγιος, Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ὁποῦ ἦτον, καὶ εἶναι, καὶ ἔρχεται.

9 Καὶ ὅταν δώσουν τὰ ζῶα δόξαν καὶ τιμὴν καὶ εὐχαριστίαν ἐκείνου ὁποῦ κάθεται ἀπάνω εἰς τὸν θρόνον, ὁποῦ ζῇ εἰς τοὺς αἰῶνας τῶν αἰώνων,

10 Πέφτουσιν οἱ εἴκοσι καὶ τέσσαρες πρεσβύτεροι ὀμπροστὰ εἰς ἐκεῖνον ὁποῦ κάθεται εἰς τὸν θρόνον, καὶ προσκυνοῦσιν ἐκεῖνον ὁποῦ ζῇ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, καὶ βάλλουσι τοὺς στεφάνους τους ὀμπροστὰ εἰς τὸν θρόνον, λέγοντες·

11 Ἄξιος εἶσαι Κύριε

λαβεῖν τὴν δόξαν καὶ τὴν τιμὴν καὶ τὴν δύναμιν· ὅτι σὺ ἔκτισας τὰ πάντα, καὶ διὰ τὸ θέλημά σου εἰσὶ, καὶ ἐκτίσθησαν.

νὰ πάρῃς τὴν δόξαν, καὶ τὴν τιμὴν, καὶ τὴν δύναμιν· Ὅτι ἐσὺ ἔκτισας τὰ πάντα, καὶ διὰ τὸ θέλημά σου εἶναι, καὶ ἐκτίσθησαν.

Κεφ. ε΄. 5.

ΚΑΙ' εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου ἐπὶ τοῦ θρόνου βιβλίον γεγραμμένον ἔσωθεν καὶ ὄπισθεν, κατεσφραγισμένον σφραγῖσιν ἑπτά.

2 Καὶ εἶδον ἄγγελον ἰσχυρὸν κηρύσσοντα φωνῇ μεγάλῃ· Τίς ἐστιν ἄξιος ἀνοῖξαι τὸ βιβλίον, καὶ λῦσαι τὰς σφραγῖδας αὐτοῦ;

3 Καὶ οὐδεὶς ἠδύνατο ἐν τῷ οὐρανῷ, οὐδὲ ἐπὶ τῆς γῆς, οὐδὲ ὑποκάτω τῆς γῆς, ἀνοῖξαι τὸ βιβλίον, οὐδὲ βλέπειν αὐτό.

4 Καὶ ἐγὼ ἔκλαιον πολλὰ, ὅτι οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι καὶ ἀναγνῶναι τὸ βιβλίον, οὔτε βλέπειν αὐτό.

5 Καὶ εἷς ἐκ τῶν πρεσβυτέρων λέγει μοι· Μὴ κλαῖε· ἰδὲ ἐνίκησεν ὁ λέων ὁ ὢν ἐκ τῆς φυλῆς Ἰούδα, ἡ ῥίζα Δαβὶδ, ἀνοῖξαι τὸ βιβλίον, καὶ λῦσαι τὰς ἑπτὰ σφραγῖδας αὐτοῦ.

6 Καὶ εἶδον, καὶ ἰδοὺ ἐν μέσῳ τοῦ θρόνου καὶ τῶν τεσσάρων ζώων, καὶ ἐν

ΚΑΙ' εἶδα εἰς τὴν δεξιὰν ἐκείνου ὁποῦ ἐκάθετον εἰς τὸν θρόνον ἕνα βιβλίον γεγραμμένον ἀπὸ μέσα καὶ ἀποπίσω, βουλωμένον μὲ βούλαις ἑπτά.

2 Καὶ εἶδα ἕνα ἄγγελον δυνατὸν ὁποῦ ἐδιαλάλει μὲ μεγάλην φωνήν· Ποῖος εἶναι ἄξιος νὰ ἀνοίξῃ τὸ βιβλίον, καὶ νὰ λύσῃ ταῖς βούλαις του;

3 Καὶ κανένας δὲν ἐδύνετον εἰς τὸν οὐρανὸν, οὐδὲ ἀπάνω εἰς τὴν γῆν, οὐδὲ ἀποκάτω εἰς τὴν γῆν, νὰ ἀνοίξῃ τὸ βιβλίον, οὐδὲ νὰ τὸ βλέπῃ.

4 Καὶ ἐγὼ ἔκλαιον πολλὰ, ὅτι κανένας δὲν εὑρέθη ἄξιος νὰ τὸ ἀνοίξῃ καὶ νὰ ἀναγνώσῃ τὸ βιβλίον, οὐδὲ νὰ τὸ βλέπῃ.

5 Καὶ ἕνας ἀπὸ τοὺς πρεσβυτέρους μοῦ λέγει· Μὴν κλαίεις· νὰ ὁποῦ ἐνίκησεν ὁ λέων ὁποῦ εἶναι ἀπὸ τὴν φυλὴν τοῦ Ἰούδα, ἡ ῥίζα τοῦ Δαβὶδ, νὰ ἀνοίξῃ τὸ βιβλίον, καὶ νὰ λύσῃ ταῖς ἑπτά του βούλαις.

6 Καὶ εἶδα, καὶ νὰ εἰς τὴν μέσην τοῦ θρόνου καὶ τῶν τεσσάρων ζώων, καὶ εἰς τὴν

μέσῳ τῶν πρεσβυτέρων, ἀρνίον ἑστηκὸς ὡς ἐσφαγμένον, ἔχον κέρατα ἑπτὰ, καὶ ὀφθαλμοὺς ἑπτά· οἵ εἰσι τὰ ἑπτὰ τοῦ Θεοῦ πνεύματα τὰ ἀπεσταλμένα εἰς πᾶσαν τὴν γῆν.

7 Καὶ ἦλθε καὶ εἴληφε τὸ βιβλίον ἐκ τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ τοῦ θρόνου.

8 Καὶ ὅτε ἔλαβε τὸ βιβλίον, τὰ τέσσαρα ζῶα καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἔπεσον ἐνώπιον τοῦ ἀρνίου, ἔχοντες ἕκαστος κιθάρας καὶ φιάλας χρυσᾶς, γεμούσας θυμιαμάτων, αἵ εἰσιν αἱ προσευχαὶ τῶν ἁγίων.

9 Καὶ ᾄδουσιν ᾠδὴν καινὴν, λέγοντες· Ἄξιος εἶ λαβεῖν τὸ βιβλίον, καὶ ἀνοῖξαι τὰς σφραγῖδας αὐτοῦ, ὅτι ἐσφάγης, καὶ ἠγόρασας τῷ Θεῷ ἡμᾶς ἐν τῷ αἵματί σου, ἐκ πάσης φυλῆς καὶ γλώσσης καὶ λαοῦ καὶ ἔθνους·

10 Καὶ ἐποίησας ἡμᾶς τῷ Θεῷ ἡμῶν βασιλεῖς καὶ ἱερεῖς· καὶ βασιλεύσομεν ἐπὶ τῆς γῆς.

11 Καὶ εἶδον, καὶ ἤκουσα φωνὴν ἀγγέλων πολλῶν κυκλόθεν τοῦ θρόνου καὶ τῶν ζώων καὶ τῶν πρεσβυτέρων· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν

μέσην τῶν πρεσβυτέρων, ἀρνίον ὁποῦ ἐστέκετον ὡσὰν ἐσφαγμένον, καὶ εἶχε κέρατα ἑπτὰ, καὶ ἑπτὰ μάτια· τὰ ὁποῖα εἶναι τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ, ὁποῦ ἐστάλθηκαν εἰς ὅλην τὴν γῆν.

7 Καὶ ἦλθε καὶ ἐπῆρε τὸ βιβλίον ἀπὸ τὴν δεξιὰν ἐκείνου ὁποῦ ἐκάθετον εἰς τὸν θρόνον.

8 Καὶ ὅταν ἐπῆρε τὸ βιβλίον, τὰ τέσσαρα ζῶα καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἔπεσαν ὀμπροστὰ εἰς τὸ ἀρνίον, καὶ εἶχαν καθένας κιθάραις καὶ κούπαις χρυσαῖς, ὁποῦ ἦταν γεμάταις θυμιάματα, αἱ ὁποίαις εἶναι αἱ προσευχαῖς τῶν ἁγίων.

9 Καὶ ψάλλουσι καινούριαν ψαλμωδίαν, λέγοντες· Ἄξιος εἶσαι νὰ πάρῃς τὸ βιβλίον, καὶ νὰ ἀνοίξῃς ταῖς βούλαις του, ὅτι ἐσφάγης, καὶ μᾶς ἀγόρασες τοῦ Θεοῦ μὲ τὸ αἷμά σου, ἀπὸ κάθε λογῆς φυλὴν καὶ γλῶσσαν καὶ λαὸν καὶ ἔθνος·

10 Καὶ μᾶς ἔκαμες εἰς τὸν Θεόν μας βασιλεῖς καὶ ἱερεῖς· καὶ θέλομεν βασιλεύσει ἀπάνω εἰς τὴν γῆν.

11 Καὶ εἶδα, καὶ ἄκουσα φωνὴν ἀγγέλων πολλῶν ὁποῦ ἦταν τριγύρω τοῦ θρόνου, καὶ τῶν ζώων, καὶ τῶν πρεσβυτέρων· καὶ ὁ ἀριθμός τους ἦτον μυριά-

μυριάδες μυριάδων, καὶ χιλιάδες χιλιάδων·

12 Λέγοντες φωνῇ μεγάλῃ· Ἄξιόν ἐστι τὸ ἀρνίον τὸ ἐσφαγμένον λαβεῖν τὴν δύναμιν καὶ πλοῦτον καὶ σοφίαν καὶ ἰσχὺν καὶ τιμὴν καὶ δόξαν καὶ εὐλογίαν.

13 Καὶ πᾶν κτίσμα ὃ ἐστιν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ, καὶ ὑποκάτω τῆς γῆς, καὶ ἐπὶ τῆς θαλάσσης ἃ ἐστι, καὶ τὰ ἐν αὐτοῖς πάντα, ἤκουσα λέγοντας· Τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου καὶ τῷ ἀρνίῳ ἡ εὐλογία καὶ ἡ τιμὴ καὶ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

14 Καὶ τὰ τέσσαρα ζῶα ἔλεγον· Ἀμήν· καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἔπεσαν, καὶ προσεκύνησαν ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

δες μυριάδων, καὶ χιλιάδες χιλιάδων·

12 Ὁποῦ ἔλεγαν μὲ μεγάλην φωνήν· Ἄξιον εἶναι τὸ ἀρνίον τὸ ἐσφαγμένον, νὰ πάρῃ δύναμιν, καὶ πλοῦτον, καὶ σοφίαν, καὶ κράτος, καὶ τιμὴν καὶ δόξαν, καὶ εὐλογίαν.

13 Καὶ κάθε κτίσμα ὁποῦ εἶναι εἰς τὸν οὐρανὸν, καὶ εἰς τὴν γῆν, καὶ ἀποκάτω εἰς τὴν γῆν, καὶ ὅσα εἶναι εἰς τὴν θάλασσαν, καὶ μέσα εἰς αὐτὰ ὅλα, ἄκουσα ὁποῦ ἔλεγαν· Ἐκείνου ὁποῦ κάθεται εἰς τὸν θρόνον καὶ τοῦ ἀρνίου, ἂς εἶναι ἡ εὐλογία, καὶ ἡ τιμὴ, καὶ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

14 Καὶ τὰ τέσσαρα ζῶα ἔλεγον· Ἀμήν· καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἔπεσαν, καὶ ἐπροσκύνησαν τὸν ζῶντα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Κεφ. ϛ΄. 6.

ΚΑΙ εἶδον ὅτι ἤνοιξε τὸ ἀρνίον μίαν ἐκ τῶν σφραγίδων, καὶ ἤκουσα ἑνὸς ἐκ τῶν τεσσάρων ζώων λέγοντος, ὡς φωνῆς βροντῆς· Ἔρχου καὶ βλέπε.

2 Καὶ εἶδον, καὶ ἰδοὺ ἵππος λευκός· καὶ ὁ καθήμενος ἐπ᾽ αὐτῷ, ἔχων τόξον· καὶ ἐδόθη αὐτῷ στέφανος, καὶ ἐξῆλθε νικῶν, καὶ ἵνα νικήσῃ.

3 Καὶ ὅτι ἤνοιξε τὴν

ΚΑΙ εἶδα ὅταν ἄνοιξε τὸ ἀρνίον μίαν ἀπὸ ταῖς βοῦλαις, καὶ ἄκουσα ἕνα ἀπὸ τὰ τέσσαρα ζῶα ὁποῦ ἔλεγεν, ὡσὰν φωνὴν τῆς βροντῆς· Ἔρχου καὶ βλέπε.

2 Καὶ εἶδον, καὶ νὰ ἕνα ἄλογον ἄσπρον· καὶ ἐκεῖνος ὁποῦ ἐκάθετον ἀπάνω εἰς αὐτὸ, ἐκράτει τοξάρι· καὶ τοῦ ἐδόθη στέφανος, καὶ εὔγηκε νικητὴς, καὶ διὰ νὰ νικήσῃ.

3 Καὶ ὅταν ἄνοιξε τὴν

δευτέραν σφραγῖδα, ἤκουσα τοῦ δευτέρου ζώου λέγοντος· Ἔρχου καὶ βλέπε.

4 Καὶ ἐξῆλθεν ἄλλος ἵππος πυῤῥός· καὶ τῷ καθημένῳ ἐπ᾽ αὐτῷ ἐδόθη αὐτῷ λαβεῖν τὴν εἰρήνην ἀπὸ τῆς γῆς, καὶ ἵνα ἀλλήλους σφάξωσι· καὶ ἐδόθη αὐτῷ μάχαιρα μεγάλη.

5 Καὶ ὅτε ἤνοιξε τὴν τρίτην σφραγῖδα, ἤκουσα τοῦ τρίτου ζώου λέγοντος· Ἔρχου καὶ βλέπε. Καὶ εἶδον, καὶ ἰδοὺ, ἵππος μέλας καὶ ὁ καθήμενος ἐπ᾽ αὐτῷ, ἔχων ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ.

6 Καὶ ἤκουσα φωνὴν ἐν μέσῳ τῶν τεσσάρων ζώων λέγουσαν· Χοῖνιξ σίτου δηναρίου· καὶ τρεῖς χοίνικες κριθῆς δηναρίου· καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον μὴ ἀδικήσῃς.

7 Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν τετάρτην, ἤκουσα φωνὴν τοῦ τετάρτου ζώου λέγουσαν· Ἔρχου καὶ βλέπε.

8 Καὶ εἶδον, καὶ ἰδοὺ, ἵππος χλωρὸς, καὶ ὁ καθήμενος ἐπάνω αὐτοῦ ὄνομα αὐτῷ ὁ Θάνατος καὶ ὁ ᾅδης ἀκολουθεῖ μετ᾽ αὐτοῦ· καὶ ἐδόθη αὐτοῖς ἐξουσία ἀποκτεῖναι ἐπὶ τὸ τέταρτον τῆς γῆς, ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ, καὶ ὑπὸ τῶν θηρίων τῆς γῆς.

δεύτερην βοῦλαν, ἄκουσα τὸ δεύτερον ζῶον ὁποῦ ἔλεγεν· Ἔλα καὶ ἴδε.

4 Καὶ εὐγῆκεν ἔξω ἄλλο ἄλογον κόκκινον· καὶ ἐκεῖνος ὁποῦ ἐκάθετον ἀπάνω εἰς αὐτὸ, τοῦ ἐδόθη νὰ πάρῃ τὴν εἰρήνην ἀπὸ τὴν γῆν, διὰ νὰ σφαγοῦσιν ἕνας τὸν ἄλλον· καὶ τοῦ ἐδόθη μάχαιρα μεγάλη.

5 Καὶ ὅταν ἄνοιξε τὴν τρίτην βοῦλαν, ἄκουσα τὸ τρίτον ζῶον ὁποῦ ἔλεγεν· Ἔρχου καὶ βλέπε. Καὶ εἶδα, καὶ νὰ, ἕνα ἄλογον μαῦρον, καὶ ἐκεῖνος ὁποῦ ἐκάθετον ἀπάνω εἰς αὐτὸ, ἐκράτειεν εἰς τὸ χέρι του μίαν ζυγαρίαν.

6 Καὶ ἄκουσα φωνὴν εἰς τὴν μέσην τῶν τεσσάρων ζώων ὁποῦ ἔλεγεν· Τὸ σινήκι τὸ σιτάρι ἕνα ῥοῦπι· καὶ τρία σινήκια κριθάρι ἕνα ῥοῦπι· καὶ τὸ λάδι καὶ τὸ κρασὶ μὴν τὸ βλάψῃς.

7 Καὶ ὅταν ἄνοιξε τὴν βοῦλαν τὴν τετάρτην, ἄκουσα φωνὴν τοῦ τετάρτου ζώου ὁποῦ ἔλεγεν· Ἔρχου καὶ βλέπε.

8 Καὶ εἶδα, καὶ νὰ ἕνα ἄλογον πράσινον, καὶ ἐκεῖνος ὁποῦ ἐκάθετον ἀπάνω του, ἦτον τὸ ὄνομά του ὁ Θάνατος· καὶ ὁ ᾅδης ἀκολουθᾷ μαζύ του· καὶ τοὺς ἐδόθη ἐξουσία νὰ ἀποκτείνουσι τὸ τέταρτον μέρος τῆς γῆς, μὲ σπαθὶ καὶ μὲ πεῖνα καὶ μὲ θάνατον, καὶ μὲ θηρία τῆς γῆς.

9 Καὶ ὅτε ἤνοιξε τὴν πέμπτην σφραγῖδα, εἶδον ὑποκάτω τοῦ θυσιαστηρίου τὰς ψυχὰς τῶν ἐσφαγμένων διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ διὰ τὴν μαρτυρίαν ἣν εἶχον·

10 Καὶ ἔκραζον φωνῇ μεγάλῃ, λέγοντες· Ἕως πότε ὁ δεσπότης ὁ ἅγιος καὶ ὁ ἀληθινὸς οὐ κρίνεις καὶ ἐκδικεῖς τὸ αἷμα ἡμῶν ἀπὸ τῶν κατοικούντων ἐπὶ τῆς γῆς;

11 Καὶ ἐδόθησαν ἑκάστοις στολαὶ λευκαί, καὶ ἐῤῥέθη αὐτοῖς ἵνα ἀναπαύσωνται ἔτι χρόνον μικρόν, ἕως οὗ πληρώσονται καὶ οἱ σύνδουλοι αὐτῶν καὶ οἱ ἀδελφοὶ αὐτῶν, οἱ μέλλοντες ἀποκτείνεσθαι ὡς καὶ αὐτοί.

12 Καὶ εἶδον ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἕκτην, καὶ ἰδοὺ σεισμὸς μέγας ἐγένετο, καὶ ὁ ἥλιος ἐγένετο μέλας ὡς σάκκος τρίχινος, καὶ ἡ σελήνη ἐγένετο ὡς αἷμα·

13 Καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔπεσαν εἰς τὴν γῆν, ὡς συκῆ βάλλει τοὺς ὀλύνθους αὐτῆς, ὑπὸ μεγάλου ἀνέμου σειομένη.

14 Καὶ οὐρανὸς ἀπεχωρίσθη ὡς βιβλίον εἱλισσόμενον, καὶ πᾶν ὄρος καὶ νῆσος ἐκ τῶν τόπων αὐτῶν ἐκινήθησαν·

15 Καὶ οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ μεγιστᾶνες, καὶ οἱ πλούσιοι, καὶ οἱ χιλίαρχοι, καὶ οἱ

9 Καὶ ὅταν ἄνοιξε τὴν πέμπτην βοῦλαν, εἶδα ἀποκάτω εἰς τὸ θυσιαστήριον ταῖς ψυχαῖς ἐκείνων ὁποῦ ἐσφάγηκαν διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ διὰ τὴν μαρτυρίαν τοῦ ἀρνίου ὁποῦ εἶχαν·

10 Καὶ ἔκραξαν μὲ μεγάλην φωνὴν, λέγοντες· Ἕως πότε ὁ δεσπότης ὁ ἅγιος καὶ ὁ ἀληθινὸς δὲν κρίνεις καὶ ἐξεδικαιώνεις τὸ αἷμά μας, ἀπὸ ἐκείνους ὁποῦ κατοικοῦσιν ἀπάνω εἰς τὴν γῆν;

11 Καὶ τοὺς ἐδόθηκαν κάθε ἑνὸς φορέματα ἄσπρα, καὶ τοὺς ἐλαλήθη νὰ ἀναπαυθοῦσιν ἀκόμι ὀλίγον καιρὸν, ἕως ὁποῦ νὰ τελειωθοῦσι καὶ οἱ σύνδουλοί τους καὶ οἱ ἀδελφοί τους, ὁποῦ μέλλουν νὰ φονευθοῦν ὡσὰν καὶ αὐτοί.

12 Καὶ εἶδα ὅταν ἄνοιξε τὴν βοῦλαν τὴν ἕκτην, καὶ νὰ σεισμὸς μέγας ἔγινε, καὶ ὁ ἥλιος ἔγινε μαῦρος ὡσὰν σακκὶ τρίχινον, καὶ τὸ φεγγάρι ὅλον ἐγίνη ὡσὰν αἷμα·

13 Καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔπεσαν εἰς τὴν γῆν, ὡσὰν ἡ συκία σειομένη ἀπὸ μεγάλον ἄνεμον, ῥίχνει τοὺς ὀλύνθους της.

14 Καὶ ὁ οὐρανὸς ἀπεχωρίσθη ὡσὰν τυλικτάρι ὁποῦ τυλίσσεται, καὶ κάθε ὄρος καὶ νησὶ ἐκινήθηκαν ἀπὸ τὸν τόπον τους·

15 Καὶ οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ μεγιστᾶνες, καὶ οἱ πλούσιοι, καὶ οἱ χιλίαρχοι, καὶ οἱ

δυνατοὶ, καὶ πᾶς δοῦλος καὶ πᾶς ἐλεύθερος ἔκρυψαν ἑαυτοὺς εἰς τὰ σπήλαια καὶ εἰς τὰς πέτρας τῶν ὀρέων·

16 Καὶ λέγουσι τοῖς ὄρεσι καὶ ταῖς πέτραις· Πέσετε ἐφ' ἡμᾶς, καὶ κρύψατε ἡμᾶς ἀπὸ προσώπου τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ ἀπὸ τῆς ὀργῆς τοῦ ἀρνίου·

17 Ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀργῆς αὐτοῦ· καὶ τίς δύναται σαθῆναι;

δυνατοὶ, καὶ κάθε δοῦλος, καὶ κάθε ἐλεύθερος ἔκρυψαν τοῦ λόγου τους εἰς τὰ σπήλαια καὶ εἰς ταῖς πέτραις τῶν ὀρέων·

16 Καὶ λέγουν εἰς τὰ ὄρη καὶ εἰς ταῖς πέτραις· Πέσετε ἀπάνω μας, καὶ σκεπάσετε μας ἀπὸ τὸ πρόσωπον ἐκείνου ὁποῦ κάθεται εἰς τὸν θρόνον, καὶ ἀπὸ τὴν ὀργὴν τοῦ ἀρνίου·

17 Ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀργῆς του· καὶ τίς δύναται νὰ σαθῇ;

Κεφ. ζ'. 7.

ΚΑΙ μετὰ ταῦτα εἶδον τέσσαρας ἀγγέλους ἑσῶτας ἐπὶ τὰς τέσσαρας γωνίας τῆς γῆς, κρατοῦντας τοὺς τέσσαρας ἀνέμους τῆς γῆς, ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τῆς γῆς, μήτε ἐπὶ τῆς θαλάσσης, μήτε ἐπὶ πᾶν δένδρον.

2 Καὶ εἶδον ἄλλον ἄγγελον ἀναβάντα ἀπὸ ἀνατολῆς ἡλίου, ἔχοντα σφραγῖδα Θεοῦ ζῶντος· καὶ ἔκραξε φωνῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγγέλοις οἷς ἐδόθη αὐτοῖς ἀδικῆσαι τὴν γῆν καὶ τὴν θάλασσαν,

3 Λέγων· Μὴ ἀδικήσητε τὴν γῆν, μήτε τὴν θάλασσαν, μήτε τὰ δένδρα, ἄχρις οὗ σφραγίσωμεν τοὺς δούλους τοῦ Θεοῦ ἡμῶν ἐπὶ τῶν μετώπων αὐτῶν.

4 Καὶ ἤκουσα τὸν ἀριθμὸν

